κεν· τοξότας γὰρ πάντας πεποίηκε τοὺς προσκώπους. περί-
νεως δὲ οὐκ εἰκὸς πολλοὺς ξυμπλεῖν ἔξω τῶν βασιλέων καὶ
τῶν μάλιστα ἐν τέλει, ἄλλως τε καὶ μέλλοντας πέλαγος πε- 7
ραιώσεσθαι μετὰ σκευῶν πολεμικῶν οὐδ' αὖ τὰ πλοῖα κατά-
φρακτα ἔχοντας, ἀλλὰ τῷ παλαιῷ τρόπῳ ληστικώτερον παρε-
σκευασμένα. πρὸς τὰς μεγίστας δ' οὖν καὶ ἐλαχίστας ναῦς
τὸ μέσον σκοποῦντι οὐ πολλοὶ φαίνονται ξυνελθόντες, ὡς ἀπὸ
πάσης τῆς Ἑλλάδος κοινῇ πεμπόμενοι.

Αἴτιον δ' ἦν οὐχ ἡ ὀλιγανθρωπία τοσοῦτον ὅσον ἡ ἀχρη- 11
ματία. τῆς γὰρ τροφῆς ἀπορίᾳ τόν τε στρατὸν ἐλάσσω ἤγα-
γον καὶ ὅσον ἤλπιζον αὐτόθεν πολεμοῦντα βιοτεύσειν, ἐπειδή
τε ἀφικόμενοι μάχῃ ἐκράτησαν — δῆλον δέ· τὸ γὰρ ἔρυμα τῷ
στρατοπέδῳ οὐκ ἂν ἐτειχίσαντο — φαίνονται δ' οὐδ' ἐνταῦθα
πάσῃ τῇ δυνάμει χρησάμενοι, ἀλλὰ πρὸς γεωργίαν τῆς Χερ-

---

§ 6. *αὐτερέται* Soldaten die zugleich den Ruderdienſt verrichten. 3, 18, 3. 6, 91, 3 u. die Erkl. z. Voll. 1, 95. — *ἐν* an, bei Erwähnung. — *προσκώπους, ἐρέττοντας.* Sch. zu Luc. *ἐπισκ.* 1. 7. — *περίνεως* nicht Ruderndе, ein ſonſt nicht leicht vorkommendes Wort. — *οἱ ἐν τέλει*, wie 2, 10, 2. vgl. die Erkl. zu Her. 9, 106, oder *τέλη*, wie 1, 58, 1. 4, 15, 1, heißen die Obrigkeiten in ſofern ihnen die Ausführung der Beſchlüſſe obliegt. vgl. 5, 47, 11.

§. 7. *κατάφρακτα* mit Verdecken verſehen. — *δ' οὖν* Bekker; *γοῦν* die Hſn.; Eine *οὖν*. — *τὸ μέσον* die Mittelzahl, Durchſchnittszahl der Bemannung (85). — *ὡς* in Betracht daß. Gr. 69, 63 A. 6. vgl. 6, 20, 1.

C. 11. § 1. *ἐπειδὴ δέ.* *Δέ* entſpricht zwar nicht ſelten einem vorhergehenden *τέ*, aber doch nicht leicht anders als wo der dem *δὲ* vorangehende Begriff mit Nachdruck als gegenſätzlich hervorzuheben iſt, wie hier etwa: *ἀφικόμενοι δὲ ἐπειδὴ* — geſagt werden konnte. vgl. Gr. 69, 16 A. 6. Richtig alſo ſcheint Bekkers Verbeſſerung *ἐπειδή τε*. vgl. 2, 17, 1. 18, 2. *οὔτε* — *ἐπειδή τε* 3, 47, 2. 96, 2. *ἐπεί τε* 2, 65, 3. — *τὸ γὰρ* —. Man denke dazu: wenn das nicht der Fall geweſen *wäre*, wenn die Hellenen nicht geſiegt hätten. vgl. Gr. 54, 12 A. 9. So. OK. 146: *δηλῶ δέ· οὐ γὰρ ἂν ὧδ' ἀλλοτρίοις ὄμμασιν εἶρον.* — Wie aber kann die Befeſtigung ein Beweis des Sieges ſein? Weil ſie nur den Siegern möglich war: ſie hätten das Lager nicht befeſtigt, wären daran gehindert worden. Daß nicht etwa vorher *ἐκρατήθησαν* zu leſen ſei zeigen die Worte *μάχῃ κρατοῦντες* § 2. — *δέ* iſt hier wohl nicht durch die (zu kurze) Parentheſe veranlaßt vgl. 1, 18, 3, ſondern dadurch daß der Nachſatz dem Vorderſatze Entgegenſtehendes enthält. vgl. Buttm. Exc. 12 z. Dem. Mid. p. 150 ss. — *οὐδ' ἐνταῦθα* auch in dieſer Lage nicht. — *πρὸς γεωργίαν τῆς X. τρ.* Aus welchen Dich-

2 σονήσου τραπόμενοι καὶ λῃστείαν τῆς τροφῆς ἀπορίᾳ. ἦ καὶ μᾶλλον οἱ Τρῶες αὐτῶν διεσπαρμένων τὰ δέκα ἔτη ἀντεῖχον βίᾳ, τοῖς ἀεὶ ὑπολειπομένοις ἀντίπαλοι ὄντες. περιουσίαν δὲ εἰ ἦλθον ἔχοντες τροφῆς καὶ ὄντες ἀθρόοι ἄνευ λῃστείας καὶ γεωργίας ξυνεχῶς τὸν πόλεμον διέφερον, ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον, οἵ γε καὶ οὐχ ἁθρόοι ἀλλὰ μέρει τῷ ἀεὶ 3 παρατυχόντι ἀντεῖχον· πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν Τροίαν εἷλον. ἀλλὰ δι' ἀχρηματίαν τά τε πρὸ τούτων ἀσθενῆ ἦν καὶ αὐτά γε δὴ ταῦτα ὀνομαστότατα τῶν πρὶν γενόμενα δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης καὶ τοῦ νῦν περὶ αὐτῶν διὰ 12τοὺς ποιητὰς λόγου κατεσχηκότος, ἐπεὶ καὶ μετὰ τὰ Τρωϊκὰ ἡ Ἑλλὰς ἔτι μετανίστατό τε καὶ κατῳκίζετο, ὥστε μὴ ἡσυχάσασα αὐξηθῆναι. ἥ τε γὰρ ἀναχώρησις τῶν Ἑλλήνων ἐξ Ἰλίου χρονία γενομένη πολλὰ ἐνεόχμωσε καὶ στάσεις ἐν ταῖς

---

tern dieſe Angabe gefloſſen ſcheint noch der Schol. gewußt zu haben, da er als Anführer dieſer Ackerbauer den Akamas u. Antimachos anführt. vgl. Euſt. z. Il. p. 387. — *λῃστείαν*. Dafür giebt Homeros Belege, Il. *α'*, 366 ff., *ι*, 328 f., *ν*, 92. vgl. Nitzſch z. Od. 3, 106. Soph. Aj. 342.

§ 2. 3. *ἦ καὶ μᾶλλον* weshalb um ſo mehr (leichter). vgl. 1, 25, 4. 2, 2, 3. 3, 13, 3. 4, 1, 2. 103, 2. — *τά* die bekannten. Gr. 50, 2 A. 1. — *βίᾳ* im offenen Felde, in Feldſchlachten, zu *ἀντεῖχον* gehörig. (Hſ.) — *διέφερον* durchgeführt hätten. vgl. 6, 54, 5. 8, 75, 2. — *κρατοῦντες* als Sieger. Gr. 53, 1 A. 3. — *παρατυχόντι* als gewählter iſt der handſchriftlich begründetern La. *παρόντι* vorgezogen. — *πολιορκίᾳ — εἷλον*. Auffallend da ſchon vorhergegangen *ῥᾳδίως ἂν μάχῃ κρατοῦντες εἷλον*, wo doch auch *εἷλον* wohl nicht von bloßer Ueberlegenheit im Felde, ſondern von Eroberung zu verſtehen iſt. Man möchte leſen: *ῥᾳδίως ἂν μάχῃ κρατοῦντες, οἵ γε — ἀντεῖχον, πολιορκίᾳ ἂν προσκαθεζόμενοι. — ὄντα*. Gr. 56, 7 A. 2. — *κατεσχηκότος*. Dieſelbe Stellung 1, 96, 2. 3, 56, 1. 5, 5, 1. 11, 1. 6, 37, 1. vgl. Gr. 50, 10 A. 3. Statt finden kann ſie nur wenn zwiſchen Artikel und Subſtantiv noch Worte eintreten; *τοῦ λόγου κατεσχηκότος* wäre nothwendig abſ. Ge.

C. 12. § 1. *ἐπεὶ καί* da auch, ſogar, faſt wie quid quod. vgl. 1, 69, 5. 3, 82, 1. 4, 80, 2. 7, 24, 2, Iſokr. 15, 251. — *ἡσυχάσασα*. Auch nach *ὥστε* tritt die ſog. Attraction ein, wie 1, 81, 1. 4, 65, 1. Xen. Hell. 4, 8, 32; im Dativ Dem. 44, 16. Gr. 55, 2 A. 1 u. 4. Doch nicht nothwendig. Lobeck z. Phryn. p. 750. Und auch hier haben viele Hſn. *ἡσυχάσασαν*. Die Negation gehört zu beiden Verben verbunden. vgl. 1, 78, 1. 84, 2. 85, 1. 141, 5. 6, 33, 1. Gr. 67, 8 A. 4. — *χρονία* nach geraumer Zeit, iſt, wie *ὄρθριος, αἰφνίδιος, σκοταῖος, δευτεραῖος ἥκει*, als Prädicat zu faſſen, mehr poetiſch als dieſe Formeln. vgl. Ind. Eur. u. Soph. u. *χρόνιος*. Sonſt gebraucht

πόλεσιν ὡς ἐπὶ πολὺ ἐγίγνοντο, ἀφ' ὧν ἐκπίπτοντες τὰς πόλεις ἔκτιζον. Βοιωτοὶ τε γὰρ οἱ νῦν ἑξηκοστῷ ἔτει μετὰ 2
Ἴλιον ἅλωσιν ἐξ Ἄρνης ἀναστάντες ὑπὸ Θεσσαλῶν τὴν νῦν μὲν Βοιωτίαν πρότερον δὲ Καδμηΐδα γῆν καλουμένην ᾤκισαν· ἦν δὲ αὐτῶν καὶ ἀποδασμὸς πρότερον ἐν τῇ γῇ ταύτῃ, ἀφ' ὧν καὶ ἐς Ἴλιον ἐστράτευσαν. Δωριῆς τε ὀγδοηκοστῷ ἔτει ξὺν Ἡρακλείδαις Πελοπόννησον ἔσχον. μόλις τε ἐν πολλῷ 3
χρόνῳ ἡσυχάσασα ἡ Ἑλλὰς βεβαίως καὶ οὐκέτι ἀνισταμένη ἀπὸ νικλας ἐξέπεμψεν. καὶ Ἴωνας μὲν Ἀθηναῖοι καὶ νησιωτῶν τοὺς πολλοὺς ᾤκισαν, Ἰταλίας δὲ καὶ Σικελίας τὸ πλεῖστον Πελοποννήσιοι τῆς τε ἄλλης Ἑλλάδος ἔστιν ἃ χωρία. πάντα δὲ ταῦτα ὕστερον τῶν Τρωϊκῶν ἐκτίσθη.

Δυνατωτέρας δὲ γιγνομένης τῆς Ἑλλάδος καὶ τῶν χρη- 13
μάτων τὴν κτῆσιν ἔτι μᾶλλον ἢ πρότερον ποιουμένης τὰ πολλὰ τυραννίδες ἐν ταῖς πόλεσι καθίσταντο, τῶν προσόδων μειζόνων γιγνομένων, πρότερον δὲ ἦσαν ἐπὶ ῥητοῖς γέρασι πατρι-

---

Th. das Wort als Adj. zweier Endungen 5, 73, 5. 6, 31, 5. So ſchwankt auch ſonſt der Gebrauch. — *ἐνεόχμωσε*. Dies Wort mit ſeiner Sippſchaft dürfte in der att. Proſa ziemlich verſchollen ſein. — *ὡς*. Gr. 69, 63 A. 5. — *ἐπὶ πολύ* vielfach; unpaſſend andre Hſn. *ἐπὶ τὸ πολύ* meiſtentheils. Gr. 50, 4 A 12 vgl. 43, 4 A. 8. — *ἀφ' ὧν ἐκπίπτοντες* durch welche (Fehden) Vertriebene, *ἀπό* wie 1, 24, 2. — *τὰς* die bezüglichen. Gr. 50, 2 A, 4.

§ 2. *οἱ νῦν* die deren Nachkommen jetzt Böotien bewohnen, im Gegenſatz der von Homeros erwähnten. — *μετὰ Ἴλιον ἅλωσιν*. Bei ſolchen Angaben als Epochen fehlt der Artikel wohl in der Regel. vgl. 1, 23, 4. 2, 2, 1. 6, 4, 3. — *Ἄρνη* umfaßt auch das Land. Lob. Paralipp. p. 301. — *μέν* mit einigen Hſn. zu tilgen verbietet die Schärfe des Gegenſatzes. — *ἀπασμός*. ein mir ſonſt nicht vorgekommenes Wort; *ἀποδάσμιοι* Her. 1, 146. Anſprechend glaubt Müller Orch. S. 393 ff. daß dieſe Angabe ein Verſuch ſei die Nachricht des Schiffskatalogs 494 ff. zu erklären.

§ 3. *μόλις* iſt bei Th. u. Xen. vorherrſchende Form. Kr. z. An. 5, 8, 14 (gr. A.) u. über Andere Lob. Soph. Aj. 306. — *πλεῖστον*. mehrere Hdſn. *πλέον*.

C. 13. § 1. *ἔτι* vielmehr *τε*. — *τὰ πολλά* größtentheils, in den meiſten Staaten; über die Sache vgl. 1, 8, 3. — *ἐπὶ ῥητοῖς* unter beſtimmten, feſtgeſtellten, *ὡρισμένοις* von derſelben Sache Ariſtot. Polit. 3, 10, 1. vgl. Dion. Arch. 5, 74, Schol. Ar. Ach. 61. Sonſt iſt *ἐπὶ ῥητοῖς* feſte Formel, wie 1, 122, 1, Her. 5, 57, Iſokr. 17, 19. 18, 10. 14, Plat. Symp. 213, a. — *γέρασι*. Dieſe Ehrenrechte (Her. 6, 56 ff.) waren namentlich die Feldherrn-, die Richter- u. die Prieſterwürde. Ariſtot. an d. a. St. u. 3, 9, 7. — *πατρικαὶ* von den Vorfahren geſtiftete. vgl. 7, 69, 3. 8, 6, 3, Iſokr. 9, 35, Gr. 41, 11

καὶ βασιλεῖαι, ναυτικά τε ἐξηρτύετο ἡ Ἑλλας καὶ τῆς θα-
2 λάσσης μᾶλλον ἀντείχοντο. πρῶτοι δὲ Κορίνθιοι λέγονται
ἐγγύτατα τοῦ νῦν τρόπου μεταχειρίσαι τὰ περὶ τὰς ναῦς καὶ
τριήρεις πρῶτον ἐν Κορίνθῳ τῆς Ἑλλάδος ναυπηγηθῆναι.
φαίνεται δὲ καὶ Σαμίοις Ἀμεινοκλῆς Κορίνθιος ναυπηγὸς
ναῦς ποιήσας τέσσαρας· ἔτη δ' ἐστὶ μάλιστα τριακόσια ἐς
τὴν τελευτὴν τοῦδε τοῦ πολέμου ὅτε Ἀμεινοκλῆς Σαμίοις ἦλ-
3 θεν. ναυμαχία τε παλαιτάτη ὧν ἴσμεν γίγνεται Κορινθίων
πρὸς Κερκυραίους· ἔτη δὲ μάλιστα καὶ ταύτῃ ἑξήκοντα καὶ
διακόσιά ἐστι μέχρι τοῦ αὐτοῦ χρόνου. οἰκοῦντες γὰρ τὴν
πόλιν οἱ Κορίνθιοι ἐπὶ τοῦ Ἰσθμοῦ ἀεὶ δή ποτε ἐμπόριον
εἶχον, τῶν Ἑλλήνων τὸ πάλαι κατὰ γῆν τὰ πλείω ἢ κατὰ
θάλασσαν, τῶν τε ἐντὸς Πελοποννήσου καὶ τῶν ἔξω, διὰ
4 τῆς ἐκείνων παρ' ἀλλήλους ἐπιμισγόντων· χρήμασί τε δυνα-
τοὶ ἦσαν, ὡς καὶ τοῖς παλαιοῖς ποιηταῖς δεδήλωται· ἀφνειὸν
γὰρ ἐπωνόμασαν τὸ χωρίον. ἐπειδή τε οἱ Ἕλληνες μᾶλλον
ἐπλώϊζον, τὰς ναῦς κτησάμενοι τὸ λῃστικὸν καθῄρουν, καὶ
ἐμπόριον παρέχοντες ἀμφότερα δυνατὴν ἔσχον χρημάτων προ-

A. 9. — *τῆς θαλάσσης ἀντείχοντο* legten ſich auf das Seeweſen, Seemacht erſtrebend vgl. 1, 93, 3. Ueber den Wechſel des Numerus vgl. Kr. zu Xen. An. 1, 7, 17.

§. 2. *μεταχειρίσαι* handhaben, betreiben, im Activ ſelten, wie 6, 16, 6. 7, 87, 1, Her. 3, 143, Eur. Frag. inc. 155 (103). — *πρῶτον τῆς Ἑλλάδος.* Gr. 47, 28 A. 8. — *καὶ Σαμίοις* auch den Samiern, nicht bloß für die Korinthier Schiffbauer. — *ναῦς.* Gewiß nicht Trieren (Plin. 7, 56), die noch vor den Perſerkriegen ſelten waren (unten 1, 14). Nur Pentekontoren hatten die Phokäer Her. 1, 163 s. — *μάλιστα* ungefähr. Clinton F. H. p. 239 (253), k. — *ὅτε* ſeit der Zeit wo. vgl. 3, 29, 2.

§ 3 *καὶ ταύτῃ* mit Bezug auf die eben erwähnte Thatſache: auch dieſe Seeſchlacht fällt in jene Zeiten. Der Dativ bezeichnet das ſeit, wie Her. 2, 145, Dem. 21, 82 u. Soph. Oed. T. 735: *καὶ τίς χρόνος τοῖσδ' ἐστὶν οὐξεληλυθώς.* vgl. Gr. 48, 5 A. 3 u. zu 3, 29, 2. — *γάρ* bezieht ſich auf den Hauptgedanken, den Schiffbau der Korinthier. — *ἐπὶ τοῦ. ἐπὶ τῷ* 1, 56. — *ἀεί ποτε* immerdar liebt Th. 1, 47, 2. 60, 2. 3, 95, 1. 4, 57, 4. 78, 3. 103, 3. *δή* urgirt das *ἀεί.* — *ἐμπόριον.* Ueber die Sache Ariſtot. Pol. 7, 5, 5 mit Schneiders Anm. u. Add. p. 505. — *παρ' ἀλλήλους,* wie 2, 1 vgl. 1, 146. (Pp.)

§ 4. *ἀφνειόν.* So Il. *β*, 570 vgl. Strabo 8, 6 p. 378. *ὀλβία* Pind. Ol 13, 4. *εὐδαίμων* Her. 3, 52 — *ἐπλώϊζον* iſt poetiſch. vgl. Heſ. *Κ.* 632. — *τάς* die §. 2 bezeichneten. — *καθῄρουν, οἱ Κορίνθιοι,* das Hauptſubject der Darſtellung. — *ἀμφότερα* zu Waſſer und zu Lande, wie 1, 100, 1. 112, 2 u. Aeſch. Perſ. 706. vgl. Heindorf zu Plat. Charm. 2.

σόδῳ τὴν πόλιν. καὶ Ἴωσιν ὕστερον πολὺ γίγνεται ναυτικὸν 5
ἐπὶ Κύρου, Περσῶν πρώτου βασιλεύοντος, καὶ Καμβύσου
τοῦ υἱέος αὐτοῦ, τῆς τε καθ' ἑαυτοὺς θαλάσσης Κύρῳ πολε-
μοῦντες ἐκράτησάν τινα χρόνον. καὶ Πολυκράτης, Σάμου
τυραννῶν ἐπὶ Καμβύσου, ναυτικῷ ἰσχύων ἄλλας τε τῶν νήσων
ὑπηκόους ἐποιήσατο καὶ Ῥήνειαν ἑλὼν ἀνέθηκε τῷ Ἀπόλ-
λωνι τῷ Δηλίῳ. Φωκαῆς τε Μασσαλίαν οἰκίζοντες Καρχη- 14
δονίους ἐνίκων ναυμαχοῦντες· δυνατώτατα γὰρ ταῦτα τῶν
ναυτικῶν ἦν. φαίνεται δὲ καὶ ταῦτα πολλαῖς γενεαῖς ὕστερα
γενόμενα τῶν Τρωϊκῶν, τριήρεσι μὲν ὀλίγαις χρώμενα,
πεντηκοντόροις δ' ἔτι καὶ πλοίοις μακροῖς ἐξηρτυμένα ὥσπερ
ἐκεῖνα. ὀλίγον τε πρὸ τῶν Μηδικῶν καὶ τοῦ Δαρείου θα- 2
νάτου, ὃς μετὰ Καμβύσην Περσῶν ἐβασίλευσε, τριήρεις περί
τε Σικελίαν τοῖς τυράννοις ἐς πλῆθος ἐγένοντο καὶ Κερκυ-
ραίοις· ταῦτα γὰρ τελευταῖα πρὸ τῆς Ξέρξου στρατιᾶς ναυ-
τικὰ ἀξιόλογα ἐν τῇ Ἑλλάδι κατέστη. Αἰγινῆται γὰρ καὶ 3
Ἀθηναῖοι καὶ εἴ τινες ἄλλοι βραχέα ἐκέκτηντο καὶ τούτων τὰ
πολλὰ πεντηκοντόρους· ὀψέ τε ἀφ' οὗ Ἀθηναίους Θεμιστο-

---

§ 5. *Ἴωσιν*, besonders den Phokäern Her. 1, 163 f., den Milesiern 3, 39 (vgl. Herakl. Pont. 5), den Inselbewohnern Her. 1, 27. — *υἱέος. υἱοῦ* 5, 16, 5. — *ἐπί* mit *τυραννῶν* zu verbinden dürfte die Chronologie nicht hindern, da Polykrates wohl nicht schon Ol. 53, 3, sondern erst um 62, 1 Tyrann wurde. — *καὶ Ῥήνειαν — Δηλίῳ.* Diese Thatsache ist hier ziemlich unwesentlich, beiläufig erwähnt, weil Th. die Episode 3, 104 wohl noch nicht beabsichtigte als er diese Worte schrieb. — *οἰκίζοντες.* Also eine Schlacht während der Gründung.

C. 14. § 1. *γενεαῖς*, etwa drei auf ein Jahrhundert gerechnet, wie bei Her. 2, 142 vgl. Wess. z. Diod. 1, 24. — *χρώμενα* gehört zu *φαίνεται*, dem Sinne nach Imperfect. vgl. Gr. 53, 2 A. 9. — *μακροῖς. μικροῖς* vermuthet Saumaise obss. ad Jus. A. et R. p. 725. Doch vielleicht waren *νῆες μακραί* nicht immer Kriegsschiffe. vgl. Her. 7, 21. Oder ist etwa *πλοῖα* als Gegensatz von *νῆες* zu urgiren?

§ 2. *τὰ Μηδικά, τὰ Περσικά* als Epoche bezeichnen den zweiten Perserkrieg. — *Δαρείου.* Die zweite Bestimmung fügte Th. wohl deshalb hinzu, um beiläufig auch den dritten Perserkönig (vgl. 13, 5) zu erwähnen. — *τοῖς τυράννοις.* Besonders dem Gelon. Her 7, 158. — *ἐς πλῆθος* in Menge. vgl. Bergler zu Ar. Ach. 686: *ἐς τάχος παλεῖ.*

§ 3. *Αἰγινῆται.* Kr. hist. phil. Stud. S. 21 Anm. — *καὶ εἴ τινες ἄλλοι, ναυτικὰ ἐκέκτηντο.* — *βραχέα* kleine, geringe, wie 1, 141, 1. Kr. z. Dion. p. 107. Der Sinn: sie besaßen unbedeutende Flotten und zwar meist aus Pentekontoren bestehende. — *ὀψέ τε. ἔστιν* oder *ἦν* zu ergänzen wäre wohl nur statthaft wenn *ὅτε* statt *ἀφ' οὗ* folgte; *οἱ Ἀθηναῖοι βραχέα ἐκέκτηντο* wiederholt zu denken

κλῆς ἔπεισεν Αἰγινήταις πολεμοῦντας καὶ ἅμα τοῦ βαρβάρου προσδοκίμου ὄντος τὰς ναῦς ποιήσασθαι, αἴσπερ καὶ ἐναυμάχησαν· καὶ αὗται οὔπω εἶχον διὰ πάσης καταστρώματα.

15 Τὰ μὲν οὖν ναυτικὰ τῶν Ἑλλήνων τοιαῦτα ἦν, τά τε παλαιὰ καὶ τὰ ὕστερον γιγνόμενα. ἰσχὺν δὲ περιεποιήσαντο ὅμως οὐκ ἐλαχίστην οἱ προσσχόντες αὐτοῖς χρημάτων τε προσόδῳ καὶ ἄλλων ἀρχῇ· ἐπιπλέοντες γὰρ τὰς νήσους κατεστρέ-
2 φοντο καὶ μάλιστα ὅσοι μὴ διαρκῆ εἶχον χώραν. κατὰ γῆν δὲ πόλεμος, ὅθεν τις καὶ δύναμις παρεγένετο, οὐδεὶς ξυνέστη· πάντες δὲ ἦσαν ὅσοι καὶ ἐγένοντο πρὸς ὁμόρους τοὺς σφετέρους ἑκάστοις καὶ ἐκδήμους στρατείας πολὺ ἀπὸ τῆς ἑαυ-
3 τῶν ἐπ' ἄλλων καταστροφῇ οὐκ ἐξῆεσαν οἱ Ἕλληνες. οὐ γὰρ ξυνεστήκεσαν πρὸς τὰς μεγίστας πόλεις ὑπήκοοι οὐδ' αὐ αὐτοὶ ἀπὸ τῆς ἴσης κοινὰς στρατείας ἐποιοῦντο, κατ' ἀλλήλους δὲ μᾶλλον ὡς ἕκαστοι οἱ ἀσυγγειτονες ἐπολέμουν. μάλιστα δὲ

---

wäre hart und widerſpräche der Sache, da die Athener ſeit dem Rathe des Themiſtokles eine bedeutende Flotte beſaßen. Vielleicht iſt ἀφ' οὗ zu tilgen. — πολεμοῦντας καὶ ὄντος. Gr. 56, 14 A. 2. — τάς die bekannten. Den Artikel hier und 2, 86, durch den relativen Satz beſtimmt zu denken, iſt wohl wegen αἴσπερ καί unſtatthaft. — διὰ πάσης, wohl nicht νεώς, ſondern ein Ausdruck bei dem urſprünglich wie bei ἀπὸ πρώτης u. a. ein μοῖρα vorſchwebte. Vgl. Lob. Paralipp. p. 363.

C. 15. § 1. ὅμως ſo gering auch die Flotten waren, dennoch. Kr. zu Xen. An. 2, 2, 17. — τάς die bezüglichen, wie 1, 12, 1. — ὅσοι, wie die Athener u. Korinthier. — διαρκῆ hinreichend rückſichtlich der Erzeugniſſe (St.) oder vielleicht für die wachſende Bevölkerung?

§ 2. ὅθεν τις καί nicht nur ein Krieg, ſondern auch ein ſolcher durch den, durch deſſen Ausbruch. — παρεγένετο herbeigekommen wäre, ſich verſammelt hätte. — ξυνέστη πόλεμος auch Iſokr. 4, 71. — δέ. Einige gute Hſſ. γάρ. — ὅσοι καί. Kr. zu Xen. An. 3, 5, 18. — σφετέρους weil ἑκάστοις Gedankenſubject iſt, wie αὑτῶν 17, 2. vgl. Gr. 51, 4 A. 4 u. 2 A. 6. — ἔκδημος. vgl. 2, 10, 1. — στρατείας-ἐξῆεσαν, wie τὸν ἱερὸν πόλεμον ἐστράτευσαν 1, 112, 3. vgl. Lob. z. Soph. Aj. 290. — πολύ weit vgl. 6, 21, 2. 33, 5. 68, 3. Keine Tautologie, da nicht jeder auswärtige Feldzug weit von der Heimath entfernt.

§ 3. οὐ γὰρ — ὑπήκοοι denn ſie, die Hellenen, ſchloſſen ſich nicht (ſchon) unterworfen an die größten Staaten an, wie ſpäter an Athen und Sparta. Widerſinnig ſonſt αἱ ὑπήκοοι. — αὐτοί aus freiem Antriebe, freiwillig ohne den eben erwähnten Zwang. — ἀπὸ τῆς ἴσης (urſprünglich doch wohl mit vorſchwebenden μοίρας vgl. zu 1, 14. 3) im Verhältniſſe der Gleichheit, Unabhängigkeit von einander. vgl. 3, 40, 5. — κατ' ἀλλήλους unter einander ohne

ἐς τὸν πάλαι ποτὲ γενόμενον πόλεμον Καλκιδέων καὶ Ἐρετριέων καὶ τὸ ἄλλο Ἑλληνικὸν ἐς ξυμμαχίαν ἑκατέρων διέστη. ἐπεγένετο δὲ ἄλλοις τε ἄλλοθι κωλύματα μὴ αὐξηθῆναι καὶ 16
Ἴωσι προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων Κῦρος καὶ ἡ Περσικὴ βασιλεία Κροῖσον καθελοῦσα καὶ ὅσα ἐντὸς Ἅλυος ποταμοῦ πρὸς θάλασσαν ἐπεστράτευσε καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλεις ἐδούλωσεν, Δαρεῖος δὲ ὕστερον τῷ Φοινίκων ναυτικῷ κρατῶν καὶ τὰς νήσους. τύραννοι δὲ ὅσοι ἦσαν ἐν ταῖς Ἑλ- 17
ληνικαῖς πόλεσι, τὸ ἐφ' ἑαυτῶν μόνον προορώμενοι ἔς τε τὸ σῶμα καὶ ἐς τὸ τὸν ἴδιον οἶκον αὔξειν δι' ἀσφαλείας ὅσον ἐδύναντο μάλιστα τὰς πόλεις ᾤκουν, ἐπράχθη τε ἀπ' αὐτῶν οὐδὲν ἔργον ἀξιόλογον, εἰ μὴ εἴ τι πρὸς περιοίκους τοὺς αὑτῶν ἑκάστοις· οἱ γὰρ ἐν Σικελίᾳ ἐπὶ πλεῖστον ἐχώρησαν 2

Bundesgenoſſen. — *πάλαι*. Wann? iſt unbeſtimmt. Entſtanden war er um das lelantiſche Gefilde. Strabo 10, 1 p. 447. 448 u. Valcken. z. Her. 5, 99. — *διέστη*, wie *διεκρίθησαν* 1, 18, 5, *διελήφθησαν* Iſokr. 4, 16

C. 16. *αὐξηθῆναι* ohne *τοῦ*, indem *κωλύματα ἐπεγένετο* ſo viel iſt als *ἐκωλύθησαν*. Gr. 50, 6 A. 6 — *Ἴωσι* zu *ἐπεγένετο* gehörig, dann aber auch die Sätze verkettend zu *ἐπεστράτευσε* ſ. v. a. *Ἴωσιν οἵ*. vgl. 5, 95 u. Kr. zu Xen. An. 7, 1, 9. — *προχωρησάντων ἐπὶ μέγα τῶν πραγμάτων* nachdem ihre Macht zu einem hohen Grade gediehen war. vgl. Kr. z. Dion. p. 86; über die Sache. 13, 5 u. dagegen Her. 1, 26 f. 143. — *ἐντὸς* diesſeits. vgl. Her. 1, 28. — *Ἅλυος ποταμοῦ*. Gr. 50, 7 A. 1. — *πρὸς θάλασσαν*. erg. *καθελοῦσα* nachdem ſie überwältigt hatte. vgl. zu 1, 4. — *ἐδούλωσε*, nicht das Medium, da hier nur das Leiden des Objects, nicht das Intereſſe des Subjects zu bezeichnen iſt. — *καὶ τὰς νήσους* erg. *ἐδούλωσεν*. Anders erzählt Her. 1, 143. 169, vgl. jedoch 3, 141.

C. 17. § 1. *τύραννοι* ohne Artikel weil es zu *ὅσοι* gehört: *ὅσοι τύραννοι*, ſo daß der ganze Satz das Subject zu *ᾤκουν* bildet. — *τὸ ἐφ' ἑαυτῶν* ihr Intereſſe: *ἡ γὰρ τυραννὶς ἐστι μοναρχία πρὸς τὸ συμφέρον τὸ τοῦ μοναρχοῦντος*. Ariſtot. Polit. 3, 5, 4. (Pp.) — *ἔς τε τὸ σῶμα* rückſichtlich ihrer Perſon (Sicherheit). (Ba.) — *δι' ἀσφαλείας* unter Sicherung, Sicherheitsmaßregeln nehmend. vgl. Pflugk zu Eur. Hel. 308. — *ὅσον ἐδύναντο* verbinde man mit *μάλιστα*. Kr. z. Dion. p. 106. — *ᾤκουν* verwalteten. Die Erkl. zu Xen. Mem. 1, 1, 7. — *ἀπό*. Gr. 52, 5 A. 1. So noch bei *πράττεσθαι* 6, 61, 1. 8, 48, 6. 68, 4 vgl. 4, 73, 5. — *εἰ μὴ εἴ* außer wenn, wie Plat. Gorg. 480, b vgl. dort Heindorf u. Gr. 65, 5 A. 11. — *αὑτῶν*. Gr. 51, 2 A. 6. — *ἑκάστοις* von Jeglichen, an *ἐπράχθη* ſich anſchließend, dem Sinne nach appoſitiv zu *ἀπ' αὐτῶν*.

§ 2. *οἱ γὰρ* —. „Ich ſpreche nicht von den Tyrannen Sikeliens: denn dieſe —." (Sch.) Eher dürfte der Satz ſich auf *ἔς τε τὸ σῶμα-ᾤκουν* beziehen. Paſſender wäre er nach *τῶν ἐν Σικελίᾳ* 1, 18, 1. —

δυνάμεως. οὕτω πανταχόθεν ἡ Ἑλλας ἐπὶ πολὺν χρόνον κατείχετο μήτε κοινῇ φανερὸν μηδὲν κατεργάζεσθαι, κατὰ πόλεις τε ἀτολμοτέρα εἶναι.

18 Ἐπειδὴ δὲ οἵ τε Ἀθηναίων τύραννοι καὶ οἱ ἐκ τῆς ἄλλης Ἑλλάδος ἐπὶ πολὺ καὶ πρὶν τυραννευθείσης οἱ πλεῖστοι καὶ τελευταῖοι πλὴν τῶν ἐν Σικελίᾳ ὑπὸ Λακεδαιμονίων κατε-
2 λύθησαν — ἡ γὰρ Λακεδαίμων μετὰ τὴν κτίσιν τῶν νῦν ἐνοικούντων αὐτὴν Δωριέων ἐπὶ πλεῖστον ὧν ἴσμεν χρόνον στασιάσασα ὅμως ἐκ παλαιτάτου καὶ εὐνομήθη καὶ ἀεὶ ἀτυράννευτος ἦν· ἔτη γάρ ἐστι μάλιστα τετρακόσια καὶ ὀλίγῳ πλείω ἐς τὴν τελευτὴν τοῦδε τοῦ πολέμου ἀφ' οὗ Λακεδαιμόνιοι τῇ αὐτῇ πολιτείᾳ χρῶνται, καὶ δι' αὐτὸ δυνάμενοι καὶ τὰ ἐν
3 ταῖς ἄλλαις πόλεσι καθίστασαν — μετὰ δὲ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος οὐ πολλοῖς ἔτεσιν ὕστερον καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων πρὸς Ἀθηναίους ἐγένετο. δεκάτῳ δὲ ἔτει μετ' αὐτὴν αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ
4 τὴν Ἑλλάδα δουλωσόμενος ἦλθεν. καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος οἵ τε Λακεδαιμόνιοι τῶν ξυμπολεμησάντων Ἑλλήνων ἡγήσαντο δυνάμει προὔχοντες καὶ οἱ Ἀθηναῖοι

πανταχόθεν durch Einwirkungen aller Art, vgl. 3, 53, 3. 8, 1, 2. — *φανερόν* Ausgezeichnetes. vgl. 4, 11, 3 u. Xen. Cyr. 7, 5, 58: *ἐν τῇ πόλει τῇ μεγίστῃ τῶν φανερῶν.* — *κατὰ π. τε ἀ. εἶναι.* Hier ſchwebt aus *κατείχετο* nur allgemein vor: und durch Hemmungen dahin gebracht daß. — *ἀτολμοτέρα.* vielleicht *ἀτολμότερα.* vgl. zu 1, 7, 1.

C. 18. § 1. *ἐπὶ πολύ* ſteht hier wohl räumlich. — *καὶ πρὶν* auch früher als Athen. (Sch.) — *ὑπὸ Λ. κατελύθησαν.* vgl. 1, 122, 3 und beſonders Plut. über die Bosheit des Her. 21.

§ 2. *κτίσιν.* Andre *κτῆσιν.* 5, 16, 6: *ὅτε τὸ πρῶτον Λακεδαίμονα κτίζοντες τοὺς βασιλέας καθίσταντο.* und ſo nennt auch Iſokr. 4, 61 die Herakliden und Dorier *οἰκιστὰς Σπάρτης.* (Pp.) — *Δωριέων* durch die Dorier. Aehnliche Ge. bei Wunder zu Soph. Phil. 191. — *ὧν* auch hier für *τούτων οὕς.* vgl. 4, 60, 1 u. Gr. 47, 28 A. 7. — *στασιάσασα,* vor Lykurgos. Her. 1, 65, Iſokr. 12, 177, Plut. Lyk. 2 f. — *εὐνομήθη.* Durch Lykurgos vgl. Her. 1, 65. — *τετρακόσια.* Clinton F. H. p. 408 ff. — *δυνάμενοι* mächtig. (Ba.)

§ 3. *μετὰ δὲ — τῆς Ἑλλάδος.* Wiederholung des Gedankens *ἐπειδὴ δὲ — τῆς Ἑλλάδος,* durch die Parenthese veranlaßt. — *ἐκ. τὴν ἐκ* iſt nicht nöthig. Gr. 50, 9 A. 8. 9. — *δεκάτῳ.* Clinton F. H. p. 244 ff. — *ὁ βάρβαρος* für *οἱ βάρβαροι.* Gr. 44, 1 A. 4. vgl. 1, 73, 3.

§ 4. *ἐπικρεμασθέντος* wie 3, 40, 6. — *ξυμπολεμησάντων — ἡγήσαντο.* Der Ao. von der eintretenden Handlung. Gr. 53, 5 A. 2. —

ἐπιόντων τῶν Μήδων διανοηθέντες ἐκλιπεῖν την πόλιν καὶ ἀνασκευασάμενοι ἐς τὰς ναῦς ἐμβάντες ναυτικοὶ ἐγένοντο. κοινῇ τε ἀπωσάμενοι τὸν βάρβαρον, ὕστερον οὐ πολλῷ διε- 5
κρίθησαν πρός τε Ἀθηναίους καὶ Λακεδαιμονίους οἵ τε ἀποστάντες βασιλέως Ἕλληνες καὶ οἱ ξυμπολεμήσαντες. δυνάμει γὰρ ταῦτα μέγιστα διεφάνη· ἴσχυον γὰρ οἱ μὲν κατὰ γῆν οἱ δὲ ναυσίν. καὶ ὀλίγον μὲν χρόνον ξυνέμεινεν ἡ ὁμαιχμία, 6
ἔπειτα [δὲ] διενεχθέντες οἱ Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι ἐπολέμησαν μετὰ τῶν ξυμμάχων πρὸς ἀλλήλους· καὶ τῶν ἄλλων Ἑλλήνων εἴ τινές που διασταῖεν, πρὸς τούτους ἤδη ἐχώρουν. ὥστε ἀπὸ τῶν Μηδικῶν ἐς τόνδε ἀεὶ τὸν πόλεμον τὰ 7
μὲν σπενδόμενοι τὰ δὲ πολεμοῦντες ἢ ἀλλήλοις ἢ τοῖς ἑαυτῶν ξυμμάχοις ἀφισταμένοις εὖ παρεσκευάσαντο τὰ πολέμια καὶ ἐμπειρότεροι ἐγένοντο μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι. καὶ οἱ μὲν Λακεδαιμόνιοι οὐχ ὑποτελεῖς ἔχοντες φόρου τοὺς 19
ξυμμάχους ἡγοῦντο, κατ' ὀλιγαρχίαν δὲ σφίσιν αὐτοῖς μόνον ἐπιτηδείως ὅπως πολιτεύσουσι θεραπεύοντες, Ἀθηναῖοι δὲ ναῦς τε τῶν πόλεων τῷ χρόνῳ παραλαβόντες, πλὴν Χίων καὶ Λεσβίων, καὶ χρήματα τοῖς πᾶσι τάξαντες φέρειν. καὶ

διανοηθέντες nachdem ſie ſich entſchloſſen. — ἀνασκευασάμενοι, τὰ σκεύη ἀναλαβόντες. (Sch.) — ἐς τὰς ναῦς gehört zu ἐμβάντες.

§ 5. ὕστερον ſtellt Th. vor οὐ πολλῷ um es hervorzuheben, wie 1, 137, 1. 2, 27, 1. 30, 2. 8, 95, 4. — διεκρίθησαν, wie διέστη 1, 15, 3. — διεφάνη eben ſo 4, 108, 3. 6, 17, 4.

§ 6. ὁμαιχμία ein ioniſches, ſonſt bei den Attikern nicht übliches Wort.

§ 7. σπενδόμενοι hier ſchwebte dem Schriftſteller etwa διεγένοντο vor, noch nicht παρεσκευάσαντο. — μετὰ κινδύνων unter Gefahren, wie 1, 70, 5. 2, 42, 3. 3, 56, 3. 6, 31, 1. 72, 4. vgl. Iſokr. 6, 12, Dem. 3, 36. Nachgeahmt haben die St. Dion. Arch. 1, 25 u. Arr. An. 2, 7, 4; berückſichtigt Plut. Dem. 6 u. Mor. p. 79, f.

C. 19. ὑποτελεῖς φόρου tributpflichtig. vgl. 1, 56. 80, 2, den autonomen entgegengeſetzt 7, 57, 3. — πολιτεύσουσι Bekker für πολιτεύσωσι (aus dem Aug. u. Laur.?), wie er auch das Fu. gegeben 1, 82, 5. 2, 60, 1. 3, 26, 1. 6, 13, 1; nicht aber 1, 73, 1. 2, 67, 2. 3, 57, 1. 4, 66, 3. 76, 3. (Pp.) — κατ' ὀλιγαρχίαν πολιτεύειν wie 3, 62, 2; über die Sache Kr. zum Dion. p. 364. — σφίσιν αὐτοῖς ἐπιτηδείως ihren politiſchen Intereſſen gemäß, zugethan. vgl. 1, 144, 3. 5, 81, 2. Aehnlich οὐκ ἐπιτηδείως ἔχειν 5, 82, 1. καταστήσειν ἐς τὸ ἐπιτήδειον 4, 76, 4. — θεραπεύοντες ſchließt ſich wie auch παραλαβόντες an ἡγοῦντο an. vgl. Kr. zu Xen. An. 7, 8, 16. — παραλαβόντες. Wie? beſagt 1, 99, 3. — πλὴν Χίων καὶ Λεσβίων. Kr. z. Dion. p.

ἐγένετο αὐτοῖς ἐς τόνδε τὸν πόλεμον ἢ ἰδία παρασκευὴ μείζων ἢ ὡς τὰ κράτιστά ποτε μετὰ ἀκραιφνοῦς τῆς ξυμμαχίας ἤνθησαν.

20 Τὰ μὲν οὖν παλαιὰ τοιαῦτα εὗρον, χαλεπὰ ὄντα πᾶν τι ἐξῆς τεκμηρίῳ πιστεῦσαι. οἱ γὰρ ἄνθρωποι τὰς ἀκοὰς τῶν προγεγενημένων, καὶ ἢν ἐπιχώρια σφίσιν ᾖ, ὁμοίως ἀβασα-
2 νίστως παρ' ἀλλήλων δέχονται. Ἀθηναίων γοῦν τὸ πλῆθος Ἵππαρχον οἴονται ὑφ' Ἁρμοδίου καὶ Ἀριστογείτονος τύραννον ὄντα ἀποθανεῖν, καὶ οὐκ ἴσασιν ὅτι Ἱππίας μὲν πρεσβύτατος ὢν ἦρχε τῶν Πεισιστράτου υἱέων, Ἵππαρχος δὲ καὶ Θεσσα-
3 λὸς ἀδελφοὶ ἦσαν αὐτοῦ, ὑποτοπήσαντες δέ τι ἐκείνῃ τῇ ἡμέρᾳ καὶ παραχρῆμα Ἁρμόδιος καὶ Ἀριστογείτων ἐκ τῶν ξυνειδότων σφίσιν Ἱππίᾳ μεμηνῦσθαι τοῦ μὲν ἀπέσχοντο ὡς

---

331. 335. — τὰ κράτισα ist als Ac. mit ἤνθησαν zu verbinden. vgl. zu 1, 6, 4. Eben so τὰ κράτιστα παρασκευάζεσθαι στόλον 1, 31, 1. τὰ ἄριστα πράττειν 5, 9, 7, da man auch πράττειν ἀγαθά f. εὖ sagt, τὰ ἄριστα ἦρξε τῇ πόλει Lyſ. 20, 5. — ἀκραιφνής eig. was unmittelbar und alſo unverdorben, friſch aus der Quelle kommt. Herm. zu Eur. Hec. 533. νῆες ἀκραιφνεῖς 1, 52. vgl. Kr. zu Dion. p. 223. Doch ſcheint das Wort bei att. Proſaikern ſonſt nicht vorzukommen. — τῆς. Gr. 50, 11 A. 2.

C. 20. § 1. τὰ μὲν οὖν παλαιά. Als Gegenſatz folgt C. 21, 2: καὶ ὁ πόλεμος οὗτος. vgl. Kr. zu Xen. An. 1, 10, 16. — τοιαῦτα εὗρον. Gr. 56, 7 A. 4. — χαλεπὰ ὄντα —. Der Schriftſteller weiſt zurück auf 1, 1, 2: (τὰ παλαιὰ) σαφῶς μὲν εὑρεῖν διὰ χρόνου πλῆθος ἀδύνατα ἦν, wo ἀδύνατα ſich eben ſo aſſimilirt wie hier χαλεπά. — πᾶν τι habe ich für das mir unerklärliche παντί geſchrieben; πᾶς ἐξῆς jeder der Reihe nach, findet ſich öfter, wie 7, 29, 3, Dem. 9, 69. 24, 70 vgl. unten 1, 125, 1; πᾶν τι ſteht wie ἕκαστος mit einem Plur. verbunden auch Il. π, 264. vgl. Gr. 58, 4 A. 5 u. Pflugk zu Eur. Herk. 79. — πιστεῦσαι. πιστῶσαι vermutheten Reiske u. Wyttenbach; indeß man kann erklären: durch, auf einen Beweis (allenfalls auch einem Beweiſe) zu glauben, durch einen Beweis ſich zu überzeugen, wie 1, 132, 1 u. Ar. Wo. 385: τουτί τῷ χρὴ πιστεύειν; Aehnlich ἐκ τεκμηρίων νομίζειν 1, 21, 1. — ὁμοίως eben ſo als Auswärtiges. — σφίσιν, wie nach εἴ τις 6, 32, 2.

§ 2. Ἀθηναίων γοῦν —. Dieſe Epiſode iſt überflüſſig nach der 6, 53 ff., alſo geſchrieben wie Th. die letztere noch nicht beabſichtigte. — Ἵππαρχος — αὐτοῦ iſt parenthetiſch zu nehmen, nicht an ὅτι anzuſchließen, da wenigſtens den Hipparchos auch die Menge als Bruder des Hippias kannte. Oder wäre νεώτερος ausgefallen?

§ 3. ἐκείνῃ, wo ſie die Ermordung vor hatten. — καὶ παραχρῆμα und eben als ſie die That auszuführen vorhatten. (Reiske). Es iſt mit μεμηνῦσθαι zu verbinden. (Sch.) — ἐκ. (ähnlich 1, 22, 2: ἐκ τοῦ παρατυχόντος πυνθανόμενος.) Lyſ. 16, 18: ἐκ τῶν κινδυνεύειν

προειδότος, βουλόμενοι δὲ πρὶν ξυλληφθῆναι δράσαντές τι καὶ κινδυνεῦσαι τῷ Ἱππάρχῳ περιτυχόντες περὶ τὸ Λεωκόριον καλούμενον τὴν Παναθηναϊκὴν πομπὴν διακοσμοῦντι ἀπέκτειναν. πολλὰ δὲ καὶ ἄλλα ἔτι καὶ νῦν ὄντα καὶ οὐ χρόνῳ 4
ἀμνημονούμενα καὶ οἱ ἄλλοι Ἕλληνες οὐκ ὀρθῶς οἴονται, ὥσπερ τούς τε Λακεδαιμονίων βασιλέας μὴ μιᾷ ψήφῳ προστίθεσθαι ἑκάτερον ἀλλὰ δυοῖν, καὶ τὸν Πιτανάτην λόχον αὐτοῖς εἶναι, ὃς οὐδ' ἐγένετο πώποτε. οὕτως ἀταλαίπωρος τοῖς πολλοῖς ἡ ζήτησις τῆς ἀληθείας καὶ ἐπὶ τὰ ἑτοῖμα μᾶλλον τρέπονται. ἐκ δὲ τῶν εἰρημένων τεκμηρίων ὅμως τοιαῦτα 21
ἄν τις νομίζων μάλιστα ἃ διῆλθον οὐχ ἁμαρτάνοι καὶ οὔτε ὡς ποιηταὶ ὑμνήκασι περὶ αὐτῶν ἐπὶ τὸ μεῖζον κοσμοῦντες μᾶλλον πιστεύων, οὔτε ὡς λογογράφοι ξυνέθεσαν ἐπὶ τὸ προσαγωγότερον τῇ ἀκροάσει ἢ ἀληθέστερον, ὄντα ἀνεξέλεγκτα καὶ τὰ πολλὰ ὑπὸ χρόνου αὐτῶν ἀπίστως ἐπὶ τὸ μυθῶδες ἐκνενικηκότα, εὑρῆσθαι δὲ ἡγησάμενος ἐκ τῶν ἐπιφα-

---

ἐθελόντων ὠφελεῖσθε. vgl. Gr. 68, 17 A. 9. — δράσαντές τι καὶ κινδυνεῦσαι nach einer That auch Gefahr erdulden, dieſe erſt nach jener erleiden; ohne καί 3, 53, 3; καί ähnlich 4, 98, 2.

§ 4. ἀμνημονεῖν. Ein ſeltenes Wort. — προστίθεσθαι ſich zufügen d. h. mit abſtimmen. vgl. 6, 50, 1. — δυοῖν. So Her. 6, 57 (vgl. Lucian. Harm. 3.) — τὸν Πιτανάτην λόχον, den Her. 9, 53 erwähnt. Ueber die Ausgleichungsverſuche anderswo. — ἀταλαίπωρος mühelos, nachläſſig. Bekker Anecdd. p. 457 wird aus Ar. angeführt: οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο. ταλαίπωρος Ar. Wo. 414. Ungeſchickte Nachahmung bei Arr. An. 6, 11, 8. — τὰ ἑτοῖμα was ſich ohne ihnen Mühe zu verurſachen darbeut.

C. 21. § 1. ἐκ — ſchließt ſich an νομίζων an. — ὅμως, ſo ſchwer auch die Erforſchung des Alterthums iſt mit Rückblick auf 20, 1. — τοιαῦτα wie ich es eben dargeſtellt habe, welcher Begriff aber nicht mit Pp. in ἃ διῆλθον zu ſuchen iſt, dem Object zu νομίζων: das von mir Durchgegangene. — μάλιστα zumeiſt, ungefähr. — καί ſchließt πιστεύων an νομίζων an. — λογογράφοι ſind Proſaiker, beſonders hiſtoriſche. Kr. Ind. Dion. u. d. W. — ξυνέθεσαν. vgl. 1, 97, 2. συντιθέναι λόγον Iſokr. 12, 246. 13, 16. Zu ὡς ξυνέθεσαν wiederhole man πιστεύων: noch ſo wie die L. es dargeſtellt haben es für wahr haltend. — ἐπὶ τὸ —. Concinner würde dem κοσμοῦντες entgegenſtehend auch hier ein Particip wie συνταξάμενοι hinzugefügt ſein, was aber, weil derſelbe Begriff in ξυνέθεσαν liegt, hier minder nöthig war. — προσαγωγός anziehend, wie Luc. Göttergeſp. 20. (Pp.) — τὰ πολλά iſt appoſitiv. vgl. zu 1, 2, 3. αὐτῶν gehört zu τὰ πολλά. Kr. z. Dion. p. 120. — ἀπίστως in einer keinen Glauben verdienenden Weiſe; ähnlich ἀδήλως 6, 58. vgl. Gr. 66, 1 A. 9. — ἐκνενικηκότα übergegangen. vgl. zu 1, 3, 2.

§ 2. ἡγησάμενος ſchließt ſich gleichfalls noch an ἁμαρτάνοι an. —

2 νεστάτων σημείων, ὡς παλαιὰ εἶναι, ἀποχρώντως. καὶ ὁ πόλεμος οὗτος, καίπερ τῶν ἀνθρώπων ἐν ᾧ μὲν ἂν πολεμῶσι τὸν παρόντα ἀεὶ μέγιστον κρινόντων, παυσαμένων δὲ τὰ ἀρχαῖα μᾶλλον θαυμαζόντων, ἀπ' αὐτῶν τῶν ἔργων οκοποῦσι δηλώσει ὅμως μείζων γεγενημένος αὐτῶν.

22 Καὶ ὅσα μὲν λόγῳ εἶπον ἕκαστοι ἢ μέλλοντες πολεμήσειν ἢ ἐν αὐτῷ ἤδη ὄντες, χαλεπὸν τὴν ἀκρίβειαν αὐτὴν τῶν λεχθέντων διαμνημονεῦσαι ἦν ἐμοί τε ὧν αὐτὸς ἤκουσα καὶ τοῖς ἄλλοθέν ποθεν ἐμοὶ ἀπαγγέλλουσιν· ὡς δ' ἂν ἐδόκουν ἐμοὶ ἕκαστοι περὶ τῶν ἀεὶ παρόντων τὰ δέοντα μάλιστ' εἰπεῖν, ἐχομένῳ ὅτι ἐγγύτατα τῆς ξυμπάσης γνώμης τῶν ἀλη-
2 θῶς λεχθέντων, οὕτως εἴρηται. τὰ δ' ἔργα τῶν πραχθέντων ἐν τῷ πολέμῳ οὐκ ἐκ τοῦ παρατυχόντος πυνθανόμενος ἠξίωσα γράφειν οὐδ' ὡς ἐμοὶ ἐδόκει, ἀλλ' οἷς τε αὐτὸς παρῆν καὶ παρὰ τῶν ἄλλων ὅσον δυνατὸν ἀκριβείᾳ περὶ ἑκάστου

ὡς παλαιὰ εἶναι so weit man es bei alten Ereignissen kann. (St.) εἶναι ist pleonastisch. Lob. Phryn. p. 275 vgl. Gr. 55, 1 A. 1. Ein Gebrauch der in der ältern Sprache wohl beträchtlich ausgedehnter war als später. Die ganze Formel gehört zu ἀποχρώντως. — παυσαμένων, αὐτῶν, τῶν πολεμούντων. — αὐτῶν, τῶν ἀρχαίων.

C. 22. § 1. ὅσα. Gr. 51, 13 A. 12. — λόγῳ εἶπον durch Rede, als Redner vortrugen. vgl. 2, 46. 7, 69, 2. Lobeck Paralipp. p. 526. — ἐν αὐτῷ, τῷ πολεμεῖν. Aehnlich αὐτό 1, 69, 2. — ὧν, τούτων ἅ, appositiv zu τῶν λεχθέντων. — ἂν gehört zu εἰπεῖν: wie d. h. in der Art und mit dem Inhalte des Vortrages wodurch es mir schien daß Jegliche über das jedes Mal Vorliegende das am meisten Zweckdienliche würden gesprochen haben. — ἐχομένῳ — indem ich mich möglichst an den Gesamtinhalt hielt. — οὕτως εἴρηται so habe ich sie sprechen lassen.

§ 2. τὰ ἔργα die Begebenheiten, dem ὅσα λόγῳ εἶπον § 1 entgegengesetzt. — ἐν τῷ πολέμῳ verbinde man enge mit πραχθέντων: von dem was in dem Kriege ausgeführt und betrieben oder verhandelt wurde habe ich die eigentlichen Facta ꝛc. Nämlich nicht auf diese allein ist das viel umfassende πράττειν beziehbar, sondern auch auf Verhandlungen, ja selbst auf Reden, so daß also τὰ ἔργα nur einen Theil, τὰ πραχθέντα das Ganze umfaßt. Was sonst über die Stelle geurtheilt ist s. man bei Hn. Pp., Herm. zu Soph. Trach. 229, Reisig zum Oed. K. p. CXCIII, Lob. Paralipp. p. 526. — ἐκ τοῦ παρατυχόντος von dem ersten Besten, wofür sonst freilich ὁ τυχών. — ἠξίωσα hielt es für erlaubt, mich für berechtigt, wie 3, 55, 1. vgl. Buttm. Ind. Mid. p. 166. — ἀλλ' οἷς τε — s. ἀλλὰ ταῦτά τε (ἠξίωσα γράφειν) οἷς αὐτὸς παρῆν, worauf statt des entsprechenden καὶ ἃ ἐπεξῆλθον eine andere Wendung folgt: ich glaubte mich verpflichtet nur darzustellen theils das wobei ich selbst zugegen ge-

ἐπεξελθών. ἐπιπόνως δὲ εὑρίσκετο, διότι οἱ παρόντες τοῖς ἔργοις ἑκάστοις οὐ ταὐτὰ περὶ τῶν αὐτῶν ἔλεγον, ἀλλ' ὡς ἑκατέρων τις εὐνοίας ἢ μνήμης ἔχοι. καὶ ἐς μὲν ἀκρόασιν 3
ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει. κτῆμά τε ἐς ἀεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.

Τῶν δὲ πρότερον ἔργων μέγιστον ἐπράχθη τὸ Μηδικόν, 23
καὶ τοῦτο ὅμως δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν ταχείαιν

---

wesen, theils von Andern (durch Erkundigung bei ihnen), so weit es möglich war, mit Genauigkeit erforscht habend (was ich erforscht habe). Denn so wird ἐπεξελθών hier mit dem Sch. (ἐρευνῶν) zu fassen sein, da sich zu παρὰ τῶν ἄλλων nicht füglich πυνθανόμενος wiederholt denken läßt, wie H. Pp. will: ἀλλ' (ἠξίωσα γράφειν) ἐπεξελθὼν οἷς τε αὐτὸς παρῆν καὶ παρὰ τῶν ἄλλων πυνθανόμενος (αὐτά) d. h. ἃ ἐπυνθανόμην. — ἑκατέρων hängt von εὐνοίας ab: Wohlwollen gegen die Einen oder die Andern, Gr. 47, 7 A. 5. πρός τινα in derselben Verbindung Dem. 18, 277 u. Arr. An. 7, 14, 2, ἐς τινα App. Pun. 8, 91. Die La. ἑκατέρῳ ist nicht wohl erklärbar.

§ 3. καὶ τῶν — ἕξει so viele aber, indem die künftigen Ereignisse nach dem Laufe der menschlichen Dinge eben so oder ähnlich sein werden, sie (die künftigen Ereignisse) zu beurtheilen Nützliches kennen zu lernen wünschen, für die wird es (das Werk) genügen. (Seidler.) Dabei ist σκοπεῖν auch zu ὠφέλιμα und μελλόντων zwei Mal zu denken: τῶν μελλόντων μελλόντων τοιούτων καὶ παραπλησίων ἔσεσθαι, freilich hart; doch gibt diese Erklärung den passendsten Gedanken. F. A. Wolf übersetzte (nach St.): wenn aber Männer die das Geschehene und das was sich einst wieder nach dem Gange der menschlichen Schicksale auf gleiche oder ähnliche Art ereignen möchte in klarem Lichte betrachten wollen, (wenn solche Männer) diese Begebenheiten (und deren Erzählung) für nützlich achten, so wird es genügen. Mir unklar ist Reisig z. Soph. Oed. K. p. 278. Ueber die vielen andern Erklärungen s. man Hn. Poppos Anm. Bei einer Ueberarbeitung würde gewiß Th. selbst dem Ausdrucke nachgeholfen haben. — ἀγώνισμα ist hier wohl Prunkstück, so genannt in sofern durch ein solches gegen Mitbewerber angekämpft wird, eigentlich von poetischen und rhetorischen Stücken, hier aber mit Hindeutung auf die mythischen Historiker; Ggs. μάθημα Pol. 3, 31, 12. — ξύγκειται. Der Bedeutung nach Pers. Pass. von ξυνπιθέναι. Aeschin. 1, 125: ἤξει καὶ ἔτερος λόγος τις ὑπὸ τοῦ αὐτοῦ σοφιστοῦ συγκείμενος. Vgl. Aristot. Rhet. 3, 16. 19.

C. 23. § 1. Wiederaufnahme des C. 21, 2 Erwähnten; C. 22 ist nicht recht an seiner Stelle. — δυοῖν ναυμαχίαιν καὶ πεζομαχίαιν,

τὴν κρίσιν ἔσχεν· τούτου δὲ τοῦ πολέμου μῆκός τε μέγα προὔβη, παθήματά τε ξυνηνέχθη γενέσθαι ἐν αὐτῷ τῇ Ἑλλάδι οἷα
2 οὐχ ἕτερα ἐν ἴσῳ χρόνῳ. οὔτε γὰρ πόλεις τοσαίδε ληφθεῖσαι ἠρημώθησαν, αἱ μὲν ὑπὸ βαρβάρων αἱ δ' ὑπὸ σφῶν αὐτῶν ἀντιπολεμούντων, εἰσὶ δ' αἳ καὶ οἰκήτορας μετέβαλον ἁλισκόμεναι, οὔτε φυγαὶ τοσαίδε ἀνθρώπων καὶ φόνος, ὅ
3 μὲν κατ' αὐτὸν τὸν πόλεμον ὁ δὲ διὰ τὸ στασιάζειν. τά τε πρότερον ἀκοῇ μὲν λεγόμενα ἔργῳ δὲ σπανιώτερον βεβαιούμενα οὐκ ἄπιστα κατέστη, σεισμῶν τε πέρι, οὗ ἐπὶ πλεῖστον ἅμα μέρος γῆς καὶ ἰσχυρότατοι οἱ αὐτοὶ ἐπέσχον, ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημονευόμενα ξυνέβησαν, αὐχμοί τε ἔστι παρ' οἷς μεγάλοι καὶ ἀπ' αὐτῶν καὶ λιμοὶ καὶ ἡ οὐχ ἥκιστα βλάψασα καὶ μέρος τι φθείρασα ἡ λοιμώδης νόσος· ταῦτα γὰρ πάντα μετὰ τοῦδε

---

bei Salamis und Platää wie durch die Doppelschlacht bei Mykale. Der Ausdruck *τὴν κρίσιν ἔσχε* nöthigt auch an die letztere und hindert an Thermopylä und Artemision zu denken.

§ 2. *τοσαίδε* als in diesem Kriege. — *ὑπὸ βαρβάρων.* Erwähnt ist nur Mykalessos 7, 29 f. — *σφῶν* ist hinzugesetzt, weil wenn auch *πόλεις* das grammatische, doch bei dem Passiv Athener und Peloponnesier das Gedanken-Subject sind. Bezeichnet wird hier Platää 3, 68 u. Thyrea 4, 57. — *εἰσὶ δ' αἳ.* Gr. 61, 5 A. 1. Keineswegs ungewöhnliche Sprechweise, von der überall Beispiele, bei Th. 2, 102, 3. 6, 10, 2. 7, 13, 3. 44, 8. 57 3. 8, 101, 2 vgl. 3, 24, 2. — *οἰκήτορας μετέβαλον.* So Aegina 2, 27, Potidäa 2, 70, Skione 5, 32, Melos 5, 116. — *οὔτε* entspricht dem obigen *οὔτε* und schließt das verbundene *φυγαὶ καὶ φόνος* an. Kr. z. Dion. p. 123. — *φόνος, ἦν, ἐγένετο.*

§ 3. *ἀκοῇ λεγόμενα* nach Hörensagen angegeben. Her. 4, 16: *τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας.* Eur. Iph. T. 811: *λέγοιμ' ἂν ἀκοῇ* (Markl.) *πρώτων Ἠλέκτρας τάδε.* — *οἳ — ἐν τῷδε τῷ πολέμῳ.* Erwähnt werden Erdbeben 2, 8, 2. 3, 87, 2. 89, 2. 4, 52, 1. 5, 45, 4. 50, 4. 6, 95. 8, 6, 5. 41, 2. — *ἐπέσχον. κατέχειν* 3, 89, 2. Dio C. p. 1140: *ἐπὶ πλείους ἡμέρας ὁ σεισμὸς ἐπεῖχε.* Pol. 5, 5, 6: *τῶν ἐτησίων ἐπεχόντων.* (Bl.) — *ἐκλείψεις.* Aehnlicher Wechsel der Construction 1, 52, 2. (Pp.) Als Verbum erg. m. *κατέστησαν.* (Kr.) — *παρά.* Gr. 49, 2 A. 8 vgl. 4, 6, 2. — *αὐχμοί* im Plur. auch Isokr. 9, 14, 14, 13. siccitates Cäsar b. g. 5, 24. — *μέρος τι* einen großen Theil nach Arn. vgl. 4, 30, 1. *ἡ—ἡ.* Pl. Gorg. 502, b: *τί δὲ δὴ ἡ σεμνὴ αὕτη καὶ θαυμαστὴ ἡ τῆς τραγῳδίας ποίησις, ἐφ' ᾧ ἐσπούδακε;* Mehr bei Kr. z. Dion. p. 124 u. Gr. 50, 9 A. 7. — *ξυνεπέθετο* eigentlich von feindseligem Angriffe. vgl. 6, 10, 2. Ueber die Verbindung *μετὰ-ἅμα-ξυν-* vgl. Pp. hier u. zu 7, 73, 2. Plat. Symp. 209: *συνεκτρέφει κοινῇ μετ' ἐκείνου.* Pol. 277: *κἀμοὶ μετὰ σοῦ κοινῇ ξυνδοκεῖν.*

τοῦ πολέμου ἅμα ξυνεπέθετο. ἤρξαντο δὲ αὐτοῦ Ἀθηναῖοι 4
καὶ Πελοποννήσιοι, λύσαντες τὰς τριακοντούτεις σπονδὰς αἳ
αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. διότι δ' ἔλυσαν, τὰς
αἰτίας προὔγραψα πρῶτον καὶ τὰς διαφοράς, τοῦ μή τινα
ζητῆσαί ποτε ἐξ ὅτου τοσοῦτος πόλεμος τοῖς Ἕλλησι κατέστη.
τὴν μὲν γὰρ ἀληθεστάτην πρόφασιν ἀφανεστάτην δὲ λόγῳ 5
τοὺς Ἀθηναίους ἡγοῦμαι μεγάλους γιγνομένους καὶ φόβον
παρέχοντας τοῖς Λακεδαιμονίοις ἀναγκάσαι ἐς τὸ πολεμεῖν·
αἱ δ' ἐς τὸ φανερὸν λεγόμεναι αἰτίαι αἵδ' ἦσαν ἑκατέρων
ἀφ' ὧν λύσαντες τὰς σπονδὰς ἐς τὸν πόλεμον κατέστησαν.

Ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι τὸν Ἰόνιον 24
κόλπον· προσοικοῦσι δ' αὐτὴν Ταυλάντιοι βάρβαροι, Ἰλλυρικὸν ἔθνος. ταύτην ἀπῴκισαν μὲν Κερκυραῖοι, οἰκιστὴς
δ' ἐγένετο Φαλίος Ἐρατοκλείδου, Κορίνθιος γένος, τῶν
ἀφ' Ἡρακλέους, κατὰ δὴ τὸν παλαιὸν νόμον ἐκ τῆς μητροπόλεως κατακληθείς. ξυνῴκισαν δὲ καὶ Κορινθίων τινὲς 2
καὶ τοῦ ἄλλου Δωρικοῦ γένους. προελθόντος δὲ τοῦ χρόνου
ἐγένετο ἡ τῶν Ἐπιδαμνίων πόλις μεγάλη καὶ πολυάνθρωπος·
στασιάσαντες δὲ ἐν ἀλλήλοις ἔτη πολλά, ὡς λέγεται, ἀπὸ

---

§ 4. **τριακοντούτεις.** Dieſelbe Form 1, 115, 1. 2, 2, 1, τριακοντούτιδες 1, 87, 4, τριακονταέτεις 5, 14, 3, eben ſo beizubehalten als δεκαέτης 5, 25, 1. 26, 3 u. πεντηκονταετές 5, 32, 4 neben πεντηκοντούτης 5, 27, 1. — **προὔγραψα πρῶτον.** Ein Pleonasmus, bei dem doch πρῶτον eine genauere Beſtimmung gibt. vgl. 8, 66, 1. τὴν γραῦν προκρούσῃ πρῶτον — πρότερον προκρούειν Ar. Ekkl. 1017 u. Kr. zu Xen. An. 1, 4, 14.

§ 5. **πρόφασιν** Grund, wie oft. Schöm. z. Iſ. S. 181. Die Rede iſt aus zwei Structuren zuſammengezogen: τὴν ἀ. πρόφασιν τοὺς Ἀ. ἡγοῦμαι μεγάλους γιγνομένους und τοὺς Ἀ. ἡγοῦμαι μ. γ. ἀναγκάσαι ἐς τὸ πολεμεῖν. (Kr.) Pp. will die Stelle durch Anticipation erklären. Gr. 61, 6 A. 8 vgl. 5, 30, 3. — **ἐς τὸ φανερὸν** öffentlich. Gr. 43, 4 A. 5. — **αἰτίαι ἑκατέρων ἀφ' ὧν** für αἰτίαι ἀφ' ὧν ἑκάτεροι. Gr. 61, 6 A. 4.

C. 24. § 1. **Ἐπίδαμνός ἐστι πόλις.** Epiſcher Eingang, beſonders häufig bei Lateinern, auch bei Cicero, namentlich öfter in den Verrinen. Kr. z. Dion. p. 85. — **ἐσπλέοντι.** Gr. 48, 5 A. 2. vgl. 5, 10, 6. — **τὸν ἐς τὸν** Demetr. π. ἑρμ. 199 [205] und ſo wohl immer Th. (Pp.) und die attiſche Proſa überhaupt. — **ἀπῴκισαν.** 627 v. Ch. G. — **τῶν ἀφ' Ἡρακλέους.** Der Ge. von dem Eigennamen regiert, wie 8, 73, 3. vgl. 4, 53, 2. 109, 3. 7, 27, 1. Gr. 47, 9 A. 1. — **κατὰ δή** eben nach. So erſcheint δή oft, andeutend daß man genauere Beſtimmung nicht geben möge. vgl. 3, 104, 1. App. Bürg. 3, 84: κατὰ δή τινας χρείας. — **τὸν** dem bekannten.

§ 2. **στασιάσαντες.** Ariſtot. Polit. 5, 1, 6. 3, 4. — **ἀπὸ πολέμου**

πολέμου τινὸς τῶν προσοίκων βαρβάρων ἐφθάρησαν καὶ τῆς
3 δυνάμεως τῆς πολλῆς ἐστερήθησαν. τὰ δὲ τελευταῖα πρὸ
τοῦδε τοῦ πολέμου ὁ δῆμος αὐτῶν ἐξεδίωξε τοὺς δυνατούς,
οἱ δὲ ἀπελθόντες μετὰ τῶν βαρβάρων ἐληίζοντο τοὺς ἐν τῇ
4 πόλει κατά τε γῆν καὶ κατὰ θάλασσαν. οἱ δὲ ἐν τῇ πόλει
ὄντες Ἐπιδάμνιοι ἐπειδὴ ἐπιέζοντο, πέμπουσιν ἐς τὴν Κέρ-
κυραν πρέσβεις ὡς μητρόπολιν οὖσαν, δεόμενοι μὴ σφᾶς
περιορᾶν φθειρομένους, ἀλλὰ τούς τε φεύγοντας ξυναλλάξαι
σφίσι καὶ τὸν τῶν βαρβάρων πόλεμον καταλῦσαι. ταῦτα δὲ
ἱκέται καθεζόμενοι ἐς τὸ Ἡραῖον ἐδέοντο. οἱ δὲ Κερκυραῖοι
τὴν ἱκετείαν οὐκ ἐδέξαντο ἀλλ' ἀπράκτους ἀπέπεμψαν.
25 Γνόντες δὲ οἱ Ἐπιδάμνιοι οὐδεμίαν σφίσιν ἀπὸ Κερκυ-
ρας τιμωρίαν οὖσαν, ἐν ἀπόρῳ εἶχοντο θέσθαι τὸ παρὸν
καὶ πέμψαντες ἐς Δελφοὺς τὸν θεὸν ἐπήροντο εἰ παραδοῖεν
Κορινθίοις τὴν πόλιν ὡς οἰκισταῖς καὶ τιμωρίαν τινὰ πει-
ρῷντ' ἀπ' αὐτῶν ποιεῖσθαι. ὁ δ' αὐτοῖς ἀνεῖλε παραδοῦναι
2 καὶ ἡγεμόνας ποιεῖσθαι. ἐλθόντες δὲ οἱ Ἐπιδάμνιοι ἐς τὴν
Κόρινθον κατὰ τὸ μαντεῖον παρέδοσαν τὴν ἀποικίαν, τόν τε
οἰκιστὴν ἀποδεικνύντες σφῶν ἐκ Κορίνθου ὄντα καὶ τὸ χρη-

ἐφθάρησαν, wie ἀφ' ὧν ἐκπίπτοντες 1, 12, 1, und ἐξ ὧν ἐφθείροντο 1, 2, 2. (Pp.) — ἐφθάρησαν wurden aufgerieben, wie 3, 92, 1. 2. — τῆς πολλῆς. wie 2, 48, 1. Her. 1, 102: ὁ στρατὸς αὐτοῦ ὁ πολλός. Arr. An. 7, 1, 1: τὴν Ἀραβίαν τὴν πολλήν.

§ 3. τὰ τελευταῖα in der letzten Zeit. — τοὺς δυνατούς die Ariſtokraten. Kr. z. Dion. p. 279. — ἀπελθόντες nach ihrer Vertreibung; ἐπελθόντες vermuthete Haaſe Lucubrr. p. 60 s.

§ 4. βαρβάρων πόλεμον. wie 1, 32, 3. 6, 6, 3. — καθεζόμενοι vgl. 3, 75, 2. Ar. Lyſ. 1139: ὁ Λάκων Ἀθηναίων ἱκέτης καθέζετο ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι.

C. 25. § 1. τιμωρία Hülfe, auch § 3. 38, 3. 58, 1. 69, 4. 124, 1. 3, 20, 1. 4, 25, 6. 5, 112, 2, Her. 7, 169, bei Attikern in dieſer Bedeutung ſonſt nicht üblich. — ἐν ἀπόρῳ εἶχοντο. Her. 9, 98: ἐν ἀπορίῃ εἶχοντο ὅ,τι ποιέωσι. vgl. Plat. Gorg. 522. — θέσθαι, οἰκονομῆσαι. Sch. zu 4, 59, 3. arrangiren, eigentlich vom Spiel. Plat. Rep. p. 604 c: ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι τὰ αὐτοῦ πράγματα. vgl. Soph. Br. 321. 686. Aehnlich 1, 31, 3. θέσθαι τὸν πόλεμον moderari bello. vgl. zu 6, 11, 5. — ἐπήροντο befragten (um Rath), ſelten vom bloßen Fragen. Reiſig zu Soph. OK. comm. cr. 550 vgl. 3, 92, 4. 8, 29, 1. — εἰ παραδοῖεν ob ſie übergeben ſollten. Gr. 54, 7 A. 1.

§ 2. σφῶν in dieſer Verbindung für ἑαυτῶν iſt meiſt ioniſch und Thukydideiſch. Mit dem Artikel erſcheinen folgende Stellungen: 1) τὴν γῆν σφῶν 1, 50, 4 vgl. 136, 2. 2, 90, 2. 4, 55, 1. 103, 3. 128, 1.

θήριον ὀηλοῦντες, ἐδέοντό τε μὴ σφᾶς περιορᾶν διαφθειρομένους ἀλλ' ἐπαμῦναι. Κορίνθιοι δὲ κατά τε τὸ δίκαιον 3
ὑπεδέξαντο τὴν τιμωρίαν, νομίζοντες οὐχ ἧσσον ἑαυτῶν εἶναι τὴν ἀποικίαν ἢ Κερκυραίων, ἅμα δὲ καὶ μίσει τῶν Κερκυραίων, ὅτι αὐτῶν παρημέλουν, ὄντες ἄποικοι· οὔτε γὰρ ἐν πανηγύρεσι ταῖς κοιναῖς διδόντες γέρα τὰ νομιζόμενα οὔτε Κορινθίῳ ἀνδρὶ προκαταρχόμενοι τῶν ἱερῶν, ὥσπερ αἱ ἄλλαι ἀποικίαι, περιφρονοῦντες δὲ αὐτοὺς καὶ χρημάτων δυνά- 4
μει ὄντες κατ' ἐκεῖνον τὸν χρόνον, ὁμοῖα τοῖς Ἑλλήνων πλουσιωτάτοις, καὶ τῇ ἐς πόλεμον παρασκευῇ δυνατώτεροι, ναυ-

---

5, 34, 3. 73, 1. 7, 35, 2. 2) τῆς τροπῆς = σφῶν 4, 128, 2. 5, 14, 1. 7, 49, 3. 3) σφῶν οἱ ξύμμαχοι 1, 30, 3. 3, 22, 5. 4, 35, 3. 120, 1. 5, 6, 3. 6, 60, 3. 7, 48, 1. 4) σφῶν — τὴν πόλιν 2, 5, 3. 4, 27, 1. 5, 71, 3. Daneben vereinzelt τὴν ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς 4, 55, 3, τοῦ ἀνδραποδισμοῦ σφῶν αὐτῶν 2, 68, 5. τοὺς φίλους τοὺς σφῶν 6, 64, 2.

§ 3. κατά τε — ἅμα δέ. zu 1, 11, 1. = γάρ verbächtigt Reiske; wenn man es beibehält, so können die folgenden Participia sich nicht an παρημέλουν anschließen und es wird also wohl nichts übrig bleiben als eine durch die Zwischensätze veranlaßte Anakoluthie anzunehmen, wobei der Schriftsteller statt mit Bezug auf die Participia C. 26, 1 fortzufahren ἐμισοῦντο ὑπὸ τῶν Κορινθίων wegen der Entfernung in eine andere Wendung übergegangen. Etwas Aehnliches findet sich 4, 73. 74. — γέρα, τὰς τιμὰς καὶ προεδρίας. Sch. Aber wie konnten sie ihnen z. B. den Vorsitz bei den Isthmien verweigern? Eher ließe sich dies auf Festspiele zu Kerkyra gefeiert beziehen (Pp.), besonders aber ist wohl an Theoren zu denken welche die Kerkyräer nicht zu korinthischen Festen gesandt. vgl. zu 6, 3, 1. Diodoros 12, 30 erwähnt als Grund des Hasses daß sie der Mutterstadt nicht die üblichen Opferthiere geschickt. — προκαταρχόμενοι. „ἄρχεσθαι, κατάρχεσθαι ist ein gottesdienstliches Wort das bei heiligen Handlungen stehn kann, um den Begriff des heiligen Anfangs oder der Weihe damit zu verbinden. Ganz eigentlich aber steht es für wegnehmen von einem Ganzen, einem Vorrath als Erstling oder zum Zweck einer Weihe." Buttman Lexil. 1 S. 103 f. Also: einem Korinthier die Erstlinge des Opfers zutheilen, damit er sie nämlich auf dem Altare den Göttern verbrenne. Dion. Arch. 7, 52 p. 1495 vgl. Heilmann zu d. St., Heyne opusc. Ac. 1 p. 326 und Monk zu Eu. Alc. 74.

§ 4. περιφρονοῦντες αὐτούς. So hat auch ὑπερφρονεῖν den Ac. 6, 68, 2 u. Ar. Wolken 226: τοὺς θεοὺς ὑπερφρονεῖς Eur. Oed. 4: ἀνοίᾳ τὸν ξυνόντ' ὑπερφρονεῖ. — καί vor χρημάτων steht in Bezug mit dem καί vor τῇ ἐς πόλεμον sowohl — als auch; ὄντες ὁμοῖα zu verbinden ist unmöglich. Her. 3, 68 hat schon Reiz ὁμοίως gebessert; es ist also χρημάτων δυνάμει ὄντες mit δυνατώτεροι zu verbinden: indem sie sowohl durch Güterbesitz um jene Zeit, in gleicher Weise wie die Reichsten der Hellenen, als auch durch die Erforderniſſe zum

τικῷ δὲ καὶ πολὺ προέχειν ἔστιν ὅτε ἐπαιρόμενοι, καὶ κατὰ τὴν τῶν Φαιάκων προενοίκησιν τῆς Κερκύρας κλέος ἐχόντων τὰ περὶ τὰς ναῦς· ἦ καὶ μᾶλλον ἐξηρτύοντο τὸ ναυτικὸν καὶ ἦσαν οὐκ ἀδύνατοι· τριήρεις γὰρ εἴκοσι καὶ ἑκατὸν ὑπῆρχον
26 αὐτοῖς ὅτε ἤρχοντο πολεμεῖν — πάντων οὖν τούτων ἐγκλήματα ἔχοντες οἱ Κορίνθιοι ἔπεμπον ἐς τὴν Ἐπίδαμνον ἄσμενοι τὴν ὠφελίαν, οἰκήτορά τε τὸν βουλόμενον ἰέναι κελεύοντες καὶ Ἀμπρακιωτῶν καὶ Λευκαδίων καὶ ἑαυτῶν φρουρούς. ἐπορεύθησαν δὲ πεζῇ ἐς Ἀπολλωνίαν, Κορινθίων οὖσαν ἀποικίαν, δέει τῶν Κερκυραίων μὴ κωλύωνται ὑπ' αὐτῶν κατὰ θάλασσαν περαιούμενοι.

2 Κερκυραῖοι δὲ ἐπειδὴ ἤσθοντο τούς τε οἰκήτορας καὶ φρουροὺς ἥκοντας ἐς τὴν Ἐπίδαμνον τήν τε ἀποικίαν Κορινθίοις δεδομένην, ἐχαλέπαινον· καὶ πλεύσαντες εὐθὺς πέντε καὶ εἴκοσι ναυσὶ καὶ ὕστερον ἑτέρῳ στόλῳ τούς τε φεύγοντας ἐκέλευον κατ' ἐπήρειαν δέχεσθαι αὐτούς — ἦλθον γὰρ ἐς τὴν Κέρκυραν οἱ τῶν Ἐπιδαμνίων φυγάδες, τάφους τε ἀποδει-

---

Kriege mächtiger waren als die Korinthier. — ὁμοῖα. Aehnlich 7, 29, 4 u. Her. 3, 8. 7, 141; bei Attikern sonst nicht. vgl. Lennep z. Phal. 108. — δυνατώτεροι mit δυνάμει verbunden, wie δυνατὴν δύναμιν 7, 56, 2. — καὶ πολύ. zu 1, 3, 2. vgl. 6, 22, 2. 24, 2. 7, 34, 7. 41, 2. — προέχειν hängt von ἐπαιρόμενοι ab in sofern dies stolzes Selbstgefühl bezeichnet. — ἔστιν ὅτε. Denn nicht immer hatten sie diese Ueberlegenheit. (Sch.) — καὶ κατά schon wegen. (Gb.) Reiske wollte καί tilgen. — τὴν Φαιάκων προενοίκησιν τῆς Κερκύρας. 7, 34, 5: διὰ τὴν τοῦ ἀνέμου ἄπωσιν αὐτῶν ἐς τὸ πέλαγος. (Pp.) Gr. 47, 9 A. 6 u. Lob. zu Soph. Aj. 309. — τὰ περὶ τὰς ναῦς im Seewesen. — εἴκοσι καὶ ἑκατόν. Schon 480 v. Ch. G., wo sie nächst Athen die größte Seemacht hatten, sind sechzig Schiffe nur ein Theil ihrer Flotte. Her. 7, 168. Achtzig Trieren hatten sie im Zeitalter des Timotheos. Isokr. 15, 109.

C. 26. § 1. οἰκήτορα. Synonym mit ἔποικος 2, 27, 1 vgl. 1, 26, 2. 28, 1. — φρουρούς. Etwas harte Verbindung, da der vorige Ac. von κελεύοντες, φρουρούς von ἔπεμπον abhängt. Beseitigt würde sie wenn man läse: οἰκήτοράς τε, τὸν β. — δέει τῶν Κερκυραίων μὴ κ. ὑπ' αὐτῶν aus Furcht daß sie von den K. Das Streben den wichtigsten Begriff schon beim Hauptsatze hervortreten zu lassen veranlaßt die Verdoppelung. vgl. 4, 8, 5 u. Xen. Hell. 2, 3, 18: ἐφοβοῦντο τὸν Θηραμένην μὴ συζεύξειαν πρὸς αὐτὸν οἱ πολῖται. Gr. 61, 6 A 6. — ἑτέρῳ στόλῳ, noch mit 20 Schiffen nach § 3. (Pp.).

§ 2. κατ' ἐπήρειαν mit böswilliger Sucht zu schaden. Aristot. Rhet. 2, 2: ὁ ἐπηρεάζων φαίνεται καταφρονεῖν· ἔστι γὰρ ὁ ἐπηρεασμὸς ἐμποδισμὸς ταῖς βουλήσεσιν, οὐχ ἵνα τι αὐτῷ ἀλλ' ἵνα μὴ ἐκείνῳ. vgl. Schömann zum Isä. p. 271. — τάφους ihrer

κνύντες καὶ ξυγγένειαν, ἣν προϊσχόμενοι ἐδέοντο σφᾶς κατάγειν — τούς τε φρουροὺς οὓς Κορινθιοι ἔπεμψαν καὶ τοὺς οἰκήτορας ἀποπέμπειν. οἱ δὲ Ἐπιδάμνιοι οὐδὲν αὐτῶν ὑπή- 3
κουσαν. ἀλλὰ στρατεύουσιν ἐπ' αὐτοὺς οἱ Κερκυραῖοι τεσσαράκοντα ναυσὶ μετὰ τῶν φυγάδων, ὧς κατάξοντες, καὶ τοὺς Ἰλλυριοὺς προσλαβόντες. προσκαθεζόμενοι δὲ τὴν πόλιν προεῖπον Ἐπιδαμνίων τε τὸν βουλόμενον καὶ τοὺς ξένους ἀπαθεῖς ἀπιέναι, εἰ δὲ μή, ὡς πολεμίοις χρήσεσθαι. ὡς δ' οὐκ ἐπείθοντο, οἱ μὲν Κερκυραῖοι, ἔστι δ' ἰσθμὸς τὸ χωρίον, ἐπολιόρκουν τὴν πόλιν, Κορινθιοι δ', ὡς αὐτοῖς ἐκ 27
τῆς Ἐπιδάμνου ἦλθον ἄγγελοι ὅτι πολιορκοῦνται, παρεσκευάζοντο στρατιάν· καὶ ἅμα ἀποικίαν ἐς τὴν Ἐπίδαμνον ἐκήρυσσον ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ τὸν βουλόμενον ἰέναι· εἰ δέ τις τὸ παραυτίκα μὲν μὴ ἐθέλοι ξυμπλεῖν, μετέχειν δὲ βούλεται τῆς ἀποικίας, πεντήκοντα δραχμὰς καταθέντα Κοριν-

---

Vorfahren zu Kerkyra. (Ds.) — προϊσχόμενοι geltend machend. vgl. 4, 87, 1. Aehnlicher προτοχεσθαι δίκαια Dion. Arch. 3, 10 p. 431. — σφᾶς. So ſteht dies Pronomen in einem rel. Satze 3, 3, 3. 4, 109, 1. 113, 2. 5, 44. 1. (Arndt.) vgl. 1, 30, 3.

§ 3. αὐτῶν iſt Neutrum vgl. 1, 29, 1. τοῦτο ὑπακούειν 1, 140, 6. vgl. 82, 3, Platon Symp. p. 217, Lach. 200 c: ὅρα εἴ τι σοῦ ἂν μᾶλλον ὑπακούοι Σωκράτης. — αὐτοὺς οἱ. αὐτούς· οἱ δέ will Hermann zu Eur. Or. 633, wohl nicht angemeſſen. Doch iſt die Erzählung hier etwas pleonaſtiſch. — καί verbindet προσλαβόντες mit μετὰ τῶν φυγάδων. vgl. 2, 70, 2. 5, 18, 3. 6, 101, 5. vgl. 4, 53, 1. — τὴν πόλιν. So σεμνὰν προσίζουσ' Ἄρτεμιν Eur. Hek. 935. (Pp.) vgl. dort Pflugk. — προεῖπον ἀπιέναι machten bekannt daß fortgehen möge. — χρήσεσθαι daß ſie behandeln würden. Die meiſten Hſſn. χρήσασθαι. vgl. Kr. zu Xen. An. 1, 2, 2.

3 διαφόρους ὄντας ἡμῖν δέχεσθαι σφᾶς· οὓς χρῆν, ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα οὗτοι δὲ κινδυνεύουσιν, μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες τῆς ὠφελίας νῦν μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἕξετε, πάλαι δὲ κοινώσαντας τὴν δύναμιν κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν· ἐγκλημάτων δὲ μόνων ἀμετόχως οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν."

40 "Ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων ἐγκλημάτων ἐς ὑμᾶς ἐρχόμεθα καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσὶ δεδήλωται· ὡς
2 δ' οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε μαθεῖν χρή. εἰ γὰρ εἶ-

— *παρέσχοντο* boten an. vgl. 3, 36, 1. 4, 108, 2. *προέσχοντο* Valck. zu Callim. eleg. frgm. p. 227, wie *προβέβληνται* 1, 37, 3. — *αὐτοί* allein, ohne die Athener. — *διαφόρους ὄντας* iſt auf *σφᾶς*, die Kerkyräer, zu beziehen. Aber freilich würde ich eher *οὐ διαφόρους* auf *ὑμᾶς* bezogen erwarten, da jenes müßig iſt.

§ 3. *προσιέναι* zu euch kommen, um eure Bundesgenoſſenſchaft zu ſuchen, damals uneigennützig. — *πάλαι δέ* —, kein allgemeiner Gedanke, wie Ba. u. Bd. gewollt, *χρή* ergänzend, ſondern von *χρῆν* abhängig. — *ἀπογίγνεσθαι τῆς μάχης* Her. 9, 69. (Bl.) — *κοινώσαντας τὴν δύναμιν* ihre Macht der eurigen geſellen. — *τὰ ἀποβαίνοντα* die Erfolge. vgl. 1, 83, 2. 2, 11, 6. 8, 89, 4. — *ἐγκλημάτων — κοινωνεῖν*. Dieſe Stelle fehlt in den beſten Hſn., vielleicht, wie Manches, nur ausgelaſſen um die Schwierigkeit ſummariſch abzuthun. Einem Gloſſem ſieht ſie nicht ähnlich; auch dürfen wir zum Abſchluß, den man hier ſonſt vermiſſen würde, wohl noch einen warnenden Gegenſatz erwarten, etwa: es gebührt ſich nicht daß ihr, unſchuldig an den Folgen ihrer Handlungen, durch ihre Unterſtützung nur an Vorwürfen Antheil nehmet. Dieſer Gedanke liegt in den Worten, wenn wir *ἐγκλημάτων* mit *κοινωνεῖν* und *τῶν μετὰ τὰς πράξεις* mit *ἀμετόχως* verbinden. Denn ſo iſt mit den meiſten Hſn. für *ἀμετόχους* zu leſen. Zu *ἀμετόχως* gehört *οὕτω* (ſo unſchuldig), das oft nachſteht. Kr. zu Xen. An. 2, 4, 7. Anders erklärte Hermann: ita vero, ut solorum criminum participes non reddamini, vos in eorum quae Corcyraeorum res gestas consequuntur communionem venire non oportet, unter *τὰ μετὰ τὰς πράξεις* Strafen denkend.

C. **40.** § 1. *ἐγκλημάτων* die meiſten und beſten Hſn. für *τῶν τοῦ δικαίου κεφαλαίων*, was hier ungehörig iſt, da die *δικαιώματα* (41, 1) demnächſt erſt erwähnt werden. (Pp.) — *ἐς ὑμᾶς* in eure Mitte.

ρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστίν, ἀλλ' ὅστις μὴ ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας δεῖται, καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ 3 πειθόμενοι ἡμῖν πάθοιτε ἄν. οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι· ἀνάγκη γάρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. καίτοι δίκαιοί γ' ἐστὲ μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις, εἰ δὲ μή, τοὐναντίον ἐπὶ τούτους μεθ' ἡμῶν ἰέναι — Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε, Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτ' ἐγένεσθε — καὶ τὸν νόμον μὴ καθιστάναι ὥστε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι. οὐδὲ γὰρ ἡμεῖς 4 Σαμίων ἀποστάντων ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων εἰ χρὴ αὐτοῖς ἀμύνειν, φανερῶς δὲ ἀντείπομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχό-

---

§ 2. *τῶν ἀγράφων.* vgl. 1, 31, 2. 35, 1. — *οὐ τοῖς — ἐστὶν* gilt nicht für die. — *τοῖς ἰοῦσιν* die ſich an die einen von beiden anſchließen. — *μὴ ἄλλου ἑαυτὸν ἀποστερῶν* ohne ſich einem Andern zu entziehen. Hell. 4, 1, 41: *νομίζων ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη πάντα ἀποστερήσειν βασιλέως.* Dem. 23, 3: *φυλακὴν Χερρονήσου τῆς πόλεως ἀποστερεῖν.* (Hertlein Ms.) — *εἰ σωφρονοῦσι* gehört zum Folgenden (Gail). Heilm.: der denen die ihn aufgenommen nicht Krieg erregen kann, wenn ſie ſonſt vernünftig, beſonnen ſind, nicht etwa ſich von den Aufgenommenen zur Theilnahme an ſie nicht berührenden Händeln verleiten laſſen.

§ 3. *ἔνσπονδοι* mit Bezug auf den dreißigjährigen Vertrag. — *τούτους* iſt Object: daß wir uns gegen dieſe wehren. (Hl.) Pp. nimmt *ἀμύνεσθαι* als Paſſiv des Mediums (Gr. 52, 10 A. 11), ein Gebrauch den ich von dieſem Worte nicht kenne. — *δίκαιοί γ' ἐστέ — στῆναι.* Gr. 55, 3 A. 10. — *ἐκποδών.* Das Gegentheil *ἐμπρόσθεν* 1, 53, 2. — *μέν γε* ſcheinbar für *μὲν γάρ*, indem *γέ* wenigſtens den Gedanken als Einzelnheit hervorhebt die für die vorhergehende Behauptung ſpricht. So 1, 70, 2 und 6, 86, 2. vgl. Buttm. Mid. p. 46. — *ἀνακωχή*, ſonſt der attiſchen Proſa fremd, findet ſich öfter bei Th. vgl. z. Dion p. 224. Hier bedeutet es einen Vertrag für einige Zeit. — *ἐγένεσθε.* Ar. Frösche 1412: *οὐ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.* Nehmlich *διὰ μάχης ἔρχεσθαί τινι* 2, 11, 2 vgl. § 4. Gr. 68, 22 A. 2.

§ 4. *οὐδὲ γὰρ ἡμεῖς* denn auch wir nicht. Gr. 69, 32 A. 21. — *εἰ.* im Zuſammenhange liegt: als die Frage war ob. — *αὐτόν τινα*, wie 43, 1 u. 6, 31, 3 man (jeder) ſelbſt, ungeſtört. — *εἰ γάρ* bezieht ſich als anderer Grund auch auf *τὸν νόμον — δέχεσθαι* 3. (Pp.)

μενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε."

41 "Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, ἱκανὰ κατὰ τοὺς Ἑλλήνων νόμους, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες ὥστε βλάπτειν οὐδ' αὖ φίλοι ὥστ' ἐπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι
2 φαμὲν χρῆναι. νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν Σαμίων δὲ κόλα-
3 σιν· καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν· φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν, ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φι-

---

— τιμωρήσετε. Gr. 60, 5 A. 1. — οὐκ ἐλάσσω. Kr. zu Xen. An. 5, 4, 19: ἔστιν ὅ τι καὶ ἀγαθὸν οὐ μεῖον τοῦ κακοῦ γεγένηται. — ἐφ' ὑμῖν gegen euch, euch treffend. Dem. 52, 1: ἐφ' ὑμῖν αὐτοῖς ἔσεσθε τὸ ἔθος τοῦτο κατασκευακότες.

C. 41. § 1. δικαιώματα Rechtsansprüche, wie 5, 97. 6, 79, 2. 80, 1, Isokr. 6, 25, Plat. Ges. 864 e: τὴν μὲν βλάβην ἀποτινέτω, τῶν δὲ ἄλλων δικαιωμάτων ἀφείσθω. — Ἑλλήνων ohne Artikel wie 1, 69, 3: μόνοι Ἑλλήνων und Xen. Hell. 1, 6, 14: οὐδένα Ἑλλήνων. — ἦν, χάριν. — ἐπιχρῆσθαι παρὰ Θουκυδίδῃ τὸ πολλάκις κεχρῆσθαι Jon. p. 849. Vom freundschaftlichen Verkehr Her. 3, 99: ἢν δὲ γυνὴ κάμῃ, αἱ ἐπιχρεώμεναι μάλιστα γυναῖκες ταὐτὰ τοῖσι ἀνδράσι ποιεῦσι. An unsrer Stelle wohl mit Bezug auf Dienstleistungen.

§ 2. νεῶν γὰρ —. S. Her. 6, 89. vgl. Kr. hist. phil. Stud. S. 16 ff. — ὑπέρ vor, seltene Bedeutung. — ἡ ἐς Σ. in Bezug auf die S. erweisen. — ἐπικράτησιν. Ein Thukydideisches Wort. Lob. Phryn. p. 351. Daß die Schiffe der Korinthier diese ἐπικράτησις herbeigeführt sei falsch bemerkt Müller Aeginett. p. 117. s. n. vgl. Plut. ü. d. Bosheit des Her. 22. — τὸ μὴ βοηθῆσαι. zu 32, 3.

§ 3. ἄνθρωποι. Gr. 50, 3 A. 6. Xen. Mem. 1, 4, 11: θεοὶ μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν. — οἷς für ἐν οἷς. zu 1, 28, 2. — ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν gering achten in Vergleich mit dem Siege, um nur zu siegen. Plat. Apol. 28, c: ὁ τῆς Θέτιδος υἱὸς τοῦ κινδύνου κατεφρόνησε παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι. — ἤ erhält durch πρότερον die Bedeutung des Präteritums. Aehnlich 1, 42, 2: τῆς ὑπαρχούσης πρότερον ὑποψίας. — τὰ οἰκεῖα ihre eigenen Interessen, die sie wohl zu bestellen sich nicht kümmern, nur den Geg-

λονεικίας ἕνεκα τῆς αὐτίκα. ὧν ἐνθυμηθέντες καὶ νεώτερός 42
τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν ἀξιούτω τοῖς ὁμοίοις
ἡμᾶς ἀμύνεσθαι, καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι,
ξύμφορα δέ, εἰ πολεμήσει, ἄλλα εἶναι. τό τε γὰρ ξυμφέρον 2
ἐν ᾧ ἂν τις ἐλάχιστα ἁμαρτάνῃ μάλιστα ἕπεται, καὶ τὸ
μέλλον τοῦ πολέμου, ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύ-
ουσιν ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι κεῖται, καὶ οὐκ ἄξιον ἐπαρθέν-
τας αὐτῷ φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς Κο-
ρινθίους κτήσασθαι, τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγα-
ρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον· ἡ γὰρ τελευταία χά- 3
ρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα
λῦσαι. μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ
ἐφέλκεσθε· τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρωτέρα δύ-
ναμις ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας διὰ κινδύνων τὸ
πλέον ἔχειν."

---

nern zu ſchaden beeifert. — *φιλονεικίας* Sucht obzuſiegen, wie 7, 70, 7 vgl. 3, 82, 8. 5, 32, 3. 7, 28, 2.

§. 42. § 1. *ὧν ἐνθυμηθέντες*, wie 6, 60, 1, in ſo fern das Object die Thätigkeit in Anſpruch nimmt (berückſichtigen), ſynonym mit *φροντίζειν* Xen. Mem. 2, 1, 34), der Ac. in ſo fern es Inhalt derſelben iſt (erwägen); beide Caſus 5, 32, 1. Gr. 47, 11 A. 1. — *νεώτερός τις, εἴ τίς ἐστι νεώτερος.* (Ba.) — *ἀξιούτω* dem nächſten Subject angefügt. Gr. 63, 4. — *ἀμύνεσθαι* für *ἀμείβεσθαι* in gutem Sinne vgl. 4, 63, 2 hatte auch Simonides geſagt; noch findet es ſich ſo bei Ariſtoteles. Valck. zu den Schol. d. Phön. v. 695. — *δίκαια μὲν τάδε λέγεσθαι* das was wir geſagt ſei zwar gerecht. (Ba.) Das *δίκαια* ſteht prädicativ vgl. 1, 124, 2. 2, 102, 5; über das Präſens Gr. 53, 1 A. 2. — *εἰ* für den Fall daß. — *πολεμήσει* auf *τις* bezogen für *πολεμήσετε.* (Gb.)

§ 2. *ἐν ᾧ* — *ἕπεται* folgt am meiſten dem Verfahren bei dem man moraliſch am wenigſten fehlt. — *τὸ μέλλον* das Bevorſtehen. vgl. 1, 36, 2. — *φοβοῦντες* 1, 33, 3. — *ἄξιον* die Sache verdient es nicht, es iſt nicht angemeſſen. — *ἐπαρθέντας αὐτῷ* durch die Furcht vor dem Kriege bewogen. vgl. § 3. — *ἤδη* ſchon jetzt. vgl. 1, 69, 2, Kr. zu Xen. An. 1, 4, 16 u. Ind. z. Dion. — *οὐ μέλλουσαν* mit Bezug auf *τὸ μέλλον.* Die Feindſchaft tritt in dem angegebenen Falle unzweifelhaft ſofort ein. — *διὰ Μεγαρέας* 1, 103, 3. — *τῆς ὑποψίας ὑφελεῖν* von der Scheelſucht, dem Widerwillen nach und nach etwas abzuthun. § 3. — *καιρὸν ἔχουσα*, wie uns jetzt als letzterwieſene Gefälligkeit die Preisgebung der Kerkyräer gelegen kommen würde. — *τῷ φανερῷ* durch das ins Auge Springende (Ba.), der einleuchtende Vortheil einer Verbindung mit den Kerkyräern. — *τὸ πλέον* mit dem Artikel in ſo fern es als durch ein gegenſätzlich gedachtes *τὸ ἔλασσον* beſtimmt gefaßt werden kann. Doch kann *τό* auch zu *ἔχειν* gehören: über die Stellung 6, 64, 5. 77 E.

τερον σωφροσύνη, τὸ μὴ ἐν ἀλλοτρίᾳ ξυμμαχίᾳ τῇ τοῦ πέλας γνώμῃ ξυγκινδυνεύειν, νῦν ἀβουλία καὶ ἀσθένεια φαινομένη.
4 τὴν μὲν οὖν γενομένην ναυμαχίαν αὐτοὶ κατὰ μόνας ἀπεωσάμεθα Κορινθίους· ἐπειδὴ δὲ μείζονι παρασκευῇ ἀπὸ Πελοποννήσου καὶ τῆς ἄλλης Ἑλλάδος ἐφ' ἡμᾶς ὥρμηνται καὶ ἡμεῖς ἀδύνατοι ὁρῶμεν ὄντες τῇ οἰκείᾳ μόνον δυνάμει περιγενέσθαι, καὶ ἅμα μέγας ὁ κίνδυνος, εἰ ἐσόμεθα ὑπ' αὐτοῖς, ἀνάγκη καὶ ὑμῶν καὶ ἄλλου παντὸς ἐπικουρίας δεῖσθαι· καὶ ξυγγνώμη, εἰ μὴ μετὰ κακίας, δόξης δὲ μᾶλλον ἁμαρτίᾳ τῇ πρότερον ἀπραγμοσύνῃ ἐναντίᾳ τολμῶμεν."
33 "Γενήσεται δὲ ὑμῖν πειθομένοις καλὴ ἡ ξυντυχία κατὰ πολλὰ τῆς ἡμετέρας χρείας, πρῶτον μὲν ὅτι ἀδικουμένοις καὶ οὐχ ἑτέρους βλάπτουσι τὴν ἐπικουρίαν ποιήσεσθε, ἔπειτα περὶ τῶν μεγίστων κινδυνεύοντας δεξάμενοι ὡς ἂν μάλιστα

περιειστήκει τοῖς βοηθείας δεήσεσθαι δοκοῦσιν αὐτοὺς βοηθεῖν ἑτέροις. — ἡμῶν. über die Stellung Gr. 47, 9 A. 16. vgl. Plat. Gorg. 509, b: τὴν μεγίστην ἡμῶν βλάβην. — σωφροσύνη besonnene Zurückgezogenheit (ἀπραγμοσύνη §. 4) im Gegenſatz der πολυπραγμοσύνη Einmiſchungen. — τὸ ξυγκινδυνεύειν appoſitiv: die darin beſteht daß. vgl. 1, 41, 2 u. Soph. Aj. 114. — τοῦ πέλας. Den Singular befehdet mit Unrecht Elmsley zu Eur. Med. 85. vgl. 2, 37, 2. 6, 12, 1, Plat. Geſ. 884, Stob. 114, 9.

§ 4. τὴν ναυμαχίαν als ob νικᾶν folgte. vgl. Aeſch. 3, 181: Ἀθηναῖοι τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους καὶ Πόλλιν ἐνίκησαν und § 222. Noch härter Plat. Apol. 39: τιμωρίαν ὑμῖν ἤξειν πολὺ χαλεπωτέραν ἢ οἵαν ἐμὲ ἀπεκτόνατε. vgl. Schöm. z. Iſ. p. 412. — κατὰ μόνας allein, ohne Beziehung Andrer; wie 1, 37, 3. vgl. Herbſt zu Xen. Mem. 3, 7, 4. Auch hier mag urſprünglich ein Wort wie μοίρας vorgeſchwebt haben. — ξυγγνώμη es verdient Nachſicht. Gr. 61, 7 A. 5. — εἰ μὴ — τολμῶμεν wenn wir, nicht bei (aus) Schlechtigkeit ſondern vielmehr aus mangelhafter Einſicht, unſrer frühern Zurückgezogenheit Widerſprechendes zu thun uns entſchließen; die mangelhafte Einſicht iſt aber nicht auf das gegenwärtige Hülfsgeſuch, ſondern auf die frühere Iſolirung zu beziehen.

C. 33. § 1. χρείας hängt ab von ξυντυχία: das Zuſammentreffen (die Conjunctur) unſers Hülfsgeſuches mit anderweitigen Begegniſſen: ein ſehr gewöhnliches Hyperbaton, wie 2, 1. 2, 8, 3; über ξυντυχία 3, 82, 2. 112, 5. 5, 11, 3. 6, 54, 1. 7, 57, 1, Ar. Vö. 544, Frö. 1006, Soph. Ant. 157, Eu. Tro. 1119. — δεξάμενοι könnte man noch an ὅτι τὴν ἐπικουρίαν ποιήσεσθε anſchließen; allein dies wäre hart und dabei ὡς ἂν καταθῆσθε unpaſſend, da hier vielmehr eine Folge zu bezeichnen wäre. Der Aenderung καταθεῖσθε widerſtrebt ſchon die Stellung des ἄν, „das zum Optativ gehörig nicht zwiſchen ὡς μάλιστα quam maxime geſetzt werden konnte." (Pp.) Daher leſe ich κατα-

μετ' ἀειμνήστου μαρτυρίου τὴν χάριν καταθήσεσθε, ναυτικόν τε κεκτήμεθα πλὴν τοῦ παρ' ὑμῖν πλεῖστον. καὶ σκέψασθε 2
τίς εὐπραξία σπανιωτέρα ἢ τίς τοῖς πολεμίοις λυπηροτέρα, εἰ ἦν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων καὶ χάριτος ἐτιμήσασθε δύναμιν ὑμῖν προσγενέσθαι, αὕτη πάρεστιν αὐτεπάγγελτος, ἄνευ κινδύνων καὶ δαπάνης διδοῦσα ἑαυτὴν καὶ προσέτι φέρουσα ἐς μὲν τοὺς πολλοὺς ἀρετήν, οἷς δ' ἐπαμυνεῖτε χαριν, ὑμῖν δ' αὐτοῖς ἰσχύν· ἃ ἐν τῷ παντὶ χρόνῳ ὀλίγοις δὴ ἅμα πάντα ξυνέβη, καὶ ὀλίγοι ξυμμαχίας δεόμενοι οἷς ἐπικαλοῦνται ἀσφάλειαν καὶ κόσμον οὐχ ἧσσον διδόντες ἢ λη-
ψόμενοι παραγίγνονται. τὸν δὲ πόλεμον, δι' ὅπερ χρήσιμοι 3
ἂν εἴημεν, εἴ τις ὑμῶν μὴ οἴεται ἔσεσθαι, γνώμης ἁμαρτάνει καὶ οὐκ αἰσθάνεται τοὺς Λακεδαιμονίους φόβῳ τῷ ὑμετέρῳ πολεμησείοντας καὶ τοὺς Κορινθίους δυναμένους παρ' αὐτοῖς καὶ ὑμῖν ἐχθροὺς ὄντας καὶ προκαταλαμβάνοντας ἡμᾶς νῦν ἐς τὴν ὑμετέραν ἐπιχείρησιν, ἵνα μὴ τῷ κοινῷ ἔχθει

θήσεσθε nach einer Hſ. in der zwar κατάθησθε ſich fand aber corrigirt, indem an der Stelle des η für zwei (drei?) Buchſtaben Raum war. Zu ὡς ἄν iſt dabei καταθεῖσθε aus καταθήσεσθε zu ergänzen. vgl. Gr. 69, 7 A. 2 u. Spec. Ann. ad Dem. p. 18. Zu dieſem Zwiſchenſatze wird auch μετ' ἀ. μ. zu ziehen ſein. — τήν den gebührenden. Gr. 50, 2 A. 4. — χάριν καταθέσθαι Dank gleichſam als Depoſitum für künftigen Gebrauch niederlegen. vgl. 1, 128, 3 u. Dem. 19, 240. So κείσεταί σοι εὐεργεσία 129, 3. vgl. Dorvill. zum Charit p. 448 s. — τὸ παρ' ἡμῖν das eurige, wie 1, 36, 4. vgl. Gr. 68, 35.

§ 2. εὐπραξία noch 3, 39, 4, εὐπραγία 1, 84, 2. 4, 17, 4. 65, 4. 5, 46, 2. 7, 81, 6. 86, 4. vgl. Lob. zu Soph. Aj. 759. — λυπηροτέρα εἰ. Man würde λ. ἢ εἰ erwarten. Allein wie man ſagen könnte: εἰ αὕτη (ἡ δύναμις) πάρεστιν αὐτεπάγγελτος, τίς εὐπραξία σπανιωτέρα, ſo findet ſich ἤ zuweilen auch bei vorangehendem Comparativ ausgelaſſen. Aehnlich Lyſ. 13, 77: πῶς ἂν γένοιτο ἄνθρωπος μιαρώτερος, ὅστις ἐπόλμησεν ἐλθεῖν ἐπὶ τούτους. Eur. Alc. 879: τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν πιστῆς ἀλόχου. vgl. Gr. 49, 2 A. 2. — ἐς τοὺς πολλούς eig. in, unter das Publicum, in der öffentlichen Meinung. — ἀρετήν Auszeichnung. vgl. 3, 58, 1 u. Soph. Phil. 1420: ἀθάνατον ἀρετὴν ἔσχον mit Herm. Anm. (Pp.) Aehnlich κακία 3, 61, 1. (Anthol. Pal. 7, 252.) — χάριν Gunſt gegen euch bringend, einflößend. — ἀσφάλειαν auf ἰσχύν, κόσμον auf ἀρετήν bezogen. — οἷς ἐπικαλοῦνται — παραγίγνονται kommen zu denen welche ſie um Hülfe für ſich anrufen. Etwas anders 6, 18, 2.

§ 3. πολεμησείοντας. So ἀπαλλαξείειν 1, 95, 4. 3, 84, 1, παραδωσείειν 4, 28, 2, ξυμβασείειν 8, 56, 3, ναυμαχησείειν 8, 79, 3. (Pp.) — προκαταλαμβάνειν eben ſo 1, 36, 4 vgl. 6, 18, 3. — ἐς τὴν ὑμετέραν ἐπιχείρησιν zum Behufe des Angriffes gegen euch. Gr.

κατ' αὐτῶν μετ' ἀλλήλων στῶμεν, μηδὲ δυοῖν φθάσαι ἁμάρτωσιν, ἢ κακῶσαι ἡμᾶς ἢ σφᾶς αὐτοὺς βεβαιώσασθαι. ἡμέτερον δ' αὖ ἔργον προτερῆσαι, τῶν μὲν διδόντων ὑμῶν δὲ δεξαμένων τὴν ξυμμαχίαν, καὶ προεπιβουλεύειν αὐτοῖς μᾶλλον ἢ ἀντεπιβουλεύειν."

34 „Ἢν δὲ λέγωσιν ὡς οὐ δίκαιον τοὺς σφετέρους ἀποίκους ὑμᾶς δέχεσθαι, μαθέτωσαν ὡς πᾶσα ἀποικία εὖ μὲν πάσχουσα τιμᾷ τὴν μητρόπολιν, ἀδικουμένη δὲ ἀλλοτριοῦται· οὐ γὰρ ἐπὶ τῷ δοῦλοι ἀλλ' ἐπὶ τῷ ὁμοῖοι τοῖς λειπομένοις
2 εἶναι ἐκπέμπονται. ὡς δὲ ἠδίκουν, σαφές ἐστιν· προκληθέντες γὰρ περὶ Ἐπιδάμνου ἐς κρίσιν πολέμῳ μᾶλλον ἢ τῷ ἴσῳ ἐβουλήθησαν τὰ ἐγκλήματα μετελθεῖν. καὶ ὑμῖν ἔστω τι τεκμήριον ἃ πρὸς ἡμᾶς τοὺς ξυγγενεῖς δρῶσιν, ὥστε ἀπάτῃ τε μὴ παράγεσθαι ὑπ' αὐτῶν, δεομένοις τε ἐκ τοῦ εὐθέος

47, 7 A. 8. — στῶμεν, wie 3, 39, 2. 7, 57, 1. 61, 2. — δυοῖν eins von beiden, welche Bedeutung das Wort gewissermaßen erst durch die folgende Disjunction erhält, wie Andok. 1, 20 u. Soph. El. 1320: ὡς ἐγὼ μόνη οὐκ ἂν δυοῖν ἥμαρτον· ἢ γὰρ ἂν καλῶς ἔσωσ' ἐμαυτὴν ἢ καλῶς ἀπωλόμην. Ueber die Construction, für ἥμαρτον φθάσαι δύο sie verfehlten eins von beiden zuvor zu thun, s. zu 1, 50, 1. Nur auffallend ist (Lob. zu Soph. Aj. p. 72) daß φθάσαι nicht nach ἁμάρτωσι gesetzt ist.

C. 34. § 1. μαθέτωσαν. Diese Form scheint antik gewesen zu sein, da sie sich grade in Gesetzen oft findet, wie bei Dem. 21, 8. 94. Aeschin 1, 12. 35. Aber auch sonst hat die Atthis sie nicht verschmäht. So παραλαμβανέτωσαν Xen. Cyr. 7, 2, 14, ἑάτωσαν Lyc. 63, ἐννοησάτωσαν Xen. π. προσ. 4, 41. 5, 5, θεραπευσάτωσαν Hier. 8, 4, ἀποδειξάτωσαν Is. 5, 4, κρινέσθωσαν Xen. Hell. 1, 7, 23, ἀποκρινέσθωσαν Plat. Soph. 244, ψευδέσθωσαν Rep. 381, ἡγείσθωσαν Euthyphr. 9, ὠφελείσθωσαν Thuc. 3, 67, 2, κτάσθωσαν 4, 92, 7, σκεψάσθωσαν Dem. 8, 40, κολασθήτωσαν Thuk. 3, 39, 5. Doch scheinen die attischen Dichter diese Formen gemieden zu haben; und daher die Angabe daß μενόντων ꝛc. attisch sei. — ἐκπέμπονται, οἱ ἄποικοι aus ἀποικία.

§ 2. προκληθέντες 1, 28, 2. — τῷ ἴσῳ, τῷ νόμῳ καὶ τῷ δικαίῳ, παρ' οἷς ἡ ἰσότης. Sch. — μετελθεῖν verfolgen; ähnlich πωμοῖς τούτους Aesch. 3, 107 und eben so μετιέναι Th. 4, 62, 2. — ὥστε in sofern der Begriff warnender Mahnung in τεκμήριον mit enthalten ist. — ἀπάτῃ παράγεσθαι durch trügerische Vorstellungen sich irre führen lassen. vgl. 2, 64, 1. — ἐκ τοῦ εὐθέος gerade heraus (Gr. 43, 4 A. 5), zu δεομένοις gehörig, im Gegensatz zu ἀπάτῃ. (Kl.) So steht 3, 43, 2 ἀπὸ τοῦ εὐθέος λέγειν dem ἀπάτῃ προσάγεσθαι, wie Paus. 8, 8, 2 einem δι' αἰνιγμάτων entgegen. vgl. die Erkl. zu Eur.

μὴ ὑπουργεῖν· ὁ γὰρ ἐλαχίστας τὰς μεταμελείας ἐκ τοῦ χαρίζεσθαι τοῖς ἐναντίοις λαμβάνων ἀσφαλέστατος ἂν διατελοίη."

"Λύσετε δὲ οὐδὲ τὰς Λακεδαιμονίων σπονδὰς δεχόμενοι 35
ἡμᾶς μηδετέρων ὄντας ξυμμάχους· εἴρηται γὰρ ἐν αὐταῖς, τῶν Ἑλληνίδων πόλεων ἥτις μηδαμοῦ ξυμμαχεῖ, ἐξεῖναι παρ' ὁποτέρους ἂν ἀρέσκηται ἐλθεῖν. καὶ δεινὸν εἰ τοῖσδε 2
μὲν ἀπό τε τῶν ἐνσπόνδων ἔσται πληροῦν τὰς ναῦς καὶ προσέτι καὶ ἐκ τῆς ἄλλης Ἑλλάδος καὶ οὐχ ἥκιστα ἀπὸ τῶν ὑμετέρων ὑπηκόων, ἡμᾶς δὲ ἀπὸ τῆς προκειμένης τε ξυμμαχίας εἴρξουσι καὶ ἀπὸ τῆς ἄλλοθέν ποθεν ὠφελίας. εἴ τε ἐν ἀδικήματι θήσονται πεισθέντων ὑμῶν ἃ δεόμεθα, πολὺ δὴ ἐν πλείονι αἰτίᾳ ἡμεῖς μὴ πείσαντες ὑμᾶς ἕξομεν· ἡμᾶς μὲν 3
γὰρ κινδυνεύοντας καὶ οὐκ ἐχθροὺς ὄντας ἀπώσεσθε, τῶνδε δὲ οὐχ ὅπως κωλυταὶ ἐχθρῶν ὄντων καὶ ἐπιόντων γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προσλαβεῖν περιόψεσθε ἦν οὐ δίκαιον, ἀλλ' ἢ κἀκείνων κωλύειν τοὺς ἐκ

Hipp. 491 (3). (Pp.) — *διατελοίη* ohne *ὤν*, wie 6, 89, 2, Xen. Hell. 6, 3, 10. Mem. 1, 6, 2. Gr. 56, 5 A. 4.

C. 35. § 1. *τὰς Λακεδαιμονίων σπονδάς* hier (anders als 31, 2) der Vertrag mit den L. vgl. 5 30, 4, nämlich der dreißigjährige 1, 115, 1. — *τῶν Ἑλληνίδων — ἐλθεῖν* welche der hellenischen Städte keiner Symmachie angehöre, der solle es erlaubt sein an welche von beiden (Lakedämonier oder Athener) sie beliebe sich anzuschließen. vgl. 1, 40, 2. — *ἀρέσκομαι* ich werde befriedigt, *τοῖς λόγοις* 1, 129, 3, *τῇ κατασκάσει* 2, 68, 2. vgl. 5, 4, 3. 37, 3.

§ 2. *εἴρξουσιν.* Man aspirirte wohl nur in der Bedeutung einschließen. Lob. zu Soph. Aj. 753. — *εἶτα.* Den Perioden mit *δεόμεθα* abschließend zu erklären ist vergebliche Mühe; *εἴ τε* habe ich geschrieben gemäß dem Thukydideischen Sprachgebrauche. Kr. zu Dion. p. 268 s. *εἰ δέ* wollte Pflugk schedae critt. p. 32. — *πολύ* steht eben so 6, 86, 3. Gr. 49, 7 A. 7. — *δέ* scheint Valla nicht gelesen zu haben; es ist, wie auch Pflugk wollte, zu tilgen oder in *δή* zu verwandeln. Wollte man es beibehalten, so müßte man *εἴ τε* mit dem vorhergehenden *εἴ* in Bezug setzen: es wäre empörend wenn sie uns von der Verbindung abhalten und wenn sie euch es als Unrecht auslegen sollten daß ihr uns annehmet. — *ἐν αἰτίᾳ ἔχειν τινά* auch 2, 59, 1. 5, 60, 2. 4. 63, 1. 7, 81, 1.

§ 3. *οὐχ ὅπως* nicht nur nicht. Gr. 67, 14 A. 3. — *προσλαβεῖν περιόψεσθαι.* Der Inf. wie 1, 36, 4. 4, 48, 1. 5, 29, 2. 6, 86, 1. 7, 73, 1, weil nur die Möglichkeit des Eintretens bezeichnet wird. In demselben Sinne steht 2, 20, 1: *οὐκ ἂν περιιδεῖν τιμηθῆναι*, während 2, 18, 3: *περιιδεῖν αὐτὴν τιμηθεῖσαν* steht, weil hier die Thatsache vorgestellt wird. — *ἦν.* Vollständig *ἣν περιορᾶν οὐ δίκαιον.* — *ἀλλ'.* Voll-

τῆς ὑμετέρας μισθοφόρους ἢ καὶ ἡμῖν πέμπειν καθ' ὅ τι ἂν πεισθῆτε ὠφελίαν, μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς δε-
4 ξαμένους βοηθεῖν. πολλὰ δέ, ὥσπερ ἐν ἀρχῇ ὑπείπομεν, τὰ ξυμφέροντα ἀποδείκνυμεν, καὶ μέγιστον ὅτι οἵ τε αὐτοὶ πολέμιοι ἡμῖν ἦσαν, ὅπερ σαφεστάτη πίστις, καὶ οὗτοι οὐκ ἀσθενεῖς ἀλλ' ἱκανοὶ τοὺς μετασταντας βλάψαι· καὶ ναυτικῆς καὶ οὐκ ἠπειρώτιδος τῆς ξυμμαχίας διδομένης οὐχ ὁμοία ἡ ἀλλοτρίωσις, ἀλλὰ μάλιστα μέν, εἰ δύνασθε, μηδένα ἄλλον ἐᾶν κεκτῆσθαι ναῦς, εἰ δὲ μή, ὅστις ἐχυρώτατος, τοῦτον φίλον ἔχειν."

36 "Καὶ ὅτῳ τάδε ξυμφέροντα μὲν δοκεῖ λέγεσθαι, φοβεῖται δὲ μὴ δι' αὐτὰ πειθόμενος τὰς σπονδὰς λύσῃ, γνώτω τὸ μὲν δεδιὸς αὐτοῦ ἰσχὺν ἔχον τοὺς ἐναντίους μᾶλλον

---

ständig: ἀλλὰ δίκαιον. vgl. 1, 123, 2. 6, 79, 2. — ἢ κἀκείνων — ἢ καὶ ἡμῖν auch jener wie uns, auch uns wie jener. Gr. 69, 32 A. 13. — κἀκείνων kann nicht wohl von κωλύειν abhängen, da dies Wort nur einen sachlichen Genitiv zu regieren pflegt; also von τοὺς μισθοφόρους als ein partiver Genitiv: von jenen. — κωλύειν τοὺς μισθοφόρους für die Werbung der Söldner hemmen ist eben nicht härter als Eur. bei Stob. 67, 8: οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνή. und 48, 1: κώλυε ἄνδρα παρὰ δίκην τιμώμενον. Einige Hss. haben τὰς μισθοφορίας. — καθ' ὅ τι in so weit, im Gegensatze zu ἀπὸ τοῦ προφανοῦς. — μάλιστα entspricht dem μᾶλλον δὲ oder vielmehr und heißt wie in der Verbindung μάλιστα μὲν — εἰ δὲ (μή) am liebsten, was am besten sein würde. vgl. zu 1, 32, 1. — ἀπὸ τοῦ προφανοῦς offen, wie 1, 66. 2, 93, 2. 3, 82, 7. (Dr.) Gr. 43, 4 A. 5. Also zu erklärten Bundesgenossen.

§ 4. ἐν ἀρχῇ 1, 33, 1. 2. — ὑπείπομεν, προείπομεν. Sch. vgl. 1, 90, 4. 2, 102, 4 und deutlicher Ar. Wesp. 55, Plut. 997, Dem. 18, 60. 23, 53. 60. 217. — ἡμῖν den Kerkyräern und Athenern. — ἦσαν. Man würde εἰσὶν erwarten; allein der Redende betrachtet die Sache in sofern sie schon 33, 3 ausgesprochen ist: sind, wie wir sahen (Kämpf). Gr. 53, 2 A. 5 — ὅπερ. Gr. 61, 7 A. 4. — σαφεστάτη zuverlässigste. vgl. 1, 9, 1. — πίστις Gewähr, Beglaubigung. — μεταστάντας, ἀποστάντας. vgl. 1, 107, 4, nämlich die Kerkyräer selbst. (Pp.) Allein der Ausdruck gäbe, so erklärt, keinen Grund zur Aufnahme der Kerkyräer in den atheniſchen Bund und wäre hier ziemlich müßig. Eher möchte man erwarten τοὺς μεταστήσαντας euch, wenn ihr uns abgewieſen, wofür auch ἀλλοτρίωσις Zurückweiſung zu ſprechen ſcheint. — ἠπειρώτιδος. 6, 86, 2: πόλεις τῇ παρασκευῇ ἠπειρώτιδες. — οὐχ ὁμοία nicht ähnlich als wenn es eine Landmacht wäre, ſondern nachtheiliger. (Gb.) — μάλιστα μὲν — ναῦς am beſten Keinen Schiffe beſitzen laſſen. So würden auch wir in lebhafter Rede den Inf. abſolut gebrauchen; in dem μάλιστα μέν liegt ein κράτιστόν ἐστιν. — ναῦς, εἰ. ναῦς δεῖ, εἰ Burges.

C. 36. §. 1. τὸ δεδιὸς die Angſt den Vertrag zu brechen. Durch

φοβῆσον, τὸ δὲ θαρσοῦν μὴ δεξαμένου ἀσθενὲς ὂν πρὸς ἰσχύοντας τοὺς ἐχθροὺς ἀδεέστερον ἐσόμενον, καὶ ἅμα οὐ 2
περὶ τῆς Κερκύρας νῦν τὸ πλέον ἢ καὶ τῶν Ἀθηνῶν βουλευόμενος, καὶ οὐ τὰ κράτιστα αὐταῖς προνοῶν, ὅταν ἐς τὸν μέλλοντα καὶ ὅσον οὐ παρόντα πόλεμον τὸ αὐτίκα περισκοπῶν ἐνδοιάζῃ χωρίον προσλαβεῖν ὃ μετὰ μεγίστων καιρῶν οἰκειοῦταί τε καὶ πολεμοῦται. τῆς τε γὰρ Ἰταλίας καὶ Σικελίας 3
καλῶς παράπλου κεῖται, ὥστε μήτε ἐκεῖθεν ναυτικὸν ἐᾶσαι Πελοποννησίοις ἐπελθεῖν, τό τε ἐνθένδε πρὸς τἀκεῖ παραπέμ-

---

das ſubſtantivirte Neutrum auch des Particips das Weſen (*δύναμις*) auszudrücken iſt mehr den Tragikern eigenthümlich, von attiſchen Proſaikern nur bei Thukydides gewöhnlich. So (*τῆς γνώμης*) *τὸ ὀργιζόμενον* 2, 59, 2, *τὸ θυμούμενον* 7, 68, 1, *τὸ ἐπιθυμοῦν* 6, 24, 1. — *αὐτοῦ. αὐτοῦ* Pp., was die Stelle mit der zuerſt von mir (Gr. 47, 9 A. 12. vgl. A. 18) aufgeſtellten Regel in Uebereinſtimmung bringen würde. Indeß hier iſt doch *αὐτοῦ* natürlicher; jene Regel aber findet ſich überhaupt rückſichtlich des *αὐτοῦ* und *αὑτοῦ* hin und wieder verletzt, und namentlich *ἑαυτοῦ* vor dem Artikel oder ohne Wiederholung deſſelben nach dem Subſtantiv wo es eine Art partitiver Bedeutung hat, wie auch 5, 71, 1. Xen. Mem. 3, 11, 2: *ἡμῖν τὸ κάλλος ἑαυτῆς ἐπέδειξεν* von ſich. — *ἰσχὺν ἔχοι* wenn ſie auf Macht gegründet iſt, welche durch die Verbindung mit uns vermehrt werden wird. — *μᾶλλον* mehr als ohne (die vermehrte) Macht. — *φοβῆσον* mit *δεδιός* verbunden hat eine etwas ſophiſtiſche Schärfe, die an Prodikos erinnert. Der einfache Gedanke wäre: ſeine Scheu den Vertrag nicht gebrochen zu ſehen wird zu nichts führen, wenn er nicht durch ſeine Macht den Gegnern Achtung einflößt, daß auch ſie den Vertrag zu brechen ſich ſcheuen. — *τὸ θαρσοῦν* ſeine Zuverſicht, Unbeſorgtheit, die ſich auf Erhaltung des Vertrages gründet. — *μὴ δεξαμένου* wird wohl am beſten zu *ἀσθενὲς ὄν* gezogen: die, wenn er uns nicht aufnimmt, als Schwäche da ſteht. — *ἀδεέστερον* weniger furchtbar, eine Bedeutung die wohl nur die Antitheſe veranlaßt hat. Aehnlich jedoch Plat. Symp. 198, a: *ἀδεὲς δέος δεδιέναι.*

§ 2. *ὅσον οὐ* tantum non, faſt, wie 2, 94, 1. 4, 69 3. 5, 59, 5. 64, 1. 8, 26, 1, *ὅσον οὔπω* faſt ſchon, wie 4, 125, 1. 6, 34, 8. Gr. 67, 14 A. 4. — *μετὰ μεγίστων καιρῶν* indem die bedeutendſten Erfolge, günſtige wie ungünſtige, davon abhängen. — *πολεμοῦται* wird verfeindet, wie 1. 57, 1. (Gb.).

§ 3. *τῆς τε Ἰταλίας καὶ Σικελίας* hängt von *παράπλου* ab: die Fahrt nach J. und S. Aehnlich *ἀπόβασις τῆς γῆς* 1, 108, 3. (Pp.) vgl. 2, 79, 1 und Eur. Iph. T. 1066: *γῆς πατρῴας νόστος.* — *καλῶς παράπλου* günſtig rückſichtlich der F. vgl. 3, 92, 3, Pauſan. 7, 18, 5 u. Gr. 47, 10 A. 5. Dagegen Diod. 12, 54: *τὴν Κέρκυραν εὐφυῶς κεῖσθαι πρὸς τὸν εἰς Σικελίαν πλοῦν.* — *τὸ ἐνθένδε* ſo v. a. *τὸ ἐνθένδε ναυτικὸν* die hieſige (unſre) Flotte von hier. Gr. 50, 8 A. 15. — *τἀκεῖ*, Italien und Sekelien. — *βραχυτάτῳ* — *μά-*

ψαι, καὶ ἐς τἆλλα ξυμφορώτατόν ἐστιν. βραχυτάτῳ δ' ἂν κεφαλαίῳ, τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον, τῷδ' ἂν μὴ
4 προέσθαι ἡμᾶς μάθοιτε· τρία μὲν ὄντα λόγου ἄξια τοῖς Ἕλλησι ναυτικά, τὸ παρ' ὑμῖν καὶ τὸ ἡμέτερον καὶ τὸ Κορινθίων, τούτων δ' εἰ περιόψεσθε τὰ δύο ἐς ταὐτὸν ἐλθεῖν καὶ Κορίνθιοι ἡμᾶς προκαταλήψονται, Κερκυραίοις τε καὶ Πελοποννησίοις ἅμα ναυμαχήσετε· δεξάμενοι δὲ ἡμᾶς ἕξετε πρὸς αὐτοὺς πλείοσι ναυσὶ ταῖς ὑμετέραις ἀγωνίζεσθαι."

Τοιαῦτα μὲν οἱ Κερκυραῖοι εἶπον· οἱ δὲ Κορίνθιοι μετ' αὐτοὺς τοιάδε.

37 "Ἀναγκαῖον Κερκυραίων τῶνδε οὐ μόνον περὶ τοῦ δέξασθαι σφᾶς τὸν λόγον ποιησαμένων, ἀλλ' ὡς καὶ ἡμεῖς τε ἀδικοῦμεν καὶ αὐτοὶ οὐκ εἰκότως πολεμοῦνται, μνησθέντας πρῶτον καὶ ἡμᾶς περὶ ἀμφοτέρων οὕτω καὶ ἐπὶ τὸν ἄλλον λόγον ἰέναι, ἵνα τὴν ἀφ' ἡμῶν τε ἀξίωσιν ἀσφαλέστερον

θοιτε durch folgende ganz kurze Zusammenfassung, die das Ganze und das Einzelne begreift, möget ihr lernen uns nicht Preis zu geben, daß ihr uns nicht Preis geben dürfet. Der Dativ steht eben so Ar. Frö. 1484: πάρα πολλοῖσι μαθεῖν. App. Pun. 8, 89: βραχεῖ λόγῳ μάθοιτε ἄν. vgl. zu 6, 55, 1. Ueber das Fehlen des Artikels Gr. 61, 7 A. 1; über den Inf. Gr. 55, 3 A. 11. — τοῖς τε ξύμπασι καὶ καθ' ἕκαστον ist Appositon zu κεφαλαίῳ. Gr. 60, 8 A. 4. — ἄν wiederholt, wie 1, 77, 4. 136, 4. 6, 10, 2. (Pp.) Gr. 69, 7 A. 3.

§ 4. τρία μὲν ὄντα läßt Pp. noch von μάθοιτε abhängen, indem er daraus ein erwäget entnimmt, kaum erträglich. Wenig anstößig würde gesagt sein: τρία ὄντα ναυτικὰ εἰ περιόψεσθε τὰ δύο ἐς ταὐτὸν ἐλθεῖν. vgl. Gr. 56, 9 A. 2. Dieser Construction ist zur klaren Hervorhebung des Gegensatzes μέν und δέ eingefügt, wodurch die Rede anakoluthisch geworden. vgl. Buttm. Dem. Mid. p. 149. Oder ist Κορινθίων [αὖ] τῶνδε, εἰ zu lesen? — τὰ δύο. Der Artikel weil mit dem gegebenen Ganzen und der Zahl δύο auch dieser Theil bestimmt ist. Gr. 50, 2 A. 8. — ἐς τὸ αὐτὸ ἐλθεῖν an denselben Punct kommen, hier vereinigt werden. So sonst εἰς ἓν ἔρχεσθαι, während εἰς ἓν συνέρχεσθαι zusammenkommen bedeutet. — πλείοσι ναυσὶ ταῖς ἡμετέραις mit um die unsrigen vermehrten Schiffen. (St.) Dativ der Differenz, wie πολλῷ, ὀλίγῳ. Die Erkl. zu Plat. Rep. 579, c.: τοῖς τοιούτοις κακοῖς πλείω καρποῦται.

C. 37. § 1. Κ. τῶνδε die K. hier. Gr. 50, 11 A. 22. — σφᾶς, da Κερκυραίων Gedankensubject ist. — ἀλλ' ὡς καί für ἀλλὰ καὶ ὡς. Pind. Ol. 2, 51: λέγοντι δ' ἐν καὶ θαλάσσᾳ. (Pp.) Dies ist doch verschieden; vielleicht ist ἡμεῖς τε zu lesen. — τὴν ἀφ' ἡμῶν ἀξίωσιν das von unsrer Seite gestellte Begehren, wie ἡ ἀφ' ἡμῶν αἰτία 1, 39, 3. vgl. 2, 39, 1. 4, 108, 5. — ἀσφαλέστερον sicherer,

προειδῆτε καὶ τὴν τῶνδε χρείαν μὴ ἀλογίστως ἀπώσησθε. φασὶ δὴ ξυμμαχίαν διὰ τὸ σῶφρον οὐδενός πω δέξασθαι· 2 τὸ δ' ἐπὶ κακουργίᾳ καὶ οὐκ ἀρετῇ ἐπετήδευσαν, ξύμμαχόν τε οὐδένα βουλόμενοι πρὸς τἀδικήματα οὐδὲ μάρτυρα ἔχειν οὔτε παρακαλοῦντες αἰσχύνεσθαι. καὶ ἡ πόλις αὐτῶν ἅμα, αὐτάρκη θέσιν κειμένη, παρέχει αὐτοὺς δικαστὰς ὧν βλάπτουσί τινα μᾶλλον ἢ κατὰ ξυνθήκας γίγνεσθαι, διὰ τὸ ἥκιστα ἐπὶ τοὺς πέλας ἐκπλέοντας μάλιστα τοὺς ἄλλους ἀνάγκῃ καταίροντας δέχεσθαι. κἂν τοῦτῳ τὸ εὐπρεπὲς ἄσπον- 3 δον, οὐχ ἵνα μὴ ξυναδικήσωσιν ἑτέροις, προβέβληνται, ἀλλ' ὅ-

---

d. h. beſſer vorbereitet und mithin vor falſcher Auffaſſung geſicherter. — *προειδῆτε. προσίησθε* vermuthete Reiske. — *χρείαν* Bedürfniß, Bedehren. vgl. 1, 32, 2. 33, 1. 136, 4. — *μὴ ἀλογίστως ἀπώσησθε* nicht bloß zurückweiſet ſondern auch nicht ohne gute Gründe zurückweiſet.

§ 2. *φασί* — 1, 32, 3. — *δή* alſo für *δέ* Kr. Denn nach der vorhergegangenen Ankündigung des zu Sagenden iſt *δέ* unſtatthaft. Entſprechend *καὶ φασι δή* 39, 1. — *ἐπὶ κακουργίᾳ* aus Schurkerei, um Böſes zu thun. So drückt *ἐπί* das Motiv aus 1, 102, 3 und *ἐπ' εὐνοίᾳ* Lyſ. 22, 11. 13, Iſokr. 8, 61. — *ξύμμαχόν τε οὐδένα*, um die Vortheile mit ihm nicht theilen zu dürfen. (Dſ.) — *οὔτε παρακαλοῦντες αἰσχύνεσθαι* noch, indem ſie zur Verbindung einladeten ſich ſchämen, wenn ſie abgewieſen würden, erklärt St. Allein das letztere (*εἰ μὴ τυγχάνοιεν*) wäre durch nichts angedeutet; auch darf man hier einen bedeutendern Gedanken erwarten. Es iſt wohl mit Einer Hſ. und Valla *παρακαλοῦντα* oder mit zwei andern *παρακαλοῦντας* zu leſen. — *οὔτε. οὐδέ* Kr. Denn daß *τέ-οὔτε* ſich ſo wie *οὔτε-τέ* entſprächen wäre erſt zu erweiſen. — *καὶ — ἅμα* ſo v. a. *καὶ ἅμα ὅτι* einen neuen Grund einführend. Kr. z. Xen. An. 3, 4, 31. — *θέσιν* Lage in topographiſchem Sinne auch Strabo 8, 2 p. 336. Dieſelbe Verbindung Hippokr. de aer. et locc. L. I p. 531 (333 Lind.): *ἀνάγκη τὰς πόλιας ταύτας θέσιν κέεσθαι νοσερωτάτην*. vgl. Lob. Parall. p. 516. Analog Eur. Her. 55: *ἦπου καθῆσθαι τήνδ' ἔδραν καλὴν δοκεῖς*. vgl. Soph. Phil. 277: *πολαν μ' ἀνάστασιν δοκεῖς ἐξ ὕπνου στῆναι*. Verſchieden 145: *τόπον ἐχατιαῖς προσιδεῖν ἐθέλεις ὄντινα κῶται.* — *ὧν, τούτων ἅ* über die Nachtheile welche. (Dſ.) — *μᾶλλον* gehört zu *γίγνεσθαι*. — *ἢ κατὰ ξυνθήκας* als bei Verträgen, als wenn ſie Verbündete hätten, wo ſie nicht bloß die Rechte dieſer ehren, ſondern auch deren Beziehungen zu andern Völkerſchaften achten müßten. — *γίγνεσθαι* gehört zu *παρέχει αὐτούς*. Dieſelbe Stellung 4, 125, 1: *οἱ Ἰλλυριοὶ μετ' Ἀρριβαίου, προδόντες Περδίκκαν, γεγένηνται*. (Kr.) — *ἀνάγκῃ*, etwa durch Stürme genöthigt, wo ſie wahrſcheinlich bedeutende Abgaben erhoben. — *δίκαια* rechtlich Begründetes.

§ 3. *κἂν τούτῳ. καὶ τοῦτο* ſchlechtere Hſn., was ſonſt gut: dies iſt die ſcheinbar anſtändige, ſchön klingende (speciosa vgl. 1, 39, 2 u. 6, 8, 3) Verbindungsloſigkeit die ſie vorſchützen,

πως κατὰ μόνας ἀδικῶσι καὶ ὅπως ἐν ᾧ μὲν ἂν κρατῶσι βιάζωνται, οὗ δ' ἂν λάθωσι πλέον ἔχωσιν, ἢν δέ που τι προσλάβωσιν ἀναισχυντῶσιν. καίτοι εἰ ἦσαν ἄνδρες, ὥσπερ φασίν, ἀγαθοί, ὅσῳ ἀληπτότεροι ἦσαν τοῖς πέλας, τοσῷδε φανερωτέραν ἐξῆν αὐτοῖς τὴν ἀρετὴν διδοῦσι καὶ δεχομένοις
38 τὰ δίκαια δεικνύναι. ἀλλ' οὔτε πρὸς τοὺς ἄλλους οὔτε ἐς ἡμᾶς τοιοίδε εἰσίν, ἄποικοι δ' ὄντες ἀφεστᾶσί τε διὰ παντὸς καὶ νῦν πολεμοῦσι, λέγοντες ὡς οὐκ ἐπὶ τῷ κακῶς πάσχειν ἐκπεμφθείησαν. ἡμεῖς δὲ οὐδ' αὐτοὶ φαμεν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι
2 καὶ τὰ εἰκότα θαυμάζεσθαι. αἱ γοῦν ἄλλαι ἀποικίαι τιμῶσιν ἡμᾶς καὶ μάλιστα ὑπὸ ἀποίκων στεργόμεθα· καὶ δῆλον ὅτι, εἰ τοῖς πλέοσιν ἀρέσκοντές ἐσμεν, τοῖσδ' ἂν μόνοις οὐκ

(vgl. 3, 63, 2), ſo daß τοῦτο Prädicat wäre, ähnlich wie κακὸν τὸ εὐπρεπὲς ἄσπονδον προβέβληνται. Derſelbe Sinn wird auch bei der La. κἂν τούτῳ zu ſuchen ſein, die man ſich durch ein ergänztes ὂν erklären mag: als etwas hierauf Beruhendes, wenn es nicht vielleicht mit ξυναδικήσωσιν zu verbinden iſt. — τὸ εὐπρεπὲς ἄσπονδον, wie τὸ ἀνθρώπειον κομπῶδες 5, 68, 1 und τὸ ξύνηθες ἦσυχον 6, 34, 4. (Pp.) — ὅπως — ἀναισχυντῶσι. Der Sinn ſcheint zu ſein: um da wo ſie überlegen ſind (offene) Gewalt zu gebrauchen; wo ſie unbemerkt ſind, (heimlich) Andere zu übervortheilen und wenn ſie etwas gewonnen, ſchamlos zu ſein, Anſprüche auf Erſatz frech zurückweiſend, οὐ διδόντες τὰ δίκαια, wie im Folgenden bezeichnet wird. — ἄληπτος unfaßbar, dem man nichts anhaben kann. vgl. 1, 82, 4. 143, 4. — ἦσαν dem Tempus des Hauptſatzes aſſimilirt, wie Dem. 8, 1: ἔδει ὃ βέλτιστον ἕκαστος ἡγεῖτο, τοῦτ' ἀποφαίνεσθαι. vgl. Gr. 53, 2 A. 7, Xen. Mem. 1, 4, 14. 3, 5, 8 u. Spec. ann. ad Dem. p. 7. — τοσῷδε. τόσῳ δέ Hertlein; ſ. jedoch Gr. 51, 7 A. 2 E. — ἐξῆν ohne ἄν wie ἦν 1, 38, 3. vgl. Gr. 53, 2 A. 7,

C. 38. § 1. ἀφεστᾶσι haben ſich von uns losgeſagt. vgl. 1, 25, 3. — διὰ παντός fortwährend, nicht in dieſem einzelnen Falle allein. vgl. 7, 6, 2. — ἐκπεμφθείησαν. So σφαλείησαν 2, 43, 1, πεισθείησαν 3, 42, 4, γνωσθείησαν 6, 64, 2, φαίησαν 8, 53, 3. (Pp.) Am häufigſten erſcheint dieſe Form bei Xen., hin und wieder bei den Rednern, nie, ſo viel ich weiß, bei den Dramatikern. — εἰκότα gebührende, der Mutterſtadt zukommende, Ehrenbezeigungen, oben 1, 25, 3 γέρα genannt, die aber hier nicht allein befaßt werden. Ueber den Ac. Gr. 52, 4 A. 8. — θαυμάζειν der eigentliche Ausdruck von Achtungsbezeigungen (Reſpect) beſonders gegen Höhere, hier der Pietät. vgl. Plat. Rep. 568, a, Xen. Hell. 1, 6, 11.

§ 2. μάλιστα. Unklar ob: mehr als andere Mutterſtädte oder mehr als von andern Coloniſten; doch wohl jenes. — τοῖς πλέοσιν der Mehrzahl der Coloniſten. — ἀρέσκοντές ἐσμεν. Gr. 56, 1 A. 1. vgl.

ὀρϑῶς ἀπαρέσκοιμεν οὐδ' ἐπιστρατεύομεν ἐκπρεπῶς μὴ καὶ διαφερόντως τι ἀδικούμενοι. καλὸν δ' ἦν, εἰ καὶ ἡμαρτά-3
νομεν, τοῖσδε μὲν εἴξαι τῇ ἡμετέρᾳ ὀργῇ, ἡμῖν δ' αἰσχρὸν βιάσασθαι τὴν τούτων μετριότητα· ὕβρει δὲ καὶ ἐξουσίᾳ πλούτου πολλὰ ἐς ἡμᾶς ἄλλα τε ἡμαρτήκασι καὶ Ἐπίδαμνον ἡμετέραν οὖσαν κακουμένην μὲν οὐ προσεποιοῦντο, ἐλϑόντων δὲ ἡμῶν ἐπὶ τιμωρίᾳ ἑλόντες βίᾳ ἔχουσιν."

"Καὶ φασὶ δὴ δίκῃ πρότερον ἐϑελῆσαι κρίνεσθαι, ἢν γε39
οὐ τὸν προὔχοντα καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλούμενον λέ-
γειν τι δοκεῖν δεῖ, ἀλλὰ τὸν ἐς ἴσον τά τε ἔργα ὁμοίως καὶ
τοὺς λόγους πρὶν διαγωνίζεσθαι καϑιστάντα. οὗτοι δ' οὐ
πρὶν πολιορκεῖν τὸ χωρίον, ἀλλ' ἐπειδὴ ἡγήσαντο ἡμᾶς οὐ 2

1, 1, 1. 138, 3. 3, 2, 1. 97, 3. 5, 41, 3: ἢν ἀρέσκοντα ἦ. Soph. Oed. T. 274: τάδ' ἴσ' ἀρέσκοντα. — ἐπιστρατεύομεν bekriegen, pflegen zu bekriegen. (Pp.) Vielmehr: wir bekriegen ſie nicht auf eine ſo außerordentliche Weiſe ohne von ihnen ausgezeichnet beleidigt zu ſein (Kr.); ἐκπρεπῶς in ſofern es ein Krieg der Mutterſtadt gegen die Colonie iſt; ἐκπρεπής ähnlich 3, 55, 1. vgl. Plat. Phädr. 238, a. u. Ind. z. Eur. — ἀδικούμενοι mit Perfectbedeutung. vgl. 1, 95, 3. 3, 12, 2. 65, 1 u. Gr. 53, 1 A. 3.

§ 3. τοῖσδε μέν. Angefangen iſt als ob folgen ſollte: ἡμῖν δὲ μὴ βιάσασθαι, wofür ſtatt μή des ſtärkern Gegenſatzes halber αἰσχρόν eingetreten iſt. — ἐξουσία πλούτου, wie χρημάτων δύναμις 1, 25, 4. 82, 2; nur daß ἐξουσία gehäſſiger iſt.

C. 39. § 1. ἦν, durch das Demonſtrativ zu überſetzen, hängt von προκαλούμενον ab. vgl. Ar. Ritter 796: τὰς σπονδὰς προκαλοῦνται. — τόν iſt zu προκαλούμενον zu ziehen, προὔχων aber als Prädicat zu faſſen: προὔχων καὶ ἐκ τοῦ ἀσφαλοῦς προκαλεῖται δίκην überlegen und von einer ſichern Lage aus fordert er den Rechtsgang. Dem. 24, 49: τοῖς ἄκουσιν ἁμαρτοῦσι μέτεστι συγγνώμης. Gr. 50, 12 A. 1 und 59, 2 A. 3. — προὔχων, wie die Kerkyräer durch den Sieg und die Unterwerfung der Epidamnier 1, 29, 3. — λέγειν τι, Gegenſatz von οὐδὲν λέγειν, etwas nicht bedeutungsloſes, etwas Gehöriges, Treffendes ſagen. Plat. Rep. 1 p. 329, e: λέγουσι μέν τι, οὐ μέντοι γε ὅσον ὀφείλουσι. Gr. 51, 16 A. 13. — τὸν ἐς ἴσον — καϑιστάντα der eben ſo ſeine Lage als ſeine Worte mit den Gegnern in Gleichheit (aequum) bringt. Andeutung der Forderung daß die Kerkyräer Epidamnos hätten aufgeben ſollen (1, 29, 3), um dann, den Korinthiern thatſächlich gleichgeſtellt, οὐ προὔχοντες, ihre Rechtsanſprüche durch Worte geltend zu machen. — διαγωνίζεσθαι, kämpfen, Krieg führen, wie aus dem οὐ πρὶν πολιορκεῖν erhellet. (Pp.).

§ 2. πρίν mit dem Infinitiv gewöhnlich nach affirmativen Sätzen findet ſich doch auch hin und wieder in Verbindung mit einer Negation, präpoſitionsartig (vor), bei Th. noch 1, 68, 2. 5, 10, 3. 7, 50, 4.

περιόψεσθαι, τότε καὶ τὸ εὐπρεπὲς τῆς δίκης παρέσχοντο. καὶ δεῦρο ἥκουσιν οὐ τἀκεῖ μόνον αὐτοὶ ἁμαρτόντες, ἀλλὰ καὶ ὑμᾶς νῦν ἀξιοῦντες οὐ ξυμμαχεῖν ἀλλὰ ξυναδικεῖν καὶ
3 διαφόρους ὄντας ἡμῖν δέχεσθαι σφᾶς· οὓς χρῆν, ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα οὗτοι δὲ κινδυνεύουσιν, μηδ' ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες τῆς ὠφελίας νῦν μεταδώσετε, καὶ τῶν ἁμαρτημάτων ἀπογενόμενοι τῆς ἀφ' ἡμῶν αἰτίας τὸ ἴσον ἕξετε, πάλαι δὲ κοινώσαντας τὴν δύναμιν κοινὰ καὶ τὰ ἀποβαίνοντα ἔχειν· ἐγκλημάτων δὲ μόνων ἀμετόχως οὕτω τῶν μετὰ τὰς πράξεις τούτων μὴ κοινωνεῖν."

40 "Ὡς μὲν οὖν αὐτοί τε μετὰ προσηκόντων ἐγκλημάτων ἐς ὑμᾶς
2 ἐρχόμεθα καὶ οἵδε βίαιοι καὶ πλεονέκται εἰσὶ δεδήλωται· ὡς δ' οὐκ ἂν δικαίως αὐτοὺς δέχοισθε μαθεῖν χρή. εἰ γὰρ εἶ-

---

— *παρέσχοντο* boten an. vgl. 3, 36, 1. 4, 108, 2. *προέσχοντο* Valck. zu Callim. eleg. frgm. p. 227, wie *προβέβληνται* 1, 37, 3. — *αὐτοί* allein, ohne die Athener. — *διαφόρους ὄντας* iſt auf *σφᾶς*, die Kerkyräer, zu beziehen. Aber freilich würde ich eher *οὐ διαφόρους* auf *ὑμᾶς* bezogen erwarten, da jenes müßig iſt.

§ 3. *προσιέναι* zu euch kommen, um eure Bundesgenoſſenſchaft zu ſuchen, damals uneigennützig. — *πάλαι δέ* —, kein allgemeiner Gedanke, wie Ba. u. Bd. gewollt, *χρή* ergänzend, ſondern von *χρῆν* abhängig. — *ἀπογίγνεσθαι τῆς μάχης* Her. 9, 69. (Bl.) — *κοινώσαντας τὴν δύναμιν* ihre Macht der eurigen geſellen. — *τὰ ἀποβαίνοντα* die Erfolge. vgl. 1, 83, 2. 2, 11, 6. 8, 89, 4. — *ἐγκλημάτων — κοινωνεῖν*. Dieſe Stelle fehlt in den beſten Hſn., vielleicht, wie Manches, nur ausgelaſſen um die Schwierigkeit ſummariſch abzuthun. Einem Gloſſem ſieht ſie nicht ähnlich; auch dürfen wir zum Abſchluß, den man hier ſonſt vermiſſen würde, wohl noch einen warnenden Gegenſatz erwarten, etwa: es gebührt ſich nicht daß ihr, unſchuldig an den Folgen ihrer Handlungen, durch ihre Unterſtützung nur an Vorwürfen Antheil nehmet. Dieſer Gedanke liegt in den Worten, wenn wir *ἐγκλημάτων* mit *κοινωνεῖν* und *τῶν μετὰ τὰς πράξεις* mit *ἀμετόχως* verbinden. Denn ſo iſt mit den meiſten Hſn. für *ἀμετόχους* zu leſen. Zu *ἀμετόχως* gehört *οὕτω* (ſo unſchuldig), das oft nachſteht. Kr. zu Xen. An. 2, 4, 7. Anders erklärte Hermann: ita vero, ut solorum criminum participes non reddamini, vos in eorum quae Corcyraeorum res gestas consequuntur communionem venire non oportet, unter *τὰ μετὰ τὰς πράξεις* Strafen denkend.

C. **40.** § 1. *ἐγκλημάτων* die meiſten und beſten Hſn. für *τῶν τοῦ δικαίου κεφαλαίων*, was hier ungehörig iſt, da die *δικαιώματα* (41, 1) demnächſt erſt erwähnt werden. (Pp.) — *ἐς ὑμᾶς* in eure Mitte.

ρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι παρ' ὁποτέρους τις τῶν ἀγράφων πόλεων βούλεται ἐλθεῖν, οὐ τοῖς ἐπὶ βλάβῃ ἑτέρων ἰοῦσιν ἡ ξυνθήκη ἐστίν, ἀλλ' ὅστις μὴ ἄλλου αὐτὸν ἀποστερῶν ἀσφαλείας θεῖται, καὶ ὅστις μὴ τοῖς δεξαμένοις, εἰ σωφρονοῦσι, πόλεμον ἀντ' εἰρήνης ποιήσει· ὃ νῦν ὑμεῖς μὴ 3 πειθόμενοι ἡμῖν πάθοιτε ἄν. οὐ γὰρ τοῖσδε μόνον ἐπίκουροι ἂν γένοισθε, ἀλλὰ καὶ ἡμῖν ἀντὶ ἐνσπόνδων πολέμιοι· ἀνάγκη γάρ, εἰ ἴτε μετ' αὐτῶν, καὶ ἀμύνεσθαι μὴ ἄνευ ὑμῶν τούτους. καίτοι δίκαιοί γ' ἐστὲ μάλιστα μὲν ἐκποδὼν στῆναι ἀμφοτέροις, εἰ δὲ μή, τοὐναντίον ἐπὶ τούτους μεθ' ἡμῶν ἰέναι — Κορινθίοις μέν γε ἔνσπονδοί ἐστε, Κερκυραίοις δὲ οὐδὲ δι' ἀνακωχῆς πώποτ' ἐγένεσθε — καὶ τὸν νόμον μὴ καθιστάναι ὥστε τοὺς ἑτέρων ἀφισταμένους δέχεσθαι. οὐδὲ γὰρ ἡμεῖς 4 Σαμίων ἀποστάντων ψῆφον προσεθέμεθα ἐναντίαν ὑμῖν, τῶν ἄλλων Πελοποννησίων δίχα ἐψηφισμένων εἰ χρὴ αὐτοῖς ἀμύνειν, φανερῶς δὲ ἀντείπομεν τοὺς προσήκοντας ξυμμάχους αὐτόν τινα κολάζειν. εἰ γὰρ τοὺς κακόν τι δρῶντας δεχό-

---

§ 2. *τῶν ἀγράφων.* vgl. 1, 31, 2. 35, 1. — *οὐ τοῖς — ἐστὶν* gilt nicht für die. — *τοῖς ἰοῦσιν* die ſich an die einen von beiden anſchließen. — *μὴ ἄλλου ἑαυτὸν ἀποστερῶν* ohne ſich einem Andern zu entziehen. Hell. 4, 1, 41: *νομίζων ὁπόσα ὄπισθεν ποιήσαιτο ἔθνη πάντα ἀποστερήσειν βασιλέως.* Dem. 23, 3: *φυλακὴν Χερρονήσου τῆς πόλεως ἀποστερεῖν.* (Hertlein Ms.) — *εἰ σωφρονοῦσι* gehört zum Folgenden (Gail). Heilm.: der denen die ihn aufgenommen nicht Krieg erregen kann, wenn ſie ſonſt vernünftig, beſonnen ſind, nicht etwa ſich von den Aufgenommenen zur Theilnahme an ſie nicht berührenden Händeln verleiten laſſen.

§ 3. *ἔνσπονδοι* mit Bezug auf den dreißigjährigen Vertrag. — *τούτους* iſt Object: daß wir uns gegen dieſe wehren. (Hl.) Pp. nimmt *ἀμύνεσθαι* als Paſſiv des Mediums (Gr. 52, 10 A. 11), ein Gebrauch den ich von dieſem Worte nicht kenne. — *δίκαιοί γ' ἐστέ — στῆναι.* Gr. 55, 3 A. 10. — *ἐκποδών.* Das Gegentheil *ἐμποδών* 1, 53, 2. — *μέν γε* ſcheinbar für *μὲν γάρ*, indem *γέ* wenigſtens den Gedanken als Einzelnheit hervorhebt die für die vorhergehende Behauptung ſpricht. So 1, 70, 2 und 6, 86, 2. vgl. Buttm. Mtd. p. 46. — *ἀνακωχή*, ſonſt der attiſchen Proſa fremd, findet ſich öfter bei Th. vgl. z. Dion p. 224. Hier bedeutet es einen Vertrag für einige Zeit. — *ἐγένεσθε.* Ar. Frösche 1412: *οὐ δι' ἔχθρας οὐδετέρῳ γενήσομαι.* Nehnlich *διὰ μάχης ἔρχεσθαί τινι* 2, 11, 2 vgl. § 4. Gr. 68, 22 A. 2.

§ 4. *οὐδὲ γὰρ ἡμεῖς* denn auch wir nicht. Gr. 69, 32 A. 21. — *εἰ.* im Zuſammenhange liegt: als die Frage war ob. — *αὐτόν τινα*, wie 43, 1 u. 6, 31, 3 man (jeder) ſelbſt, ungeſtört. — *εἰ γάρ* bezieht ſich als anderer Grund auch auf *τὸν νόμον — δέχεσθαι* 3. (Pp.)

μενοι τιμωρήσετε, φανεῖται καὶ ἃ τῶν ὑμετέρων οὐκ ἐλάσσω ἡμῖν πρόσεισι, καὶ τὸν νόμον ἐφ' ὑμῖν αὐτοῖς· μᾶλλον ἢ ἐφ' ἡμῖν θήσετε."

41 "Δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν, ἱκανὰ κατὰ τοὺς Ἑλλήνων νόμους, παραίνεσιν δὲ καὶ ἀξίωσιν χάριτος τοιάνδε, ἣν οὐκ ἐχθροὶ ὄντες ὥστε βλάπτειν οὐδ' αὖ φίλοι ὥστ' ἐπιχρῆσθαι, ἀντιδοθῆναι ἡμῖν ἐν τῷ παρόντι
2 φαμὲν χρῆναι. νεῶν γὰρ μακρῶν σπανίσαντές ποτε πρὸς τὸν Αἰγινητῶν ὑπὲρ τὰ Μηδικὰ πόλεμον παρὰ Κορινθίων εἴκοσι ναῦς ἐλάβετε· καὶ ἡ εὐεργεσία αὕτη τε καὶ ἡ ἐς Σαμίους, τὸ δι' ἡμᾶς Πελοποννησίους αὐτοῖς μὴ βοηθῆσαι, παρέσχεν ὑμῖν Αἰγινητῶν μὲν ἐπικράτησιν Σαμίων δὲ κόλα-
3 σιν· καὶ ἐν καιροῖς τοιούτοις ἐγένετο οἷς μάλιστα ἄνθρωποι ἐπ' ἐχθροὺς τοὺς σφετέρους ἰόντες τῶν πάντων ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν· φίλον τε γὰρ ἡγοῦνται τὸν ὑπουργοῦντα, ἢν καὶ πρότερον ἐχθρὸς ᾖ, πολέμιόν τε τὸν ἀντιστάντα, ἢν καὶ τύχῃ φίλος ὤν, ἐπεὶ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται φι-

---

— τιμωρήσετε. Gr. 60, 5 A. 1. — οὐκ ἐλάσσω. Kr. zu Xen. An. 5, 4, 19: ἔστιν ὅ τι καὶ ἀγαθὸν οὐ μεῖον τοῦ κακοῦ γεγένηται. — ἐφ' ὑμῖν gegen euch, euch treffend. Dem. 52, 1: ἐφ' ὑμῖν αὐτοῖς ἔσεσθε τὸ ἔθος τοῦτο κατασκευάκοτες.

C. 41. § 1. δικαιώματα Rechtsansprüche, wie 5, 97. 6, 79, 2. 80, 1, Isokr. 6, 25, Plat. Ges. 864 e: τὴν μὲν βλάβην ἀποτινέτω, τῶν δὲ ἄλλων δικαιωμάτων ἀφείσθω. — Ἑλλήνων ohne Artikel wie 1, 69, 3: μόνοι Ἑλλήνων und Xen. Hell. 1, 6, 14: οὐδένα Ἑλλήνων. — ἦν, χάριν. — ἐπιχρῆσθαι παρὰ Θουκυδίδῃ τὸ πολλάκις κεχρῆσθαι Jon. p. 849. Vom freundschaftlichen Verkehr Her. 3, 99: ἦν δὲ γυνὴ κάμῃ, αἱ ἐπιχρεώμεναι μάλιστα γυναῖκες ταὐτὰ τοῖσι ἀνδράσι ποιεῦσι. An unſrer Stelle wohl mit Bezug auf Dienſtleiſtungen.

§ 2. νεῶν γὰρ —. S. Her. 6, 89. vgl. Kr. hiſt. phil. Stud. S. 16 ff. — ὑπέρ vor, ſeltene Bedeutung. — ἡ ἐς Σ. in Bezug auf die S. erweiſen. — ἐπικράτησιν. Ein Thukydideiſches Wort. Lob. Phryn. p. 351. Daß die Schiffe der Korinthier dieſe ἐπικράτησις herbeigeführt ſei falſch bemerkt Müller Aeginett. p. 117. s. n. vgl. Plut. ü. d. Bosheit des Her. 22. — τὸ μὴ βοηθῆσαι. zu 32, 3.

§ 3. ἄνθρωποι. Gr. 50, 3 A. 6. Xen. Mem. 1, 4, 11: θεοὶ μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν. — οἷς für ἐν οἷς. zu 1, 28, 2. — ἀπερίοπτοί εἰσι παρὰ τὸ νικᾶν gering achten in Vergleich mit dem Siege, um nur zu ſiegen. Plat. Apol. 28, c: ὁ τῆς Θέτιδος υἱὸς τοῦ κινδύνου κατεγέλασε παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι. — ἢ erhält durch πρότερον die Bedeutung des Präteritums. Aehnlich 1, 42, 2: τῆς ὑπαρχούσης πρότερον ὑποψίας. — τὰ οἰκεῖα ihre eigenen Intereſſen, die ſie wohl zu beſtellen ſich nicht kümmern, nur den Geg-

λονεικίας ἕνεκα τῆς αὐτίκα. ὧν ἐνθυμηθέντες καὶ νεώτερός 42
τις παρὰ πρεσβυτέρου αὐτὰ μαθὼν ἀξιούτω τοῖς ὁμοίοις
ἡμᾶς ἀμύνεσθαι, καὶ μὴ νομίσῃ δίκαια μὲν τάδε λέγεσθαι,
ξύμφορα δέ, εἰ πολεμήσει, ἄλλα εἶναι. τό τε γὰρ ξυμφέρον 2
ἐν ᾧ ἄν τις ἐλάχιστα ἁμαρτάνῃ μάλιστα ἕπεται, καὶ τὸ
μέλλον τοῦ πολέμου, ᾧ φοβοῦντες ὑμᾶς Κερκυραῖοι κελεύ-
ουσιν ἀδικεῖν, ἐν ἀφανεῖ ἔτι κεῖται, καὶ οὐκ ἄξιον ἐπαρθέν-
τας αὐτῷ φανερὰν ἔχθραν ἤδη καὶ οὐ μέλλουσαν πρὸς Κο-
ρινθίους κτήσασθαι, τῆς δὲ ὑπαρχούσης πρότερον διὰ Μεγα-
ρέας ὑποψίας σῶφρον ὑφελεῖν μᾶλλον· ἡ γὰρ τελευταία χά- 3
ρις καιρὸν ἔχουσα, κἂν ἐλάσσων ᾖ, δύναται μεῖζον ἔγκλημα
λῦσαι. μηδ' ὅτι ναυτικοῦ ξυμμαχίαν μεγάλην διδόασι, τούτῳ
ἐφέλκεσθε· τὸ γὰρ μὴ ἀδικεῖν τοὺς ὁμοίους ἐχυρωτέρα δύ-
ναμις ἢ τῷ αὐτίκα φανερῷ ἐπαρθέντας διὰ κινδύνων τὸ
πλέον ἔχειν."

---

nern zu ſchaden beeifert. — *φιλονεικίας* Sucht obzuſiegen, wie 7, 70, 7 vgl. 3, 82, 8. 5, 32, 3. 7, 28, 2.

C. 42. § 1. *ὧν ἐνθυμηθέντες*, wie 6, 60, 1, in ſo fern das Object die Thätigkeit in Anſpruch nimmt (berückſichtigen), ſynonym mit *φροντίζειν* Xen. Mem. 2, 1, 34), der Ac. in ſo fern es Inhalt derſelben iſt (erwägen); beide Caſus 5, 32, 1. Gr. 47, 11 A. 1. — *νεώτερός τις, εἴ τίς ἐστι νεώτερος.* (Ba.) — *ἀξιούτω* dem nächſten Subject angefügt. Gr. 63, 4. — *ἀμύνεσθαι* für *ἀμείβεσθαι* in gutem Sinne vgl. 4, 63, 2 hatte auch Simonides geſagt; noch findet es ſich ſo bei Ariſtoteles. Valck. zu den Schol. d. Phön. v. 695. — *δίκαια μὲν τάδε λέγεσθαι* das was wir geſagt ſei zwar gerecht. (Ba.) Das *δίκαια* ſteht prädicativ vgl. 1, 124, 2. 2, 102, 5; über das Präſens Gr. 53, 1 A. 2. — *εἰ* für den Fall daß. — *πολεμήσει* auf *τίς* bezogen für *πολεμήσετε.* (Gb.)

§ 2. *ἐν ᾧ* — *ἕπεται* folgt am meiſten dem Verfahren bei dem man moraliſch am wenigſten fehlt. — *τὸ μέλλον* das Bevorſtehen. vgl. 1, 36, 2. — *φοβοῦντες* 1, 33, 3. — *ἄξιον* die Sache verdient es nicht, es iſt nicht angemeſſen. — *ἐπαρθέντας αὐτῷ* durch die Furcht vor dem Kriege bewogen. vgl. § 3. — *ἤδη* ſchon jetzt. vgl. 1, 69, 2, Kr. zu Xen. An. 1, 4, 16 u. Ind. z. Dion. — *οὐ μέλλουσαν* mit Bezug auf *τὸ μέλλον.* Die Feindſchaft tritt in dem angegebenen Falle unzweifelhaft ſofort ein. — *διὰ Μεγαρέας* 1, 103, 3. — *τῆς ὑποψίας ὑφελεῖν* von der Scheelſucht, dem Widerwillen nach und nach etwas abzuthun. § 3. — *καιρὸν ἔχουσα*, wie uns jetzt als letzterwieſene Gefälligkeit die Preisgebung der Kerkyräer gelegen kommen würde. — *τῷ φανερῷ* durch das ins Auge Springende (Ba.), der einleuchtende Vortheil einer Verbindung mit den Kerkyräern. — *τὸ πλέον* mit dem Artikel in ſo fern es als durch ein gegenſätzlich gedachtes *τὸ ἔλασσον* beſtimmt gefaßt werden kann. Doch kann *τό* auch zu *ἔχειν* gehören: über die Stellung 6, 64, 5. 77 E.

43 "Ἡμεῖς δὲ περιπεπτωκότες οἷς ἐν τῇ Λακεδαίμονι αὐτοὶ προείπομεν, τοὺς σφετέρους ξυμμάχους αὐτόν τινα κολάζειν, νῦν παρ' ὑμῶν τὸ αὐτὸ ἀξιοῦμεν κομίζεσθαι, καὶ μὴ τῇ ἡμετέρᾳ ψήφῳ ὠφεληθέντας τῇ ὑμετέρα ἡμᾶς βλάψαι. 2 τὸ δ' ἴσον ἀνταπόδοτε, γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρὸν ἐν ᾧ ὅ τε ὑπουργῶν φίλος μάλιστα καὶ ὁ ἀντιστὰς ἐχθρός. καὶ Κερκυραίους τούσδε μήτε ξυμμάχους δέχεσθε βίᾳ ἡμῶν μήτε ἀμύνετε αὐτοῖς ἀδικοῦσιν. καὶ τάδε ποιοῦντες τὰ προσήκοντά τε δράσετε καὶ τὰ ἄριστα βουλεύσεσθε ὑμῖν αὐτοῖς."

Τοιαῦτα δὲ καὶ οἱ Κορίνθιοι εἶπον.

44 Ἀθηναῖοι δὲ ἀκούσαντες ἀμφοτέρων γενομένης καὶ δὶς ἐκκλησίας τῇ μὲν προτέρᾳ οὐχ ἧσσον τῶν Κορινθίων ἀπεδέξαντο τοὺς λόγους, ἐν δὲ τῇ ὑστεραίᾳ μετέγνωσαν Κερκυραίοις ξυμμαχίαν μὲν μὴ ποιήσασθαι, ὥστε τοὺς αὐτοὺς ἐχθροὺς καὶ φίλους νομίζειν — εἰ γὰρ ἐπὶ Κόρινθον ἐκέλευον σφίσιν

C. 43. § 1. *περιπεπτωκότες οἷς* in eben ſolche Umſtände gerathen als die waren bei deren Gelegenheit. (Hl.) Dies etwa erfordert der Gedanke; doch iſt der Ausdruck (*οἷς*) hart; vielleicht iſt *ἐν οἷς ἐν* zu leſen, das *ἐν οἷς* zu *κολάζειν* gezogen: in denen, wie wir zu L. ſelbſt erklärten, jeder — ſtrafen ſolle. — *προείπομεν* 40, 4.

§ 2. *ἐκεῖνον τὸν καιρόν* jene Gelegenheit von der es notoriſch iſt daß in ihr. Gr. 51, 7 A 11. — *βίᾳ ἡμῶν* wider unſern Willen. Kr. zu Xen. An. 7, 8, 17. — *δέ* entſpricht dem *μέν* C. 36, 4, obgleich ſchon dort auf daſſelbe ein Satz (derſelbe Gedanke) bezogen worden. vgl. 79, 1. mit 72, 1, 3, 49, 1. mit 41 3, 68, 1 mit 60. 6, 88, 1 mit 81. — *τὰ ἄριστα. τὰ κράτιστα* 1, 85, 3. Dem 8, 76: *εὖ βεβουλεῦσθαι δοκοῦσι καὶ τοῖς ἄλλοις καὶ ἑαυτοῖς.* — *καί* mit verkürztem Ausdrucke: ſagten die gleichfalls (wie auch die Kerkyräer) ſprechenden Korinthier.

C. 44. § 1. *καὶ δίς* ſogar zweimal, wie 5, 10, 9. So *καὶ δπλάσιον* Xen. An. 3, 3, 16. Aehnlich *καὶ δύο* Th. 3, 87, *καὶ τριάκοντα* Strabo 8, 6 p. 379 a vgl. 11, 1 p. 490 u. 11, 2 p. 499: *συνάγουσι στρατιὰν καὶ εἴκοσι μυριάδων.* — *τῇ προτέρᾳ.* Gr 48, 2 A. 9. — *ὑστεραίᾳ* ſteht eben ſo Aeſch. 2, 65, nach § 63 die am vorhergehenden Tage gehaltene. — *μετέγνωσαν, μεταγνόντες ἔγνωσαν.* Plat. Gorg. 493, c: *πότερον πείθω τί σε καὶ μεταθέσθαι εὐδαιμονεστέρους εἶναι τοὺς κοσμίους τῶν ἀκολάστων;* vgl. dort Heindorf. — *τοὺς αὐτοὺς — νομίζειν.* Kr. zu Xen. An. 2, 5, 39 gr. Ausg. vgl. 7, 33, 6, Iſokr. 16, 41, Aeſch. 3, 101. — *εἰ ἐκέλευον — ἐλθόντ' ἄν.* Das Ipf., weil die Sache öfter eintreten konnte. Gr. 54, 10 A. 3. — *σφίσιν* hängt von *ξυμπλεῖν* ab. Denn *κελεύειν* wird von

οἱ Κερκυραῖοι ξυμπλεῖν, ἐλύοντ' ἂν αὐτοῖς αἱ πρὸς Πελοποννησίους σπονδαί — ἐπιμαχίαν δ' ἐποιήσαντο τῇ ἀλλήλων βοηθεῖν, ἐάν τις ἐπὶ Κέρκυραν ἴῃ ἢ Ἀθήνας ἢ τοὺς τούτων ξυμμάχους. ἐδόκει γὰρ ὁ πρὸς Πελοποννησίους πόλεμος 2
καὶ ὡς ἔσεσθαι αὐτοῖς καὶ τὴν Κέρκυραν ἐβούλοντο μὴ προέσθαι Κορινθίοις ναυτικὸν ἔχουσαν τοσοῦτον, ξυγκρούειν δὲ ὅτι μάλιστα αὐτοὺς ἀλλήλοις, ἵνα ἀσθενεστέροις οὖσιν, ἤν τι δέῃ, Κορινθίοις τε καὶ τοῖς ἄλλοις τοῖς ναυτικὸν ἔχουσιν ἐς πόλεμον καθιστῶνται. ἅμα δὲ τῆς τε Ἰταλίας καὶ Σικελίας καλῶς ἐφαίνετο αὐτοῖς ἡ νῆσος ἐν παράπλῳ κεῖσθαι.

Τοιαύτῃ μὲν γνώμῃ οἱ Ἀθηναῖοι τοὺς Κερκυραίους προ- 45
σεδέξαντο, καὶ τῶν Κορινθίων ἀπελθόντων οὐ πολὺ ὕστερον δέκα ναῦς αὐτοῖς ἀπέστειλαν βοηθούς· ἐστρατήγει δὲ αὐτῶν Λακεδαιμόνιός τε ὁ Κλιμωνος καὶ Λιότιμος ὁ Στρομβίχου καὶ Πρωτέας ὁ Ἐπικλέους. προεῖπον δὲ αὐτοῖς μὴ ναυμαχεῖν Κορινθίοις, ἢν μὴ ἐπὶ Κέρκυραν πλέωσι καὶ μέλλωσιν ἀποβαίνειν ἢ ἐς τῶν ἐκείνων τι χωρίον· οὕτω δὲ κωλύειν κατὰ δύναμιν. προεῖπον δὲ ταῦτα τοῦ μὴ λύειν ἕνεκα τὰς σπονδάς. αἱ μὲν δὴ νῆες ἀφικνοῦνται ἐς τὴν Κέρκυραν, οἱ 46
δὲ Κορίνθιοι, ἐπειδὴ αὐτοῖς παρεσκεύαστο, ἔπλεον ἐπὶ τὴν

Attikern nicht mit dem Dativ und Inf. verbunden. — *ἐπιμαχίαν* Schutzbündniß. vgl. 5, 27, 2. *ξυμμαχία* ist der allgemeinere, hier durch einen Zusatz beschränkte Begriff, sowohl von einem Schutz- als Trutzbündnisse. Ammon. — *τῇ ἀλλήλων, τοὺς ἑτέρους τῇ τῶν ἑτέρων.* Gr. 51, 3 A. vgl 4, 78, 4. 97, 2. 6, 7, 2. 7, 70, 5. Aehnlich 5, 25, 3: *ἀπέσχοντο μὴ ἐπὶ τὴν ἑκατέρων γῆν στρατεῦσαι.* — *βοηθεῖν.* Gr. 50, 6 A. 6.

§ 2. *καὶ ὡς* auch so, selbst wenn sie die Kerkyräer abwiesen. vgl. Gr. 9, 2 A. 2 u. 25, 10 A. 11. — *τοσοῦτον* 1, 25, 4. — *ξυγκρούειν* bello collidere Hor. Ep. 1, 2, 7 steht ähnlich Isokr. 4, 134 u. Dem. 18, 19. (Pp.) — *ἄλλοις τοῖς* für *ἄλλοις* Bekker. Gr. 50, 9 A 2. — *ἐν παράπλῳ.* Dion. Arch. 6, 4: *ὄρος τι καλῶς κείμενον ἐν παρόδῳ.*

C. **45.** § 1. *δέκα ναῦς.* So viele mochten genügend scheinen. Jedenfalls ist die Anschuldigung gegen Perikles bei Plut. Per. 29 bloß gehässig.

§ 2. *ἐς τῶν ἐκείνων τι χωρίων*, wie 1, 53, 4: eine bei den Attikern unerhörte Stellung, weshalb ich (nach einigen Hsn.) *χωρίον* für die richtige La. halte und von diesem *τῶν*, von *τῶν* aber *ἐκείνων* abhängen lasse: *τὰ ἐκείνων* die Besitzungen jener. Ueber diese Verbindung von Genitiven. Gr. 47, 9 A. 8. vgl. Xen. Hell. 4, 8, 33: *τῶν ἐκείνων ξυμμάχων.* — *οὕτω* in diesem Falle.

C. **46.** § 1. *παρεσκεύαστο* es war gerüstet, die Rüstungen waren gemacht. Eben so 1, 48, 1. 3, 107, 4. 4, 67, 1. 7, 75, 1.

Κέρκυραν ναυσὶ πεντήκοντα καὶ ἑκατόν. ἦσαν δὲ Ἠλείων μὲν δέκα, Μεγαρέων δὲ δώδεκα καὶ Λευκαδίων δέκα, Ἀμπρακιωτῶν δὲ ἑπτὰ καὶ εἴκοσι καὶ Ἀνακτορίων μία, αὐτῶν 2 δὲ Κορινθίων ἐνενήκοντα· στρατηγοὶ δὲ τούτων ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων, Κορινθίων δὲ Ξενοκλείδης ὁ Εὐθυκλέους πέμπτος αὐτός. ἐπειδὴ δὲ προσέμιξαν τῇ κατὰ Κέρκυραν ἠπείρῳ ἀπὸ Λευκάδος πλέοντες, ὁρμίζονται ἐς Χειμέριον τῆς Θεσπρωτίδος γῆς. ἔστι δὲ λιμήν, καὶ πόλις ὑπὲρ αὐτοῦ κεῖται ἀπὸ θαλάσσης ἐν τῇ Ἐλαιάτιδι τῆς Θε- 3 σπρωτίδος Ἔφύρη. ἐξίησι δὲ παρ' αὐτὴν Ἀχερουσία λίμνη ἐς θάλασσαν· διὰ δὲ τῆς Θεσπρωτίδος Ἀχέρων ποταμὸς ῥέων ἐσβάλλει ἐς αὐτήν, ἀφ' οὗ καὶ τὴν ἐπωνυμίαν ἔχει· ῥεῖ δὲ καὶ Θύαμις ποταμός, ὁρίζων τὴν Θεσπρωτίδα καὶ Κεστρίνην, ὧν ἐντὸς ἡ ἄκρα ἀνέχει τὸ Χειμέριον.

Οἱ μὲν οὖν Κορίνθιοι τῆς ἠπείρου ἐνταῦθα ὁρμίζονται 47τε καὶ στρατόπεδον ἐποιήσαντο, οἱ δὲ Κερκυραῖοι ὡς ᾔσθοντο αὐτοὺς προσπλέοντας, πληρώσαντες δέκα καὶ ἑκατὸν ναῦς, ὧν ἦρχε Μεικιάδης καὶ Αἰσιμίδης καὶ Εὐρύβατος, ἐστρατο- 2 πεδεύσαντο ἐν μιᾷ τῶν νήσων αἳ καλοῦνται Σύβοτα· καὶ αἱ Ἀττικαὶ δέκα παρῆσαν. ἐπὶ δὲ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ ὁ πεζὸς ἦν καὶ Ζακυνθίων χίλιοι ὁπλῖται βεβοηθηκότες. ἦσαν δὲ καὶ τοῖς Κορινθίοις ἐν τῇ ἠπείρῳ πολλοὶ τῶν βαρβάρων παραβεβοηθηκότες· οἱ γὰρ ταύτῃ ἠπειρῶται

8, 14, 2. Andre Schriftſteller fügen ein Subject hinzu, wie *πάντα* z. B. Her. 4, 83. vgl. jedoch 6, 112. So auch ohne Subject *ἑτοιμάσθαι* nur Th. 6, 64, 5. Ueber das ähnliche *ἑτοῖμα ἦν* ſ. zu 2, 3, 3.

§ 2. *προσέμιξαν* näherten ſich. — *ἔστι δὲ λιμήν*. So konnte Th. kaum ſprechen, wenn nicht auch der Hafen Cheimerion mitbefaßt wurde. Anders freilich (ſpäter) Strabo 7 p. 324: *ἔπειτα ἄκρα Χειμέριον καὶ Γλυκὺς λιμήν*. — *τῆς Θ.* Gr. 47, 5 A. 7 vgl. 5, 33, 1. — *Ἔφύρα* vermuthet Pp.

§ 3. *ἐξίησι*, wie 2, 102, 2 u. 4, 103, 1. Die beſten Hſn. haben hier *ἐξεισι*, beides gebraucht z. B. Arrian; über erſteres Lob. zu Soph. Aj. 250. — *ὧν ἐντός* zwiſchen welchen Flüſſen. — *ἡ ἄκρα τὸ Χειμέριον*. Gr. 50, 7 A. 2. So C. 47, 2: *ἐπὶ τῇ Λευκίμμῃ αὐτοῖς τῷ ἀκρωτηρίῳ*. vgl. 3, 79, 2: *τὴν Λευκίμμην τὸ ἀκρωτήριον*. 5, 75, 5: *τὴν ἄκραν τὸ Ἡραῖον*. 8, 105, 2: *τὴν ἄκραν τὸ Κυνὸς σῆμα*. 4, 70, 2: *τῷ ὄρει τῇ Γερανείᾳ*. — *ἀνέχει* erhebt ſich. vgl. 4, 53, 3. 7, 34, 2, Herm. zu Soph. Oed. K. 674. (Pp.)

C. 47. § 2. *ἐν τῇ ἠπείρῳ* kann verdächtig ſcheinen.

ἀεί ποτε αὐτοῖς φίλοι εἰσίν. ἐπειδὴ δὲ παρεσκεύαστο τοῖς 48
Κορινθίοις, λαβόντες τριῶν ἡμερῶν σιτία ἀνήγοντο ὡς ἐπὶ
ναυμαχίαν ἀπὸ τοῦ Χειμερίου νυκτός, καὶ ἅμα ἕω πλέοντες
καθορῶσι τὰς τῶν Κερκυραίων ναῦς μετεώρους τε καὶ ἐπὶ
σφᾶς πλεούσας. ὡς δὲ κατεῖδον ἀλλήλους, ἀντιπαρετάσσοντο, 2
ἐπὶ μὲν τὸ δεξιὸν κέρας Κερκυραίων αἱ Ἀττικαὶ νῆες, τὸ δὲ
ἄλλο αὐτοὶ ἐπεῖχον, τρία τέλη ποιήσαντες τῶν νεῶν, ὧν ἦρχε
τριῶν στρατηγῶν ἑκάστου εἷς. οὕτω μὲν Κερκυραῖοι ἐτά-
ξαντο, Κορινθίοις δὲ τὸ μὲν δεξιὸν κέρας αἱ Μεγαρίδες 3
νῆες εἶχον καὶ αἱ Ἀμπρακιώτιδες, κατὰ δὲ τὸ μέσον οἱ ἄλλοι
ξύμμαχοι ὡς ἕκαστοι· εὐώνυμον δὲ κέρας αὐτοὶ οἱ Κορίν-
θιοι ταῖς ἄριστα τῶν νεῶν πλεούσαις κατὰ τοὺς Ἀθηναίους
καὶ τὸ δεξιὸν τῶν Κερκυραίων εἶχον.

Ξυμμίξαντες δέ, ἐπειδὴ τὰ σημεῖα ἑκατέροις ἤρθη, ἐναυ- 49
μάχουν, πολλοὺς μὲν ὁπλίτας ἔχοντες ἀμφότεροι ἐπὶ τῶν
καταστρωμάτων, πολλοὺς δὲ τοξότας τε καὶ ἀκοντιστάς, τῷ
παλαιῷ τρόπῳ ἀπειρότερον ἔτι παρεσκευασμένοι. ἦν τε ἡ
ναυμαχία καρτερά, τῇ μὲν τέχνῃ οὐχ ὁμοίως, πεζομαχίᾳ δὲ

C. 48. § 1. *τριῶν ἡμερῶν σιτία* Lebensmittel auf drei Tage, Ge. des Betrages, wie 2, 23, 2. 3, 1. 6, 34, 4, Xen. Hell. 5, 3, 21: *ὑπερέβαλε τὸν χρόνον ὅσον ἐλέγετο ἐν τῷ Φλιοῦντι σῖτος εἶναι.* Gr. 47, 8 A. 1. — *ὡς ἐπὶ ναυμαχίαν* hier und 2, 83, 2 die beſten, alle Hſn. 2, 85, 2. 86, 1. 4, 13, 3; *ὡς ἐπὶ ναυμαχίᾳ* faſt alle 3, 4, 1. 6, 34, 5. — *μετεώρους* auf dem hohen Meere, nicht an der Küſte. vgl. 1, 52, 2. Auffallend daß der von Th. häufig ſo gebrauchte Ausdruck (2, 91, 2. 3, 33, 3. 4, 14, 1. 26, 2. 7, 71, 5. 8, 10, 3) bei Her. u. Xen. ſo nicht vorkommt.

§ 2. *τέλη* Geſchwader wie 2, 81, 2, von Reiterei 2, 22, 2. — *τὸ ἄλλο* den übrigen Theil der Schlachtreihe. — *ἐπεῖχον* nahmen ein, wie 3, 107, 4. — *τριῶν. τῶν? τῶν τριῶν* vermuthet Py. wegen 47, 1.

§ 3. *μέν* ohne *καί*, wie 1, 55, 1. 6, 15, 1. Kr. zu Xen. An. 2, 1, 6. — *εὐώνυμον κέρας.* Wegen des Artikels Gr. 50, 2 A. 13. — *κατὰ τὸ μέσον, ἦσαν.*

C. 49. § 1. *τὰ σημεῖα.* Das Signal war wohl eine Art Fahne, auf einem Maſtbaume, zu Lande auf einer Stange emporgezogen. vgl. 4, 42, 4. 7, 34, 3. 8, 95, 3, Her. 9, 59; Ggſ. *κατεσπάσθη* 1, 63, 2. Auch bei den Makedonern *ὑπὸ τοῦ βασιλέως ἤρθη φοινικὶς ὑπὲρ σαρίσσης διαπεπαμένη.* Plut. Philop. 6. Aehnlich bei den Römern. Ammian 27, 10, 9. 12, Lips. M. R. 4, 12. u. die Erkl. zu Cäſ. b. g. 2, 20. Auch von dieſem Signal ſagt Dion. Arch. 6, 93: *τὰ σημεῖα ἤρθη τῆς μάχης.* — *καρτερά.* ſtehender Ausdruck von einem mit Hitze und Ausdauer beſtandenen Kampfe. vgl. 4, 43, 2. 96, 2. 7, 70, 2. Her. 1, 76, nicht bei Xen. — *πεζομαχίᾳ δέ.* Kurz für *βίᾳ δέ, πεζομαχίᾳ τὸ πλ.* Ueber die Sache vgl. 2, 89, 6. 4, 14, 3.

2 τὸ πλέον προσφερὴς οὖσα. ἐπειδὴ γὰρ προσβάλοιεν ἀλλήλοις, οὐ ῥᾳδίως ἀπελύοντο ὑπό τε πλήθους καὶ ὄχλου τῶν νεῶν καὶ μᾶλλόν τι πιστεύοντες τοῖς ἐπὶ τοῦ καταστρώματος ὁπλίταις ἐς τὴν νίκην, οἳ καταστάντες ἐμάχοντο ἠσυχαζουσῶν τῶν νεῶν· διέκπλοι δ' οὐκ ἦσαν, ἀλλὰ θυμῷ καὶ ῥώμῃ τὸ
3 πλέον ἐναυμάχουν ἢ ἐπιστήμῃ. πανταχῇ μὲν οὖν πολὺς θόρυβος καὶ ταραχώδης ἦν ἡ ναυμαχία, ἐν ᾗ αἱ Ἀττικαὶ νῆες παραγιγνόμεναι τοῖς Κερκυραίοις, εἴ πῃ πιέζοιντο, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δὲ οὐκ ἦρχον, δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν Ἀθηναίων. μάλιστα δὲ τὸ δε-
4 ξιὸν κέρας τῶν Κορινθίων ἐπόνει. οἱ γὰρ Κερκυραῖοι εἴκοσι ναυσὶν αὐτοὺς τρεψάμενοι καὶ καταδιώξαντες σποράδας ἐς τὴν ἤπειρον μέχρι τοῦ στρατοπέδου πλεύσαντες αὐτῶν καὶ ἐπεκβάντες ἐνέπρησάν τε τὰς σκηνὰς ἐρήμους καὶ τὰ χρήματα διήρπασαν. ταύτῃ μὲν οὖν οἱ Κορίνθιοι καὶ οἱ ξύμμαχοι
5 ἠσσῶντό τε καὶ οἱ Κερκυραῖοι ἐπεκράτουν· ᾗ δὲ αὐτοὶ ἦσαν οἱ Κορίνθιοι, ἐπὶ τῷ εὐωνύμῳ, πολὺ ἐνίκων, τοῖς Κερκυραίοις τῶν. εἴκοσι νεῶν ἀπὸ ἐλάσσονος πλήθους ἐκ τῆς διώξεως οὐ παρουσῶν. οἱ δ' Ἀθηναῖοι, ὁρῶντες τοὺς Κερκυ-

---

§ 2. προσβάλοιεν für προσβάλλοιεν Bekker. vgl. 7, 70, 5. — ἀπελύοντο trennten ſich von einander. vgl. 7, 44, 7. 63, 1, Luc. v. Geſch. 1, 41. — μᾶλλόν τι. Gr. 48, 15 A. 11. — καταστάντες in feſter Stellung. Etwas verſchieden 1, 59 u. 5, 4, 3. — διέκπλοι ſind doch ſchon von Her. 6, 12 erwähnt. Sie beſtanden darin daß man durch die Schlachtreihe der Gegner ſchiffte, um die Seiten und Ruder ihrer Schiffe zu beſchädigen und ſchnell gewendet ſie von hinten anzugreifen. Th. erwähnt ſie noch 2, 83, 4. 89, 6. 7, 36, 3. 4. 70, 4. vgl. Pol. 16, 4.

§ 3. ἦρχον οἱ στρατηγοί zu verbinden verbietet das eingeſchobene δεδιότες. Wir haben alſo hier ein appoſitives Particip mit eignem Subject, das aber in dem Subject des Hauptverbums als Theil enthalten iſt, wie 2, 54, 1. 4, 73, 4. 7, 71, 1. Gr. 56, 15 A. 1. — τὴν πρόρρησιν 1, 45.

§ 4. ἐρήμους, ἐρήμους οὔσας, wie ταῖς ναυσὶ κούφαις 6, 37, 2. τὸν κύπον μέγαν 7, 70, 6. vgl. Kr. de auth. An. p. 43. (Py.) Dreier Endungen iſt ἐρῆμοι bei Th. 2, 32. 81, 1. 4, 26, 3. 6, 61, 6, zweier 2, 4, 2. 3, 22, 2. 67, 2. 106, 1. 4, 3, 3. 13, 2. 5, 3, 1. 56, 5. 75, 3.

§ 5. οἱ Κορίνθιοι hier nur als Kriegführende, nicht als auf ihrem Flügel Beſiegte genannt. (Ds.) — ἀπό bei ihrer ohnehin geringeren Anzahl, hundert und zehn (47, 1) gegen hundert und funfzig (46, 1), ſo daß jetzt etwa 90 gegen 130 kämpften. — ἐκ wie 5, 10, 11,

ραίους πιεζομένους, μᾶλλον ἤδη ἀπροφασίστως ἐπεκούρουν, τὸ μὲν πρῶτον ἀπεχόμενοι ὥστε μὴ ἐμβάλλειν τινί· ἐπεὶ δὲ 6
ἡ τροπὴ ἐγένετο λαμπρῶς καὶ ἐνέκειντο οἱ Κορίνθιοι, τότε
δὴ ἔργου πᾶς εἶχετο ἤδη καὶ διεκέκριτο οὐδέν ἔτι, ἀλλὰ ξυν-
έπεσεν ἐς τοῦτο ἀνάγκης ὥστε ἐπιχειρῆσαι ἀλλήλοις τοὺς
Κορινθίους καὶ Ἀθηναίους.

Τῆς δὲ τροπῆς γενομένης οἱ Κορίνθιοι τὰ σκάφη μὲν 50
οὐχ εἷλκον ἀναδούμενοι τῶν νεῶν ἃς καταδύσειαν, πρὸς δὲ
τοὺς ἀνθρώπους ἐτράποντο φονεύειν διεκπλέοντες μᾶλλον ἢ
ζωγρεῖν, τούς τε αὑτῶν φίλους, οὐκ αἰσθόμενοι ὅτι ἥσσηντο
οἱ ἐπὶ τῷ δεξιῷ κέρᾳ, ἀγνοοῦντες ἔκτεινον. πολλῶν γὰρ 2
νεῶν οὐσῶν ἀμφοτέρων καὶ ἐπὶ πολὺ τῆς θαλάσσης ἐπεχου-
σῶν, ἐπειδὴ ξυνέμιξαν ἀλλήλοις, οὐ ῥᾳδίως τὴν διάγνωσιν
ἐποιοῦντο ὁποῖοι ἐκράτουν ἢ ἐκρατοῦντο· ναυμαχία γὰρ αὕτη
Ἕλλησι πρὸς Ἕλληνας νεῶν πλήθει μεγίστη δὴ τῶν πρὸ αὐ-
τῆς γεγένηται. ἐπειδὴ δὲ κατεδίωξαν τοὺς Κερκυραίους οἱ 3

ἀπό 1, 63, 1. — ἀπροφασίστως rückſichtslos, nicht mehr bloß zum Schutze der Bedrängten. — ὥστε in ſo weit daß. — ἐμβάλλειν angreifen, allgemein, wie 4, 14, 1. 25, 2. 7, 25, 4, Ar. Ri. 602 f. u. ἐμβολή 2, 89, 6.

§ 6. λαμπρῶς, φανερῶς, wie 2, 7, 1. (Pp.) So λαμπρὰ νίκη 7, 55, 1. — ἔργου εἶχετο griff das Werk (hier den Kampf) eifrig an, wie 1, 78, 2. 2, 2, 4. So πολέμου 6, 88, 7. 8, 3, 3, τῶν λοιπῶν 8, 67, 1. — ξυνέπεσεν für ξυνέπεσον die beſten Hſn., unperſönlich, wie ſonſt wohl nur in dem Sinne von ξυμβαίνειν mit dem Inf. vgl. zu 1, 6, 4. — ἐς τοῦτο ἀνάγκης zu dem Puncte, Momente des Zwanges, in eine ſo unausweichliche Colliſion. Plat. Theät. 170, c: εἰς τοῦτο ἀνάγκης ὁ λόγος ἥκει. Gr. 47, 10 A. 3.

C. 50. § 1. τῆς δὲ τροπῆς γενομένης, τραπέντων τῶν Κερκυραίων. vgl. Kr. zu Xen. An. 1, 2, 17. — σκάφη καλεῖ τὰ κοιλώματα τῶν νεῶν, ἃ ἡμεῖς γάστρας καλοῦμεν. Sch. Wir Rumpf. — ἀναδούμενοι an ihre Schiffe anbindend. vgl. 2, 90, 4. 4, 14, 1. 7, 74, 3. Xen. Hell. 1, 6, 21, Pol. 3, 96, Liv. 22, 20. 30, 10. 24. — διεκπλέοντες hier bloß durchſchiffend. (Pp.) — τῶν νεῶν ἃς. So finden ſich hin und wieder Stellen wo die Aſſimilation unterblieben iſt. Pflugk zu Eur. Med. 753 u. Lob. z. Aj. 493. Dagegen 1, 52, 2 war ſie nicht füglich ſtatthaft. vgl. Gr. 51, 10. — καταδύσειαν leck gemacht hatten, ſo daß ſie geſunken aber nicht verſunken waren. vgl. Xen. Hell. 1, 6, 35. 7, 32. — πρὸς δὲ τοὺς ἀ. ἐτράποντο φονεύειν. Gr. 61, 6 A. 9.

§ 2. τὴν διάγνωσιν ἐποιοῦντο, wie τὴν μάθησιν, τὴν διδασκαλίαν ποιεῖσθαι 1, 68, 2. 2, 42, 1 ꝛc. — πρὸ αὐτῆς. πρὸ ἑαυτῆς gute Hſn. ſprachwidrig. — Ἕλλησι πρὸς Ἕλληνας mit Bezug auf die Kriege gegen die Perſer.

Κορίνθιοι ἐς τὴν γῆν, πρὸς τὰ ναυάγια καὶ τοὺς νεκροὺς τοὺς σφετέρους ἐτράποντο καὶ τῶν πλείστων ἐκράτησαν ὥστε προσκομίσαι πρὸς τὰ Σύβοτα, οἳ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν βαρβάρων προσεβεβοηθήκει· ἔστι δὲ τὰ Σύβοτα τῆς Θε-
4 σπρωτίδος λιμὴν ἐρῆμος. τοῦτο δὲ ποιήσαντες αὖθις ἀθροισθέντες ἐπέπλεον τοῖς Κερκυραίοις. οἱ δὲ ταῖς πλωίμοις καὶ ὅσαι ἦσαν λοιπαὶ μετὰ τῶν Ἀττικῶν νεῶν καὶ αὐτοὶ ἀντέπλεον, δείσαντες μὴ ἐς τὴν γῆν σφῶν πειρῶσιν ἀποβαίνειν.
5 Ἤδη δὲ ἦν ὀψὲ καὶ ἐπεπαιώνιστο αὐτοῖς ὡς ἐς ἐπίπλουν, καὶ οἱ Κορίνθιοι ἐξαπίνης πρύμναν ἐκρούοντο, κατιδόντες εἴκοσι ναῦς Ἀθηναίων προσπλεούσας, ἃς ὕστερον τῶν δέκα βοηθοὺς ἐξέπεμψαν οἱ Ἀθηναῖοι, δείσαντες, ὅπερ ἐγένετο,
51 μὴ νικηθῶσιν οἱ Κερκυραῖοι καὶ αἱ σφέτεραι δέκα νῆες ὀλίγαι ἀμύνειν ὦσιν. ταύτας οὖν προϊδόντες οἱ Κορίνθιοι καὶ ὑποτοπήσαντες ἀπ' Ἀθηνῶν εἶναι, οὐχ ὅσας ἑώρων ἀλλὰ πλείους, ὑπανεχώρουν. τοῖς δὲ Κερκυραίοις, ἐπέπλεον γὰρ μᾶλλον ἐκ τοῦ ἀφανοῦς, οὐχ ἑωρῶντο, καὶ ἐθαύμαζον τοὺς Κορινθίους πρύμναν κρουομένους, πρὶν τινες ἰδόντες εἶπον
2 ὅτι νῆες ἐκεῖναι ἐπιπλέουσιν. τότε δὲ καὶ αὐτοὶ ἀνεχώρουν· ξυνεσκόταζε γὰρ ἤδη· καὶ οἱ Κορίνθιοι ἀποτραπόμενοι τὴν διάλυσιν ἐποιήσαντο. οὕτω μὲν ἡ ἀπαλλαγὴ ἐγένετο ἀλλήλων, καὶ ἡ ναυμαχία ἐτελεύτα ἐς νύκτα. τοῖς Κερκυραίοις

---

§ 4. καὶ vor ὅσαι, ſchon von Reiske verdächtigt, iſt kaum erträglich; wenn nicht etwa λοιπαὶ die noch nicht zum Kampfe gebrauchten Schiffe bezeichnet, ungefähr zehn nach 1, 25, 4. vgl. 47, 1.

§ 5. ἐπεπαιώνιστο. Das ω für α bieten die beſten Hſn. auch 2, 91, 2. 4, 43, 2. 96, 1. 7, 44, 7. 83, 3. So auch Ariſt. Ritter 1318 u. Frieden 555. Vor dem Kampfe ſang man dem Ares, nach demſelben dem Apollon einen Päan. (Sch.) — καὶ οἱ K. als die K. Gr. 69, 32 A. 6. — πρύμναν κρούεσθαι von Schiffen die ſich ohne zu wenden krebsartig zurückziehen. vgl. 1, 51, 1. 54, 4. 3, 78, 2. 7, 36, 4. 40, 1, Her. 8, 84, wie von Soldaten ἐπὶ πόδα ἀναχωρεῖν. Kr. zu Xen. An. 5, 3, 31 gr. A. — βοηθός iſt ein Adjectiv zweier Endungen. — ὅπερ, wie 8, 39, 3. 72, 2, ὅπερ καὶ 4, 73, 3. 5, 14, 3. 46, 5. 8, 47, 1. 48, 3. — ὀλίγαι ἀμύνειν zu wenige um zu helfen. Gr. 49, 1. Her. 6, 109: ὀλίγους εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν. 7, 207: ἐόντων αὐτῶν ὀλίγων στρατὸν τὸν Μήδων ἀλέξασθαι.

C. 51. § 1. μᾶλλον mehr als den Korinthiern. — νῆες ἐκεῖναι ἐπιπλέουσιν aus ἐκεῖναι νῆές εἰσιν αἳ ἐπιπλέουσιν jenes ſind ꝛc. Gr. 50, 11 A. 22.

§. 2. ἐτελεύτα ἐς —, wie 3, 78, 3. 108, 3? Gr. 68, 21 A. 5.

δὲ στρατοπεδευομένοις ἐπὶ τῇ Λευκίμμῃ αἱ εἴκοσι νῆες αἱ 3
ἀπὸ τῶν Ἀθηνῶν αὗται, ὧν ἦρχε Γλαύκων τε ὁ Λεάγρου
καὶ Ἀνδοκίδης ὁ Λεωγόρου, διὰ τῶν νεκρῶν καὶ ναυαγίων
προσκομισθεῖσαι κατέπλεον ἐς τὸ στρατόπεδον οὐ πολλῷ
ὕστερον ἢ ὥφθησαν. οἱ δὲ Κερκυραῖοι, ἦν γὰρ νύξ, ἐφοβή-
θησαν μὴ πολέμιαι ὦσιν, ἔπειτα δὲ ἔγνωσαν καὶ ὥρμίσαντο.

Τῇ δ' ὑστεραίᾳ ἀναγόμεναι αἵ τε Ἀττικαὶ τριάκοντα νῆες 52
καὶ τῶν Κερκυραίων ὅσαι πλώιμοι ἦσαν ἐπέπλευσαν ἐπὶ τὸν
ἐν τοῖς Συβότοις λιμένα, ἐν ᾧ οἱ Κορίνθιοι ὥρμουν, βου-
λόμενοι εἰδέναι εἰ ναυμαχήσουσιν. οἱ δὲ τὰς μὲν ναῦς ἄραν- 2
τες ἀπὸ τῆς γῆς καὶ παραταξάμενοι μετεώρους ἡσύχαζον,
ναυμαχίας οὐ διανοούμενοι ἄρχειν ἑκόντες, ὁρῶντες προσγε-
γενημένας τε ναῦς ἐκ τῶν Ἀθηνῶν ἀκραιφνεῖς καὶ σφίσι
πολλὰ τὰ ἄπορα ξυμβεβηκότα, αἰχμαλώτων τε περὶ φυλακῆς,
οὓς ἐν ταῖς ναυσὶν εἶχον, καὶ ἐπισκευὴν οὐκ οὖσαν τῶν νεῶν
ἐν χωρίῳ ἐρήμῳ. τοῦ δὲ οἴκαδε πλοῦ μᾶλλον διεσκόπουν 3
ὅπῃ κομισθήσονται, δεδιότες μὴ οἱ Ἀθηναῖοι νομίσαντες
λελύσθαι τὰς σπονδάς, διότι ἐς χεῖρας ἦλθον, οὐκ ἐῶσι σφᾶς
ἀποπλεῖν. ἔδοξεν οὖν αὐτοῖς ἄνδρας ἐς κελήτιον ἐμβιβάσαν- 53
τας ἄνευ κηρυκείου προσπέμψαι τοῖς Ἀθηναίοις καὶ πεῖραν
ποιήσασθαι. πέμψαντές τε ἔλεγον τοιάδε. "ἀδικεῖτε ὦ

---

§ 3. ὥρμίσαντο, αἱ νῆες. (Pp.)

C. 52. § 1. βουλόμενοι εἰδέναι ist mir verdächtig, da es sich hier um ein Erproben handelte. vgl. Gr. 65, 1 A. 10.

§ 2. τὰς μέν. Das μέν gehört mehr dem ganzen Gedanken an als dem einzelnen Begriffe und daher kann es mit δέ § 3 in Bezug stehen. — ναῦς ἄραντες. ungewöhnlich für ναυσὶν ἄραντες; doch vgl. Her. 8, 57: ἀπαίρουσι τὰς νέας ἀπὸ Σαλαμῖνος. — αἰχμαλώτων τε περὶ φυλακῆς καὶ ἐ. οὐκ οὖσαν. 4, 26, 3: οὓς ᾤοντο ὀλίγων ἡμερῶν ἐκπολιορκήσειν ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους. vgl. 7, 27, 4 u. Gr. 59, 2 A. 3. — ἐπισκευή Mittel zur Ausbesserung; ähnlich ἄλωσις Mittel zur Eroberung Soph. Phil. 61. (Pp.)

§ 3. τοῦ πλοῦ für τόδε τοῦ πλοῦ ὅπῃ —. vgl. 1, 68 2 u. Gr. 47, 10 A. 8.

C. 53. § 1. κελήτιον, μικρὸν πλοιάριον, ὑπὸ ἑνὸς ἐρετμένον, ἀπὸ μεταφορᾶς τοῦ κέλητος ἵππου, ᾧ εἰς ἐπικάθηται. (Sch.) vgl. 4, 120, 2. 8, 38, 1 u. Her. 8, 94. — ἄνευ κηρυκείου. ἔστι ξύλον ὀρθὸν ἔχον ἑκατέρωθεν δύο ὄφεις περιπεπλεγμένους καὶ ἀντιπροσώπους πρὸς ἀλλήλους κειμένους. Sch. Ohne Heroldsstab gingen die Boten, um sich nicht als Feinde anzukündigen und dadurch Angriffe der Athener zu provociren. vgl. Dem. 51, 13, Pol. 3, 52, 3. — πεῖραν ποιήσασθαι ihre Gesinnung zu erproben. (Pp.) — ἔλεγον ließen sagen. Gr. 52, 1 A. 4.

2 ἄνδρες Ἀθηναῖοι πολέμου ἄρχοντες καὶ σπονδὰς λύοντες· ἡμῖν γὰρ πολεμίους τοὺς ἡμετέρους τιμωρουμένοις ἐμποδὼν ἱστασθε ὅπλα ἀνταιρόμενοι. εἰ δ' ὑμῖν γνώμη ἐστὶ κωλύειν τε ἡμᾶς ἐπὶ Κέρκυραν ἢ ἄλλοσε εἴ ποι βουλόμεθα πλεῖν καὶ τὰς σπονδὰς λύετε, ἡμᾶς τούσδε λαβόντες πρῶτον χρή-
3 σασθε ὡς πολεμίοις.“ οἱ μὲν δὴ τοιαῦτα εἶπον· τῶν δὲ Κερκυραίων τὸ μὲν στρατόπεδον ὅσον ἐπήκουσεν ἀνεβόησεν εὐθὺς λαβεῖν τε αὐτοὺς καὶ ἀποκτεῖναι, οἱ δὲ Ἀθηναῖοι
4 τοιάδε ἀπεκρίναντο. “οὔτε ἄρχομεν πολέμου ὦ ἄνδρες Πελοποννήσιοι οὔτε τὰς σπονδὰς λύομεν, Κερκυραίοις δὲ τοῖσδε ξυμμάχοις οὖσι βοηθοὶ ἤλθομεν. εἰ μὲν οὖν ἄλλοσέ ποι βούλεσθε πλεῖν, οὐ κωλύομεν· εἰ δ' ἐπὶ Κέρκυραν πλευσεῖσθε ἢ ἐς τῶν ἐκείνων τι χωρίον, οὐ περιοψόμεθα καιὰ τὸ δυνατόν.“

54 Τοιαῦτα τῶν Ἀθηναίων ἀποκριναμένων οἱ μὲν Κορίνθιοι τόν τε πλοῦν τὸν ἐπ' οἴκου παρεσκευάζοντο καὶ τροπαῖον
2 ἔστησαν ἐν τοῖς ἐν τῇ ἠπείρῳ Συβότοις· οἱ δὲ Κερκυραῖοι τά τε ναυάγια καὶ νεκροὺς ἀνείλοντο τὰ κατὰ σφᾶς ἐξενεχθέντα ὑπό τε τοῦ ῥοῦ καὶ ἀνέμου, ὃς γενόμενος τῆς νυκτὸς διεσκέδασεν αὐτὰ πανταχῇ, καὶ τροπαῖον ἀντέστησαν ἐν τοῖς
3 ἐν τῇ νήσῳ Συβότοις ὡς νενικηκότες. γνώμῃ δὲ ἑκάτεροι τοιᾷδε τὴν νίκην προσεποιήσαντο, Κορίνθιοι μὲν κρατήσαντες τῇ ναυμαχίᾳ μέχρι νυκτός, ὥστε καὶ ναυάγια πλεῖστα καὶ

---

§ 2. σπονδάς (beſtehende) Verträge, ohne beſtimmte Hinweiſung (durch den Artikel), wie 1, 67, 1. 78, 3. 123, 3. — ἄλλοσε εἴ ποι. Gr. 51, 10 A. 10. vgl. 2, 72, 4. — ὡς vergleichend ſo wie, nicht anders als (pro). Xen. Cyr. 4, 2, 25: ἔξεσται τῷ βουλομένῳ χρῆσθαι τούτῳ ὡς ἀνδραπόδῳ. Gr. 57, 3 A. 2. — πρῶτον iſt paſſender als die ſonſtige Lα. πρώτους, weil gedacht wird: das ſei eure erſte Feindſeligkeit. Gr. 57, 5 A. 3.

§ 3. τὸ μέν. μέν iſt kaum erträglich und wäre auch dem τό vorangeſtellt anſtößig. Vielleicht iſt es aus der vorigen Zeile wiederholt. — ἀνεβόησεν — ἀποκτεῖναι. Kr. zu Xen. An. 1, 8, 12.

C. 54. § 1. ἐν τοῖς ἐν hier und § 2. vgl. 4, 8, 2. So zwei Mal hintereinander ἐκ 1, 58, 1. 8, 17, 1, ἐπί 4, 54, 1, ἐς Her. 7, 173, κατά eb. 1, 67.

§ 2. νεκρούς ſteht oft ohne Artikel, wie § 4. 4, 14, 4. 5, 10, 11. 7, 5, 2. 8, 106, 3. Lucian. wahre Geſch. 1, 39: κήρυκας ἀποστείλαντες νεκροὺς ἀνηροῦντο. Hinzugefügt iſt der Artikel 2, 82. (Kr.) — τὰ ἐξενεχθέντα, weil auch die Leichen nur ſächlich zu denken ſind. Kr. zu Xen. An. 1, 4, 8. So ὅσα 2, 92, 3.

ἐκρούς προσκομίσασθαι, καὶ ἄνδρας ἔχοντες αἰχμαλώτους
ὑκ ἐλάσσους χιλίων, ναῦς τε καταδύσαντες περὶ ἑβδομήκοντα
ἔστησαν τροπαῖον· Κερκυραῖοι δὲ τριάκοντα ναῦς μάλιστα 4
διαφθείραντες καὶ ἐπειδὴ Ἀθηναῖοι ἦλθον, ἀνελόμενοι τὰ
κατὰ σφᾶς αὐτοὺς ναυάγια καὶ νεκρούς, καὶ ὅτι αὐτοῖς τῇ τε
προτεραίᾳ πρύμναν κρουόμενοι ὑπεχώρησαν οἱ Κορίνθιοι
ἰδόντες τὰς Ἀττικὰς ναῦς καὶ ἐπειδὴ ἦλθον οἱ Ἀθηναῖοι,
ὐκ ἀντέπλεον ἐκ τῶν Συβότων, διὰ ταῦτα τροπαῖον ἔστησαν.

Οὕτω μὲν ἑκάτεροι νικᾶν ἠξίουν· οἱ δὲ Κορίνθιοι ἀπο- 55
πλέοντες ἐπ' οἶκου Ἀνακτόριον, ὃ ἔστιν ἐπὶ τῷ στόματι τοῦ
Ἀμπρακικοῦ κόλπου, εἶλον ἀπατῇ· ἦν δὲ κοινὸν Κερκυραίων
καὶ ἐκείνων· καὶ καταστήσαντες ἐν αὐτῷ Κορινθίους οἰκήτο-
ρας ἀνεχώρησαν ἐπ' οἴκου, καὶ τῶν Κερκυραίων ὀκτακοσίους 2
μέν, οἳ ἦσαν δοῦλοι, ἀπέδοντο, πεντήκοντα δὲ καὶ διακοσίους
δήσαντες ἐφύλασσον καὶ ἐν θεραπείᾳ εἶχον πολλῇ, ὅπως αὐ-
τοῖς τὴν Κέρκυραν ἀναχωρήσαντες προσποιήσειαν· ἐτύγχανον
δὲ καὶ δυνάμει αὐτῶν οἱ πλείους πρῶτοι ὄντες τῆς πόλεως.
ἡ μὲν οὖν Κέρκυρα οὕτω περιγίγνεται τῷ πολέμῳ τῶν Κο- 3
ρινθίων καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀνεχώρησαν ἐξ αὐτῆς.
αἰτία δὲ αὕτη πρώτη ἐγένετο τοῦ πολέμου τοῖς Κορινθίοις
ἐς τοὺς Ἀθηναίους, ὅτι σφίσιν ἐν σπονδαῖς μετὰ Κερκυ-
ραίων ἐναυμάχουν.

Μετὰ ταῦτα δ' εὐθὺς καὶ τάδε ξυνέβη γενέσθαι Ἀθη- 56
ναίοις καὶ Πελοποννησίοις διάφορα ἐς τὸ πολεμεῖν. τῶν
γὰρ Κορινθίων πρασσόντων ὅπως τιμωρήσονται αὐτούς, ὑπο-

---

§ 3. ἔστησαν τροπαῖον würde ich hier gern entbehren, ſo paſſend es auch § 4 iſt.

§ 4. ἀνελόμενοι — καὶ ὅτι. Gr. 59, 2 A. 3. — οἱ Ἀθηναῖοι fehlt in einigen Hſn. Dies getilgt bezeichnet ἦλθον das Anrücken der Kerkyräer und Athener, C. 52, 1.

C. 55. § 1. 2. ἐν θεραπείᾳ εἶχον, ἐθεράπευον, wie ἐν αἰτίᾳ ἔχειν 60, 4. 63, 1. 65, 6. 7, 81, 1. Ueber den Erfolg 3, 70, 1. — προσποιεῖν zuwenden, verſchaffen. vgl. 2, 2, 2. 85, 4. 3, 70, 1. 4, 3.

§ 3. περιγίγνεται behält die Oberhand, mehr nur als gerettet. vgl. 2, 65, 9. — αὕτη. zu 1, 1, 2. — ἐς, wie 1, 66, 1. 6, 105, 3. — πίσιν bei ὅτι weil wie 66, 1. vgl. 58, 1. — ἐν σπονδαῖς während eines Vertrages, des dreißigjährigen.

C. 56. διάφορον Streitpunct, bei Th. häufiger als bei An-ern, wie 1, 67, 3. 68, 2. 78, 3. 140, 3. — πράσσειν betreiben,

τοπήσαντες τὴν ἔχθραν αὐτῶν οἱ Ἀθηναῖοι Ποτιδαιάτας, οἱ οἰκοῦσιν ἐπὶ τῷ ἰσθμῷ τῆς Παλλήνης, Κορινθίων ἀποίκους, ἑαυτῶν δὲ ξυμμάχους φόρου ὑποτελεῖς, ἐκέλευον τὸ ἐς Παλλήνην τεῖχος καθελεῖν καὶ ὁμήρους δοῦναι, τούς τε ἐπιδημιουργοὺς ἐκπέμπειν καὶ τὸ λοιπὸν μὴ δέχεσθαι οὓς κατὰ ἔτος ἕκαστον Κορίνθιοι ἔπεμπον, δείσαντες μὴ ἀποστῶσιν ὑπό τε Περδίκκου πειθόμενοι καὶ Κορινθίων, τούς τε ἄλ-
57 λους τοὺς ἐπὶ Θράκης ξυναποστήσωσι ξυμμάχους. ταῦτα δὲ πρὸς τοὺς Ποτιδαιάτας οἱ Ἀθηναῖοι προπαρεσκευάζοντο εὐθὺς μετὰ τὴν ἐν Κερκύρᾳ ναυμαχίαν· οἵ τε γὰρ Κορίνθιοι φανερῶς ἤδη διάφοροι ἦσαν, Περδίκκας τε ὁ Ἀλεξάνδρου Μακεδόνων βασιλεὺς ἐπεπολέμωτο ξύμμαχος πρότερον
2 καὶ φίλος ὤν. ἐπολεμώθη δὲ ὅτι Φιλίππῳ τῷ ἑαυτοῦ ἀδελφῷ καὶ Λέρδᾳ κοινῇ πρὸς αὐτὸν ἐναντιουμένοις οἱ Ἀθηναῖοι ξυμμαχίαν ἐποιήσαντο. δεδιώς τε ἔπρασσεν ἔς τε τὴν Λακεδαίμονα πέμπων ὅπως πόλεμος γένηται αὐτοῖς πρὸς Πελοποννησίους, καὶ τοὺς Κορινθίους προσεποιεῖτο τῆς Πο-
3 τιδαίας ἕνεκα ἀποστάσεως· προσέφερε δὲ λόγους καὶ τοῖς ἐπὶ Θράκης Χαλκιδεῦσι καὶ Βοττιαίοις ξυναποστῆναι, νομίζων, εἰ ξύμμαχα ταῦτα ἔχοι ὅμορα ὄντα τὰ χωρία, ῥᾷον ἂν
4 τὸν πόλεμον μετ' αὐτῶν ποιεῖσθαι. ὧν οἱ Ἀθηναῖοι αἰσθόμενοι καὶ βουλόμενοι προκαταλαμβάνειν τῶν πόλεων τὰς ἀποστάσεις — ἔτυχον γὰρ τριάκοντα ναῦς ἀποστέλλοντες καὶ

---

meiſt mit ὅπως und dem Ind. Fu. 3, 4, 4. 70, 1. 6, 88, 4, mit dem Conj. 1, 57, 2, mit dem Opt. 1, 58, 1. — τὸ ἐς Παλλήνην τεῖχος. Dieſe vielleicht deshalb um von der Seeſeite deſto eher angreifbar zu ſein. — δέ und, wie Xen. An. 7, 2, 5. — ἐπιδημιουργούς den einheimiſchen Vorſtehern zugefügte (ἐπι-) verſteht Böckh Corp. inscr. 1 p. 11. Nur die ἐπιστασία werde durch ἐπί bezeichnet, wie in ἐπιβάτικολος, urtheilt Lobeck Paralipp. p. 386 mit Lehrs de Arist. p. 115. Ueber die Demiurgen doriſcher Staaten ſ. Müller Dor. 2 S. 141 und Wachsmuth Hell. Alterthumsk. 1, 1 S. 193. — ἐπὶ Θρᾴκης. Gr. 68, 40 A. 2.

C. 57. § 1. Μακεδόνων, τῆς κάτω Μακεδονίας 2, 99, 1. (Py.)

§ 2. Φιλίππου. vgl. 2, 100, 2. (Py.) — προσεποιεῖτο. Wegen des vorhergehenden τέ würde man προσποιούμενος erwarten. Allein ſolche Uebergänge zum beſtimmten Verbum ſind nicht beiſpiellos. Py. vergleicht Schäfer zum Dem. 2 p. 75. — ἕνεκα eben ſo geſtellt 1, 143, 2. 2, 72, 1. 5, 53, 2. 7, 34, 1.

§ 3. προσέφερε λόγους that Vorſchläge. vgl. 2, 70, 1 u. 3, 4, 2. 109, 1. — ἀποστῆναι. Gr. 50, 6 A 6.

§ 4. ὧν αἰσθόμενοι. So 4, 108, 5. 3, 102, 2. vgl. Gr. 47, 10

χιλίους ὁπλίτας ἐπὶ τὴν γῆν αὐτοῦ, Ἀρχεστράτου τοῦ Λυκομήδους μετ' ἄλλων δέκα στρατηγοῦντος — ἐπιστέλλουσι τοῖς ἄρχουσι τῶν νεῶν Ποτιδαιατῶν τε ὁμήρους λαβεῖν καὶ τὸ τεῖχος καθελεῖν, τῶν τε πλησίον πόλεων φυλακὴν ἔχειν, ὅπως μὴ ἀποστήσονται.

Ποτιδαιᾶται δὲ πέμψαντες μὲν καὶ παρ' Ἀθηναίους 58
πρέσβεις, εἴ πως πείσειαν μὴ σφῶν πέρι νεωτερίζειν μηδέν, ἐλθόντες δὲ καὶ ἐς τὴν Λακεδαίμονα μετὰ Κορινθίων, [ἔπρασσον] ὅπως ἑτοιμάσαιντο τιμωρίαν, ἢν δέῃ, ἐπειδὴ ἔκ τε Ἀθηναίων ἐκ πολλοῦ πράσσοντες οὐδὲν εὕροντο ἐπιτήδειον, ἀλλ' αἱ νῆες αἱ ἐπὶ Μακεδονίαν καὶ ἐπὶ σφᾶς ὁμοίως ἔπλεον καὶ τὰ τέλη τῶν Λακεδαιμονίων ὑπέσχετο αὐτοῖς, ἢν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον ἀφίστανται μετὰ Χαλκιδέων καὶ Βοττιαίων κοινῇ ξυνομόσαντες. καὶ Περδίκκας πείθει 2
Χαλκιδέας τὰς ἐπὶ θαλάσσῃ πόλεις ἐκλιπόντας καὶ καταβαλόντας ἀνοικίσασθαι ἐς Ὄλυνθον μίαν τε πόλιν ταύτην ἰσχυρὰν ποιήσασθαι· τοῖς τ' ἐκλιποῦσι τούτοις τῆς ἑαυτοῦ γῆς τῆς Μυγδονίας περὶ τὴν Βόλβην λίμνην ἔδωκε νέμεσθαι, ἕως ἂν ὁ πρὸς Ἀθηναίους πόλεμος ᾖ. καὶ οἱ μὲν ἀνῳκίζοντό τε καθαιροῦντες τὰς πόλεις καὶ ἐς πόλεμον παρεσκευάζοντο· αἱ δὲ τριάκοντα νῆες τῶν Ἀθηναίων ἀφικνοῦνται ἐς 59

A. 12. — αὐτοῦ, des Perdikkas. vgl. 59. (Pp.) — μετ' ἄλλων δέκα. Alſo eilf Strategen? Unerhört! Und C. 61, 1 kommen gar noch fünfe dazu, alſo ſechzehn ſtatt zehn, welche Zahl man erhält wenn man mit Pp. meinem Vorſchlage δ' d. h. τεττάρων zu leſen beipflichtet. — τὸ τεῖχος, τὸ ἐς Παλλήνην τεῖχος C. 56.

C. 58. § 1. ἔπρασσον will Pp. tilgen, nicht unwahrſcheinlich. Wenn es echt iſt, ſo muß man ἐλθόντες — δέῃ als eine etwas anakoluthiſche Parentheſe faſſen; oder nach ἐπειδὴ aus einer Hſ. δὲ hinzufügen. — ἐκ πολλοῦ ſelt, nach langer Zeit. — αἱ ἐπὶ Μακεδονίαν. Xen. Hell. 1, 7, 29: ἐπὶ τοὺς ἐς Μυτιλήνην πολεμίους τὴν ταχίστην πλεῖν ἅπαντας (ἐκέλευεν), wo ähnlich zu ἐς ein ἐλθών zu denken. — ὑπέσχοντο. Eben ſo ſteht das Verbum beim Plural des Neutrums eines perſönlichen Begriffes im Plural 3, 82, 9. 7, 57, 10; unperſönlicher 5, 26, 3. 75, 2. 6, 62, 4. — τότε δή bezeichnet nur die Zeit, κατὰ τὸν καιρὸν τοῦτον die (günſtige) Conjunctur, wie 2, 84, 2. Dem. 18, 180: τότε τοίνυν κατὰ τὸν καιρὸν τοῦτον. (Pp.)

§ 2. ταύτην iſt Object, μίαν πόλιν ἰσχυράν Prädicat, daher ohne Artikel. vgl. zu 1, 1, 2. — τῆς γῆς hängt ab von dem zuſammengefaßten περὶ τὴν Βόλβην λίμνην, wobei man ſich ein τὰ denken mag.

τὰ ἐπὶ Θρᾴκης καὶ καταλαμβάνουσι τὴν Ποτίδαιαν καὶ τἆλλα ἀφεστηκότα. νομίσαντες δὲ οἱ στρατηγοὶ ἀδύνατα εἶναι πρός τε Περδίκκαν πολεμεῖν τῇ παρούσῃ δυνάμει καὶ τὰ ξυναφεστῶτα χωρία τρέπονται ἐπὶ τὴν Μακεδονίαν, ἐφ' ὅπερ καὶ τὸ πρότερον ἐξεπέμποντο, καὶ καταστάντες ἐπολέμουν μετὰ Φιλίππου καὶ τῶν Ἀέρδου ἀδελφῶν ἄνωθεν στρατιᾷ ἐσβεβληκοτων.

60 Καὶ ἐν τούτῳ οἱ Κορίνθιοι τῆς Ποτιδαίας ἀφεστηκυίας καὶ τῶν Ἀττικῶν νεῶν περὶ Μακεδονίαν οὐσῶν δεδιότες περὶ τῷ χωρίῳ καὶ οἰκεῖον τὸν κίνδυνον ἡγούμενοι πέμπουσιν ἑαυτῶν τε ἐθελοντὰς καὶ τῶν ἄλλων Πελοποννησίων μισθῷ πείσαντες ἑξακοσίους καὶ χιλίους τοὺς πάντας ὁπλίτας καὶ ψιλοὺς τε-
2 τρακοσίους. ἐστρατήγει δ' αὐτῶν Ἀριστεὺς ὁ Ἀδειμάντου, κατὰ φιλίαν τε αὐτοῦ οὐχ ἥκιστα οἱ πλεῖστοι ἐκ Κορίνθου στρατιῶται ἐθελονταὶ ξυνέσποντο· ἦν γὰρ τοῖς Ποτιδαιάταις ἀεί ποτε ἐπιτήδειος. καὶ ἀφικνοῦνται τεσσαρακοστῇ ἡμέρᾳ
61 ὕστερον ἐπὶ Θρᾴκης ἢ Ποτίδαια ἀπέστη. ἦλθε δὲ καὶ τοῖς Ἀθηναίοις εὐθὺς ἡ ἀγγελία τῶν πόλεων ὅτι ἀφεστᾶσιν. καὶ πέμπουσιν, ὡς ἤσθοντο καὶ τοὺς μετ' Ἀριστέως ἐπιπαρόντας, δισχιλίους ἑαυτῶν ὁπλίτας καὶ τεσσαράκοντα ναῦς πρὸς τὰ ἀφεστῶτα καὶ Καλλίαν τὸν Καλλιάδου πέμπτον αὐτὸν στρα-
2 τηγόν· οἳ ἀφικόμενοι ἐς Μακεδονίαν πρῶτον καταλαμβάνουσι τοὺς προτέρους χιλίους Θέρμην ἄρτι ἑλοντας καὶ Πύδναν πολιορκοῦντας. προσκαθεζόμενοι δὲ καὶ αὐτοὶ τὴν Πύδναν ἐπολιόρκησαν μέν, ἔπειτα δὲ ξύμβασιν ποιησάμενοι καὶ ξυμ-

---

C. 59. ἐφ' ὅπερ wozu, ſich gegen M. zu wenden, wie 6, 47, 1. Pl. Symp. 212, e und Eur. Bacch. 454. — καταστάντες. zu 1, 49, 2. — ἄνωθεν aus dem Binnenlande.

C. 60. § 1. περὶ τῷ, wie 1, 67, 1. 74, 4. 119. 2, 5, 3. 72, 3. 4, 70, 1. 7, 53, 3. 4. vgl. 4, 123, 2. 6, 9, 2. περί τινος 3, 102, 2. vgl. 8, 93, 3. Gr. 68, 32 A. — ἑαυτῶν, wie 1, 107, 1. 3, 92, 4; σφῶν αὐτῶν 4, 102, 1. 5, 61, 4. 114. 6, 7, 3. (Arndt.) — τοὺς πάντας im Ganzen. Gr. 50, 11 A. 13.

§ 2. ἐπιτήδειος zugethan, befreundet, auch von politiſchem Anhange häufig, Sgl. πολέμιος 3, 40, 3. 7, 86, 2, syn. πιστός 6, 64, 4. — τεσσαρακοστῇ. So τριτῃ ἡμέρᾳ ὕστερον 8, 24, 1. Ueblicher wäre τεσσαράκοντα ἡμέραις ὕστερον. (Py.) — ἐπὶ Θρᾴκης. Gr. 68, 40 A. 3 vgl. 3, 92, 3. 4, 70, 1. — ἢ für ᾗ einige Hſn.; für dieſes vgl. man Buttm. zu Dem. Mid. 33.

C. 61. § 1. ἡ ἀγγελία τῶν πόλεων, wie 8, 15, 1. vgl. Gr. 61, 6 A. 4. — ἐπιπαρόντας noch dazu herbeigekommen, wie Xen. An. 3, 4, 30. — ἑαυτῶν atheniſche Bürger. vgl. 1, 64, 1.

μαχίαν ἀναγκαίαν πρὸς τὸν Περδίκκαν, ὡς αὐτοὺς κατήπειγεν ἡ Ποτίδαια καὶ ὁ Ἀριστεὺς παρεληλυθώς, ἀπανίστανται ἐκ τῆς Μακεδονίας, καὶ ἀφικόμενοι ἐς Βέροιαν κἀκεῖθεν ἐπι- 3
στρέψαντες καὶ πειράσαντες πρῶτον τοῦ χωρίου καὶ οὐχ ἑλόντες ἐπορεύοντο κατὰ γῆν πρὸς τὴν Ποτίδαιαν τρισχιλίοις μὲν ὁπλίταις ἑαυτῶν, χωρὶς δὲ τῶν ξυμμάχων πολλοῖς, ἱππεῦσι δ' ἑξακοσίοις Μακεδόνων τοῖς μετὰ Φιλίππου καὶ Παυσανίου· ἅμα δὲ νῆες παρέπλεον ἑβδομήκοντα. κατ' ὀλίγον δὲ προϊόντες τριταῖοι ἀφίκοντο ἐς Γίγωνον καὶ ἐστρατοπεδεύσαντο.

Ποτιδαιᾶται δὲ καὶ οἱ μετὰ Ἀριστέως Πελοποννήσιοι προς- 62
δεχόμενοι τοὺς Ἀθηναίους ἐστρατοπεδεύοντο πρὸς Ὀλύνθου ἐν τῷ ἰσθμῷ καὶ ἀγορὰν ἔξω τῆς πόλεως ἐπεποίηντο. στρατηγὸν μὲν οὖν τοῦ πεζοῦ παντὸς οἱ ξύμμαχοι ᾑροῦντο Ἀριστέα, τῆς δὲ ἵππου Περδίκκαν· ἀπέστη γὰρ εὐθὺς πάλιν τῶν Ἀθηναίων καὶ ξυνεμάχει τοῖς Ποτιδαιάταις, Ἰόλαον ἀνθ' αὐτοῦ κατασήσας ἄρχοντα. ἦν δὲ ἡ γνώμη τοῦ Ἀριστέως τὸ μὲν μεθ' ἑ- 2
αυτοῦ στραιόπεδον ἔχοντι ἐν τῷ ἰσθμῷ ἐπιτηρεῖν τοὺς Ἀθηναίους, ἢν ἐπίωσιν, Χαλκιδέας δὲ καὶ τοὺς ἔξω ἰσθμοῦ ξυμμάχους καὶ τὴν παρὰ Περδίκκου διακοσίαν ἵππον ἐν Ὀλύνθῳ μένειν, καὶ ὅταν Ἀθηναῖοι ἐπὶ σφᾶς χωρῶσιν, κατὰ νώτου βοηθοῦντας ἐν μέσῳ ποιεῖν αὐτῶν τοὺς πολεμίους. Καλλίας 3

---

§ 2. ἀναγκαίαν eine abgedrungene, erklärt durch den folgenden Satz, vgl. 7, 60, 3.

§ 3. ἐπιστρέψαντες nachdem sie sich (gegen Osten) gewendet, καὶ πειράσαντες und zwar nachdem sie einen Versuch gemacht, vgl. über καί zu 1, 1, 1; πειρᾶν χωρίου wie 4, 70, 3, τῶν τειχῶν 7, 12, 2, ἀλλήλων 7, 38, 1. — χωρὶς außerdem, wie 2, 13, 4. 97, 3. 3, 17, 1. 6, 31, 5. Kein allgemein üblicher Gebrauch. Der Ge. hängt von ὁπλίταις ab. — ἑβδομήκοντα. zu den 40 des Kallias die dreißig des Archestratos C. 57, 4.

C. 62. § 1. πρὸς Ὀλύνθου auf der Seite nach Olynthos zu, natürlich bei Potidäa selbst. Gr. 68, 37 A. 1. vgl. 3, 21, 1. 4, 31, 1. 5, 59, 3. — ἀγοράν die zum Einkauf herausgeschafften Lebensmittel. vgl. 7, 39, 2. — οὖν, was in guten Hss. fehlt, ist hier kaum entbehrlich. Denn 1, 110, 1. 7, 30, 3 sind verschieden.

§ 2. ἔχοντι für ἔχοντα die besten Hss. als ob τῷ Ἀριστεῖ vorherginge. (Bv.) — διακοσίαν ἵππον. Gr. 44, 1 A. 3. — σφᾶς ihn, den Aristeus, und die Seinigen. Gr. 58, 4 A. 3. vgl. 1, 91, 2. 3, 113, 1. 4, 28, 1. 29, 3. 36, 1. 114, 5. 5, 65, 2. 80, 3. 8, 46, 4. 71, 1.

τὰ ἐπὶ Θρ στρατηγὸς καὶ οἱ ξυνάρχοντες τοὺς
ἀφεστηκότ καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ
τε Περδίκ ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοη-
χωρία τρ ντες τὸ στρατόπεδον ἐχώρουν ἐπὶ τὴν
ἐξεπέμπ πρὸς τῷ ἰσθμῷ ἐγένοντο καὶ εἶδον τοὺς
τῶν Δέ μένους ὡς ἐς μάχην, ἀντικαθίσταντο
60 Κ πολὺ ὕστερον ξυνέμισγον. καὶ αὐτὸ μὲν
καὶ τὸ κέρας καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων
τῷ χω ἄλλων λογάδες ἔτρεψαν τὸ καθ' ἑαυτοὺς
τε ἐθ κοντες ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον
ἐξαχ καὶ τῶν Πελοποννησίων ἡσσᾶτο ὑπὸ
2 τραχ καὶ ἐς τὸ τεῖχος κατέφυγεν. ἐπαναχωρῶν
κατ ἀπὸ τῆς διώξεως, ὡς ὁρᾷ τὸ ἄλλο στράτευμα
στ ἐπόρησε μὲν ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας,
ἀε ὑλύνθου ἢ ἐς τὴν Ποτίδαιαν· ἔδοξε δ' οὖν ξυνα-
61 ὅσ τοὺς μεθ' ἑαυτοῦ ὡς ἐς ἐλάχιστον χωρίον δρόμῳ
ἐπ ἐς τὴν Ποτίδαιαν, καὶ παρῆλθε παρὰ τὴν χηλὴν
π θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς, ὀλίγους μέν
ἀποβαλών, τοὺς δὲ πλείους σώσας. οἱ δ' ἀπὸ τῆς
θου τοῖς Ποτιδαιάταις βοηθοί, ἀπέχει δὲ ἑξήκοντα μά-
2 σταδίους καὶ ἔστι καταφανές, ὡς ἡ μάχη ἐγίγνετο καὶ
σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον ὡς βοηθήσοντες καὶ οἱ

---

§ 3. *Μακεδόνας.* adjectiviſch, wie 1, 63, 2 und *Ἕλληνες* Xen. 6, 3, 26. (Pp.) *Μακεδονικός* wäre falſch. — *τοὺς ἐκεῖ, ἐκεῖθεν τοὺς ἐκεῖ.* Aeſch. 7 g. Th. 40: *ἦκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων.* Dem. 1, 15: *ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα.* Gr. 50, 8 A. 15.

§ 4. *ἔτρεψαντο.* Einige Hſn. *ἔτρεψαν.* — *τό.* Gr. 43, 4 A. 17. **C. 63.** § 1. *διακινδυνεύσῃ* für *διακινδυνεύσει* Bekker aus einigen Hſn. Gr. 54, 7 A. 2. vgl. 53, 7 A. 2. — *χωρῆσαι* könnte auch ſtehen vgl. 7, 1. (Pp.) — *ὅ οὖν* Pp; *γοῦν* die Hſn. — *ὡς εἰς ἐλάχιστον χωρίον* auf einen möglichſt kleinen Raum, Fleck; über die Stellung des *ὡς* Gr. 49, 10 A. 1. — *διάσασθαι* durchbringen, mit *ἐς*, wie 7, 69 4. — *χηλή* Mauermole. *Χηλὴ καλεῖται οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο.* (Sch.) vgl. 7, 53, 1. 8, 90, 4 u. Xen. An. 7, 1, 17. — *βαλλόμενος τε καὶ χαλεπῶς.* Gr. 59, 2 A. 3.

§ 2. *ἀπεῖχε* für *ἀπέχει* die beſten Hſn. vgl. Gr. 53, 2 A. 4. (Kr. z. Xen. An. 1, 4, 9 gr. A.) — *ἔστι καταφανές* es iſt ein überſichtlicher Raum, wie *πηλῶδες* 6, 101, 2. — *σημεῖα.* zu 1, 49, 1. — *διὰ τάχους* in Eile. vgl. 2, 18, 3. 85, 3. 3, 18, 1. 109, 3. 6, 69, 3. 98, 2. Sonſt nicht allgemein üblich. — *παρεγένοντο. ἐν τῇ μάχῃ.* (Sch.).

Μακεδόνες ἱππῆς ἀντιπαρετάξαντο ὡς κωλύσοντες· ἐπειδὴ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππῆς δ' οὐδετέροις παρεγένοντο. μετὰ δὲ τὴν μάχην τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι 3
καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις· ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δ' αὐτῶν πεντήκοντα καὶ ἑκατὸν καὶ Καλλίας ὁ στρατηγός.

Τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ Ἀθηναῖοι ἀπο- 64
τειχίσαντες ἐφρούρουν· τὸ δ' ἐς τὴν Παλλήνην ἀτείχιστον ἦν· οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν, δεδιότες μὴ σφίσιν οἱ Ποτιδαιᾶται καὶ οἱ ξύμμαχοι γιγνομένοις δίχα ἐπιθῶνται. καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν χρόνῳ ὕστερον πέμπουσιν ἑπτακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν καὶ Φορμίωνα τὸν Ἀσωπίου στρα- τηγόν· ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην καὶ ἐξ Ἀφύτιος 2
ὁρμώμενος προσήγαγε τῇ Ποτιδαίᾳ τὸν στρατὸν καιὰ βραχὺ προϊὼν καὶ κείρων ἅμα τὴν γῆν· ὡς δ' οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλλήνης τεῖχος. καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις. Ἀριστεὺς δὲ ἀπο- 65

---

§ 3. ὑποσπόνδους unter einem Waffenſtillſtande gewährt, der ſtehende Ausdruck. Gr. 57, 5 A. 4. Die zur Beſtattung der Gebliebenen den Waffenſtillſtand nachſuchten erklärten ſich dadurch für beſiegt. Plut. Nik. 6 u. Kr. zu Dion. p. 108. — αὐτῶν. Alſo nur die Zahl der von den Athenern ſelbſt Gebliebenen war dem Geſchichtſchreiber bekannt. Ueber das ihnen errichtete, theilweiſe erhaltene Denkmal. Boeckh. corp. inscr. I. p. 300 s.

C. 64. § 1. Τὸ δ'. Τό τ'? ἔκ hier und § 2 ſynonym mit πρός C. 62, 1, ungewöhnlich, nachgeahmt von Arrian. An. 2, 20, 10 u. 24, 1, wenn φέροντα dort zu tilgen iſt. Aehnlich 3, 51, 3. — ἀποτειχίζειν durch eine Mauer abſperren, wie die Alten bei Belagerungen pflegten, eſt rings um den belagerten Ort, περιτειχίσει. — ἀτείχιστον, οὐκ ἀποτείχιστον, ungew. Bedeutung. (Pp.) — δίχα, wie 6, 100, 1 vgl. 1, 122, 2. 7, 81, 2. Gr. 62, 2 A. 4.

§ 2. Ἀφύτιος. ein eig. ioniſcher Ge., wie Γοάξιος 4, 107, 2 und Κνίδιος 5, 51, 2. (Pp.) Κρεύσιος Xen. Ag. 2, 18. — ὁρμώμενος. Kr. zu Xen. An. 1, 1, 9.

δ' αὖ ὁ τῶν Ἀθηναίων στρατηγὸς καὶ οἱ ξυνάρχοντες τοὺς μὲν Μακεδόνας ἱππέας καὶ τῶν ξυμμάχων ὀλίγους ἐπὶ Ὀλύνθου ἀποπέμπουσιν, ὅπως εἴργωσι τοὺς ἐκεῖθεν ἐπιβοηθεῖν, αὐτοὶ δ' ἀναστήσαντες τὸ στρατόπεδον ἐχώρουν ἐπὶ τὴν Ποτίδαιαν. καὶ ἐπειδὴ πρὸς τῷ ἰσθμῷ ἐγένοντο καὶ εἶδον τοὺς ἐναντίους παρασκευαζομένους ὡς ἐς μάχην, ἀντικαθίστανται καὶ αὐτοὶ καὶ οὐ πολὺ ὕστερον ξυνέμισγον. καὶ αὐτὸ μὲν τὸ τοῦ Ἀριστέως κέρας καὶ ὅσοι περὶ ἐκεῖνον ἦσαν Κορινθίων τε καὶ τῶν ἄλλων λογάδες ἔτρεψαν τὸ καθ' ἑαυτοὺς καὶ ἐπεξῆλθον διώκοντες ἐπὶ πολύ· τὸ δὲ ἄλλο στρατόπεδον τῶν τε Ποτιδαιατῶν καὶ τῶν Πελοποννησίων ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων καὶ ἐς τὸ τεῖχος κατέφυγεν. ἐπαναχωρῶν δὲ ὁ Ἀριστεὺς ἀπὸ τῆς διώξεως, ὡς ὁρᾷ τὸ ἄλλο στράτευμα ἡσσημένον, ἠπόρησε μὲν ὁποτέρωσε διακινδυνεύσῃ χωρήσας, ἢ ἐπὶ τῆς Ὀλύνθου ἢ ἐς τὴν Ποτίδαιαν· ἔδοξε δ' οὖν ξυναγαγόντι τοὺς μεθ' ἑαυτοῦ ὡς ἐς ἐλάχιστον χωρίον δρόμῳ βιάσασθαι ἐς τὴν Ποτίδαιαν, καὶ παρῆλθε παρὰ τὴν χηλὴν διὰ τῆς θαλάσσης βαλλόμενός τε καὶ χαλεπῶς, ὀλίγους μέν τινας ἀποβαλών, τοὺς δὲ πλείους σώσας. οἱ δ' ἀπὸ τῆς Ὀλύνθου τοῖς Ποτιδαιάταις βοηθοί, ἀπέχει δὲ ἑξήκοντα μάλιστα σταδίους καὶ ἔστι καταφανές, ὡς ἡ μάχη ἐγίγνετο καὶ τὰ σημεῖα ἤρθη, βραχὺ μέν τι προῆλθον ὡς βοηθήσοντες καὶ οἱ

---

§ 3. *Μακεδόνας.* adjectiviſch, wie 1, 63, 2 und *Ἕλληνες* Xen. 6, 3, 26. (Pp.) *Μακεδονικός* wäre falſch. — *τοὺς ἐκεῖ, ἐκεῖθεν τοὺς ἐκεῖ.* Aeſch. 7 g. Th. 40: *ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων.* Dem. 1, 15: *ἀγνοεῖ τὸν ἐκεῖθεν πόλεμον δεῦρο ἥξοντα.* Gr. 50, 8 A. 15.

§ 4. *ἐτρέψαντο.* Einige Hſn. *ἔτρεψαν.* — *τό.* Gr. 43, 4 A. 17.

C. 63. § 1. *διακινδυνεύσῃ* für *διακινδυνεύσει* Bekker aus einigen Hſn. Gr. 54, 7 A. 2. vgl. 53, 7 A. 2. — *χωρῆσαι* könnte auch ſtehen vgl. 7, 1. (Pp.) — *δ' οὖν* Pp; *γοῦν* die Hſn. — *ὡς εἰς ἐλάχιστον χωρίον* auf einen möglichſt kleinen Raum, Fleck; über die Stellung des *ὡς* Gr. 49, 10 A. 1. — *βιάσασθαι* durchdringen, mit *ἐς*, wie 7, 69 4. — *χηλή* Mauermole. *Χηλὴ καλεῖται οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο.* (Sch.) vgl. 7, 53, 1. 8, 90, 4 u. Xen. An. 7, 1, 17. — *βαλλόμενος τε καὶ χαλεπῶς.* Gr. 59, 2 A. 3.

§ 2. *ἀπεῖχε* für *ἀπέχει* die beſten Hſn. vgl. Gr. 53, 2 A. 4. (Kr. z. Xen. An. 1, 4, 9 gr. A.) — *ἔστι καταφανές* es iſt ein überſichtlicher Raum, wie *πηλῶδες* 6, 101, 2. — *σημεῖα.* zu 1, 49, 1. — *διὰ τάχους* in Eile. vgl. 2, 18, 3. 85, 3. 3, 18, 1. 109, 3. 6, 69, 3. 98, 2. Sonſt nicht allgemein üblich. — *παρεγένοντο. ἐν τῇ μάχῃ.* (Sch.).

Μακεδόνες ἱππῆς ἀντιπαρετάξαντο ὡς κωλύσοντες· ἐπειδὴ δὲ διὰ τάχους ἡ νίκη τῶν Ἀθηναίων ἐγίγνετο καὶ τὰ σημεῖα κατεσπάσθη, πάλιν ἐπανεχώρουν ἐς τὸ τεῖχος καὶ οἱ Μακεδόνες παρὰ τοὺς Ἀθηναίους· ἱππῆς δ' οὐδετέροις παρεγένοντο. μετὰ δὲ τὴν μάχην τροπαῖον ἔστησαν οἱ Ἀθηναῖοι 3 καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Ποτιδαιάταις· ἀπέθανον δὲ Ποτιδαιατῶν μὲν καὶ τῶν ξυμμάχων ὀλίγῳ ἐλάσσους τριακοσίων, Ἀθηναίων δ' αὐτῶν πεντήκοντα καὶ ἑκατὸν καὶ Καλλίας ὁ στρατηγός.

Τὸ δ' ἐκ τοῦ ἰσθμοῦ τεῖχος εὐθὺς οἱ Ἀθηναῖοι ἀπο- 64
τειχίσαντες ἐφρούρουν· τὸ δ' ἐς τὴν Παλλήνην ἀτείχιστον ἦν· οὐ γὰρ ἱκανοὶ ἐνόμιζον εἶναι ἔν τε τῷ ἰσθμῷ φρουρεῖν καὶ ἐς τὴν Παλλήνην διαβάντες τειχίζειν, δεδιότες μὴ σφίσιν οἱ Ποτιδαιᾶται καὶ οἱ ξύμμαχοι γιγνομένοις δίχα ἐπιθῶνται. καὶ πυνθανόμενοι οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τὴν Παλλήνην ἀτείχιστον οὖσαν χρόνῳ ὕστερον πέμπουσιν ἑπτακοσίους καὶ χιλίους ὁπλίτας ἑαυτῶν καὶ Φορμίωνα τὸν Ἀσωπίου στρατηγόν· ὃς ἀφικόμενος ἐς τὴν Παλλήνην καὶ ἐξ Ἀφύτιος 2 ὁρμώμενος προσήγαγε τῇ Ποτιδαίᾳ τὸν στρατὸν καιὰ βραχὺ προῖὼν και κείρων ἅμα τὴν γῆν· ὡς δ' οὐδεὶς ἐπεξῄει ἐς μάχην, ἀπετείχισε τὸ ἐκ τῆς Παλλήνης τεῖχος. καὶ οὕτως ἤδη κατὰ κράτος ἡ Ποτίδαια ἀμφοτέρωθεν ἐπολιορκεῖτο καὶ ἐκ θαλάσσης ναυσὶν ἅμα ἐφορμούσαις. Ἀριστεὺς δὲ ἀπο- 65

---

§ 3. ὑποσπόνδους unter einem Waffenſtillſtande gewährt, der ſtehende Ausdruck. Gr. 57, 5 A. 4. Die zur Beſtattung der Gebliebenen den Waffenſtillſtand nachſuchten erklärten ſich dadurch für beſiegt. Plut. Nik. 6 u. Kr. zu Dion. p. 108. — αὐτῶν. Alſo nur die Zahl der von den Athenern ſelbſt Gebliebenen war dem Geſchichtſchreiber bekannt. Ueber das ihnen errichtete, theilweiſe erhaltene Denkmal. Boeckh. corp. inscr. I. p. 300 s.

C. 64. § 1. Τὸ δ'. Τό τ'? ἐκ hier und § 2 ſynonym mit πρός C. 62, 1, ungewöhnlich, nachgeahmt von Arrian. An. 2, 20, 10 u. 24, 1, wenn φέροντα dort zu tilgen iſt. Aehnlich 3, 51, 3. — ἀποτειχίζειν durch eine Mauer abſperren, wie die Alten bei Belagerungen pflegten, oft rings um den belagerten Ort, περιτειχίσει. — ἀτείχιστον, οὐκ ἀποτείχιστον, ungew. Bedeutung. (Pp.) — δίχα, wie 6, 100, 1 vgl. 1, 122, 2. 7, 81, 2. Gr. 62, 2 A. 4.

§ 2. Ἀφύτιος. ein eig. ioniſcher Ge., wie Γοάξιος 4, 107, 2 und Κνίδιος 5, 51, 2. (Pp.) Κρεύσιος Xen. Ag. 2, 18. — ὁρμώμενος. Kr. zu Xen. An. 1, 1, 9.

τειχισθείσης αὐτῆς καὶ ἐλπίδα οὐδεμίαν ἔχων σωτηρίας, ἢν μή τι ἀπὸ Πελοποννήσου ἢ ἄλλο παρὰ λόγον γίγνηται, ξυνεβούλευε μὲν πλὴν πεντακοσίων ἄνεμον τηρήσασι τοῖς ἄλλοις ἐκπλεῦσαι, ὅπως ἐπὶ πλέον ὁ σῖτος ἀντίσχῃ, καὶ αὐτὸς ἤθελε τῶν μενόντων εἶναι· ὡς δ' οὐκ ἔπειθεν, βουλόμενος τὰ ἐπὶ τουτοις παρασκευάζειν καὶ ὅπως τὰ ἔξωθεν ἕξει ὡς ἄριστα
2 ἔκπλουν ποιεῖται λαθὼν τὴν φυλακὴν τῶν Ἀθηναίων. καὶ παραμένων ἐν Χαλκιδεῦσι τά τε ἄλλα ξυνεπολέμει καὶ Σερμυλίων λοχήσας πρὸς τῇ πόλει πολλοὺς διέφθειρεν, ἕς τε τὴν Πελοπόννησον ἔπρασσεν ὅπῃ ὠφελία τις γενήσεται. μετὰ δὲ τῆς Ποτιδαίας τὴν ἀποτείχισιν Φορμίων μὲν ἔχων τοὺς ἑξακοσίους καὶ χιλίους τὴν Χαλκιδικὴν καὶ Βοττικὴν ἐδῄου καὶ ἔστιν ἃ καὶ πολίσματα εἷλεν.

66 Τοῖς δ' Ἀθηναίοις καὶ Πελοποννησίοις αἰτίαι μὲν αὗται προεγεγένηντο ἐς ἀλλήλους, τοῖς μὲν Κορινθίοις ὅτι τὴν Ποτίδαιαν ἑαυτῶν οὖσαν ἀποικίαν καὶ ἄνδρας Κορινθίων τε καὶ Πελοποννησίων ἐν αὐτῇ ὄντας ἐπολιόρκουν, τοῖς δ' Ἀθηναίοις ἐς τοὺς Πελοποννησίους ὅτι ἑαυτῶν τε πόλιν ξυμμαχίδα καὶ φόρου ὑποτελῆ ἀπέστησαν καὶ ἐλθόντες σφίσιν ἀπὸ τοῦ προφανοῦς ἐμάχοντο μετὰ Ποτιδαιατῶν. οὐ μέντοι ὅ γε πόλεμός πω ξυνερρώγει ἀλλ' ἔτι ἀνακωχὴ ἦν· ἰδίᾳ γὰρ ταῦτα
67 οἱ Κορίνθιοι ἔπραξαν. πολιορκουμένης δὲ τῆς Ποτιδαίας

C. 65. § 1. *καί* verbindet einen abſol. Ge. mit einem No., wie 6, 93, 1. 7, 51, 1. 67, 4. 8, 106, 4; *τε καί* 1, 67, 1. 3, 84, 2. Gr. 59, 2 A. 3. — *ἄλλο* wo man *ἄλλοθεν* erwarten würde. Aehnlich 5, 80, 1; *ὁπόσα ἀλλήλων πολέμῳ ἢ εἴ τι ἄλλο εἶχον.* (Kr.) — *παρὰ λόγον. παράλογον* die Hſn. Allein Th. gebraucht nur *ὁ παράλογος.* Kr. z. Dion. p. 267. — *τὰ ἐπὶ τούτοις* das zur Erhaltung dieſes Ortes Erforderliche. (Hl.) vgl. 6, 45, 1. 7, 62, 3. — *καὶ ὅπως* vollſtändig *καὶ παρασκευάζειν ὅπως.* — *Τὰ ἔξωθεν* das von auswärts zu Erwartende. Gr. 50, 8 A. 17.

§ 2. *τὰ ἄλλα*, weil man *πόλεμον πολεμεῖν* ſagt. Gr. 46, 5 A. 4. — *Σερμυλίων* hängt grammatiſch wohl nur von *πολλούς* ab. — *ἐς* eig. nach, für mit. vgl. 1, 132, 4. (Pp.) — *ὅπῃ. ὅπως* vermuthet Tuſanus; und wirklich folgt bei Th. nach *πράσσειν* ſonſt überall *ὅπως*; nur einmal auch *ὅτῳ τρόπῳ* 4, 128, 4. Doch findet ſich *ποιεῖν ὅπῃ* 6, 93, 2.

C. 66. *ξυνερρώγει.* Von feindſeligem Conflict ähnlich *συρράσσω* 8, 96, 2 u. Dion. Arch. 5, 38: *συρράξαντες ἐμάχοντο.* Sonſt *ὁ πόλεμος κατερράγη*, wie Ar. Ritter 644. vgl. Ach. 528 u. Valck. zu Eur. Hipp. 1338.

οὐχ ἡσύχαζον, ἀνδρῶν τε σφίσιν ἐνόντων καὶ ἅμα περὶ τῷ χωρίῳ δεδιότες· παρεκάλουν τε εὐθὺς ἐς τὴν Λακεδαίμονα τοὺς ξυμμάχους καὶ κατεβόων ἐλθόντες τῶν Ἀθηναίων ὅτι σπονδάς τε λελυκότες εἶεν καὶ ἀδικοῖεν τὴν Πελοπόννησον. Αἰγινῆται τε φανερῶς μὲν οὐ πρεσβευόμενοι, δεδιότες τοὺς 2
Ἀθηναίους, κρύφα δέ, οὐχ ἥκιστα μετ' αὐτῶν ἐνῆγον τὸν πόλεμον, λέγοντες οὐκ εἶναι αὐτόνομοι κατὰ τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι προσπαρακαλέσαντες τῶν ξυμμάχων καὶ εἴ τίς τι ἄλλο ἔφη ἠδικῆσθαι ὑπὸ Ἀθηναίων ξύλλογον σφῶν αὐτῶν ποιήσαντες τὸν εἰωθότα λέγειν ἐκέλευον. καὶ 3
ἄλλοι τε παριόντες ἐγκλήματα ἐποιοῦντο ὡς ἕκαστοι καὶ Μεγαρῆς, δηλοῦντες μὲν καὶ ἕτερα οὐκ ὀλίγα διάφορα, μάλιστα δὲ λιμένων τε εἴργεσθαι τῶν ἐν τῇ Ἀθηναίων ἀρχῇ καὶ τῆς Ἀττικῆς ἀγορᾶς παρὰ τὰς σπονδάς. παρελθόντες δὲ τελευταῖοι Κορίνθιοι καὶ τοὺς ἄλλους ἐάσαντες πρῶτον παροξῦναι τοὺς Λακεδαιμονίους ἐπεῖπον τοιάδε.

"Τὸ πιστὸν ὑμᾶς ὦ Λακεδαιμόνιοι τῆς καθ' ὑμᾶς αὐ- 68
τοὺς πολιτείας καὶ ὁμιλίας ἀπιστοτέρους ἐς τοὺς ἄλλους, ἢν

C. 67. § 1. *ἀνδρῶν τε ἐνόντων καὶ δεδιότες.* zu 1, 65, 1. — § 2. *κρύφα δέ* ziehe ich mit Haack zu *πρεσβευόμενοι.* vgl. z. Dion. p. 100; andre zu *ἐνῆγον*, wie Hermann zu Soph. El. 1059 u. Buttm. Mid. p. 149. Aber wozu eine Unregelmäßigkeit machen? — *Κρύφα* iſt bei Th. häufig, ſonſt wohl nicht attiſch; *κρυφῇ* hat Soph., Xen. nur Symp. 5, 8. — *ἐνάγειν* antreiben, Herodoteiſch und Thukydideiſch, *τινά* wie hier 2, 21, 3. 6, 15, 1, *τινά* 4, 21, 3, ohne Caſus 4, 24, 2. 6, 61, 1. 7, 18, 1. — *κατὰ τὰς σπονδάς.* Kr. hiſt. phil. Stud. S. 192 ff. — *τῶν ξυμμάχων καὶ εἴ τις τι ἄλλο* von den Bundesgenoſſen auch die welche etwa ſonſt noch. — *ποιεῖν* veranſtalteten, wie 2, 59, 2. 4, 114, 2. 120, 3; eben ſo *ἐκκλησίαν ποιεῖν* 1, 139, 3. 4, 118, 9. 6, 8, 2. 72, verbunden 2, 22, 1, ſyn. *ξυνάγειν* 2, 60, 1. — *ἐκέλευον, τὸν βουλόμενον.* —

§ 3. *λιμένων τε — ἀγορᾶς* durch das Megariſche Pſephisma. Krüger Stud. S. 195.

C. 68. § 1. *τὸ πιστὸν* der zuverläſſige Charakter. vgl. 2, 40, 4. Die (angebliche) Redlichkeit mit der die Lakedämonier in ihren politiſchen und Privatverhältniſſen verfuhren ließ ſie dieſelbe auch bei den Athenern vorausſetzen und eben deshalb den gegen dieſe vorgebrachten Beſchuldigungen weniger trauen: captatio benevolentiae. — *καθ' ὑμᾶς αὐτούς*, wie 1, 77, 4. — *ἄπιστος* activ mistrauiſch. vgl. 4, 17, 4. 8, 66, 4. — *ἐς.* 3, 37, 1: *διὰ τὸ καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους καὶ ἐς τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε.* vgl. Eur Or. 424: *οὐ σοφὸς ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος.* — *τοὺς ἄλλους*, die etwa als Ankläger gegen die Athener zu Euch reden. Mit Kiſtemaker *ἐς τοὺς ἄλλους* zu *λέγωμεν* gezogen wäre der Sinn nach feſtem Gebrauche der Attiker:

τι λέγωμεν, καθίστησιν· καὶ ἀπ' αὐτοῦ σωφροσύνην μὲν ἔχετε, ἀμαθίᾳ δὲ πλέονι πρὸς τὰ ἔξω πράγματα χρῆσθε. 2 πολλάκις γὰρ προαγορευόντων ἡμῶν ἃ ἐμέλλομεν ὑπὸ Ἀθηναίων βλάπτεσθαι, οὐ περὶ ὧν ἐδιδάσκομεν ἑκάστοτε τὴν μάθησιν ἐποιεῖσθε, ἀλλὰ τῶν λεγόντων μᾶλλον ὑπενοεῖτε ὡς ἕνεκα τῶν αὐτοῖς ἰδίᾳ διαφόρων λέγουσιν· καὶ δι' αὐτὸ οὐ πρὶν πάσχειν, ἀλλ' ἐπειδὴ ἐν τῷ ἔργῳ ἐσμέν, τοὺς ξυμμάχους τούσδε παρεκαλέσατε, ἐν οἷς προσήκει ἡμᾶς οὐχ ἥκιστα εἰπεῖν ὅσῳ καὶ μέγιστα ἐγκλήματα ἔχομεν, ὑπὸ μὲν Ἀθηναίων 3 ὑβριζόμενοι ὑπὸ δὲ ὑμῶν ἀμελούμενοι. καὶ εἰ μὲν ἄφανεῖς που ὄντες ἠδικοῦν τὴν Ἑλλάδα, διδασκαλίας ἂν ὡς οὐκ εἰδόσι προσέδει· νῦν δὲ τί δεῖ μακρηγορεῖν, ὧν τοὺς μὲν δεδουλωμένους ἴσμεν, τοῖς δ' ἐπιβουλεύοντας αὐτούς, καὶ οὐχ ἥκιστα τοῖς ἡμετέροις ξυμμάχοις, καὶ ἐκ πολλοῦ προπαρεσκευασμέ- 4 νους, εἴ ποτε πολεμήσονται. οὐ γὰρ ἂν Κέρκυράν τε ὑπολαβόντες βίᾳ ἡμῶν εἶχον καὶ Ποτίδαιαν ἐπολιόρκουν, ὧν τὸ

---

vor Andern ſprechen, offenbar unpaſſend. Auch ſpricht dagegen der Artikel bei ἄλλους. — ἤν τι λέγωμεν. Euphemiſtiſch von unangenehmen Aeußerungen. Dion. Br. an Pomp. 1, 15 p. 756: πρῶτος ἐπιφανήσομαι περὶ Πλάτωνος ἐπιχειρήσας τι λέγειν. Ar. Ach. 579; ξυγγνώμην ἔχε, εἰ πτωχὸς ὢν εἶπόν τι κἀστωμυλάμην. — σωφροσύνη beſonnene Mäßigung. vgl. 1, 84, 1. — πλέονι größer als es ſonſt der Fall ſein würde.

§ 2. τῶν λεγόντων ὡς. zu 1, 52, 3. — διάφορα ſtreitende, collidirende Intereſſen. vgl. 2, 37, 1: μέτεστι πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον. — τῷ ἔργῳ, τῷ πάσχειν. — ἐν vor, apud. (Ba.) Gr. 68, 12 A. 3. — ὅσῳ urſprünglich einem geſetzten oder zu denkenden τοσούτῳ aſſimilirt erhielt die Bedeutung da, wie bei vorhergehendem Comparativ 5, 108. 6, 78, 1. 89, 5, bei folgendem Superlativ 3, 45, 5. 5, 90. 6, 11, 5, ohne beides 6, 92, 4. Gr. 51, 10 A. 5.

§ 3. εἰδόσι. ἐν εἰδόσι 2, 36, 3. 4, 59, 2. 6, 77, 1. — μακρηγορεῖν. vgl. 4, 59, 2. (Pp.) — ὧν bezieht ſich auf ein im Vorhergehenden liegendes ἡμᾶς, τοὺς ξυμμάχους. vgl. 6, 68, 1 u. Soph. Aj. 457: καὶ νῦν τί χρὴ δρᾶν; ὅστις ἐμφανῶς θεοῖς ἐχθαίρομαι. — τοὺς μέν, τοὺς Αἰγινήτας. (Sch.) — εἴ ποτε ἄρα πολεμήσονται für den Fall daß ſie etwa einmal bekriegt werden ſollten, was ſie bei eurer Läſſigkeit kaum beſorgen. Auf dieſe Andeutung bezieht ſich das folgende γάρ. Paſſiv findet ſich πολεμήσεσθαι auch 8, 43, 2, Dem. 23, 110, διαπολεμήσεσθαι ſonſt Thuc. 7, 14, 2. 25, 7.

§ 4. οὐ γὰρ ἄν. zu 1, 11, 1. — ὑπολαβόντες erklärt Thom. M. προλαβόντες; es liegt wohl auch hier in ὑπό der Begriff des Unvermerkten. vgl. 1, 121, 2. 143, 1. — τό für ἤ dem Prädikat aſſimilirt. Gemeint iſt Potidäa. vgl. Kr. z. Dion. p. 159. — ἀποχρῆσθαι reichlich gebrauchen, wie 6, 17, 1. 7, 42, 5. (Hk.)

μὲν ἐπικαιρότατον χωρίον πρὸς τὰ ἐπὶ Θρᾴκης ἀποχρῆσθαι, ἡ δὲ ναυτικὸν ἂν μέγιστον παρέσχε Πελοποννησίοις."

"Καὶ τῶνδε ὑμεῖς αἴτιοι, τό τε πρῶτον ἐάσαντες αὐτοὺς 69
τὴν πόλιν μετὰ τὰ Μηδικὰ κρατῦναι καὶ ὕστερον τὰ μακρὰ
στῆσαι τείχη, ἐς τόδε τε ἀεὶ ἀποστεροῦντες οὐ μόνον τοὺς
ὑπ' ἐκείνων δεδουλωμένους ἐλευθερίας, ἀλλὰ καὶ τοὺς ὑμε-
τέρους ἤδη ξυμμάχους· οὐ γὰρ ὁ δουλωσάμενος ἀλλ' ὁ δυ- 2
νάμενος μὲν παῦσαι περιορῶν δὲ ἀληθέστερον αὐτὸ δρᾷ,
εἴπερ καὶ τὴν ἀξίωσιν τῆς ἀρετῆς ὡς ἐλευθερῶν τῶν Ἑλλάδα
φέρεται. μόλις δὲ νῦν τε ξυνήλθομεν καὶ οὐδὲ νῦν ἐπὶ φα-
νεροῖς. χρῆν γὰρ οὐκ εἰ ἀδικούμεθα ἔτι σκοπεῖν, ἀλλὰ
καθ' ὅ τι ἀμυνούμεθα· οἱ γὰρ δρῶντες βεβουλευμένοι πρὸς οὐ
διεγνωκότας ἤδη καὶ οὐ μέλλοντες ἐπέρχονται. καὶ ἐπιστά- 3
μεθα οἷᾳ ὁδῷ οἱ Ἀθηναῖοι καὶ ὅτι κατ' ὀλίγον χωροῦσιν
ἐπὶ τοὺς πέλας. καὶ λανθάνειν μὲν οἰόμενοι διὰ τὸ ἀναί-

80 "Καὶ αὐτὸς πολλῶν ἤδη πολέμων ἔμπειρός εἰμι ὦ Λακεδαιμόνιοι καὶ ὑμῶν τοὺς ἐν τῇ αὐτῇ ἡλικίᾳ ὁρῶ, ὥστε μήτε ἀπειρίᾳ ἐπιθυμῆσαί τινα τοῦ ἔργου, ὅπερ ἂν οἱ πολλοὶ πάθοιεν, μήτε ἀγαθὸν καὶ ἀσφαλὲς νομίσαντα. εὕροιτε δ' ἂν τόνδε περὶ οὗ νῦν βουλεύεσθε οὐκ ἂν ἐλάχιστον, εἰ σωφρό- 2 νως τις αὐτὸν ἐκλογίζοιτο. πρὸς μὲν γὰρ τοὺς Πελοποννησίους καὶ ἀστυγείτονας παρόμοιος ἡμῶν ἡ ἀλκὴ καὶ διὰ ταχέων οἷόν τε ἐφ' ἕκαστα ἐλθεῖν· πρὸς δὲ ἄνδρας οἳ γῆν τε ἑκὰς ἔχουσι καὶ προσέτι θαλάσσης ἐμπειρότατοί εἰσι καὶ τοῖς ἄλλοις ἅπασιν ἄριστα ἐξήρτυνται, πλούτῳ τε ἰδίῳ καὶ δημοσίῳ καὶ ναυσὶ καὶ ἵπποις καὶ ὅπλοις καὶ ὄχλῳ ὅσος οὐκ ἐν ἄλλῳ ἑνί γε χωρίῳ Ἑλληνικῷ ἐστιν, ἔτι δὲ καὶ ξυμμάχους πολλοὺς φόρου ὑποτελεῖς ἔχουσι, πῶς χρὴ πρὸς τού-

---

C. 79. § 1. *ἐς* wie 1, 66, 1. — *μεταστησάμενοι.* Kr. zu Xen. An. 2, 3, 8. — *πάντας* alle nicht Lakedämonier. (Py.) — *κατὰ σφᾶς αὐτούς*, wie 4, 65, 1, *καθ' ἑαυτούς* 4, 38, 2. 6, 13, 2. (Arndt).

§ 2. *ἐπὶ τὸ αὐτό* zu demſelben Inhalte, wie 6, 104, 1. — *ἔφερον*, wie in *ὁδὸς φέρει.* — *ἤδη καί. καὶ ἤδη* Haaſe. — *πολεμητέα.* Gr. 44, 4 A. 2.

C. 80. § 1. *καὶ αὐτός.* Ein ähnlicher Anfang 2, 60, 1. 6, 16, 1. — *ὁρῶ.* sc. *ἐμπείρους ὄντας.* (Ba.) vgl. zu 1, 78, 3. — *ἡλικία.* Archidamos regierte von Ol. 77, 4—88, 2. Kr. Stud. S. 150 ff. — *ἀπειρίᾳ. ὑπὸ ἀπειρίας* 2, 8, 1. *Γλυκὺ δὲ πόλεμος ἀπείροισιν· ἐμπείρων δέ τις ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.* Pind. b. Stob. 50, 3, Bruchſt. 7, 6. — *μήτε νομίσαντα.* Gr. 59, 2 A. 3. — *τόνδε.* Gr. 51, 7 A. 2. vgl. 4, 85, 4.

§ 2. *καὶ τοὺς ἀστυγείτονας.* Dieſe, z. B. die Arkader, Argeier, waren gleichfalls Peloponneſier; es verbindet alſo *καί* mit dem Ganzen einen Theil, wie 5, 112, 2: *ἀπὸ τῶν ἀνθρώπων καὶ Λακεδαιμονίων.* Gr. 69, 32 A. 2. — *παρόμοιος.* Gr. 22, 5 A. 2. — *ἐφ' ἕκαστα* nach jeglichem Puncte wo es etwas auszuführen gilt. — *πλούτῳ τε —.* ähnliche Stellen vergleicht Lennep. zu Phal. Br. 32. (Py.) — *ὅπλα* hier u. 1, 81, 1 durch Hopliten zu erklären (Py.) iſt kein Grund. vgl. 2, 100, 1. 6, 45 u. Lennep z. Phal. 32. — *πρὸς τούτους.* Gr. 51, 5 A. 1. — *τινι* worauf. vgl. zu 1, 20, 1.

τους ῥᾳδίως πόλεμον ἄρασθαι καὶ τίνι πιστεύσαντας ἀπαρασκεύους ἐπειχθῆναι; πότερον ταῖς ναυσίν; ἀλλ' ἥσσους 3
ἐσμέν· εἰ δὲ μελετήσομεν καὶ ἀντιπαρασκευασόμεθα, χρόνος ἐνέσται. ἀλλὰ τοῖς χρήμασιν; ἀλλὰ πολλῷ ἔτι πλέον τούτῳ ἐλλείπομεν καὶ οὔτε ἐν κοινῷ ἔχομεν οὔτε ἑτοίμως ἐκ τῶν ἰδίων φέρομεν."

"Τάχ' ἄν τις θαρσοίη ὅτι τοῖς ὅπλοις αὐτῶν καὶ τῷ 81
πλήθει ὑπερφέρομεν, ὥστε τὴν γῆν δῃοῦν ἐπιφοιτῶντες. τοῖς δὲ ἄλλη γῆ ἐστὶ πολλὴ ἧς ἄρχουσιν καὶ ἐκ θαλάσσης ὧν δέονται ἐπάξονται. εἰ δ' αὖ τοὺς ξυμμάχους ἀφιστάναι πειρασόμεθα, δεήσει καὶ τούτοις ναυσὶ βοηθεῖν, τὸ πλέον οὖσι νησιώταις. τίς οὖν ἔσται ἡμῶν ὁ πόλεμος; εἰ μὴ γὰρ ἢ 2
ναυσὶ κρατήσομεν ἢ τὰς προσόδους ἀφαιρήσομεν ἀφ' ὧν τὸ ναυτικὸν τρέφουσι, βλαψόμεθα τὰ πλέω. κἂν τούτῳ οὐδὲ καταλύεσθαι ἔτι καλόν, ἄλλως τε καὶ εἰ δόξομεν ἄρξαι μᾶλλον ἧς διαφορᾶς. μὴ γὰρ δὴ ἐκείνῃ γε τῇ ἐλπίδι ἐπαιρώμεθα ὡς ταχὺ παυθήσεται ὁ πόλεμος, ἢν τὴν γῆν αὐτῶν τάμωμεν. δέδοικα δὲ μᾶλλον μὴ καὶ τοῖς παισὶν αὐτὸν ὑπο-

---

§ 3. *μελετήσομεν*, *τὸ ναυτικόν* aus *ταῖς ναυσίν*. vgl. 1, 121, 3. 142, 3. — *ἐνέσται*. vgl. 5, 38, 5. — *ἀλλά* oder. Gr. 69, 4 A. 4. vgl. 6, 38, 4. — *τούτῳ* baran für *τούτου* Kr. vgl. Gr. 47, 16 mit 5, 97. 7, 48, 6. *τούτῳ λείπεσθαι* Plat. Georg. 475, Xen. Cyr. 1, 5, 11. — *ἐν τῷ κοινῷ* im öffentlichen Schatze. vgl. 1, 141, 2. 6, 6, 4. 8, 1, 2. „Ariſtot. Pol. 2, 6, 23: *οὔτε ἐν τῷ κοινῷ τῆς πόλεως ἔστιν οὐδὲν πολέμους μεγάλους ἀναγκαζομένους πολεμεῖν εἰσηρόυσί τε κακῶς.*" (Gb.) — *καὶ οὔτε — φέρομεν*. vgl. 141, 2 u. Ariſtot. Pol. 2, 9. (Bl.).

C. 81. § 1. *ἄν. ἂν δέ?* vgl. 6, 2, 4 mit 2, 63, 2 und Herm. Eur. Iph. T. 432. (Kr.) Hart wäre das Aſyndeton. — *ὑπερφέρομεν* übertreffen. Porſ. zu Eur. Hek. 268: *αἰχμάλωτον χρὴ τιν' ἔκκριτον θανεῖν κάλλει δ' ὑπερφέρουσαν*. vgl. Ar. Ritter 583 u. Elmsley zu Eur. Her. 554. — *ἐπάξονται*. Von der Einführung wird *ἐσάγεσθαι* gebraucht; *ἐπάγεσθαι* iſt herbeiführen. vgl. 6, 99, 3. Xen. *π. πόρων* 1, 7: *ἡ Ἀττικὴ πᾶσιν ἀνέμοις προσάγετει ὧν δεῖται*. Pp. vergleicht *οἶτος ἐπακτός* 6, 20, 3. Eben ſo *πάντα ἐπακτά* 7, 28, 1.

§ 2. *ἀφαιρήσομεν*. vgl. 122, 1. — *βλαψόμεθα* paſſiv wie 6, 64, 2. vgl. Gr. 39, 11 A. — *τὰ πλείω* in der Mehrzahl der Vorgänge wie 4, 64, 1; ähnlich *τὰ πλείω κρατοῦμεν* 2, 39, 2, *κατορθοῦντες* 2, 89, 2, *ὀρθοῦνται* 3, 37, 5. Ueber den Ac. Gr. 46, 5 A. 5, über den Artikel 50, 4 A. 12, vgl. 2 A. 8. — *μᾶλλον* mehr als die Athener. (Gr.) — *παυθ* — ohne *σ* 2, 77, 4. 5, 91, 1. 100. 6, 59, 5. (Pp.) vgl. Anb. 2, 8. — *ἐκείνῃ*. vgl. 5, 14, 2. (Pp.) — *τάμωμεν*. Seltene Form. Gr. 31, 13 A. 3. — *οὕτω* ſo ſehr. (St.) vgl. 4, 86, 4. Odyſſ. 8, 167: *οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν*. — *τῇ γῇ* der Rück-

[illegible] εἰκὸς Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δου-
[illegible] ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ."
[illegible] οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμ-
[illegible] ἐᾶν βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφω-
[illegible] ἄλλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι
[illegible] ἄγαν δηλοῦντας μήθ' ὡς ἐπιτρέψομεν, κἀν
[illegible] τὰ ἡμέτερ' αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προ-
[illegible] καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτι-
[illegible] χρημάτων δύναμιν προσληψόμεθα — ἀνεπίφθονον δέ,
[illegible] καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα, μὴ
[illegible] μόνον ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασω-
[illegible] — καὶ τὰ αὑτῶν ἅμα ἐκποριζώμεθα. καὶ ἢν μὲν
[illegible] τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ
[illegible] διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν ἄμεινον ἤδη, ἢν
[illegible] πεφραγμένοι ἴμεν ἐπ' αὐτούς. καὶ ἴσως ὁρῶντες ἡμῶν
[illegible] τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοῖα ὑποση-
[illegible] μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες
[illegible] περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευ-
[illegible] ὁμενοι. μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον

---

sicht auf Verschonung ihrer Ländereien. — δουλεῦσαι. Gr. 53, 1 A. 10 vgl. 1, 121, 1. 2, 11, 5. 73, 2. 3, 10, 3. 40, 4. 4, 85, 4. 5, 109. 6, 11, 2. 3. — καταπλαγῆναι τῷ πολέμῳ. vgl. 4, 10, 2. 5, 65, 5. 6, 34, 6. 8. 7, 72, 3. Dem. 40, 53: μὴ καταπλαγῆτε ὑπὸ τῆς κραυγῆς.

C. 82. § 1. ἀναισθήτως ungewahrt, nichts daraus machend, als Ggs. von καταφωρᾶν. vgl. 6, 86, 3. — καταφωρᾶν, ἐλέγχειν. (Sch.) — δηλοῦντας androhend. — μηθ' ὡς man wiederhole δηλοῦντας: noch zu erkennend gebend daß. (Bd.)

§ 2. ξυμμάχων τε προσαγωγῇ. Diesem entspricht καὶ τὰ αὑτῶν ἅμα ἐκποριζώμεθα, ein Anakoluth durch die Zwischensätze veranlaßt. (Bd.) — ἐπιβουλευόμεθα dem nächsten Subject angefügt, wie ποιήσησθε 3, 67, 5 u. Dem. 4, 12: ἡ τύχη ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα. vgl. Gr. 63, 1 A. 4 u. Schäfer zu Eur. Or. 1035. — αὑτῶν. Gr. 51, 2 A. 15. — ἐκποριζώμεθα. ἐκ — wohl mit Bezug auf die Schwierigkeiten. vgl. 1, 125. 6, 83, 2.

§ 3. ἐςακούειν τι, wie 1, 126, 1 u. οὐδὲν ὑπακούειν 5, 114. vgl. zu 1, 26, 3. — καὶ δύο καὶ τριῶν zwei oder drei. Schöm. zum Isä. p. 307 und Kr. zu Xen. An. 4, 7, 10. — ἤδη gehört zu παρασκευή. vgl. 1, 137, 4. 2, 38. (Kr). — ἢν δοκῇ gehört eigentlich zu ἴμεν ἐπ' αὐτούς. (Va.) — μᾶλλον — ἔχοντες. Dieser Erwartung gemäß handelte Archidamos später 2, 18, 3. (Pp.)

§ 4. μὴ ἔχειν glaubet nicht ihr Land als etwas anderes denn als Unterpfand zu haben. (Va.) — ὅμηρον. Liv. 5, 42:

ἔχειν καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀληπτοτέρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν αὐτήν, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξομεν. ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅ τι χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι."

"Καὶ ἀνανδρίαν μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελ- 83
θεῖν δοκείτω εἶναι. εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους, χρήματα φέροντες, ξύμμαχοι, καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον· ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε

---

pignus ad flectendos hostium animos habere. (Bl.) — *οὐχ ἧσσον.* zu 1, 8, 1. — *ὅσῳ*, wie 4, 114, 4. 5, 90 vgl. 5, 108.

§ 5. *τοῖς ἐγκλήμασιν ἐπειχθέντες* wegen der Beſchuldigungen eilend. Denn angetrieben heißt *ἐπειχθεῖς* nicht. — *ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξομεν* daß wir nicht ein ſchmachvolleres und nothreicheres Schickſal für den Peloponnes als für Athen (als das frühere nach Ps.) herbeiführen. — *τῶν ἰδίων* der beſondern Intereſſen Korinths u. A. vgl. 67, 2. 3. (Ds.) — *χωρήσει.* Selten erſcheint vom Simplex das Fu. in activer Form (aus Attikern kenn' ich nur dieſe Stelle); häufiger in Compoſiten, wie *ἀναχωρήσειν* 7,73,1, *ἐγχωρήσειν* Iſä. 3,34, Plat. Rep. 536, *προχωρήσειν* Thuk. 3,4,4. 94, 4, *προσχωρήσειν* 2, 2, 4. 79, 2. 80, 5. 4, 66, 3. 8, 25, 4. (*προσχωρήσεσθαι* 3, 13, 6. 5, 27, 3. 6, 88, 4. 8, 48, 5, Xen. Hell. 7, 4, 16, Plat. Rep. 539, a.), *συγχωρήσω* 1, 140, 6, Xen. Hell. 3, 2, 12, Iſokr. 6, 13, Dem. 39, 32. 56, 22, Aeſchin. 2, 126, (*συγχωρήσεσθαι* Thuk. 4, 64, 2, Dem. 20, 143, Eur. Iph. T. 741 und ſo immer bei Platon, wie *ἀποχωρήσεσθαι* Thuk. 3, 13, 4, *παραχωρήσεσθαι* Dem. 23, 105), *ὑπεκχωρήσειν* Plat. Phäd. p. 103, d. — *θέσθαι, ἀποθέσθαι, καταλῦσαι.* (Sch.) Plut. Phok. 17: *συνεβούλευεν, εἰ ἡσυχίας ὀρέγεται, θέσθαι τὸν πόλεμον. κατατίθεσθαι* 1, 121, 1.

C. **83**. § 1. *χρήματα φέροντες* habe ich durch Kommata getrennt. Denn „die Verbündeten der Lakedämonier zahlten keine Tribute." (Bl.) — *οὐχ ὅπλων τὸ πλέον* es kommt dabei weniger auf Waffen (und Bewaffnete) an. (Bd.) Gr. 47, 6 A. 9. Dem. 18, 190: *ἦν ἐκεῖνος ὁ καιρὸς τοῦ φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λόγων.* — *ἀλλά* nach dem Comparativ auch 2, 43, 2. 3. 44, 3. — *δαπάνη* aufgewendetes Geld. — *δι' ἣν.* Mit dem Ge. bezeichnet *διά* das Werkzeug, Mittel; mit dem Ac. die Veranlaſſung, zuweilen in Verbindungen wo man den Ge. erwarten würde. Plat. Phäd. p. 96, c: *ἄνθρωπος αὐξάνεται διὰ τὸ ἐσθίειν καὶ πίνειν.* Gr. 68, 23 und Sintenis zu Plut. Them. 18. — *ἄλλως τε καί* zumal bei einem bloßen Subſtantiv (ohne

λίπωμεν· οὕτως εἰκὸς Ἀθηναίους φρονήματι μήτε τῇ γῇ δουλεῦσαι μήτε ὥσπερ ἀπείρους καταπλαγῆναι τῷ πολέμῳ."

82 "Οὐ μὴν οὐδὲ ἀναισθήτως αὐτοὺς κελεύω τούς τε ξυμμάχους ἡμῶν ἐᾶν βλάπτειν καὶ ἐπιβουλεύοντας μὴ καταφωρᾶν, ἀλλὰ ὅπλα μὲν μήπω κινεῖν, πέμπειν δὲ καὶ αἰτιᾶσθαι 2 μήτε πόλεμον ἄγαν δηλοῦντας μήθ' ὡς ἐπιτρέψομεν, κἂν τούτῳ καὶ τὰ ἡμέτερ' αὐτῶν ἐξαρτύεσθαι ξυμμάχων τε προσαγωγῇ καὶ Ἑλλήνων καὶ βαρβάρων, εἴ ποθέν τινα ἢ ναυτικοῦ ἢ χρημάτων δύναμιν προσληψόμεθα — ἀνεπίφθονον δέ, ὅσοι ὥσπερ καὶ ἡμεῖς ὑπ' Ἀθηναίων ἐπιβουλευόμεθα, μὴ Ἕλληνας μόνον ἀλλὰ καὶ βαρβάρους προσλαβόντας διασω- 3 σθῆναι — καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα. καὶ ἢν μὲν ἐσακούσωσί τι πρεσβευομένων ἡμῶν, ταῦτα ἄριστα· ἢν δὲ μή, διελθόντων ἐτῶν καὶ δύο καὶ τριῶν ἄμεινον ἤδη, ἢν δοκῇ, πεφραγμένοι ἴμεν ἐπ' αὐτούς. καὶ ἴσως ὁρῶντες ἡμῶν ἤδη τήν τε παρασκευὴν καὶ τοὺς λόγους αὐτῇ ὁμοίᾳ ὑποσημαίνοντας μᾶλλον ἂν εἴκοιεν, καὶ γῆν ἔτι ἄτμητον ἔχοντες καὶ περὶ παρόντων ἀγαθῶν καὶ οὔπω ἐφθαρμένων βουλευ- 4 όμενοι. μὴ γὰρ ἄλλο τι νομίσητε τὴν γῆν αὐτῶν ἢ ὅμηρον

---

sicht auf Verſchonung ihrer Ländereien. — δουλεῦσαι. Gr. 53, 1 A. 10 vgl. 1, 121, 1. 2, 11, 5. 73, 2. 3, 10, 3. 40, 4. 4, 85, 4. 5, 109. 6, 11, 2. 3. — καταπλαγῆναι τῷ πολέμῳ. vgl. 4, 10, 2. 5, 65, 5. 6, 34, 6. 8. 7, 72, 3. Dem. 40, 53: μὴ καταπλαγῆτε ὑπὸ τῆς κραυγῆς.

C. 82. § 1. ἀναισθήτως ungewahrt, nichts daraus machend, als Ggſ. von καταφωρᾶν. vgl. 6, 86, 3. — καταφωρᾶν, ἐλέγχειν. (Sch.) — δηλοῦντας androhend. — μηθ' ὡς man wiederhole δηλοῦντας: noch zu erkennend gebend daß. (Bb.)

§ 2. ξυμμάχων τε προσαγωγῇ. Dieſem entſpricht καὶ τὰ αὐτῶν ἅμα ἐκποριζώμεθα, ein Anakoluth durch die Zwiſchenſätze veranlaßt. (Bb.) — ἐπιβουλευόμεθα dem nächſten Subject angefügt, wie ποιήσασθε 3, 67, 5 u. Dem. 4, 12: ἡ τύχη ἀεὶ βέλτιον ἢ ἡμεῖς ἡμῶν αὐτῶν ἐπιμελούμεθα. vgl. Gr. 63, 1 A. 4 u. Schäfer zu Eur. Or. 1035. — αὐτῶν. Gr. 51, 2 A. 15. — ἐκποριζώμεθα. ἐκ — wohl mit Bezug auf die Schwierigkeiten. vgl. 1, 125. 6, 83, 2.

§ 3. ἐσακούειν τι, wie 1, 126, 1 u. οὐδὲν ὑπακούειν 5, 114. vgl. zu 1, 26, 3. — καὶ δύο καὶ τριῶν zwei oder drei. Schäm. zum Iſä. p. 307 und Kr. zu Xen. An. 4, 7, 10. — ἤδη gehört zu παρασκευή. vgl. 1, 137, 4. 2, 38. (Kr). — ἢν δοκῇ gehört eigentlich zu ἴμεν ἐπ' αὐτούς. (Ba.) — μᾶλλον — ἔχοντες. Dieſer Erwartung gemäß handelte Archidamos ſpäter 2, 18, 3. (Pp.)

§ 4. μὴ ἔχειν glaubet nicht ihr Land als etwas anderes denn als Unterpfand zu haben. (Ba.) — ὅμηρον. Liv. 5, 42:

ἔχειν καὶ οὐχ ἧσσον ὅσῳ ἄμεινον ἐξείργασται· ἧς φείδεσθαι χρὴ ὡς ἐπὶ πλεῖστον καὶ μὴ ἐς ἀπόνοιαν καταστήσαντας αὐτοὺς ἀληπτοτέρους ἔχειν. εἰ γὰρ ἀπαράσκευοι τοῖς τῶν ξυμμάχων ἐγκλήμασιν ἐπειχθέντες τεμοῦμεν αὐτήν, ὁρᾶτε ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξομεν. ἐγκλήματα μὲν γὰρ καὶ πόλεων καὶ ἰδιωτῶν οἷόν τε καταλῦσαι· πόλεμον δὲ ξύμπαντας ἀραμένους ἕνεκα τῶν ἰδίων, ὃν οὐχ ὑπάρχει εἰδέναι καθ' ὅ τι χωρήσει, οὐ ῥᾴδιον εὐπρεπῶς θέσθαι."

"Καὶ ἀνανδρίαι μηδενὶ πολλοὺς μιᾷ πόλει μὴ ταχὺ ἐπελ- 83
θεῖν δοκείτω εἶναι. εἰσὶ γὰρ καὶ ἐκείνοις οὐκ ἐλάσσους, χρήματα φέροντες, ξύμμαχοι, καὶ ἔστιν ὁ πόλεμος οὐχ ὅπλων τὸ πλέον· ἀλλὰ δαπάνης, δι' ἣν τὰ ὅπλα ὠφελεῖ, ἄλλως τε

---

pignus ad flectendos hostium animos habere. (Bl.) — *οὐχ ἧσσον.* zu 1, 8, 1. — *ὅσῳ*, wie 4, 114, 4. 5, 90 vgl. 5, 108.

§ 5. *τοῖς ἐγκλήμασιν ἐπειχθέντες* wegen der Beſchuldigungen eilend. Denn angetrieben heißt *ἐπειχθείς* nicht. — *ὅπως μὴ αἴσχιον καὶ ἀπορώτερον τῇ Πελοποννήσῳ πράξομεν* daß wir nicht ein ſchmachvolleres und nothreicheres Schickſal für den Peloponnes als für Athen (als das frühere nach Ps.) herbeiführen. — *τῶν ἰδίων* der beſondern Intereſſen Korinths u. A. vgl. 67, 2. 3. (Ds.) — *χωρήσει.* Selten erſcheint vom Simpler das Fu. in activer Form (aus Attikern kenn' ich nur dieſe Stelle); häufiger in Compoſiten, wie *ἀναχωρήσειν* 7,73,1, *ἐγχωρήσειν* Iſä. 3,34, Plat. Rep. 536, *προχωρήσειν* Thuk. 3,4,4. 94, 4, *προσχωρήσειν* 2, 2, 4. 79, 2. 80, 5. 4, 66, 3. 8, 25, 4. (*προσχωρήσεσθαι* 3, 13, 6. 5, 27, 3. 6, 88, 4. 8, 48, 5, Xen. Hell. 7, 4, 16, Plat. Rep. 539, a.), *συγχωρήσω* 1, 140, 6, Xen. Hell. 3, 2, 12, Iſokr. 6, 13, Dem. 39, 32. 56, 22, Aeſchin. 2, 126, (*συγχωρήσεσθαι* Thuk. 4, 64, 2, Dem. 20, 143, Eur. Iph. T. 741 und ſo immer bei Platon, wie *ἀποχωρήσεσθαι* Thuk. 3, 13, 4, *παραχωρήσεσθαι* Dem. 23, 105), *ὑπεκχωρήσειν* Plat. Phäd. p. 103, d. — *θέσθαι, ἀποθέσθαι, καταλῦσαι.* (Sch.) Plut. Phok. 17: *συνεβούλευεν, εἰ ἡσυχίας ἄρχετε, θέσθαι τὸν πόλεμον. κατατίθεσθαι* 1, 121, 1.

C. 83. § 1. *χρήματα φέροντες* habe ich durch Kommata getrennt. Denn „die Verbündeten der Lakedämonier zahlten keine Tribute." (Bl.) — *οὐχ ὅπλων τὸ πλέον* es kommt dabei weniger auf Waffen (und Bewaffnete) an. (Bd.) Gr. 47, 6 A. 9. Dem. 18, 190: *ἣν ἐκεῖνος ὁ καιρὸς τοῦ φροντίζοντος ἀνδρὸς τῆς πόλεως καὶ τῶν δικαίων λόγων.* — *ἀλλά* nach dem Comparativ auch 2, 43, 2. 3. 44, 3. — *δαπάνη* aufgewendetes Geld. — *δι' ἣν.* Mit dem Ge. bezeichnet *διά* das Werkzeug, Mittel; mit dem Ac. die Veranlaſſung, zuweilen in Verbindungen wo man den Ge. erwarten würde. Plat. Phäd. p. 96, c: *ἄνθρωπος αὐξάνεται διὰ τὸ ἐσθίειν καὶ πίνειν.* Gr. 68, 23 und Sintenis zu Plut. Them. 18. — *ἄλλως τε καί* zumal bei einem bloßen Subſtantiv (ohne

2 καὶ ἠπειρώταις πρὸς θαλασσίους. ποριοῦμεθα οὖν πρῶτον αὐτὴν καὶ μὴ τοῖς τῶν ξυμμάχων λόγοις πρότερον ἐπαιρώμεθα, οἷπερ δὲ καὶ τῶν ἀποβαινόντων τὸ πλέον ἐπ' ἀμφότερα τῆς αἰτίας ἕξομεν, οὗτοι καὶ καθ' ἡσυχίαν τι αὐτῶν προϊδωμεν."

84 "Καὶ τὸ βραδὺ καὶ μέλλον, ὃ μέμφονται μάλιστα ἡμῶν, μὴ αἰσχύνεσθε. σπεύδοντές τε γὰρ σχολαίτερον ἂν παύσαισθε διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν· καὶ ἅμα ἐλευθέραν καὶ εὐδοξοτάτην πόλιν διὰ παντὸς νεμόμεθα· καὶ
2 δύναται μάλιστα σωφροσύνη ἔμφρων τοῦτ' εἶναι. μόνοι γὰρ δι' αὐτὸ εὐπραγίαις τε οὐκ ἐξυβρίζομεν καὶ ξυμφοραῖς ἧσσον ἑτέρων εἴκομεν· τῶν τε ξὺν ἐπαίνῳ ἐξοτρυνόντων ἡμᾶς ἐπὶ τὰ δεινὰ παρὰ τὸ δοκοῦν ἡμῖν οὐκ ἐπαιρόμεθα ἡδονῇ καὶ ἤν τις ἄρα ξὺν κατηγορίᾳ παροξύνῃ, οὐδὲν μᾶλλον ἀχθεσθέντες
3 ἐνεπείσθημεν. πολεμικοί τε καὶ εὔβουλοι διὰ τὸ εὔκοσμον γιγνόμεθα, τὸ μὲν ὅτι αἰδοῦς σωφροσύνης πλεῖστον μετέχει,

---

ὤν) wie Plat. Symp. 173, d, Krit. 50, b: πολλὰ ἂν τις ἔχοι ἄλλως τε καὶ ῥήτωρ εἰπεῖν. — ἠπειρώταις iſt an ἔστιν anzuſchließen, nicht an ὠφελεῖ, das wenigſtens bis auf Ariſtoteles nur Dichter mit dem Dativ verbinden.

§ 2. αὐτήν zu betonen nöthigt der Sinn. vgl. 6, 28, 2 und zu Xen. An. 4, 1, 13. — τῶν ἀποβαινόντων der Erfolge von αἰτίας Schuld regiert. — ἐπ' ἀμφότερα nach beiden Seiten hin, bei günſtigen wie bei ungünſtigen Erfolgen. vgl. 2, 11 6. 4, 17, 4.

C. 84. § 1. τὸ βραδύ. Ein ſächlicher Ac. bei αἰσχύνεσθαι auch 3, 14, 1. — ἡμῶν hängt von ὅ ab (St.): was unſrer Eigenſchaften, an uns. Gr. 47, 10 A. 2. Plat. Geſ. p. 685, a: τί μεμφόμενος αὐτων λέγεις; — μὴ αἰσχύνεσθε. Soph. Oed. T. 617: φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς. — καὶ ἅμα der zweite Grund iſt vom Erfolge entlehnt: eben jener langſamen Bedächtigkeit verdanke Sparta ſeine Größe. (Hf.)

§ 2. δύναται — εἶναι kann ſich als — äußern. — τοῦτο, τὸ βραδὺ καὶ μέλλον. (Sch.) — τῶν ἐποτρυνόντων hängt von ἡδονῇ ab: durch den Kitzel des Lobes der. (Gb.) — παρὰ τὸ δοκοῦν ἡμῖν gegen unſre vernünftige Ueberzeugung. — ἤ παροξύνῃ uns aufgeregt, wie die atheniſchen Geſandten. — οὐδέν. Die Negation gehört zu beiden Verben. zu 1, 12, 1. — ἀνεπείσθημεν wurden wir verleitet. — ἀνα — wie in ἀναδιδάσκειν 1, 32, 1. vgl. 1, 140, 1. 2. 2, 14, 1. 65, 1. 101, 3. 3, 94, 3. 6, 60, 2. 87, 1. 89, 2. 8, 5, 2.

§ 3. τὸ εὔκοσμον iſt wohl ſynonym mit σωφροσύνη (Vp.), wie αἰδώς Scheu vor Schande, das militäriſche Ehrgefühl mit αἰσχύνη. vgl. Elmsley zu Eur. Her. 201. Der Gedankengang alſo: aus der beſonnenen Haltung entſprießt das ihr verwandte Ehrgefühl; aus dem Ehrgefühl der Muth. Ueber den Gedanken vgl. Xen. Cyr. 8, 1, 33 und Pol. 6, 48, 4. — πλεῖστον, wie

αἰσχύνης δὲ εὐψυχία, εὔβουλοι δὲ ἀμαθέστερον τῶν νόμων τῆς ὑπεροψίας παιδευόμενοι καὶ ξὺν χαλεπότητι σωφρονέστερον ἢ ὥστε αὐτῶν ἀνηκουστεῖν, καὶ μὴ τὰ ἀχρεῖα ξυνετοὶ ὄντες, τὰς τῶν πολεμίων παρασκευὰς λόγῳ καλῶς μεμφόμενοι ἀνομοίως ἔργῳ ἐπεξιέναι, νομίζειν δὲ τάς τε διανοίας τῶν πέλας παραπλησίους εἶναι καὶ τὰς προσπιπτούσας τύχας οὐ λόγῳ διαιρετάς. ἀεὶ δὲ ὡς πρὸς εὖ βουλευο- 4
μένους τοὺς ἐναντίους ἔργῳ παρασκευαζώμεθα· καὶ οὐκ ἐξ ἐκείνων ὡς ἁμαρτησομένων ἔχειν δεῖ τὰς ἐλπίδας, ἀλλ' ὡς ἡμῶν αὐτῶν ἀσφαλῶς προνοουμένων. πολύ τε διαφέρειν οὐ δεῖ νομίζειν ἄνθρωπον ἄνθρώπου, κράτιστον δὲ εἶναι ὅστις ἐν τοῖς ἀναγκαιοτάτοις παιδεύεται."

"Ταύτας οὖν ἃς οἱ πατέρες τε ἡμῖν παρέδοσαν μελέτας 85
καὶ αὐτοὶ διὰ παντὸς ὠφελούμενοι ἔχομεν μὴ παρῶμεν μηδ' ἐπειχθέντες ἐν βραχεῖ μορίῳ ἡμέρας περὶ πολλῶν σωμάτων καὶ χρημάτων καὶ πόλεων καὶ δόξης βουλεύσωμεν, ἀλλὰ καθ' ἡσυχίαν. ἔξεστι δ' ἡμῖν μᾶλλον ἑτέρων διὰ ἰσχύν. 2

3, 83, 1. vgl. 6, 40, 1. 7, 63, 2 u. Gr. 47, 15 A. 1. — *τῆς ὑπεροψίας* f. *ἢ ὥστε ὑπερορᾶν*, ein ſeltener Sprachgebrauch. Lyſ. Bruchſt. 6: *νεώτερός εἰμὶ τοῦ συμβουλεύειν.* Ueber die Sache vgl. 3, 37, 5. u. Ar. Rhet. 1, 15: *τὸ τῶν νόμων σοφώτερον ζητεῖν εἶναι, τοῦτ' ἐστὶν ὃ ἐν τοῖς ἐπαινουμένοις νόμοις ἀπαγορεύεται* — *ξὺν χαλεπότητι* mit Strenge der Zucht. vgl. 2, 39, 3. — *καὶ μή.* Man ergänze *παιδευόμενοι* (Pp.) oder denke vielmehr *οἷοι τε.* vgl. zu 1, 70, 2. — *τὰ ἀχρεῖα ξυνετοί.* Mit Bezug auf Redegewandtheit, hier zunächſt ein Hieb auf die beredten Korinthier. — *ἐπεξιέναι* eig. auf die Feinde loszugehen, wie immer bei Th. außer 3, 82, 8, hier allgemeiner wie *ἔργῳ ἐπεξέρχεται* 1, 120, 1. 5, 9, 7. — *διανοίας — τύχας.* vgl. 6, 11, 5. — *παραπλήσιος* ſonſt dreier Endungen 3, 89 3. 7, 70, 1. Iſokr. 7, 78. 12, 57 u. a. — *προσπίπτειν, συμβαίνειν.* Sch. zu 7, 28, 4. vgl. Iſokr. 9, 43. 15, 131. Eur. Melan. 26: *τὰ προσπίπτοντα ὅστις εὖ φέρει βροτῶν σοφὸν νομίζω σωφρονεῖν τέ μοι δοκεῖ.* — *διαιρετάς* mit Worten zu ſcheiden und zu entwickeln; matt und unpaſſend; vielleicht *δὴ αἱρετάς* mit Worten zu bewältigen.

§ 4. *ὡς πρός.* Gr. 68, 8. — *καὶ οὐκ —.* Derſelbe Rath Iſokr. 8, 60. (Bl.) — *ἀλλ' ὡς. ἀλλὰ δεῖ τὰς ἐλπίδας ἔχειν ὡς* als ob, variirte Rede. — *ἐν τοῖς ἀναγκαιοτάτοις* in den größten Drangſalen, doch mit Beziehung auf *τὰς διανοίας κ. τ. λ.* Menander: *ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.* Der ganze Gedanke iſt hier nicht recht an ſeiner Stelle. Der Wunſch einen bedeutenden Gedanken anzubringen verleitet beim erſten Entwurf leicht die Angemeſſenheit weniger zu berückſichtigen.

C. 85. § 1. *μελέτας* ohne Artikel. Kr. zu Xen. An. 1, 5, 16. — *παρίημι* beſeitige, wie 4, 86, 3 vgl. 27, 3.

καὶ πρὸς τοὺς Ἀθηναίους πέμπετε μὲν περὶ τῆς Ποτιδαίας, πέμπετε δὲ περὶ ὧν οἱ ξύμμαχοί φασιν ἀδικεῖσθαι, ἄλλως τε καὶ ἑτοίμων ὄντων αὐτῶν δίκας δοῦναι· ἐπὶ δὲ τὸν δι-
3 δόντα οὐ πρότερον νόμιμον ὡς ἐπ' ἀδικοῦντα ἰέναι. παρασκευάζεσθε δὲ τὸν πόλεμον ἅμα. ταῦτα γὰρ [καὶ] κράτιστα βουλεύσεσθε καὶ τοῖς ἐναντίοις φοβερώτατα."

Καὶ ὁ μὲν Ἀρχίδαμος τοιαῦτα εἶπεν· παρελθὼν δὲ Σθενελαΐδας τελευταῖος, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ἐν τοῖς Λακεδαιμονίοις ὧδε.

86 "Τοὺς μὲν λόγους τοὺς πολλοὺς τῶν Ἀθηναίων οὐ γιγνώσκω· ἐπαινέσαντες γὰρ πολλὰ ἑαυτοὺς οὐδαμοῦ ἀντεῖπον ὡς οὐκ ἀδικοῦσι τοὺς ἡμετέρους ξυμμάχους καὶ τὴν Πελοπόννησον· καίτοι εἰ πρὸς τοὺς Μήδους ἐγένοντο ἀγαθοὶ τότε, πρὸς δ' ἡμᾶς κακοὶ νῦν, διπλασίας ζημίας ἄξιοί εἰσιν,
2 ὅτι ἀντ' ἀγαθῶν κακοὶ γεγένηνται. ἡμεῖς δὲ ὁμοῖοι καὶ τότε καὶ νῦν ἐσμεν, καὶ τοὺς ξυμμάχους, ἢν σωφρονῶμεν, οὐ περιοψόμεθα ἀδικουμένους οὐδὲ μελλήσομεν τιμωρεῖν· οἱ δ' οὐκέτι μέλλουσι κακῶς πάσχειν. ἄλλοις μὲν γὰρ χρήματά ἐστι πολλὰ καὶ νῆες καὶ ἵπποι, ἡμῖν δὲ ξύμμαχοι ἀγαθοί, οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστίν, οὐδὲ δίκαις καὶ λόγοις διακριτέα μὴ λόγῳ καὶ αὐτοὺς βλαπτομένους, ἀλλὰ
3 τιμωρητέα ἐν τάχει καὶ παντὶ σθένει. καὶ ὡς ἡμᾶς πρέπει βουλεύεσθαι ἀδικουμένους μηδεὶς διδασκέτω, ἀλλὰ τοὺς μέλλοντας ἀδικεῖν μᾶλλον πρέπει πολὺν χρόνον βουλεύεσθαι. ψηφίζεσθε οὖν ὦ Λακεδαιμόνιοι ἀξίως τῆς Σπάρτης τὸν πόλεμον καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι,

---

§ 2. *ἰσχύν, ἣν ἔχομεν.* (Sch.) — *ἑτέρων* für *ἢ ἑτέροις*, wie 2, 15, 1. 6, 1, 1. 16, 1. 7, 63, 1. Gr. 47, 27 A. 1.

C. 86. § 1. *πολλά.* Gr. 46, 11 A. 2. — *διπλασίας.* vgl. 3, 67, 1. (Pp.)

§ 2. *καὶ τότε.* erg. *ἦμεν.* vgl. 3, 40, 1. 6, 60, 2. Gr. 62, 4 A. 2 u. Schäfer zum Dem. 1 p. 415. — *ἄλλοις — ἀγαθοί.* gegen Archidamos Worte 1, 80, 2 gerichtet. (Sch.) — *αὐτούς* erg. *ἡμᾶς.* — *βλαπτομένους* statt des Dativs, da in *διακριτέα* ein *δοῦ* enthalten ist. Gr. 56, 18 A. 3.

§ 3. *καταπροδιδόναι* völlig verrathen, wie 3, 63, 3 u. Herod. 8, 94. — *ἐπίωμεν πρός*, wie 2, 65, 7. 4, 92, 7. (Pp.). Für *πρός* haben mehrere Hfn. *ἐπί.* Die Präposition zu tilgen (Pp.) wäre doch bedenklich, da sich *ἐπιέναι* nicht leicht mit dem bloßen Ac. findet.

μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν, ἀλλὰ ξὺν τοῖς θεοῖς ἐπίωμεν πρὸς τοὺς ἀδικοῦντας."

Τοιαῦτα δὲ λέξας ἐπεψήφιζεν αὐτὸς ἔφορος ὢν ἐς τὴν 87
ἐκκλησίαν τῶν Λακεδαιμονίων. ὁ δέ, κρίνουσι γὰρ βοῇ καὶ οὐ ψήφῳ, οὐκ ἔφη διαγιγνώσκειν τὴν βοὴν ὁποτέρα μείζων, ἀλλὰ βουλόμενος αὐτοὺς φανερῶς ἀποδεικνυμένους τὴν γνώμην ἐς τὸ πολεμεῖν μᾶλλον ὁρμῆσαι ἔλεξεν· "ὅτῳ μὲν ὑμῶν 2
ὦ Λακεδαιμόνιοι δοκοῦσι λελύσθαι αἱ σπονδαὶ καὶ οἱ Ἀθηναῖοι ἀδικεῖν, ἀναστήτω ἐς ἐκεῖνο τὸ χωρίον", δείξας τι χωρίον αὐτοῖς, "ὅτῳ δὲ μὴ δοκοῦσιν, ἐς τὰ ἐπὶ θάτερα." ἀναστάντες δὲ διέστησαν, καὶ πολλῷ πλείους ἐγένοντο οἷς ἐδόκουν αἱ σπονδαὶ λελύσθαι. προσκαλέσαντές τε τοὺς ξυμ- 3
μάχους εἶπον ὅτι σφίσι μὲν δοκοῖεν ἀδικεῖν οἱ Ἀθηναῖοι, βούλεσθαι δὲ καὶ τοὺς πάντας ξυμμάχους παρακαλέσαντες ψῆφον ἐπαγαγεῖν, ὅπως κοινῇ βουλευσάμενοι τὸν πόλεμον ποιῶνται, ἢν δοκῇ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου, δια- 4
πραξάμενοι ταῦτα, καὶ οἱ Ἀθηναίων πρέσβεις ὕστερον, ἐφ' ἅπερ ἦλθον χρηματίσαντες· ἡ δὲ διαγνώμη αὕτη τῆς ἐκκλησίας, τοῦ τὰς σπονδὰς λελύσθαι, ἐγένετο ἐν τῷ τετάρτῳ

C. 87. § 1. *ἐς.* Regelmäßig ſagt man *ἐπιψηφίζειν τινά* ohne *ἐς*, dies von Th. vielleicht zugefügt um zwei Ac. zu vermeiden: denn *τοιαῦτα* oder daraus *ταῦτα* gehört auch zu *ἐπεψήφισεν*. vgl. Kr. zu Xen. An. 5, 1, 14. — *ὁ δέ, κρίνουσι γάρ.* Dieſelbe Geſtaltung der Rede 1, 104, 2. 3, 3, 1. 52, 3. — *ὁρμῆσαι* wird hier wie 1, 127, 2 u. 2, 20, 2 tranſitiv zu faſſen ſein. (Pp.) Gr. 52, 2 A. 1.

§ 2. *ἀναστήτω ἐς*, wie 7, 49, 2. 8, 45, 1. vgl. Gr. 68, 21 A. 4. — *δείξας* ſchließt ſich, ein parentheſiſcher Zuſatz des Schriftſtellers, an *ἔλεξεν* § 1 an. vgl. 1, 136, 4. 137, 4. 6, 58, Iſokr. 12, 215, Pol. 15, 26, 3. Arr. An. 1, 13, 6. 29, 2. Schöm. z. Iſ. p. 207 f. — *τὰ ἐπὶ θάτερα.* Gr. 43, 4 A. 3. vgl. 7, 37, 2. 84, 3.

§ 3. *τοὺς ξυμμάχους* die Geſandten der Bundesgenoſſen. vgl. 1, 79, 1. (Pp.) — *ψῆφον ἐπαγαγεῖν* abſtimmen laſſen. vgl. 119, 1. 125, 1. — *ποιῶνται.* Vielleicht *ποιήσωνται*, um den Anfang zu bezeichnen.

§ 4. *χρηματίσαι* (diplomatiſch) verhandeln. vgl. 5, 5, 1. 61, 1. 6, 62, 4. — *διαγνώμη* für *διάγνωσις* Entſcheidung, wie noch 3, 42, 1 u. 67, 5. Das Wort iſt dem Th. eigenthümlich. (Sch.) — *ἐν* bei einer Ordinalzahl, wie 6, 59, 5 und *ἐν ὀγδόῳ μηνί* Plat. Phädr. 276, b. vgl. Gr. 47, 2. — *ἐν τῷ ἔτει* für *ἐς τὸ ἔτος προσεχωρηκυιῶν καὶ ἐν τῷ ἔτει ὄντων*, eine Sprechweiſe die auch gute Schriftſteller ſich beim Perfect

ἔτει καὶ δεκάτῳ τῶν τριακοντουτίδων σπονδῶν προκεχωρηκυιῶν, αἳ ἐγένοντο μετὰ τὰ Εὐβοϊκά.

88 Ἐψηφίσαντο δὲ οἱ Λακεδαιμόνιοι τὰς σπονδὰς λελύσθαι καὶ πολεμητέα εἶναι, οὐ τοσοῦτον τῶν ξυμμάχων πεισθέντες τοῖς λόγοις ὅσον φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐπὶ μεῖζον δυνηθῶσιν, ὁρῶντες αὐτοῖς τὰ πολλὰ τῆς Ἑλλάδος ὑπο-
89 χείρια ἤδη ὄντα. οἱ γὰρ Ἀθηναῖοι τρόπῳ τοιῷδε ἦλθον ἐπὶ τὰ πράγματα ἐν οἷς ηὐξήθησαν. ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης νικηθέντες καὶ ναυσὶ καὶ πεζῷ ὑπὸ Ἑλλήνων καὶ οἱ καταφυγόντες αὐτῶν ταῖς ναυσὶν ἐς Μυκάλην διεφθάρησαν, Λεωτυχίδης μὲν ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῶν ἐν Μυκάλῃ Ἑλλήνων, ἀπεχώρησεν
2 ἐπ' οἴκου ἔχων τοὺς ἀπὸ Πελοποννήσου ξυμμάχους· οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ἀπὸ Ἰωνίας καὶ Ἑλλησπόντου ξύμμαχοι, ἤδη ἀφεστηκότες ἀπὸ βασιλέως, ὑπομείναντες Σηστὸν ἐπολιόρκουν Μήδων ἐχόντων καὶ ἐπιχειμάσαντες εἷλον αὐτὴν

---

erlauben. Gr. 68, 12 A. 2. — ἔτει. Dieſelbe Trennung der Zahlen durch das Subſtantiv 1, 96, 2. 116, 1. 4, 39, 1. 7, 34, 3, Dem. 9, 23. 27, 35. 34, 24. 25. 41, an welchen Stellen die kleinere Zahl folgt; umgekehrt 34, 25 u. Plat. Geſ. 810, a: τρία μὲν ἔτη καὶ δέκα. — τῶν τριακοντουτίδων σπονδῶν 1, 115, 1.

C. 88. πολεμητέα auch 6, 50, 4, ἐπιχειρητέα 1, 118, 3. 2, 3, 2, πλευστέα 6, 25, 2, ἀνθεκτέα 1, 93, 3, παριτητέα 1, 72, 1, παραδοτέα und διακριτέα 1, 86, 2. Gr. 44, 4 A. 2. — φοβούμενοι τοὺς Ἀ. μή. Gr. 61, 6 A. 5. — ἐπὶ μεῖζον. zu 1, 16. — δυνηθῶσιν mächtig würden. zu 1, 3, 2. — τὰ πολλά. faſt etwas zu viel geſagt.

C. 89. § 1. Die C. 89 bis 118 enthalten eine Epiſode über die (faſt) funfzig Jahre zwiſchen dem zweiten perſiſchen und dem peloponneſiſchen Kriege, von den alten Grammatikern πεντηκοντέτια genannt. Eine genauere Erörterung dieſer Parthie, beſonders rückſichtlich der Chronologie, in Krügers hiſteriſch philologiſchen Studien S. 1—223. — ἦλθον ἐπὶ τὰ πράγματα machten ſich an die Unternehmungen. 2 36, 3. Antiph. 6, 20: ἄξιον ἐνθυμηθῆναι οἵῳ τρόπῳ ἔρχονται ἐπὶ τὰ πράγμαται. — τῶν ἐν Μυκάλῃ Ε. die H. die bei M. gekämpft hatten. vgl. 2, 34, 3. 3, 113, 2. 4, 57, 4. Ar. Ri. 355: κασαλβάσω τοὺς ἐν Πύλῳ στρατηγούς. Plat. Gorg. 516, d: Μιλτιάδην τὸν Μαραθῶνι. Ariſtoph. Theſm. 806: ἐκείνην τὴν Μαραθῶνι. Ueber die Sache 3, 10, 1, Her. 9, 114.

§ 2. ἤδη, ſchon bei Mykale nach Her. 9, 114. — Μήδων ἐχόντων. Dieſelbe Ausdrucksweiſe 1, 94. 98, 1. 103, 2. vgl. 5, 4, 1. 39, 1. 7, 2, 2. Ueber die Sache Her. 9, 114 ff. vgl. 7, 33. 78. — αὐτήν. ἡ Σηστός auch Xen. Hell. 1, 2, 13 u. Ag. 2, 26, aber ὁ Σ. Hell. 4, 8, 5. 6, Dem. 23, 158. 159 und Ephoros bei Steph. B. unter Σηστός.

ἐκλιπόντων τῶν βαρβάρων, καὶ μετὰ τοῦτο ἀπέπλευσαν ἐξ Ἑλλησπόντου ὡς ἕκαστοι κατὰ πόλεις. Ἀθηναίων δὲ τὸ 3
κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, διεκομίζοντο εὐθὺς ὅθεν ὑπεξέθεντο παῖδας καὶ γυναῖκας καὶ τὴν περιοῦσαν κατασκευήν, καὶ τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη· τοῦ τε γὰρ περιβόλου βραχέα εἱστήκει καὶ οἰκίαι αἱ μὲν πολλαὶ πεπτώκεσαν, ὀλίγαι δὲ περιῆσαν, ἐν αἷς αὐτοὶ ἐσκήνησαν οἱ δυνατοὶ τῶν Περσῶν.

Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβείᾳ, 90
τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ' ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, τὸ δὲ πλέον τῶν ξυμμάχων ἐξοτρυνόντων καὶ φοβουμένων τοῦ τε ναυτικοῦ αὐτῶν τὸ πλῆθος, ὃ πρὶν οὐχ ὑπῆρχεν, καὶ τὴν ἐς τὸν Μηδικὸν πόλεμον τόλμαν γενομένην. ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν 2
ἔξω Πελοποννήσου μᾶλλον ὅσοις ξυνειστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους, τὸ μὲν βουλόμενον καὶ ὕποπτον τῆς γνώμης οὐ δηλοῦντες ἐς τοὺς Ἀθηναίους, ὡς δὲ τοῦ βαρβάρου, εἰ αὖθις ἐπέλθοι, οὐκ ἂν ἔχοντος ἀπ' ἐχυροῦ ποθεν, ὥσπερ νῦν ἐκ τῶν Θηβῶν, ὁρμᾶσθαι· τήν τε Πελο-

---

§ 3. εὐθύς. Kr. Stud. S. 11. — ὅθεν borther wo(hin). zweideutiger wäre ὅποι oder ὅπου. Gr. 51, 13 A. 9; bekanntlich aus Salamis, Aegina, Troizen. — ὑπεξέθεντο. der eigentliche Ausdruck. vgl. Her. 5, 15, Lyſ. 2, 34. 36, Soph. El. 297, Xen Cyr. 6, 1, 26, Lyk. Leokr. 53, Dem. 19, 194. Diod. 17, 41, Arr. An. 4, 18, 4. — παῖδας καὶ γυναῖκας ohne Artikel. vgl. zu Xen An. 1, 4, 8. — ὀλίγαι δέ. Nach Her. 9, 13 hätte Mardonios bei ſeinem Abzuge eben nichts übrig gelaſſen.

C. 90. § 1. πρεσβείᾳ, διὰ πρεσβείας. (Py.) Aeſch. 3, 95: ἀφικνεῖται οὐκέτι δ' ἀγγέλων ἀλλ' αὐτός. (Pflugk zu Eur. Herk. 7.) — ἥδιον ἂν ὁρῶντες, ὅτι ἥδιον ἂν ἑώρων. — μή gegen Gr. 67, 8 A. 1, weil eine Abwehr bezeichnet wird. — τὸ δὲ πλέον hauptſächlich aber, wie 8, 47, 2. — τόλμαν. Ueber die Stellung zu 1, 11, 3; über dieſen Unternehmungsgeiſt Kr. zu Dion p. XXXV.

§ 2. ξυνειστήκει, περίβολος δηλυνότι. (Sch.) oder τείχη aus τειχίζειν, wie 1, 91, 1 zu ὕψος λαμβάνει aus τειχίζεται. Einige Hſn. εἱστήκει. — τὸ βουλόμενον die Abſicht. Eur. Iph. A. 1270: οὐσ' ἐπὶ τὸ κείνου βουλόμενον ἐλήλυθα. 386: τὸ λελογισμένον παρεὶς. vgl. zu 1, 36, 1. — τῆς γνώμης gehört auch zu τὸ βουλόμενον So τὸ ὀργιζόμενον τῆς γνώμης 2, 59, 2, ἐν τῷ διαλλάσσοντι τῆς γνώμης 3, 10, 1, τῆς γνώμης τὸ θυμούμενον 7, 68, 1. — ὡς δὲ ſchließt ſich wie δηλοῦντες dem ἠξίουν an: ſie forderten als ob —, d. h. indem ſie vorſchützten der Barbar werde auf dieſe Weiſe nicht irgend einen feſten Platz zum ὁρμητήριον haben; über

πόννησον πᾶσιν ἔφασαν ἱκανὴν εἶναι ἀναχώρησίν τε καὶ ἀ-
3 φορμήν. οἱ δ' Ἀθηναῖοι Θεμιστοκλέους γνώμῃ τοὺς μὲν Λακεδαιμονίους ταῦτ' εἰπόντας, ἀποκρινάμενοι ὅτι πέμψουσιν ὡς αὐτοὺς πρέσβεις περὶ ὧν λέγουσιν, εὐθὺς ἀπῆλλαξαν· ἑαυτὸν δ' ἐκέλευεν ἀποστέλλειν ὡς τάχιστα ὁ Θεμιστοκλῆς ἐς τὴν Λακεδαίμονα, ἄλλους δὲ πρὸς ἑαυτῷ ἑλομένους πρέσβεις μὴ εὐθὺς ἐκπέμπειν, ἀλλ' ἐπισχεῖν μέχρι τοσούτου ἕως ἂν τὸ τεῖχος ἱκανὸν ἄρωσιν ὥστε ἀπομάχεσθαι ἐκ τοῦ ἀναγκαιοτάτου ὕψους· τειχίζειν δὲ πάντας πανδημεὶ τοὺς ἐν τῇ πόλει καὶ αὐτοὺς καὶ γυναῖκας καὶ παῖδας, φειδομένους μήτε ἰδίου μήτε δημοσίου οἰκοδομήματος ὅθεν τις ὠφελία
4 ἔσται ἐς τὸ ἔργον, ἀλλὰ καθαιροῦντας πάντα. καὶ ὁ μὲν ταῦτα διδάξας καὶ ὑπειπὼν τἆλλα ὅτι αὐτὸς τἀκεῖ πράξοι ᾤχετο. καὶ ἐς τὴν Λακεδαίμονα ἐλθὼν οὐ προσῄει πρὸς τὰς ἀρχάς, ἀλλὰ διῆγε καὶ προὐφασίζετο. καὶ ὁπότε τις αὐτὸν ἔροιτο τῶν ἐν τέλει ὄντων ὅ τι οὐκ ἐπέρχεται ἐπὶ τὸ κοινόν, ἔφη τοὺς ξυμπρέσβεις ἀναμένειν, ἀσχολίας δέ τινος οὔσης αὐτοὺς ὑπολειφθῆναι, προσδέχεσθαι μέντοι ἐν τάχει
91 ἥξειν καὶ θαυμάζειν ὡς οὔπω πάρεισιν. οἱ δέ, ἀκούοντες τῷ μὲν Θεμιστοκλεῖ ἐπείθοντο διὰ φιλίαν αὐτοῦ, τῶν δὲ ἄλλων ἀφικνουμένων καὶ σαφῶς κατηγορούντων ὅτι τειχίζεταί τε καὶ ἤδη ὕψος λαμβάνει, οὐκ εἶχον ὅπως χρὴ ἀπιστῆ-

---

ὁρμᾶσθαι Kr. Ind. zu Xen. An. — νῦν jüngſt, im letzten Kriege. Eur. Hek. 1144: ἐν ᾧπερ νῦν ἐκάμομεν. Joh. T. 327: αὖθις τὸ νῦν ὑπεῖκον ῥᾶσσον πέτροις. — ἀναχώρησιν Zufluchtsort. vgl. 7, 49, 3. 85, 4. — ἀφορμήν, ὁρμητήριον.

§ 3. μέχρι τοσούτου ἕως findet ſich nicht leicht verbunden; ähnlich μέχρι τούτου μέχρι οὗ Plat. Rep. 471, c. — ἀπομάχεσθαι von der Mauer herab kämpfen. Cyr. 3, 1, 1: ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ὡς ἂν ἱκανὰ ἀπομάχεσθαι εἴη. — ἱκανόν ſo daß ſie zureichend ſei. Gr. 57, 4 A. 2. — ὕψους iſt mir verdächtig; eben ſo τοὺς ἐν τῇ πόλει, das weniger beſagt als πανδημεί. Gewiß benutzte man auch die Bewohner der Demen. — ἔσται. Gr. 53, 7 A. 8.

§ 4. τἆλλα τἀκεῖ die übrigen in Lakedämon zu führenden Verhandlungen. Ueber den doppelten Artikel Gr. 59, 9 A. 2. vgl. 6, 15, 1. — διῆγε, ἐβράδυνε. Thom. M. — ὅ τι weshalb. (Dr.) — ἐπέρχεται angehe, ſich wende, um zu verhandeln. vgl. 1, 91, 3. — τὸ κοινόν die Regierung.

C. 91. § 1. τῶν ἄλλων. Der Artikel bei ἄλλος enthält zuweilen eine ziemlich dunkele δεῖξις, ſo daß οἱ ἄλλοι faſt für ἄλλοι zu ſtehen ſcheint: die übrigen welche eben in Betracht kommen. vgl. 1, 22, 2. 2, 11, 5. 3, 36, 2. — λαμβάνει. zu 1, 90, 2. — μὴ μᾶλλον nicht

σαι. γνοὺς δ' ἐκεῖνος κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας οἵτινες χρηστοὶ καὶ πιστιῶς ἀπαγγελοῦσι σκεψάμενοι. ἀποστέλλουσιν οὖν, καὶ 2
περὶ αὐτῶν ὁ Θεμιστοκλῆς τοῖς Ἀθηναίοις κρύφα πέμπει κελεύων ὡς ἥκιστα ἐπιφανῶς κατασχεῖν καὶ μὴ ἀφεῖναι πρὶν ἂν αὐτοὶ πάλιν κομισθῶσιν· ἤδη γὰρ καὶ ἦκον αὐτῷ οἱ ξυμπρέσβεις, Ἀβρώνιχός τε ὁ Λυσικλέους καὶ Ἀριστείδης ὁ Λυσιμάχου, ἀγγέλλοντες ἔχειν ἱκανῶς τὸ τεῖχος· ἐφοβεῖτο γὰρ μὴ οἱ Λακεδαιμόνιοι σφᾶς, ὁπότε σαφῶς ἀκούσειαν, οὐκέτι ἀφῶσιν. οἵ τε οὖν Ἀθηναῖοι τοὺς πρέσβεις ὥσπερ 3
ἐπεστάλη κατεῖχον καὶ Θεμιστοκλῆς ἐπελθὼν τοῖς Λακεδαιμονίοις ἐνταῦθα δὴ φανερῶς εἶπεν ὅτι ἡ μὲν πόλις σφῶν τετείχισται ἤδη ὥστε ἱκανὴ εἶναι σώζειν τοὺς ἐνοικοῦντας, εἴ δέ τι βούλονται Λακεδαιμόνιοι ἢ οἱ ξύμμαχοι πρεσβεύεσθαι παρὰ σφᾶς, ὡς πρὸς διαγιγνώσκοντας τὸ λοιπὸν εἶναι τά τε σφίσιν αὐτοῖς ξύμφορα καὶ τὰ κοινά. τήν τε γὰρ πόλιν ὅτε 4
ἐδόκει ἐκλιπεῖν ἄμεινον εἶναι καὶ ἐς τὰς ναῦς ἐσβῆναι, ἄνευ ἐκείνων ἔφασαν γνόντες τολμῆσαι, καὶ ὅσα αὖ μετ' ἐκείνων βουλεύεσθαι, οὐδενὸς ὕστεροι γνώμῃ φανῆναι. δοκεῖν οὖν σφίσι καὶ νῦν ἄμεινον εἶναι τὴν ἑαυτῶν πόλιν τεῖχος ἔχειν, καὶ ἰδίᾳ τοῖς πολίταις καὶ ἐς τοὺς πάντας ξυμμάχους ὠφε-

---

jedoch 5, 9, 3, 7, 36, 2; οὐ μᾶλλον ἤ 1, 73, 2. 2, 40, 4. 41, 1. 44, 1 ꝛc. — χρηστοί. εἰσί fehlt, obgleich καί mit einem Verbum folgt. Gr. 62, 1 A. 4 u. 5.

§ 2. πέμπει. Gr. 60, 7 A. 4. — αὐτοί er ſelbſt nebſt ſeinen Mitgeſandten. Gr. 58, 4 A. 3. — Ἀβρώνιχος wird wohl richtiger mit ι als mit υ geſchrieben, da es das ὑποχοριστικόν von Ἄβρων zu ſein ſcheint. vgl. die Erkl. zu Greg. Kor. p. 290 ss. (Schäfer z. Dem. 5 p. 142.) Erwähnt wird der Mann auch von Her. 8, 21. — γάρ. Auch dieſes γάρ bezieht ſich auf den Satz ὁ Θεμιστοκλῆς ꝛc. vgl. 3, 2 u. Gr. 69, 14 A. 2.

§ 3. ἐνταῦθα δή nach einem Particip auch 2, 58, 2; bei einer Parentheſe Xen. An. 4, 3, 30. — πρεσβεύεσθαι παρὰ σφᾶς ſcheint verdächtig. vgl. 2. 12, 2. (Kr.) — ὡς — εἶναι, εἶπεν εἶναι τὸ λοιπὸν πρὸς σφᾶς ὡς πρὸς δ. Gr. 68, 8. — τὰ κοινά. Man denke dazu ξύμφορα. Aehnlich τὰ ἴδια ξυμφέροντα, τὰ κοινὰ ξυμφέροντα Dionyſ. Arch. 11, 15 p. 2191, 10. 18 p. 2199, 2.

§ 4. ἄνευ ἐκείνων ohne ihren Rath, Geheiß. vgl. 1, 128, 2. 2, 70, 3. 72, 3. — βουλεύεσθαι. Gr. 53, 2 A. 9 u. 55, 4 A. 9. — οὐδενὸς ὕστεροι nemine inferiores, nicht geringer, untüchtiger als irgend Jemand. vgl. 2, 60 4. 8, 68, 2. Gr. 47, 27 A. 3. — ἰδίᾳ. ἰδίᾳ τε? — ἐς τούς iſt hier geſagt weil nicht, wie beim Dativ,

λιμώτερον ἔσεσθαι· οὐ γὰρ οἷόν τ' εἶναι μὴ ἀπὸ ἀντιπάλου παρασκευῆς ὁμοῖόν τι ἢ ἴσον ἐς τὸ κοινὸν βουλεύεσθαι. ἢ πάντας οὖν ἀτειχίστους ἔφη χρῆναι ξυμμαχεῖν ἢ καὶ τάδε
92 νομίζειν ὀρθῶς ἔχειν. οἱ δὲ Λακεδαιμόνιοι ἀκούσαντες ὀργὴν μὲν φανερὰν οὐκ ἐποιοῦντο τοῖς Ἀθηναίοις· οὐδὲ γὰρ ἐπὶ κωλύμῃ ἀλλὰ γνωμης παραινέσει δῆθεν τῷ κοινῷ ἐπρεσβεύσαντο, ἅμα δὲ καὶ προσφιλεῖς ὄντες ἐν τῷ τότε διὰ τὴν ἐς τὸν Μῆδον προθυμίαν τὰ μάλιστ' αὐτοῖς ἐτύγχανον· τῆς μέντοι βουλήσεως ἁμαρτάνοντες ἀδήλως ἤχθοντο. οἵ τε πρέσβεις ἑκατέρων ἀπῆλθον ἐπ' οἴκου ἀνεπικλήτως.

93 Τούτῳ τῷ τρόπῳ οἱ Ἀθηναῖοι τὴν πόλιν ἐτείχισαν ἐν ὀλίγῳ χρόνῳ. καὶ δήλη ἡ οἰκοδομία ἔτι καὶ νῦν ἐστιν ὅτι κατὰ σπουδὴν ἐγένετο· οἱ γὰρ θεμέλιοι παντοίων λίθων ὑπόκεινται καὶ οὐ ξυνειργασμένων ἔστιν ἥ, ἀλλ' ὡς ἕκαστοί ποτε προσέφερον, πολλαί τε στῆλαι ἀπὸ σημάτων καὶ λίθοι εἰργασμένοι ἐγκατελέγησαν. μείζων γὰρ ὁ περίβολος πανταχῇ ἐξήχθη τῆς πόλεως, καὶ διὰ τοῦτο πάντα ὁμοίως κι-

---

unmittelbare Betheiligung sondern ein Beyug vorgeſtellt wird. vgl. 1, 32, 2. — μή. Gr. 67, 9. vgl. 1, 141, 5. 3, 67, 1. — ἀπό. Gr. 68, 16 A 7. Der Gedanke: bei nicht gleichen Kampfmitteln in ähnlicher Weiſe ebenmäßig (wie Andere) und gleich gewichtig (zu 1, 27, 1) ſeine Auctorität bei Berathungen für das Gemeinwohl geltend zu machen.

C. 92 ὀργὴν ποιεῖσθαι für ὀργίζεσθαι auch Her. 7, 105. — οὐδὲ γάρ ſ. v. a. καὶ γὰρ οὔ. — κωλύμη iſt ein Thukydideiſches Wort vgl. 4, 27, 3. 63, 1, nachgeahmt von Herodian 8, 1, 6. 5, 5 u. A. — γνώμης παραινέσει zur Anempfehlung einer Anſicht. — δῆθεν angeblich. vgl. 1, 127, 1. 3, 68, 1. 111, 1. 4, 99. — τῷ κοινῷ, ὑπὲρ τοῦ κανοῦ. (Sch.) zweifelhaft ob zu παραινέσει oder ἐπρεσβεύσαντο gehörig. — ἁμαρτάνοντες. Man möchte ἁμαρτόντες erwarten; aber ähnlich Xen. Mem. 3, 9, 12: ἁμαρτάνων ζημιωθήσεται. vgl. über ἀδικῶ zu 1, 38, 2. — ἀνεπικλήτως, οὐδὲν ἐγκληθέντες. (Sch.) Ein Gerücht (Andok. 3, 38), aufgegriffen von Theopompos (Plut. Them. 19), ließ die Lakedämonier durch Geld, Beſtechung der Ephoren, begünſtigt werden.

C. 93. § 1. δήλη — ὅτι. Gr. 56, 4 A. 8. — οἱ θεμέλιοι λίθων. Gr. 47, 8 A. 3. — ξυνειργασμένων zugehauen daß ſie an einander paßten vgl. ξυνῳκοδομημένοι 1, 93, 3. — ἔστιν ᾗ, κατά πως τόπους. (Sch.) Gr. 61, 5 A. 5. vgl. 3, 18, 3. 4, 32, 3. 7, 29, 2. 70, 6. — ἕκαστοι. Einige Hſſ. und Valla ἕκαστον. — εἰργασμένοι. οἷον ἐγγεγλυμμένοι τύπους τινὰς καὶ πρόσωπα ἔχοντες. (Sch.) — ἐγκατελέγησαν, ἐγκατῳκοδομήθησαν. (Sch.) — μείζων. Gr. 57, 4 A. 2. vgl. 2, 75, 4. — τῆς πόλεως hängt von περίβολος ab. vgl. zu 1, 33, 1. — κινεῖν ſteht eben ſo in dem Sprüchworte πάντα λίθον κινεῖν.

νοῦντες ἠπείγοντο. ἔπεισε δὲ καὶ τοῦ Πειραιῶς τὰ λοιπὰ ὁ 2
Θεμιστοκλῆς οἰκοδομεῖν — ὑπῆρκτο δ' αὐτοῦ πρότερον ἐπὶ τῆς
ἐκείνου ἀρχῆς ἧς καὶ ἐνιαυτὸν Ἀθηναίοις ἦρξεν — νομίζων τὸ
τε χωρίον καλὸν εἶναι, λιμένας ἔχον τρεῖς αὐτοφυεῖς, καὶ
αὐτοὺς ναυτικοὺς γεγενημένους μέγα προφέρειν ἐς τὸ κτήσα-
σθαι δύναμιν· τῆς γὰρ δὴ θαλάσσης πρῶτος ἐτόλμησεν εἰ- 3
πεῖν ὡς ἀνθεκτέα ἐστὶ καὶ τὴν ἀρχὴν εὐθὺς ξυγκατεσκεύαζεν.
καὶ ᾠκοδόμησαν τῇ ἐκείνου γνώμῃ τὸ πάχος τοῦ τείχους ὅπερ
νῦν ἔτι δῆλόν ἐστι περὶ τὸν Πειραιᾶ· δύο γὰρ ἅμαξαι ἐναν-
τίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. ἐντὸς δὲ οὔτε χάλιξ οὔτε
πηλὸς ἦν, ἀλλὰ ξυνῳκοδομημένοι μεγάλοι λίθοι καὶ ἐντομῇ

---

§ 2. ἔπεισε. So auch Plat. Gorg. p. 455, e. — τὰ λοιπά, was noch nicht gebaut war. — ὑπῆρκτο es war angefangen. vgl zu 1, 6, 4. — ἧς-ἦρξε. Ol. 74, 3 nach Kr. hist. phil. Stud. S. 13 ff. Der Ausdruck bezeichnet auch sonst vorzugsweise den ersten Archon, den spätere Schriftsteller ἐπώνυμος nennen. — Ἀθηναίοις. Gr. 47, 20 A. 2. vgl. 2, 2, 1. 6, 54, 6. — τρεῖς, Zea, Aphrodision, Kantharos. vgl. die Erkl. zu Nep. Them. 6, 1 u. Kruse Hellas 2 S 113 s. Für Aphrodision würde Πειραιεὺς κατ' ἐξοχήν eintreten nach Kapp de re nau. Ath. p. 3. — αὐτοὺς — δύναμιν daß sie, ein Seevolk geworden, in Bezug auf Erwerbung von Macht (darin) großen Vorzug hätten. Eur. Med. 1090: καὶ φημι βροτῶν οἵτινες εἰσὶν πάμπαν ἄπειροι μηδ' ἐμπύτευσαν παῖδας προφέρειν εἰς εὐτυχίαν τῶν γειναμένων.

§ 3. τὴν ἀρχήν erklärt man gewöhnlich die Herrschaft, was weder der Stellung nach dem ξυγκατεσκεύαζε noch der Sache recht gemäß ist. Es scheinen sich vielmehr die Worte dem Satze ὑπῆρκτο — ἦρξεν anzuschließen und der Sinn zu sein: den Anfang des Baues half er gleich mit einrichten. Mit Bezug darauf errichtete er nebst seinen Amtsgenossen einen Hermen mit der Inschrift: ἀρξάμενοι πρῶτοι τειχίζειν τόνδ' ἀνέθηκαν. Kr. hist. phil. Stud. S. 23. — εὐθύς, ἅμα τῷ συμβουλεῦσαι. (Sch.) — ὅπερ bezieht sich auf πάχος. Kr. Leben des Thuk. S. 72 f. — ἐναντίαι ἀλλήλαις τοὺς λίθους ἐπῆγον. Schon der Scholiast zweifelt ob von einem bloßen Begegnen die Rede sei oder von der Verbindung zweier Wagen. In diesem Sinne übersetzte Heilmann: die Steine dazu wurden auf zwei neben einander gestellten Blockwagen herbeigefahren. Allein dieser Deutung widerstrebt ἐναντίας; und daß Th. nur die Breite bezeichnen wollte deutet γάρ an. Aber freilich wenn er nur dies wollte, warum sagte er denn τοὺς λίθους ἐπῆγον? warum nicht παρῆλασαν ἄν? vgl. Ar. Vögel 1127 u. Curt. 5, 1, 25. Wie konnte ferner gerade beim Bau ein solches Begegnen vorkommen? An die bloße Möglichkeit desselben zu denken verbietet der Ausdruck. — χάλικες sind nach dem Schol. zu Ar. Vögeln 839 οἱ εἰς τὰς οἰκοδομὰς μικροὶ λίθοι. Der Singular steht als Materialis. Gr. 44, 1 A. 1. — ἐντομῇ, wie für ἐν τομῇ einige Hss. bieten, durch Zuhauen, ἐγγώνιοι viereckig, also viereckig zugehauen. „Ἐγγώ-

ἐγγώνιοι, σιδήρῳ πρὸς ἀλλήλους τὰ ἔξωθεν καὶ μολύβδῳ
4 δεδεμένοι. τὸ δὲ ὕψος ἥμισυ μάλιστα ἐτελέσθη οὗ διενοεῖτο. ἐβούλετο γὰρ τῷ μεγέθει καὶ τῷ πάχει ἀφιστάναι τὰς τῶν πολεμίων ἐπιβουλάς, ἀνθρώπων τε ἐνόμιζεν ὀλίγων καὶ τῶν ἀχρειοτάτων ἀρκέσειν τὴν φυλακήν, τοὺς δ' ἄλλους ἐς
5 τὰς ναῦς ἐσβήσεσθαι. ταῖς γὰρ ναυσὶ μάλιστα προσέκειτο, ἰδών, ὡς ἐμοὶ δοκεῖ, τῆς βασιλέως στρατιᾶς τὴν κατὰ θάλασσαν ἔφοδον εὐπορωτέραν τῆς κατὰ γῆν οὖσαν· τόν τε Πειραιᾶ ὠφελιμώτερον ἐνόμιζε τῆς ἄνω πόλεως, καὶ πολλάκις τοῖς Ἀθηναίοις παρήνει, ἢν ἄρα ποτὲ κατὰ γῆν βιασθῶσι, καταβάντας ἐς αὐτὸν ταῖς ναυσὶ πρὸς ἅπαντας ἀνθίστασθαι. Ἀθηναῖοι μὲν οὖν οὕτως ἐτειχίσθησαν καὶ τἆλλα κατεσκευάζοντο εὐθὺς μετὰ τὴν Μήδων ἀναχώρησιν.

94 Παυσανίας δὲ ὁ Κλεομβρότου ἐκ Λακεδαίμονος στρατηγὸς τῶν Ἑλλήνων ἐξεπέμφθη μετὰ εἴκοσι νεῶν ἀπὸ Πελοποννήσου· ξυνέπλεον δὲ καὶ Ἀθηναῖοι τριάκοντα ναυσὶ καὶ

νιος für τετράγωνος gebraucht auch Josephus p. 108, 21 und in der Nachahmung dieser Stelle p. 702, 3." (Bl.) vgl. App. Mithr. 30. — τὰ ἔξωθεν. Gr. 66, 3 A. 4. vgl. 2, 13, 6, 78, 1. — μολύβδῳ ist nach den Grammatikern zu schreiben (Fischer z. Weller 1 p. 167), wenn gleich hier von Seiten der Hss. μολίβδῳ bewährter ist. — δεδεμένοι indem die eisernen Klammern mit Blei eingegossen waren. (Jacobs). Her. 1, 186: οἰκοδόμεε γέφυραν δέουσα τοὺς λίθους σιδήρῳ τε καὶ μολύβδῳ.

§ 4. ἥμισυ οὗ, ἥμισυ τούτου ὅ. Appian. Mithr. 30 gibt an: ὕψος ἦν τὰ τείχη πήχεων τεσσαράκοντα μάλιστα. — ἀφιστάναι, ἀποτροπὴν ποιεῖν, ἀποπέμπειν. (Sch.) — ἐπιβουλάς. Prokop. 2 p. 177: ἀρκέσειν τὸν περίβολον ταῖς τῶν πολεμίων ἐπιβουλαῖς. (Pp.) Der φυλακῇ entgegengesetzt 7, 70, 6. Mehrere Hss. haben ἐπιβολάς, was wohl hier wie 3, 45, 4 Versuch, Unternehmen bedeuten könnte, wie auch der Schol. hier es durch ἐπιθέσεις erklärt. — τῶν ἀχρειοτάτων, οἷον γερόντων καὶ παίδων. (Sch.) τῶν πρεσβυτάτων καὶ τῶν νεωτάτων 2, 13, 6. (Thyrwall). vgl. 2, 6, 3. 44, 3. 78, 2 u. Kr. zu Xen. An. 5, 2, 21.

§ 5. προσέκειτο, τὸν νοῦν προσεῖχε. (Sch.) — τῆς ἄνω πόλεως. Der Ausdruck bezeichnet auch sonst die eigentliche Stadt im Gegensatze des Hafens, wie 2, 48, 1. vgl. 4, 66, 3. (Pp.) — τοῖς Ἀθηναίοις — καταβάντας. Kr. zu Xen. An. 1, 2, 1. — ἐτειχίσθησαν wurden mit einer Mauer versehen. (Sch.) Ungewöhnlich. — κατεσκευάζοντο. vgl. zu 1, 10, 2.

C. 94. ἐξεπέμφθη. Im Frühling Ol. 75, 3, v. Ch. G. 477 nach Krüger hist. phil. Stud. S. 37 f. — τριάκοντα unter Aristeides u. Kimon. Plut. Ar. 23.

τῶν ἄλλων ξυμμάχων πλῆθος. καὶ ἐστράτευσαν ἐς Κύπρον καὶ αὐτῆς τὰ πολλὰ κατεστρέψαντο, καὶ ὕστερον ἐς Βυζάντιον Μήδων ἐχόντων καὶ ἐξεπολιόρκησαν. ἐν τῇδε τῇ ἡγε- 95
μονίᾳ ἤδη βιαίου ὄντος αὐτοῦ οἵ τε ἄλλοι Ἕλληνες ἤχθοντο καὶ οὐχ ἥκιστα οἱ Ἴωνες καὶ ὅσοι ἀπὸ βασιλέως νεωστὶ ἠλευθέρωντο· φοιτῶντές τε πρὸς τοὺς Ἀθηναίους ἠξίουν αὐτοὺς ἡγεμόνας σφῶν γενέσθαι κατὰ τὸ ξυγγενὲς καὶ Παυσανίᾳ μὴ ἐπιτρέπειν, ἤν που βιάζηται. οἱ δὲ Ἀθηναῖοι ἐδέ- 2
ξαντό τε τοὺς λόγους καὶ προσεῖχον τὴν γνώμην ὡς οὐ περιοψόμενοι τἆλλά τε κατασησόμενοι ἢ φαίνοιτο ἄριστα αὐτοῖς. ἐν τούτῳ δὲ οἱ Λακεδαιμόνιοι μετεπέμποντο Παυσανίαν ἀνακρινοῦντες ὧν πέρι ἐπυνθάνοντο· καὶ γὰρ ἀδικία πολλὴ κατηγορεῖτο αὐτοῦ ὑπὸ τῶν Ἑλλήνων τῶν ἀφικνουμένων καὶ τυραννίδος μᾶλλον ἐφαίνετο μίμησις ἡ στρατηγία. ξυνέβη τε αὐτῷ καλεῖσθαί τε ἅμα καὶ τοὺς ξυμμάχους τῷ 3
ἐκείνου ἔχθει παρ' Ἀθηναίους μετατάξασθαι πλὴν τῶν ἀπὸ Πελοποννήσου στρατιωτῶν. ἐλθὼν δὲ ἐς Λακεδαίμονα τῶν μὲν ἰδίᾳ πρός τινα ἀδικημάτων εὐθύνθη, τὰ δὲ μέγιστα ἀπολύεται μὴ ἀδικεῖν· κατηγορεῖτο δὲ αὐτοῦ οὐχ ἥκιστα μηδισμὸς καὶ ἐδόκει σαφέστατον εἶναι. καὶ ἐκεῖνον μὲν οὐκέτι 4
ἐκπέμπουσιν ἄρχοντα, Λόρκιν δὲ καὶ ἄλλους τινὰς μετ' αὐτοῦ στρατιὰν ἔχοντας οὐ πολλήν· οἷς οὐκέτι ἐφίεσαν οἱ ξύμ-

---

C. 95. § 1. *δέ* nach *ἤδη* habe ich mit einer guten Hs. und St. *δέ* getilgt und *ἐν τῇδε τῇ ἡγεμονίᾳ* zu dieſem C. gezogen. vgl. Studien S. 37 f. — *βιαίου*. vgl. 1, 130, Plut. Ariſt. 23, Kim. 6. (Pp.) — *νεωστί*. vgl. 1, 89, 2.

§ 2. *προσεῖχον τὴν γνώμην* nicht bloß von betrachtender Aufmerkſamkeit, wie 2, 11, 2. 5, 26, 4, ſondern von thätiger Theilnahme, wie 7, 15, 2. 23, 1. Ueber die Sache vgl. Her. 8, 3, Plut. Ariſt. 23, Kim. 6, Nep. Ariſt. 2, Lyſias 2, 47 p. 195. — *αὐτοῖς* auf die Athener zu beziehen drängt der Sinn. So findet ſich *αὐτῶν* ꝛc. auch ſonſt für *σφῶν* ꝛc., wie 5, 32, 4. 6, 35. 7, 17, 3. 8, 46, 4. vgl. 5, 40, 2. 49, 3. — *αὐτοῦ*. Gr. 52, 4 A. 4. vgl. unten § 3 und Her. 7, 205; mir unbekannt iſt *κατηγοροῦμαι ἀδικίαν*. — *ἡ στρατηγία*. Andre wollen lieber *ἡ στρ.*, um ein Subject zu haben, wofür ſich jedoch ein unbeſtimmtes *τις* denken läßt, wie Herodian 5, 1, 4: *ἀριστοκρατία μᾶλλον ἢ βασιλεία νομισθήσεται*. Dieſer Gegenſatz iſt häufig, wie Iſokr. 4, 80, Plut. Lyſ. 8, Xen. Hell. 6, 4, 34.

§ 3. *τὰ μέγιστα* hängt wohl von *ἀδικεῖν* ab. — *σαφέστατον*. vgl. 1, 132, 2.

§ 4. *ἐκεῖνον μὲν* — . vgl. 128, 2. — *ἐνεῖδον*. vgl. 3, 30, 2 u. Buttm. zu Soph. Phil. 852 p. 143. (Pp.) — *ἐφίεσαν*, *ἐπέπρεπον*.

μαχοι τὴν ἡγεμονίαν. οἱ δὲ αἰσθόμενοι ἀπῆλθον, καὶ ἄλλους οὐκέτι ὕστερον ἐξέπεμψαν οἱ Λακεδαιμόνιοι, φοβούμενοι μὴ σφίσιν οἱ ἐξιόντες χείρους γίγνωνται, ὅπερ καὶ ἐν τῷ Παυσανίᾳ ἐνεῖδον, ἀπαλλαξείοντες δὲ καὶ τοῦ Μηδικοῦ πολέμου καὶ τοὺς Ἀθηναίους νομίζοντες ἱκανοὺς ἐξηγεῖσθαι καὶ σφίσιν ἐν τῷ τότε [παρόντι] ἐπιηδείους.

96 Παραλαβόντες δὲ οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν τούτῳ τῷ τρόπῳ ἑκόντων τῶν ξυμμάχων διὰ τὸ Παυσανίου μῖσος, ἔταξαν ἃς τε ἔδει παρέχειν τῶν πόλεων χρήματα πρὸς τὸν βάρβαρον καὶ ἃς ναῦς· πρόσχημα γὰρ ἦν ἀμύνασθαι ὧν 2 ἔπαθον δηοῦντας τὴν βασιλέως χώραν. καὶ ἑλληνοταμίαι τότε πρῶτον Ἀθηναίοις κατέστη ἀρχή, οἳ ἐδέχοντο τὸν φόρον· οὕτω γὰρ ὠνομάσθη τῶν χρημάτων ἡ φορά. ἦν δ' ὁ πρῶτος φόρος ταχθεὶς τετρακόσια τάλαντα καὶ ἑξήκοντα. ταμιεῖόν τε Δῆλος ἦν αὐτοῖς καὶ αἱ ξύνοδοι ἐς τὸ ἱερὸν ἐγί-
97 γνοντο. ἡγούμενοι δὲ αὐτονόμων τὸ πρῶτον τῶν ξυμμάχων καὶ ἀπὸ κοινῶν ξυνόδων βουλευόντων τοσάδε ἐπῆλθον πολέμῳ τε καὶ διαχειρίσει πραγμάτων μεταξὺ τοῦδε τοῦ πολέμου καὶ τοῦ Μηδικοῦ, ἃ ἐγένετο πρός τε τὸν βάρβαρον αὖ-

---

Suidas u. Heſ. — *τοὺς Ἀθηναίους*, die ſogar auf den Rath der Lakedämonier von den Hellenen zu Hegemonen erwählt worden wären, freilich nur nach einem lakoniſchen Zeugniſſe bei Xen. Hell. 6, 5, 34. — *ἱκανούς*. Gr. 55, 4 A. 4 u. 3, 3. — *παρόντι* iſt wohl zu tilgen. vgl. 1, 92. 4, 12, 3 (Kr.) — *ἐπιηδείους, φίλους*. vgl. 8, 47, 1. (Gb.).

C. 96. § 1. *ἑκόντων*. was Themiſtokles nach Plut. Them 7 vorhergeſagt. vgl. Iſokr. 7, 17. 8, 30. Xen. *π. πόρων* 5, 5. — *πρόσχημα, πρόφασις*. (Sch.) So ſchon Her. 4, 167. 6, 44. 133. — *ὧν*. Gr. 47, 21.

§ 2. *Ἑλληνοταμίαι* genannt weil ſie die Gelder der Hellenen verwalteten. vgl. Bekker Anecd. p. 248, 29. Ueber den No. Gr. 60, 2 A. 2. vgl. Xen. *π. πόρων* 2, 7: *ὀργανοφύλακας ἀρχὴν καθίσταμεν*. — *φόρος* gebraucht ſo ſchon Her. 1, 6. 27. 3, 13. 91. 92. 93. Als auch dieſer Name verhaßt geworden ſubſtituirte man um Ol. 100 die Benennung *σύνταξις*. (Dr.) — *τετρακόσια τ. καὶ ἑξήκοντα*. Dieſelbe Zahl bei Plut. Ariſt. 24, Nep. Ariſt. 3, Diod 12, 40; falſch 11, 47. — *αἱ* die üblichen. Gr. 50, 2 A. 3. — *ξύνοδοι* der Abgeordneten, (*σύνεδροι*, wie ſie wenigſtens ſpäter heißen. Bekker Anecd. p. 302, 14. vgl. Iſokr 8, 29.) vgl. 1, 97, 1 und über die Sache Diod. 11, 47. Als der gemeinſchaftliche Schatz Ol 87, 1 nach Athen verlegt wurde, enthielt er ungefähr 8000 Talente nach Diod. 12, 38; 10000 nach 12, 40. 13, 21; mehr als 10000 nach 12, 54.

C. 97. § 1. *ἀπό* von — aus ſ. v. a. unter, bei. vgl. 8, 79, 1 u. zu 1, 97, 1. — *ἐπῆλθον, διεπράξαντο*. (Sch.) vgl. zu 1, 70,

τοῖς καὶ πρὸς τοὺς σφετέρους ξυμμάχους νεωτερίζοντας καὶ Πελοποννησίων τοὺς ἀεὶ προστυγχάνοντας ἐν ἑκάστῳ. ἔγρα- 2
ψα δὲ αὐτὰ καὶ τὴν ἐκβολὴν τοῦ λόγου ἐποιησάμην διὰ τόδε ὅτι τοῖς πρὸ ἐμοῦ ἅπασιν ἐκλιπὲς τοῦτο ἦν τὸ χωρίον καὶ ἢ τὰ πρὸ τῶν Μηδικῶν Ἑλληνικὰ ξυνετίθεσαν ἢ αὐτὰ τὰ Μηδικά· τούτων δ' ὅσπερ καὶ ἥψατο ἐν τῇ Ἀττικῇ ξυγγραφῇ, Ἑλλάνικος βραχέως τε καὶ τοῖς χρόνοις οὐκ ἀκριβῶς ἐπεμνήσθη. ἅμα δὲ καὶ τῆς ἀρχῆς ἀπόδειξιν ἔχει τῆς τῶν Ἀθηναίων ἐν οἵῳ τρόπῳ κατέστη.

Πρῶτον μὲν Ἠιόνα τὴν ἐπὶ Στρυμόνι Μήδων ἐχόντων 98
πολιορκίᾳ εἷλον καὶ ἠνδραπόδισαν Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος. ἔπειτα Σκῦρον τὴν ἐν τῷ Αἰγαίῳ νῆσον, ἣν ᾤκουν Δόλοπες, ἠνδραπόδισαν καὶ ᾤκισαν αὐτοί. πρὸς δὲ 2
Καρυστίους αὐτοῖς ἄνευ τῶν ἄλλων Εὐβοέων πόλεμος ἐγένετο καὶ χρόνῳ ξυνέβησαν καθ' ὁμολογίαν. Ναξίοις δὲ ἀποστᾶσι μετὰ ταῦτα ἐπολέμησαν καὶ πολιορκίᾳ παρεστήσαντο, πρώτη τε αὕτη πόλις ξυμμαχὶς παρὰ τὸ καθεστηκὸς

---

3. — σφετέρους. zu 1, 15, 2. — προστυγχάνοντας, ἐμποδίζοντας. (Sch.) Wohl nur: die dabei waren. Xen. Cyr. 6, 3, 2: οἱ προστυγχάνοντες τῶν ἀρχόντων ἐπεμέλοντο. [Dem.] 25, 96: ὁ προστυχὼν ἀεὶ τιμωρείσθω. — ἕκαστον jeder Vorfall. vgl. 6, 86, 2.

§ 2. ἔγραψα. s. zu 1, 1, 1. — ἐκβολή ist der ältere Ausdruck für das spätere, von Thom. M. verworfene παρέκβασις, Abschweifung, Excurs, Episode; dem Thuc. nachgebraucht mit λόγου von Arrian. Anab. 6, 11, 8, ohne dasselbe von Plut. π. τῆς Ἡροδ. κακοηθείας 3 u. Appian. Mithr. 28; παρεκβολή hat Dion. Br. an Pomp. 6, 11. — ἐκλιπές vernachlässigt, nicht behandelt, ein erst von Arrian. An. 1, 12, 2 wieder aufgenommenes Wort. — χωρίον Parthie, ähnlich Her. 2, 117, Lyk. 31 u. Luc. Ἀημ. ἐγκ. 15. — ἐν τῇ Ἀττικῇ ξυγγραφῇ. So Arrian An. 6, 16, 5 ἐν τῇ Ἰνδικῇ συγγραφῇ. Gewöhnlich wird dies Werk des Hellanikos, das wenigstens aus vier Büchern bestand, unter dem Namen Ἀτθίς angeführt. Sturz Hellan. p. 53. — οὐκ ἀκριβῶς. Ueberall für unzuverlässig erklärt den Hellanikos Strabo 10 p. 451. vgl. Sturz p. 16 ss. — τοῖς χρόνοις der Chronologie nach. vgl. 5, 26, 3. — ἔχει, ταῦτα, die Darstellung dieser Parthie. — τῆς ἀρχῆς. Gr. 61, 6 A 4. vgl. Lys. 29, 1, Lyk. 90, Ar. Ritter 876. — ἐν οἵῳ τρόπῳ κατέστη in welchen Verhältnissen sie bestand. vgl. zu 1, 8, 3.

C. 98. § 1. Πρῶτον μὲν —. Die Sache fiel in den Sommer Ol. 75, 4 und 76, 1, v. Ch. G. 476. Kr. phil. hist Stud. S. 39 f. — Ἠιόνα. Das η in diesem Namen ist ein stummes. vgl. Pp. Var. zu 4, 7. — ἔπειτα —. Ol. 76, 1, v Ch. G. 476. Kr. Stud. S. 40 ff. — ᾤκισαν. Einige Hss. ᾤκησαν. vgl. zu 1, 8, 1.

§ 2. αὕτη allein ist Subject (vgl. zu 1, 1, 2) und πρώτη πόλις

ἐδουλώθη, ἔπειτα δὲ καὶ τῶν ἄλλων ὡς ἑκάστῃ ξυνέβη.
99 αἰτίαι δ' ἄλλαι τε ἦσαν τῶν ἀποστάσεων καὶ μέγισταὶ αἱ τῶν φόρων καὶ νεῶν ἔκδειαι καὶ λειποστράτιον εἴ τῳ ἐγένετο· οἱ γὰρ Ἀθηναῖοι ἀκριβῶς ἔπρασσον καὶ λυπηροὶ ἦσαν οὐκ εἰωθόσιν οὐδὲ βουλομένοις ταλαιπωρεῖν προσάγοντες
2 τὰς ἀνάγκας. ἦσαν δέ πως καὶ ἄλλως οἱ Ἀθηναῖοι οὐκέτι ὁμοίως ἐν ἡδονῇ ἄρχοντες, καὶ οὔτε ξυνεστράτευον ἀπὸ τοῦ ἴσου, ῥᾴδιόν τε προσάγεσθαι ἦν αὐτοῖς τοὺς ἀφισταμένους·
3 ὧν αὐτοὶ αἴτιοι ἐγένοντο οἱ ξύμμαχοι· διὰ γὰρ τὴν ἀπόκνησιν ταύτην τῶν στρατειῶν οἱ πλείους αὐτῶν, ἵνα μὴ ἀπ' οἴκου ὦσιν, χρήματα ἐτάξαντο ἀντὶ τῶν νεῶν τὸ ἐκνούμενον

ξυμμαχίς Prädicat: als die erſte verbündete Stadt. vgl. 6, 31, 1. — ἐδουλώθη wurde in Unterthänigkeit gebracht. vgl. 6, 76, 2 u. Xen. Hell. 4, 8, 2, wo αὐτόνομος entgegenſteht. Belagert wurde Naxos im J. 473 v. Ch. G. Kr. Stud. S. 33 f. u. 49 ff. Möglich daß die Unterwerfung erſt 472 erfolgte. — ὡς ἑκάστῃ ohne ξυνέβη ſcheint der Sch. geleſen zu haben, da er ſagt: ἀπὸ κοινοῦ ἐδουλώθη. (Kr.) vgl. zu 1, 3, 4. Doch kann das Verbum vertheidigt werden durch Stellen wie 3, 90, 1 u. 4, 4, 1. vgl. 2, 34, 4.

C. 99. § 1. ἔκδειαι Rückſtände. (Pp.) Suidas: ἔκδεια ἡ κεχρεωστημένη λοιπάς. ἔκδεια γάρ ἐστι τὸ μέρος καταβαλεῖν ὧν ὀφείλει τις, ἔνδεια δὲ τὸ μηδὲν ὅλως καταβαλεῖν. vgl. Valeſ. z. Harpokr. u. d. W. und Demoſt. 32, 30. — λειποστράτιον Nichtſtellen der Contingente; 6, 76, 3 u. Her. 5, 27 ſteht λειποστρατία oder λιποστρατία. Beide Formen billigt Thom. M. p. 572. Ueber die Sache ſ. Plut. Kim. 9. — ἀκριβῶς, ἀνενδότως. (Sch.) vgl. zu 6, 18, 7. — ἔπρασσον forderten ein. Kr. zu Xen. An. 7, 6, 17. — ταλαιπωρεῖν Mühſeligkeiten ertragen. Taylor z. Lyſ. p. 877 Reisk. — προσάγοντες. Plut. Cim. 11: βίαν οὐδενὶ τῶν Ἑλλήνων προσῆγεν. Die Metapher iſt vielleicht vom Heranrücken der Belagerungsmaſchinen entlehnt. (Pp.) Denn dafür iſt προσάγειν das eig. Wort, wie 2, 76, 3. 4, 100, 1. 2. Doch ſteht es auch vom Heranführen eines Heeres, wie 1, 64, 2. 7, 37, 1. — ἀνάγκας Zwangsmaßregeln. Der Plural dieſes Wortes iſt häufig, wie 4, 87, 2, Dem. 2, 29, Iſokr. 4, 81. 6, 55 ꝛc.

§ 2. ἦσαν οὐκέτι ἐν ἡδονῇ ἄρχοντες erklärt man jetzt mit Jakobs: ſie waren nicht mehr angenehm (ἡδεῖς) als Herrſcher. Sollte ſich wohl dieſe Erklärung des ἐν ἡδονῇ eben ſo gut ſprachlich rechtfertigen laſſen als die meinige: ſie herrſchen nicht mehr zur Zufriedenheit der Bundesgenoſſen, das ἄρχοντες als Prädicat mit ἦσαν verbunden? [Demoſth.] 26, 19: τοῦθ' ὑμῶν (τινι) ἐν ἡδονῇ συμβέβηκεν. Plat. Phäd. p. 115, b: ὑμῶν αὐτῶν ἐπιμελούμενοι ὑμεῖς καὶ ἐμοὶ καὶ τοῖς ἐμοῖς καὶ ὑμῖν αὐτοῖς ἐν χάριτι ποιήσετε ἅτι' ἂν ποιῆτε. — ὁμοίως, ὡς ἐν ἀρχῇ μετὰ τὸν Παυσανίαν. (Sch.) — ἀπὸ τοῦ ἴσου mit verhältnißmäßig gleichen Contingenten.

§ 3. χρήματα — φέρειν ſie beſtimmten ſich, übernahmen den betreffenden Geldaufwand zu entrichten; χρήματα und

ἀνάλωμα φέρειν, καὶ τοῖς μὲν Ἀθηναίοις ηὔξετο τὸ ναυτικὸν ἀπὸ τῆς δαπάνης ἣν ἐκεῖνοι ξυμφέροιεν, αὐτοὶ δὲ ὁπότε ἀποσταῖεν, ἀπαράσκευοι καὶ ἄπειροι ἐς τὸν πόλεμον καθίσταντο.

Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ 100
ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφότερα Ἀθηναῖοι Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος, καὶ εἷλον τριήρεις Φοινίκων καὶ διέφθειραν τὰς πάσας ἐς διακοσίας. χρόνῳ τε ὕστερον ξυνέβη Θασίους αὐτῶν ἀπο- 2
στῆναι, διενεχθέντας περὶ τῶν ἐν τῇ ἀντιπέρας Θρᾴκῃ ἐμπορίων καὶ τοῦ μετάλλου, ἃ ἐνέμοντο. καὶ ναυσὶ μὲν ἐπὶ Θάσον πλεύσαντες οἱ Ἀθηναῖοι ναυμαχίᾳ ἐκράτησαν καὶ ἐς τὴν γῆν ἀπέβησαν· ἐπὶ δὲ Στρυμόνα πέμψαντες μυρίους οἰ- 3
κήτορας αὐτῶν καὶ τῶν ξυμμάχων ὑπὸ τοὺς αὐτοὺς χρόνους ὡς οἰκιοῦντες τὰς τότε καλουμένας Ἐννέα ὁδοὺς νῦν δὲ Ἀμφίπολιν, τῶν μὲν Ἐννέα ὁδῶν αὐτοὶ ἐκράτησαν, ἃς εἶχον Ἡδωνοί, προελθόντες δὲ τῆς Θρᾴκης ἐς μεσόγειαν διεφθά-

---

ἀνάλωμα sind verbunden wie Ἑλληνοταμίαι und ἀρχή 1, 96, 2. vgl. 3, 50, 3; über πάσεσθαι Gr. 52, 10 A. 1. vgl. 1, 101, 2. 108, 3. 117, 3. 3, 50, 3; über ἐκνούμενον Gr. 40 unter dem W. vgl. Her. 6, 65. 84. 86. 9, 26, Ariſtot. Pol. 4, 1, 1. 7, 13, 3, Dem. 43, 66. — ἦν. zu 1, 49, 1.

C. 100. § 1. Ἐγένετο. Ol. 77, 3, v. Ch. G. 469. vgl. Kr. Stud. S. 51 ff. — ἀμφότερα zu Waſſer und zu Lande. vgl. zu 1, 13, 4. — τὰς πάσας im Ganzen, entſtanden aus αἱ πᾶσαι ἃς διέφθειραν ἦσαν διακόσιαι. zu 1, 60, 1. vgl. 6, 31, 5. 43, 1. 7, 24, 2. 60, 3. — τάς nach ἐς fehlt in den meiſten Hſn. vgl. Gr. 50, 2 A. 9 u. Kr. z. Dion. S. 303.

§ 2. χρόνῳ ὕστερον. Ol. 78, 2, v. Ch. G. 467. Kr. Stud. S. 144 ff. — τοῦ μετάλλου. Der Sing. auch 1, 101, 2, Her. 4, 185. 5, 17. Der Plu. unten 4, 105, 1. vgl. Gr. 44, 1 A. 1. Die Goldbergwerke auf dem Feſtlande allein brachten den Thaſiern jährlich achtzig Talente nach Her. 6, 46. — ἐκράτησαν. Kimon eroberte drei und dreißig Schiffe. Plut. Kim. 14.

§ 3. ἐπὶ Στρυμόνα. gleichfalls Ol. 78, 2, v. Ch. G. 467. Kr. Stud. S. 145 ff. — Ἡδωνοί (Her. 5, 124. 7, 110. 114. 9, 75) hätten nach Tzetzes z. Lykophr. 419 im Binnenlande, Ἡδωνες (Th. 2, 99, 3. 4, 102, 1. 107, 2. 109, 3. 5, 6, 4) an der Küſte gewohnt: ein doch wohl erdichteter Unterſchied. Ἡδωνὶς αἶα Aeſch. Perſ. 487. — ὑπό um. Gr. 68, 45, 1. vgl. 2, 95, 1. 3, 92 1. 4, 2, 1. 6, 7, 2. 7, 28, 4. — αὐτοί ſteht ähnlich 1, 114, 2 und kann allenfalls noch auf die Athener alle bezogen werden; προελθόντες jedoch nur auf die Anſiedler. So wird

ρησαν ἐν Δραβήσκῳ τῇ Ἠδωνικῇ ὑπὸ τῶν Θρακῶν ξυμπάντων, οἷς πολέμιον ἦν τὸ χωρίον αἱ Ἐννέα ὁδοὶ κτιζόμενον.
101 Θάσιοι δὲ νικηθέντες μάχαις καὶ πολιορκούμενοι Λακεδαιμονίους ἐπεκαλοῦντο καὶ ἐπαμῦναι ἐκέλευον ἐσβαλόντας ἐς τὴν Ἀττικήν. οἱ δὲ ὑπέσχοντο μὲν κρύφα τῶν Ἀθηναίων καὶ ἔμελλον, διεκωλύθησαν δὲ ὑπὸ τοῦ γενομένου σεισμοῦ, ἐν ᾧ καὶ οἱ Εἵλωτες αὐτοῖς καὶ τῶν περιοίκων Θουριᾶταί
2 τε καὶ Αἰθαιεῖς ἐς Ἰθώμην ἐπέστησαν. πλεῖστοι δὲ τῶν Εἱλωτῶν ἐγένοντο οἱ τῶν παλαιῶν Μεσσηνίων τότε δουλωθέντων ἀπόγονοι· ᾗ καὶ Μεσσήνιοι ἐκλήθησαν οἱ πάντες. πρὸς μὲν οὖν τοὺς ἐν Ἰθώμῃ πόλεμος καθειστήκει Λακεδαιμονίοις, Θάσιοι δὲ τρίτῳ ἔτει πολιορκούμενοι ὡμολόγησαν Ἀθηναίοις τεῖχός τε καθελόντες καὶ ναῦς παραδόντες, χρήματά τε ὅσα ἔδει ἀποδοῦναι αὐτίκα ταξάμενοι καὶ τὸ λοιπὸν φέρειν, τήν τε ἤπειρον καὶ τὸ μέταλλον ἀφέντες.
102 Λακεδαιμόνιοι δέ, ὡς αὐτοῖς πρὸς τοὺς ἐν Ἰθώμῃ ἐμηκύνετο ὁ πόλεμος, ἄλλους τε ἐπεκαλέσαντο ξυμμάχους καὶ Ἀθηναίους· οἱ δ' ἦλθον Κίμωνος στρατηγοῦντος πλήθει οὐκ

öfter bei dem einen Verbum das Subject in engerer Sphäre gedacht als bei dem andern. Kr. de auth. An. Xen. p. 48. — *ξυμπάντων*. nur von den Edonern nach den übrigen Schriftſtellern; daß aber die Anſiedler ſämmtlich umgekommen meldet Diod. 11, 70; und ſo wird entweder *ξύμπαντες*, was Valla überſetzt, oder mit Heilmann *ξυστάντων* zu leſen ſein. — *τὸ χωρίον αἱ Ἐννέα ὁδοί*. Gr. 50, 7 A. 2.

C. 101. § 1. *ἔμελλον* erg. *ἐπαμῦναι*. (Ba.) — *σεισμοῦ*. Ol. 78, 3, v. Ch. G. 466. Kr. Stud. S. 149 ff. — *οἱ Εἵλωτες*. Ariſt. Polit. 2, 6, 2: *ὥσπερ γὰρ ἐγεδρεύοντες τοῖς ἀτυχήμασιν διατελοῦσιν*. — *εἰς Ἰθώμην ἀπέστησαν*. Kr. zu Xen. An. 1, 6, 7.

§ 2. *τότε* damals, zu der bekannten Zeit. Kr. z. Dion. p. 297. — *ὡμολόγησαν* Ol. 78, 4 oder 79, 1, v. Ch. G. 464. — *τεῖχος — ναῦς* ohne Artikel wie 1, 108, 3. 117, 3. — *καθελόντες*. Eben ſo das Part. für *ἐφ' ᾧ* oder *ὥστε* mit dem Inf. 1, 108, 3. 117, 3. vgl. 115, 1. (Py.) vgl. jedoch zu 1, 108, 3. — *χρήματα — φέρειν* und nachdem ſie ſich dazu verſtanden hatten Gelder ſo viele ſie ſollten ſofort zu entrichten und künftig zu ſteuern. — *ὅσα ἔδει* wird ſich wohl nicht minder auf die rückſtändigen Abgaben als auf die Kriegskoſten beziehen. Ueber *τάττεσθαι* mit dem Inf. vgl. zu 1, 99, 3.

C. 102. § 1. *ἐμηκύνετο*. Zwei Schlachten erwähnt Herod. 9, 35 (vgl. Pauſan. 1, 29, 7. 4, 24, 2) und 64. — *ἄλλους τε*. Die Aegineten 2, 27. [4, 56, 4], Platäer 3, 54, 3, Mantineer Xen. Hell. 5, 2, 3. (Py.) — *Ἀθηναίους*. Kr. Stud. S. 153 ff. — *ἦλθον*. Ol. 79, 1, v. Ch. G. 464. Kr. Stud. S. 155. — *οὐκ ὀλίγῳ*, mit 4000 Hopliten

ὀλίγῳ. μάλιστα δ' αὐτοὺς ἐπεκαλέσαντο ὅτι τειχομαχεῖν ἐδόκουν δυνατοὶ εἶναι, τοῖς δὲ πολιορκίας μακρᾶς καθεστηκυίας τούτου ἐνδεᾶ ἐφαίνετο· βίᾳ γὰρ ἂν εἷλον τὸ χωρίον. καὶ 2 διαφορὰ ἐκ ταύτης τῆς στρατείας πρῶτον Λακεδαιμονίοις καὶ Ἀθηναίοις φανερὰ ἐγένετο. οἱ γὰρ Λακεδαιμόνιοι, ἐπειδὴ τὸ χωρίον βίᾳ οὐχ ἡλίσκετο, δείσαντες τῶν Ἀθηναίων τὸ τολμηρὸν καὶ τὴν νεωτεροποιίαν — καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι — μή τι, ἢν παραμείνωσιν, ὑπὸ τῶν ἐν Ἰθώμῃ πεισθέντες νεωτερίσωσι, μόνους τῶν ξυμμάχων ἀπέπεμψαν, τὴν μὲν ὑποψίαν οὐ δηλοῦντες, εἰπόντες δ' ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι. οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐπὶ τῷ 3 βελτίονι λόγῳ ἀποπεμπόμενοι, ἀλλά τινος ὑπόπτου γενομένου· καὶ δεινὸν ποιησάμενοι καὶ οὐκ ἀξιώσαντες ὑπὸ Λακεδαιμονίων τοῦτο παθεῖν εὐθύς, ἐπειδὴ ἀνεχώρησαν, ἀφέντες τὴν γενομένην ἐπὶ τῷ Μήδῳ ξυμμαχίαν πρὸς αὐτοὺς Ἀρ-

---

nach Ar. Lyſ. 1143. — *τειχομαχεῖν*. So ſchon bei Platäa. Her. 9, 70, Plut. Ariſt. 19. vgl. unten 7, 79, 2. — *τούτου, τοῦ τειχομαχεῖν, τῆς τέχνης δηλονότι*. (Sch.) — *τοῖς δέ*, den Lakedämoniern. — *πολιορκίας μακρᾶς καθεστηκυίας* da eine lange Belagerung beſtand, ſtattfand. So ohne Artikel wie Polyb. 1, 17, 9: *πολιορκίας χρονίου προφαινομένης*. (Kr.) — *ἐνδεᾶ* bedürftig, ermangelnd, unzureichend. vgl. den Ind. z. Eur. u. das Lex. Xen. u. d. W.; über den Plu. zu 1, 7, 1 u. 10, 3. Die Stelle zu erklären: bei ihnen aber, den Athenern, zeigte ſich hierin, in der Belagerungskunſt, ein (vorſätzlicher) Mangel, gäbe einen Gedankenſprung und wäre auch in mehrfacher Beziehung mit der Sprache nicht wohl vereinbar. — *βίᾳ γάρ* — denn ſonſt, wenn ſie die Belagerungskunſt verſtanden hätten, würden ſie den Ort mit Sturm erobert haben. (Gö.) Ueber die Ergänzung des Bedingungsſatzes. zu 1, 11, 1.

§ 2. *φανερά* im Gegenſatz des *ἀδήλως ἤχθοντο* 1, 92. (Pp.) — *μή* n bezieht ſich auf *δείσαντες*, indem *καὶ ἀλλοφύλους ἅμα ἡγησάμενοι* ein Nebengedanke *διὰ μέσου* ſteht, wie Aehnliches beſonders bei den Tragikern häufig iſt. vgl. Pflugk zu Eur. Herakl. 227 u. Lobeck zu Soph. Aj. p. 268. — *τὸ τολμηρόν* den Unternehmungsgeiſt, wie 2, 87, 3. Gr. 43, 4 A. 27. — *ἀλλοφύλους, ὅτι οἱ μὲν Δωριεῖς, οἱ δὲ Ἴωνες*. (Sch.) — *νεωτερίσωσι*, etwa ſich mit den Meſſeniern verbänden. — *ἀπέπεμψαν. ἀπεπέμψαντο* Plut. Kim. 17 u. Paus. 4, 24, 2. (Pp.), *ἀποπέμπουσι* derſelbe 1, 29, 7 u. A.

§ 3. *βελτίονι*. Der Comparativ mit Bezug auf *ὅτι οὐδὲν προσδέονται αὐτῶν ἔτι* im Ggſ. zu *ὑποψίαν*: daß ſie aus Mißtrauen, nicht aus dem angegebenen (*τῷ*) beſſern, beſſer lautenden Grunde; (Pp.) *λόγος* wie 6, 61, 1. — *δεινὸν ποιεῖσθαι* für empörend halten. vgl. 6, 60, 3. (Pp.) — *ἐπὶ τῷ Μήδῳ* gegen den M.

γείοις τοῖς ἐκείνων πολεμίοις ξύμμαχοι ἐγένοντο καὶ πρὸς Θεσσαλοὺς ἅμα ἀμφοτέροις οἱ αὐτοὶ ὅρκοι καὶ ξυμμαχία
103 κατέστη. οἱ δ' ἐν Ἰθώμῃ δεκάτῳ ἔτει, ὡς οὐκέτι ἐδύναντο ἀντέχειν, ξυνέβησαν πρὸς τοὺς Λακεδαιμονίους ἐφ' ᾧ τε ἐξίασιν ἐκ Πελοποννήσου ὑπόσπονδοι καὶ μηδέποτε ἐπιβήσονται αὐτῆς· ἢν δέ τις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦ-
2 λον. ἦν δέ τι καὶ χρηστήριον τοῖς Λακεδαιμονίοις Πυθικὸν πρὸ τοῦ τὸν ἱκέτην τοῦ Διὸς τοῦ Ἰθωμήτα ἀφιέναι. ἐξῆλθον δὲ αὐτοὶ καὶ παῖδες καὶ γυναῖκες καὶ αὐτοὺς Ἀθηναῖοι δεξάμενοι κατ' ἔχθος ἤδη τὸ Λακεδαιμονίων ἐς Ναύπακτον κατῴκισαν, ἣν ἔτυχον ἠρηκότες νεωστὶ Λοκρῶν τῶν Ὀζολῶν
3 ἐχόντων. προσεχώρησαν δὲ καὶ Μεγαρῆς Ἀθηναίοις ἐς ξυμμαχίαν Λακεδαιμονίων ἀποστάντες, ὅτι αὐτοὺς Κορινθίοι περὶ γῆς ὅρων πολέμῳ κατεῖχον· καὶ ἔσχον Ἀθηναῖοι Μέγαρα καὶ Πηγὰς καὶ τὰ μακρὰ τείχη ᾠκοδόμησαν Μεγαρεῦσι τὰ ἀπὸ τῆς πόλεως ἐς Νίσαιαν καὶ ἐφρούρουν αὐτοί. καὶ Κορινθίοις μὲν οὐχ ἥκιστα ἀπὸ τοῦδε τὸ σφοδρὸν μῖσος ἤρξατο πρῶτον ἐς Ἀθηναίους γενέσθαι.

---

mit der Idee des Zweckes. vgl. 3, 63, 2 u. zu 1, 40, 4. — τοῖς Θεσσαλοῖς, deren πλῆθος immer den Athenern zugethan war nach 4, 78, 3. vgl. 1, 107, 4. 2, 22, 3. — κατέστη. ἐγένοντο ὅρκοι καὶ ξυμμαχία 5, 22, 2. Das Verbum richtet sich häufig nur nach dem nächsten Subject, wie Her. 8, 98: ἵπποι τε καὶ ἀνὴρ τεταγμένος. Xen. π. πόρων 3, 13: αἱ οἰκήσεις τε καὶ πωλητήρια κατασκευασθείη. Gr. 63, 4.

S. 103. § 1. δεκάτῳ. Es ist δ' d. h. τετάρτῳ zu lesen. Kr. Stud. S. 156 — 161. — ἐφ' ᾧ τε ἐξίασιν unter der Bedingung daß sie auszögen. Gr. 55, 3 A. 6 zweite Ausg. — εἶναι hängt von ξυνέβησαν ab: sie bewilligten daß er sei.

§ 2. ἦν — πρὸ τοῦ. es war —, früher ertheilt. — κατ' ἔχθος τὸ Α. Eben so 4, 1, 1. 7, 57, 6. διὰ τὸ Ἀθηναίων ἔχθος 2, 11, 2. vgl. 7, 77, 6. (Pp.) — ἐς steht bei κατοικίζειν auch 6, 7, 1. 50, 3. 63, 3. vgl. 2, 102, 5, ἔν nur 5, 35, 6. (Pp.) — κατῴκισαν. Ol. 79, 3, v. Ch. G. 462. Kr. Stud. S. 156 ff.

§ 3. καὶ M. auch die M., wie die Argeier. — κατεῖχον bedrängten. Schneider zu Xen. Hell. 4, 6, 10. (Pp.) Die Redensart jedoch ist ungewöhnlich; eben so κατεῖχεν αὐτοὺς ὁ πόλεμος 5, 5, 2. vgl. zu 1, 6, 3. — ἔσχον besetzten; aber εἶχον hielten besetzt 1, 111, 2. — τὰ μακρὰ τείχη. vgl. 4, 66, 3. Lange Mauern sollten die Verbindung mit Athen sichern, wie 5, 52, 2. — Νίσαιαν die achtzehn Stadien von Megara entfernte Hafenstadt, noch zu Strabos Zeit 9 p. 391 durch lange Mauern mit Megara verbunden. — ἀπὸ τοῦδε von dieser Zeit an. — τό der bekannte. vgl. 1, 42, 2 und die Rede 1, 68 ff.

Ἰνάρως δὲ ὁ Ψαμμήτιχου, Λίβυς, βασιλεὺς Λιβύων τῶν 104
πρὸς Αἰγύπτῳ, ὁρμώμενος ἐκ Μαρείας τῆς ὑπὲρ Φάρου
πόλεως ἀπέστησεν Αἰγύπτου τὰ πλέω ἀπὸ βασιλέως Ἀρια-
ξέρξου καὶ αὐτὸς ἄρχων γενόμενος Ἀθηναίους ἐπηγάγετο.
οἱ δέ, ἔτυχον γὰρ ἐς Κύπρον στρατευόμενοι ναυσὶ διακο- 2
σίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων, ἦλθον ἀπολιπόντες τὴν
Κύπρον καὶ ἀναπλεύσαντες ἀπὸ θαλάσσης ἐς τὸν Νεῖλον τοῦ
τε ποταμοῦ κρατοῦντες καὶ τῆς Μέμφιδος τῶν δύο μερῶν
πρὸς τὸ τρίτον μέρος ὃ καλεῖται Λευκὸν τεῖχος ἐπολέμουν·
ἐνῆσαν δὲ αὐτόθι Περσῶν καὶ Μήδων οἱ καταφυγόντες καὶ
Αἰγυπτίων οἳ μὴ ξυναποστάντες.

Ἀθηναίοις δὲ ναυσὶν ἀποβᾶσιν ἐς Ἁλιᾶς πρὸς Κορίν- 105
θιους καὶ Ἐπιδαυρίους μάχη ἐγένετο καὶ ἐνίκων Κορίνθιοι.
καὶ ὕστερον Ἀθηναῖοι ἐναυμάχησαν ἐπὶ Κεκρυφαλείᾳ Πελο-
ποννησίων ναυσὶν καὶ ἐνίκων Ἀθηναῖοι. πολέμου δὲ κα- 2
τασταντος πρὸς Αἰγινήτας Ἀθηναίοις μετὰ ταῦτα ναυμα-
χία γίγνεται ἐπ' Αἰγίνῃ μεγάλη Ἀθηναίων καὶ Αἰγινητῶν,
καὶ οἱ ξύμμαχοι ἑκατέροις παρῆσαν, καὶ ἐνίκων Ἀθηναῖοι
καὶ ναῦς ἑβδομήκοντα λαβόντες αὐτῶν ἐς τὴν γῆν ἀπέβησαν
καὶ ἐπολιόρκουν Λεωκράτους τοῦ Στροίβου στρατηγοῦντος.

C. 104. § 1. *ἀπέστησεν.* Ol. 79, 4, v. Ch. G. 460. Kr Stud. S. 162 f. Der perſiſche Statthalter Achämenes wurde ermordet nach Her. 7, 7. vgl. 3, 15 u. Kteſ. Perſ. 32. — *Ἀρταξέρξου.* Ἀρτοξέρξου einige Hſn., wie auch 1, 137, 3. 4, 50, 3 u. 8, 5, 4.

§ 2. *ναυσὶ διακοσίαις.* So auch Diod. 11, 74. Das *τετταράκοντα* bei Kteſias Perſ. 32 iſt eine Verfälſchung der Zahl *Σ* in *M*. Zweihundert Trieren büßte man in Aegypten ein nach Iſokr. 8, 86. vgl. Aelian. v. G. 5, 10; dreihundert nach Diod. 13, 25. vgl. 11, 71; mehr als zweihundert Schiffe auch nach Thuc. vgl. 1, 110, 2. — *ἀναπλεύσαντες* —. Von einer Hauptſchlacht erzählt Kteſias Perſ. 32. vgl. Diod. 11, 74. Achämenes Artaxerxes Bruder ſei gefallen (vgl. Her. 7, 7) und mit ihm hunderttauſend Mann. vgl. Her. 3, 12. Gewiß eine bedeutende Uebertreibung. — *τῶν δύο μερῶν* zweier Drittheile zu 1, 10, 2. — *Λευκόν* nach dem Sch. genannt, weil ſie von Steinen, nicht von Ziegeln erbaut war.

C. 105. § 1. *Ἁλιᾶς* für *Ἁλιάς* Pp. *Ἁλιεῖς* war Name des Orts wie der Einwohner. vgl. Her. 7, 137, Xen. Hell. 6, 2, 2, Diod. 11, 78 u. Steph. Byz. u. d. W. Alle Ereigniſſe die in dieſem und dem folg. C. erwähnt werden fallen wie auch der Zug nach Aegypten in ein Jahr, in Ol. 79, 4 u. 80, 1, v. Ch. G. 460. Kr. Stud. S. 161 ff., der auch S. 178 ff. beweiſen mußte daß *ἐνίκων* wirklich heiße ſie ſiegten.

§ 2. *Λεωκράτους*, der bei Platäa Ariſteides Amtsgenoſſe war. Plut. Ariſt. 20. (Pp.).

3 ἔπειτα Πελοποννήσιοι ἀμύνειν βουλόμενοι Αἰγινήταις ἐς μὲν τὴν Αἴγιναν τριακοσίους ὁπλίτας, πρότερον Κορινθίων καὶ Ἐπιδαυρίων ἐπικούρους, διεβίβασαν, τὰ δὲ ἄκρα τῆς Γερανίας κατέλαβον καὶ ἐς τὴν Μεγαρίδα κατέβησαν Κορίνθιοι μετὰ τῶν ξυμμάχων, νομίζοντες ἀδυνάτους ἔσεσθαι Ἀθηναίους βοηθεῖν τοῖς Μεγαρεῦσιν ἔν τε Αἰγίνῃ ἀπούσης στρατιᾶς πολλῆς καὶ ἐν Αἰγύπτῳ· ἦν δὲ καὶ βοηθῶσιν, ἀπ' Αἰ-
4 γίνης ἀναστήσεσθαι αὐτούς. οἱ δὲ Ἀθηναῖοι τὸ μὲν πρὸς Αἰγίνῃ στράτευμα οὐκ ἐκίνησαν, τῶν δ' ἐκ τῆς πόλεως ὑπολοίπων οἵ τε πρεσβύτατοι καὶ οἱ νεώτατοι ἀφικνοῦνται ἐς τὰ Μέγαρα Μυρωνίδου στρατηγοῦντος. καὶ μάχης γενομένης ἰσορρόπου πρὸς Κορινθίους διεκρίθησαν ἀπ' ἀλλήλων καὶ ἐνόμισαν αὐτοὶ ἑκάτεροι οὐκ ἔλασσον ἔχειν ἐν τῷ ἔργῳ. καὶ οἱ μὲν Ἀθηναῖοι, ἐκράτησαν γὰρ ὅμως μᾶλλον, ἀπελθόντων τῶν
5 Κορινθίων τροπαῖον ἔστησαν. οἱ δὲ Κορίνθιοι κακιζόμενοι ὑπὸ τῶν ἐν τῇ πόλει πρεσβυτέρων καὶ παρασκευασάμενοι ἡμέρας ὕστερον δώδεκα μάλιστα ἐλθόντες ἀνθίστασαν τροπαῖον καὶ αὐτοὶ ὡς νικήσαντες. καὶ οἱ Ἀθηναῖοι ἐκβοηθήσαντες ἐκ τῶν Μεγάρων τούς τε τὸ τροπαῖον ἱστάντας διαφθείρουσι καὶ τοῖς ἄλλοις ξυμβαλόντες ἐκράτησαν. οἱ δέ,
106 νικώμενοι ὑπεχώρουν καί τι αὐτῶν μέρος οὐκ ὀλίγον προσβιασθὲν καὶ διαμαρτὸν τῆς ὁδοῦ ἐσέπεσεν ἐς τον χωρίον ἰδιώτου, ᾧ ἔτυχεν ὄρυγμα μέγα περιεῖργον καὶ οὐκ ἦν ἐξο-

---

§ 3. πρότερον gehört zu ἐπικούρους (ὄντας).

§ 4. Μυρωνίδου. Ueber ihn vgl. Wachsmuth Hell. Alterthumsk. 1, 2 S. 62. (Pp.) — αὐτοὶ ἑκάτεροι, wie 5, 41, 2. 7, 34, 5. Per. 9, 26: ἐδικαίευν αὐτοὶ ἑκάτεροι ἔχειν τὸ ἕτερον κέρας. — ἔλασσον ἔχειν. Kr. zu Xen. An. 1, 10, 8. — ἔργῳ Gefecht, wie 1, 107, 4. 2, 42, 3. 4, 32, 4. 34, 3. 72, 4. 6, 66, 1. — ὅμως, obschon beide Theile sich den Sieg anmaßten. (Pp.).

§ 5. ἐκράτησαν, ἐν τῇ λεγομένῃ Κιμωλίᾳ nach Diod. 11, 79. (Pp.) — κακιζόμενοι, ψεγόμενοι. (Sch.) — βοηθεῖν ist bei Th. häufig auszuziehen zum Kampfe, aber auch bei ἔκ sonst das Simpler.

C. 106. προσβιασθέν. προβιασθέν? vorwärts gedrängt. Denn bei προς — an χωρίον zu denken wäre hart. Προβ. las wohl auch der Sch.: μετὰ βίας ἀπεληλαθέν. — ἐσέπεσεν ἐς. Ueber die Kakophonie zu 1, 1, 2. — χωρίον Grundstück. (Bl.) vgl. 7, 81, 5. (Pp.) — ᾧ ἔτυχεν ὄν ergänzt Pp. Aber auch wenn man ἔτυχε περιεῖργον verbindet, würde ὅ nicht nothwendig sein. — περιεῖργον, τὸ χωρίον. (Pp.)

δος. οἱ δὲ Ἀθηναῖοι γνόντες κατὰ πρόσωπόν τε εἶργον τοῖς ὁπλίταις καὶ περιστήσαντες κύκλῳ τοὺς ψιλοὺς κατέλευσαν πάντας τοὺς ἐσελθόντας, καὶ πάθος μέγα τοῦτο Κορινθίοις ἐγένετο. τὸ δὲ πλῆθος ἀπεχώρησεν αὐτοῖς τῆς στρατιᾶς ἐπ' οἴκου.

Ἤρξαντο δὲ κατὰ τοὺς χρόνους τούτους καὶ τὰ μακρὰ 107
τείχη ἐς θάλασσαν Ἀθηναῖοι οἰκοδομεῖν, τό τε Φαληρόνδε καὶ τὸ ἐς Πειραιᾶ. καὶ Φωκέων στρατευσάντων ἐς Δωριᾶς τὴν Λακεδαιμονίων μητρόπολιν, Βοιὸν καὶ Κυτίνιον καὶ Ἐρινεόν, καὶ ἑλόντων ἔν τῶν πολισμάτων τούτων οἱ Λακεδαιμόνιοι Νικομήδους τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Παυσανίου βασιλέως, νέου ὄντος ἔτι, ἡγουμένου ἐβοήθησαν τοῖς Δωριεῦσιν ἑαυτῶν τε πεντακοσίοις καὶ χιλίοις ὁπλίταις καὶ τῶν ξυμμάχων μυρίοις· καὶ τοὺς Φωκέας ὁμολογίᾳ 2
ἀναγκάσαντες ἀποδοῦναι τὴν πόλιν ἀπεχώρουν πάλιν. καὶ κατὰ θάλασσαν μὲν αὐτούς, διὰ τοῦ Κρισαίου κόλπου εἰ βούλοιντο περαιοῦσθαι, Ἀθηναῖοι ναυσὶ περιπλεύσαντες ἔμελλον κωλύσειν· διὰ δὲ τῆς Γερανίας οὐκ ἀσφαλὲς ἐφαίνετο αὐτοῖς Ἀθηναίων ἐχόντων Μέγαρα καὶ Πηγὰς πορεύεσθαι. δύσοδός τε γὰρ ἡ Γερανία καὶ ἐφρουρεῖτο ἀεὶ ὑπὸ 3
Ἀθηναίων· καὶ τότε ᾐσθάνοντο αὐτοὺς μέλλοντας καὶ ταύτῃ κωλύσειν. ἔδοξε δ' αὐτοῖς ἐν Βοιωτοῖς περιμείνασι σκέψασθαι ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσσονται. τὸ δέ τι καὶ

— καὶ οὐκ ἦν ohne Relativ. vgl. Kr. zu Xen. An. 3, 2, 5. — κατέλευσαν, vielleicht durch Schleudern. (Bl.).

C. 107. § 1. ἤρξαντο. Ol. 80, 1, v. Ch. G. 459. Kr. Stud. S. 166 ff. — Δωριᾶς, τὴν μητρόπολιν. So 3, 92, 2. Umgekehrt 3, 79, 2: τὴν πόλιν, ἐν φόβῳ ὄντας. vgl. Kr. zu Xen. An. 5, 5, 3. — Ἐρινεόν. Nicht erwähnt ist (von der dorischen Tetrapolis) Πίνδος, wie auch nicht von Andros bei Strabo 10 p. 475 u. A. Also auch bei diesem nur eine τρίπολις, nicht eine τετράπολις, wie bei Strabo 10 p. 476; eine πεντάπολις bei Plin. 4, 13, eine ἑξάπολις bei den Schol. zu Pind. Pyth. 1, 121, zu Ar. Plut. 385 u. Tzetz. zu Lykophr. 980. Δωρίον bei Aeschin. 2, 116 wird von diesen allen nicht erwähnt. — οἱ Λακεδαιμόνιοι. wohl erst im Frühlinge Ol. 80, 2, v. Ch. G. 458. Kr. S. 172. — βασιλέως gehört wie 1, 114, 2 zu Πλειστοάνακτος. (Dr.) Plut. Lyk. 3: τοὺς τῶν ὀρφανῶν βασιλέων ἐπιτρόπους Λακεδαιμόνιοι προδίκως ὠνόμαζον. vgl. Morus zu Xen. Hell. 4, 2, 5 (9). — νέου, νεωτέρου 3, 26, 2.

§ 2. τὴν πόλιν das nach § 1 eroberte πόλισμα. — ἔμελλον es ließ sich berechnen, erwarten. Gr. 53, 8 A. 3.

§ 3. ἀεί, nämlich seit der Besetzung 1, 105, 3. — καὶ τότε und so auch damals. Gr. 69, 32 A. 8. — τὸ δέ τι καὶ eingermaßen

ἄνδρες τῶν Ἀθηναίων ἐπῆγον αὐτοὺς κρύφα, ἐλπίσαντες δῆμόν τε καταπαύσειν καὶ τὰ μακρὰ τείχη οἰκοδομούμενα. 4 ἐβοήθησαν δ' ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι πανδημεὶ καὶ Ἀργείων χίλιοι καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι· ξύμπαντες δὲ ἐγένοντο τετρακισχίλιοι καὶ μύριοι. νομίσαντες δὲ ἀπορεῖν ὅπῃ διέλθωσιν ἐπεστράτευσαν αὐτοῖς καί τι καὶ τοῦ δήμου καταλύσεως ὑποψία. ἦλθον δὲ καὶ Θεσσαλῶν ἱππῆς τοῖς Ἀθηναίοις κατὰ τὸ ξυμμαχικόν, οἳ μετέστησαν ἐν τῷ 103 ἔργῳ παρὰ τοὺς Λακεδαιμονίους. γενομένης δὲ μάχης ἐν Τανάγρᾳ τῆς Βοιωτίας ἐνίκων Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι καὶ φόνος ἐγένετο ἀμφοτέρων πολύς. καὶ Λακεδαι-

---

aber auch bewog sie der Umstand daß. vgl. 1, 118, 2. 7, 48, 2 und Lucian. Makrob. 14 u. Gr. 50, 1 A. 15. — *ἐπῆγον. ἐπήγοντο* oder *ἐνῆγον*. (Bl.) vgl. jedoch 2, 85, 4 u. 8, 46, 1, *ξυνεπάγειν* 4, 79, 1 u. 84, 1. (Pp.) Das Activ besagt bloß gegen Jemand führen, herbeiziehen, nicht für sich. — *ἄνδρες Ἀθηναῖοι*, Aristokraten von der Parthei des Kimon vgl. Plut. Kim. 17, Per. 10 und Meier de bonis damn. p. 4 ss., dessen Vermuthungen jedoch etwas zu weit gehen. — *δῆμον* die Demokratie, ohne Artikel, wie 6, 27, 2. 28, 2 u. Blume z. Lyk. 30, 16. — *οἰκοδομούμενα* zu *καταπαύσειν* gehörig: den Bau der langen Mauern zu hindern, in denen die Unabhängigkeit und die Demokratie der Athener eine Schutzwehr erhielt.

§ 4. *πανδημεί*, unstreitig so weit sie waffenfähig waren. vgl. über das Wort Clinton Fasti Hell. p. 417. (Pp.) — *Ἀργείων*, wegen des Bündnisses 1, 102, 3. (Pp.) Ihrer Hülfe erwähnt Her. 9, 35. vgl. Pausan. 3, 11, 6. — *ὡς ἕκαστοι*. erg. *ἦλθον*. vgl. zu 1, 3, 4. — *ξύμπαντες* im Ganzen ohne Artikel auch 4, 129, 3. 5, 3, 3. 6, 98, 1. mit demselben 6, 2, 1. 25, 3. 43, 1. 7, 24, 2. 30, 3. 87, 4. 8, 7, 2. vgl. Gr. 50, 11 A. 13. — *τετρακισχίλιοι καὶ μύριοι*. Neun und zwanzig Tausend Hopliten hatten die Athener im Anfange des Peloponnesischen Krieges nach 2, 13, 5. — *ὅπῃ διέλθωσιν*. Gr. 54, 7 A. 1. vgl. 2, 52, 2. 3, 112, 4. 4, 32, 3. 5, 65, 5. (Pp.) — *τι* zum Theil. — *τοῦ-που* Kr. Der Artikel, sonst in dieser Formel fehlend (zu § 3), ist um so auffallender da er bei *καταλύσεως* fehlt; *πού* steht eben so, doch nach dem ersten *καί* 2, 87, 1. — *ὁποψία, ἐπεστράτευσαν*; eine falsche La. ist *ὑποψία ἦν*. — *κατὰ τὸ ξυμμαχικόν* gemäß der Bundesgenossenschaft. vgl. 2, 22, 3. 101, 3. 3, 3, 4. 3, 61, 3. 5, 6, 2. 7, 20, 1. 33, 5; über die Sache 1, 102, 3. — *μετέστησαν* gingen über. vgl. 1, 130, 2 u. 2, 67, 1. Ueber die Treulosigkeit der Thessaler. Bömel Prolegg. ad Dem. p. 89 A. 8.

C. 108 § 1. *γενομένης*. Ol. 80 3, v. Ch. G. 458. Kr. Stud. 172 f. — *οἱ ξύμμαχοι*. Die Böotier überhaupt nennen Plat. Menex. 13 p. 242, Alc. 1, 18 p. 112, c. Pausan. 1, 29, 7, die Tanagräer ein Epigramm bei dems. 5, 10, 2. Nicht gefehlt haben unstreitig die Thebäer. — *ἐνίκων Δακ.* Stud. S. 173 A. 1. Unentschieden bleiben ließ

μόνιοι μὲν ἐς τὴν Μεγαρίδα ἐλθόντες καὶ δενδροτομήσαντες πάλιν ἀπῆλθον ἐπ' οἶκον διὰ Γερανίας καὶ Ἰσθμοῦ· Ἀθηναῖοι δὲ δευτέρᾳ καὶ ἑξηκοστῇ ἡμέρᾳ μετὰ τὴν μάχην ἐστράτευσαν ἐς Βοιωτοὺς Μνησιδόου στρατηγοῦντος· καὶ μάχῃ 2
ἐν Οἰνοφύτοις τοὺς Βοιωτοὺς νικήσαντες τῆς τε χώρας ἐκράτησαν τῆς Βοιωτίας καὶ Φωκίδος καὶ Ταναγραίων τὸ τεῖχος περιεῖλον καὶ Λοκρῶν τῶν Ὀπουντίων ἑκατὸν ἄνδρας ὁμήρους τοὺς πλουσιωτάτους ἔλαβον, τά τε τείχη τὰ ἑαυτῶν τα μακρὰ ἐπετέλεσαν. ὡμολόγησαν δὲ καὶ Αἰγινῆται μετὰ ταῦτα 3
τοῖς Ἀθηναίοις τείχη τε περιελόντες καὶ ναῦς παραδόντες φόρον τε ταξάμενοι ἐς τὸν ἔπειτα χρόνον. καὶ Πελοπόννησον περιέπλευσαν Ἀθηναῖοι Τολμίδου τοῦ Τολμαίου στρατη-

---

zuerſt Platon den Kampf in Menex. 13 p. 242 und ſo wurde denn das Ereigniß durch attiſche Paneghrik weiter verfälſcht. Aus ſolchen Quellen ſchöpften Diod. 11, 80, Ariſt. Panath p. 272, Juſtin 3, 6. Daß der von dieſem erwähnte Vertrag der Lakedämonier und Thebäer, durch den dieſen die Herrſchaft über die Böoter garantirt wurde, ſchon vor der Schlacht geſchloſſen worden vermuthet mit Recht Böckh z. Pind. 2, 2 p. 533. Beſtätigt wird dies durch Platons Angabe: (*Ἀθηναίους*) *ἐν Ταναγρᾳ ὑπὲρ τῆς Βοιωτῶν ἐλευθερίας μαχέσασθαι.* — *δενδροτομεῖν*, ein ſeltenes Wort, gebraucht Th. nur hier, *δενδροκοπεῖν* Xen. nur Mem. 2, 1, 13 u. e. byz. Pſ. Dem. 18, 90. — *πάλιν ἀπῆλθον.* So auch Platon, Plutarchos, Juſtinus. Daß ſie ein Heer zurückgelaſſen ſagt nur der unzuverläſſige Diod. 11, 81. — *δευτέρᾳ καὶ ἑξηκοστῇ.* vgl. Kr. Stud. S. 172.

§ 2. *Οἰνόφυτα* könnte zwar eine Gegend voller Weinpflanzungen bezeichnen, wie Schleiermacher wollte (vgl. Strabo 12 p. 559); daß es hier jedoch Eigenname eines Ortes ſei zeigt theils das Fehlen des Artikels theils der Schol.: *τὰ Οἰνόφυτα χωρίον τῆς Βοιωτίας.* Erwähnt wird der Ort noch von Platon, Ariſtot. Polit. 5, 2, 6, Ariſtides u. Plut v. Ruhm der Ath. 1. Daß er an der Straße von Attika nach Tanagra gelegen vermuthet Kruſe Hellas 2 S. 631. — *ἐκράτησαν.* vgl. 1, 113, 2. 4, 95, 2 u. Diod. 11, 83. — *περιεῖλον* riſſen rings herum nieder vgl. 3. 4, 51 u. 133, 1. — *ἐπετέλεσαν.* Ol. 80, 3, v. Ch. G. 458. Kr. Stud. S. 174. *ἀπετέλεσαν* haben ſchlechtere Hſn. vgl. 7, 2, 4. 4, 2. 1, 55, 2.

§ 3. *ὡμολόγησαν.* Ol. 80, 4, v. Ch. G. 457. Kr. Stud. S. 176 f. — *περιελόντες.* Die Participia können nicht heißen: unter der Bedingung daß. Verſchieden ſind 1, 101, 2. 117, 3, wo ja die Participia ſich den folgenden Infinitiven anſchließen; ähnlicher iſt 1, 115, 1: Nisaea reddita foedus fecerunt; erſt nach der, gegen die Abtretung kam der Vertrag zu Stande. So wird auch hier zu erklären ſein, da ſich keine Spur zeigt daß etwa *φέρειν* ausgefallen wäre. — *περιέπλευσαν.* Ol. 80, 4 u. 81, 1, v. Ch. G. 456. Kr. Stud. S. 201; mit funfzig

γοῦντος καὶ τὸ νεώριον τὸ Λακεδαιμονίων ἐνέπρησαν καὶ Χαλκίδα Κορινθίων πόλιν εἷλον καὶ Σικυωνίους ἐν ἀποβάσει τῆς γῆς μάχῃ ἐκράτησαν.

109 Οἱ δ' ἐν τῇ Αἰγύπτῳ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι ἐπέμενον καὶ αὐτοῖς πολλαὶ ἰδέαι πολέμων κατέστησαν. τὸ μὲν γὰρ πρῶτον ἐκράτουν τῆς Αἰγύπτου Ἀθηναῖοι, καὶ βασιλεὺς πέμπει ἐς Λακεδαίμονα Μεγάβαζον ἄνδρα Πέρσην χρήματα ἔχοντα, ὅπως ἐς τὴν Ἀττικὴν ἐσβαλεῖν πεισθέντων τῶν Πε-
2 λοποννησίων ἀπ' Αἰγύπτου ἀπαγάγοι Ἀθηναίους. ὡς δ' αὐτῷ οὐ προὐχώρει καὶ τὰ χρήματα ἄλλως ἀναλοῦτο, ὁ μὲν Μεγάβαζος καὶ τὰ λοιπὰ τῶν χρημάτων πάλιν ἐς τὴν Ἀσίαν ἐκομίσθη, Μεγάβυζον δὲ τὸν Ζωπύρου πέμπει ἄνδρα Πέρσην μετὰ στρατιᾶς πολλῆς· ὃς ἀφικόμενος κατὰ γῆν τούς τε Αἰγυπτίους καὶ τοὺς ξυμμάχους μάχῃ ἐκράτησεν καὶ ἐκ τῆς Μέμφιδος ἐξήλασε τοὺς Ἕλληνας καὶ τέλος ἐς Προσωπίτιδα
3 τὴν νῆσον κατέκλῃσεν· καὶ ἐπολιόρκει ἐν αὐτῇ ἐνιαυτὸν καὶ ἓξ μῆνας, μέχρι οὗ ξηράνας τὴν διώρυχα καὶ παρατρέψας

Trieren und viertausend Hopliten nach Diod. 11, 84; nur tausend nennt Aeschin. 2, 75 p. 38, weil die übrigen Freiwillige waren, wenn hiebei nicht eine Verwechselung mit 1, 113, 1 zu Grunde liegt. Daß er (nach demselben) mitten durch den Peloponnes gezogen (er meinte wohl nach der Eroberung von Gythion) ist ein Irrthum. vgl. auch Pausan. 1, 27, 6. — *τὸ νεώριον τῶν Α.*, bekanntlich Gythion. — *Χαλκίδα* in Akarnanien. — *γῆς.* zu 1, 36, 3.

C. 109. § 1. *ἰδέαι*, außer Platon von den Attikern sehr selten gebraucht, ihrer Prosa sonst wohl ganz fremd, gebraucht Th. an dreizehn Stellen, in der Bedeutung Gestalt nur 6, 4, 6, sonst für Weise, mit dem Ge. noch 3, 81, 4. 83, 1. 98, 3. 112, 4. 4, 55, 3. 7, 29, 4; im Plu. nur hier.

§ 2. *προὐχώρει.* zu 1, 74, 4. — *ἄλλως, μάτην.* (Sch.) vgl. 2, 18, 2. 4, 36, 1, 7, 42, 6. 47, 3. vgl. 8, 78, 2. — *Ζωπύρου.* desselben durch den Dareios Babylon eroberte. Herod. 3, 160. vgl. 153. Megabyzos war schon im zweiten Perserkriege Feldherr gewesen. Her. 7, 82. vgl. Diod. 11, 74. 12, 3 u. Schol. Ar. Vögel 484. — *μετὰ στρατιᾶς πολλῆς*, mit dreihundert Schiffen nach Diod. 11, 77 u. Ktes. Pers. 33, und zweimalhunderttausend Mann nach diesem; mit dreimalhunderttausend nach jenem. — *μάχῃ ἐκράτησε.* So auch Ktesias; Dicd., durch attische Rhetorik berückt, läugnet es. — *Προσωπίτιδα.* vgl. Her. 2, 41. 165 u. Steph. B. (Pp.) Ueber den Ac. Gr. B. 2 § 17, 2 A. 1.

§ 3. *ἓξ μῆνας.* andre Hss. *μῆνας ἓξ.* — *τὴν διώρυχα.* Also bildete die Insel nach Th. mit ein Canal, nicht ein zweiter Nilarm. (Pp.) — *καὶ* vor *παρατρέψας* möchte man tilgen: dadurch daß er ableitete.

ἄλλῃ τὸ ὕδωρ τάς τε ναῦς ἐπὶ τοῦ ξηροῦ ἐποίησε καὶ τῆς νήσου τὰ πολλὰ ἤπειρον καὶ διαβὰς εἶλε τὴν νῆσον πεζῇ. οὕτω μὲν τὰ τῶν Ἑλλήνων πράγματα ἐφθάρη ἔξ ἔτη πολε- 110
μήσαντα· καὶ ὀλίγοι ἀπὸ πολλῶν πορευόμενοι διὰ τῆς Λιβύης ἐς Κυρήνην ἐσώθησαν, οἱ δὲ πλεῖστοι ἀπώλοντο. Αἴγυπτος δὲ πάλιν ὑπὸ βασιλέα ἐγένετο πλὴν Ἀμυρταίου τοῦ ἐν τοῖς ἕλεσι βασιλέως· τοῦτον δὲ διὰ μέγεθός τε τοῦ ἕλους οὐκ ἐδύναντο ἑλεῖν καὶ ἅμα μαχιμώτατοί εἰσι τῶν Αἰγυπτίων οἱ ἕλειοι. Ἰνάρως δὲ ὁ Λιβύων βασιλεύς, ὃς τὰ πάντα ἔπραξε περὶ τῆς Αἰγύπτου, προδοσίᾳ ληφθεὶς ἀνεσταυρώθη. ἐκ δὲ τῶν Ἀθηνῶν καὶ τῆς ἄλλης ξυμμαχίδος πεντήκοντα 2
τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον ἔσχον κατὰ τὸ Μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. καὶ αὐτοῖς ἔκ τε γῆς ἐπιπεσόντες πεζοὶ καὶ ἐκ θαλάσσης Φοινίκων ναυτικὸν διέφθειραν τὰς πολλὰς τῶν νεῶν, αἱ δ' ἐλάσσους

---

vgl. jedoch zu 1, 1, 1. — ἐποίησε brachte. Kr. zu Xen. An. 1, 10, 9 u. 5, 2, 11, Arr. An. 2, 8, 7. 13, 1. — ἤπειρον erg. ἐποίησε. vgl. zu 1, 16. 19. — πεζῇ gehört zu διαβάς. (Kr. z. Dion. p. 318.) Unnöthig; so πεζῇ χειρώσασθαι 4, 24, 3?

C. **110**. §. 1. πράγματα. Her. 7, 9: οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων πρήγματα. — ἐφθάρη. Ol. 81, 2, v. Ch. G. 454. Kr. Stud. S. 161 ff. — πολεμήσαντα. Pind. Pyth. 1, 139: ὁ Τυρσανῶν τ' ἀλαλητὸς — ναυσίστονον ὕβριν ἰδών. (Pp.) vgl. Lob. zu Soph. Aj. 7 p. 74, Jacobitz u. Fritzsche zu Lucian. Alex. 22. — ἀπό, wie 3, 112, 5. 7, 87, 6. — ἐσώθησαν für διεσώθησαν die beſten Hſn. und der Nachahmer Arrian. Anab. 6, 25, 3: ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν. Rhetoriſche Fabeln über die Sache bei Diod. 11, 77. — Ἀμυρταίου. Ueber ihn Kr. z. Clinton Fasti Hell. p. 317 und im Leben des Thuk. S. 25 f. — ἕλεσι, die auch Pſammetichos Zufluchtsort geweſen. Her. 2, 151 ff. — καὶ ἅμα. vgl. 3, 24, 1 u. Kr. zu Xen. An. 3, 4, 31. — οἱ ἕλειοι, οἱ περὶ τὰ ἕλεα οἰκέοντες Her. 2, 94. (Gb.) — προδοσίᾳ ληφθείς. Alſo wohl ein Irrthum bei Kteſ. Perſ. 36.

§ 2. Ἀθηνῶν für Ἀθηναίων Bekker. Dieſes vertheidigt man durch verſchiedenartige Stellen. So heißt ἐκ τῶν Ἀθηναίων 4, 97, 2 u. 104, 2 einer aus der Zahl der Athener. vgl. Kr. z. X. An. 1, 7, 13. — ἄλλης. Gr. 50, 4 A. 11. — ξυμμαχίς ſubſtantiviſch noch 2, 80, 1 u. 5, 36, 1. (Pp.) — ἔσχον legten an. vgl. 3, 91, 2. mit κατά auch 4, 129, 3 u. 6, 97, 1, mit ἐς 2, 25, 3. 33, 3. 3, 34, 1. 4, 3, 1. 25, 7. 5, 2, 1. 6, 52, 1. 62, 2. 105, 2. 7, 26, 1; mit dem Da. 3, 29, 1. 33, 1. 7, 1, 2. vgl. Gr. 48, 1 A. 2. Das Pr., ἴσχειν nach Elmsley zu Eur. Her. 84. vgl. 2, 91, 1. 7, 35, 2; κατίσχειν 7, 33, 3. 70, 1, κατέχειν als Conjectur Eur. Her. 85; das Fu. σχήσειν Ar. Frö. 188, κατασχήσειν 4, 42, 4. — κέρας καλεῖ τοῦ Νείλου τὸ στόμα καὶ τὴν ἐκβολήν· ἑπτὰ γὰρ εἶχε στόματα ὁ Νεῖλος. (Sch.) Pindar bei Strabo 17, 1 p.

διέφυγον πάλιν. τὰ μὲν κατὰ τὴν μεγάλην στρατείαν Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐς Αἴγυπτον οὕτως ἐτελεύτησεν.

111 Ἐκ δὲ Θεσσαλίας Ὀρέστης ὁ Ἐχεκρατίδου υἱὸς τοῦ Θεσσαλῶν βασιλέως φεύγων ἔπεισεν Ἀθηναίους ἑαυτὸν κατάγειν· καὶ παραλαβόντες Βοιωτοὺς καὶ Φωκέας, ὄντας ξυμμάχους, Ἀθηναῖοι ἐστράτευσαν τῆς Θεσσαλίας ἐπὶ Φάρσαλον. καὶ τῆς μὲν γῆς ἐκράτουν ὅσα μὴ προϊόντες πολὺ ἐκ τῶν ὅπλων, οἱ γὰρ ἱππῆς τῶν Θεσσαλῶν εἶργον, τὴν δὲ πόλιν οὐχ εἷλον οὐδ' ἄλλο προὐχώρει αὐτοῖς οὐδὲν ὧν ἕνεκα ἐστράτευσαν, ἀλλ' ἀπεχώρησαν πάλιν Ὀρέστην ἔχοντες ἄπρακτοι.

2 μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον χίλιοι Ἀθηναίων ἐπὶ τὰς ναῦς τὰς ἐν Πηγαῖς ἐπιβάντες, εἶχον δ' αὐτοὶ τὰς Πηγάς, παρέπλευσαν ἐς Σικυῶνα Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος καὶ ἀποβάντες Σικυωνίων τοὺς προσμίξαντας μάχῃ ἐκράτησαν. καὶ εὐθὺς παραλαβόντες Ἀχαιοὺς καὶ διαπλεύσαντες πέραν τῆς Ἀκαρνανίας ἐς Οἰνιάδας ἐστράτευσαν καὶ ἐπολιόρκουν, οὐ μέντοι εἷλόν γε, ἀλλ' ἀπεχώρησαν ἐπ' οἶκον.

112 Ὑστερον δὲ διαλιπόντων ἐτῶν τριῶν σπονδαὶ γίγνονται

802: *Μένδητα παρὰ κρημνόν, θαλάσσας ἔσχατον Νέλλου κέρας.* (Ar.) — *εἰδότες* mit Bezug auf das in *τριήρεις* liegende *ναῦται.* (Gb.) vgl. 2, 91, 2. 3, 101, 1. (Py).

C. **111.** § 1. *βασιλέως.* Da Theſſalien nicht einem Könige unterworfen war, ſo iſt vielleicht der *ταγός* gemeint. vgl. Schömann Antiq. p. 402. (Py.) Möglich daß dieſe Benennung erſt ſpäter für das verhaßte *βασιλεύς* eintrat. — *παραλαβόντες τούς* nachdem ſie die Contingente der — an ſich gezogen, wie § 2 u. 7, 20, 3, mit dem Ge. 5, 52, 2. 7, 26, 3. — *ἐστράτευσαν.* im Fühling. Ol. 81, 2, v. Ch. G 454. Kr. Stud. S. 203. Hieher gehört Diod. 11, 83. — *ὅσα μή* erg. *ἐκράτουν.* vgl. 4, 16, 3 u. Soph. Oed. T. 346: *ἴσθι γὰρ δυοῖν ἐμοὶ καὶ ξυμφυτεῦσαι τοὔργον εἰργάσθαι θ' ὅσον μὴ χερσὶ καίνων.* — *ὅπλων.* vgl. 3, 1. 6, 64, 3 u. Kr. zu Xen. An. 2, 2, 20. — *ἄπρακτος* ſteht bei Th immer activ.

§ 2. *μετὰ δὲ ταῦτα.* Ol. 81, 3, v. Ch. G. 454. Kr. Stud. S. 203. — *τὰς Πηγάς* 1, 103, 3. — *ναῦς*, funfzig nach Diod. 11, 85, hundert nach Plut. Per. 19. — *τοὺς προσμίξαντας.* die alſo nicht *παυδημεί* ausgezogen, wie Diod. 11, 88 angibt. Die Schlacht wäre nach Plut. bei Nemea geliefert. — *πέραν* hinüber gehört zu *διαπλεύσαντες, ἐπὶ τὴν ἀντιπέρας ἤπειρον.* Plut. Per. 19. (Py.) — *παραλαβόντες, εἰς συμμαχίαν.* — *Ἀκαρνανίας.* Irrig Diod. 11, 85, richtiger C. 88.

C. **112.** § 1. *διαλιπόντων.* Gr. 53, 2 A. 11. vgl. 3, 74, 1. In dieſe Zeiten gehört die Ausführung von Kleruchen nach dem Cherſonnes durch Perikles, von Diod. 11, 88 in Ol. 80, 4 wie von Plut. Per. 19 vor den Thuc. 1, 111, 2 erwähnten Zug geſetzt; andrer nach Euböa und Naxos durch Tolmides bei Diod. eb., Pauſan. 1, 27, 6 und Plut. Per. 11, der noch mehrere Kleruchien erwähnt. — *γίγνονται.* Ol.

Πελοποννησίοις καὶ Ἀθηναίοις πενταετεῖς. καὶ Ἑλληνικοῦ μὲν πολέμου ἔσχον οἱ Ἀθηναῖοι, ἐς δὲ Κύπρον ἐστρατεύοντο ναυσὶ διακοσίαις αὐτῶν τε καὶ τῶν ξυμμάχων Κίμωνος στρατηγοῦντος. καὶ ἑξήκοντα μὲν νῆες ἐς Αἴγυπτον ἀπ' αὐτῶν ἔπλευσαν, Ἀμυρταίου μεταπέμποντος τοῦ ἐν τοῖς ἕλεσι βασιλέως, αἱ δὲ ἄλλαι Κιτιον ἐπολιόρκουν. Κίμωνος δὲ ἀπο- 2
θανόντος καὶ λιμοῦ γενομένου ἀπεχώρησαν ἀπὸ Κιτίου καὶ πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ Φοινιξί καὶ Κιλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα, καὶ νικήσαντες ἀμφότερα ἀπεχώρησαν ἐπ' οἶκου καὶ αἱ ἐξ Αἰγύπτου νῆες πάλιν αἱ ἐλθοῦσαι μετ' αὐτῶν. Λακεδαιμόνιοι δὲ μετὰ 3
ταῦτα τὸν ἱερὸν καλούμενον πόλεμον ἐστράτευσαν καὶ κρατήσαντες τοῦ ἐν Δελφοῖς ἱεροῦ παρέδοσαν Δελφοῖς· καὶ αὖθις ὕστερον Ἀθηναῖοι ἀποχωρησάντων αὐτῶν στρατεύσαντες καὶ κρατήσαντες παρέδοσαν Φωκεῦσιν.

Καὶ χρόνου ἐγγενομένου μετὰ ταῦτα Ἀθηναῖοι Βοιω- 113
τῶν τῶν φευγόντων ἐχόντων Ὄρχομενὸν καὶ Χαιρώνειαν καὶ ἄλλ' ἄττα χωρία τῆς Βοιωτίας ἐστράτευσαν ἑαυτῶν μὲν χιλίοις ὁπλίταις τῶν δὲ ξυμμάχων ὡς ἑκάστοις ἐπὶ τὰ χωρία ταῦτα, πολέμια ὄντα, Τολμίδου τοῦ Τολμαίου στρατηγοῦντος. καὶ Χαιρώνειαν ἑλόντες [καὶ ἀνδραποδίσαντες] ἀπεχώρουν 2

82, 2, v. Ch. G. 451 im Sommer. Kr. Stud. S. 203. — *ἔσχον* entbielten ſich. Elmſl. zu Eur. Herakl. 924. (Pp.) Gr. 52, 2 A. 2. — *ἐστρατεύοντο.* Ol. 82, 3, v. Ch. G. 449 im Frühling. Kr. Stud. S. 204 f. — *ἀπ' αὐτῶν.* vgl. 1, 116, 3. — *μεταπέμπειν* für *μεταπέμπεσθαι* herbeirufen, accersere, gebraucht Thuk. noch 4, 30, 2. 6, 52, 2. 88, 10. 7, 8, 1. 15, 1. 42, 4 (zw. 80, 3.) So auch Ariſtophanes z. B. Vesp. 680 (Dr. zu 6, 88).

§ 2. *ὑπέρ*, wie 1, 137, 3 u. 8, 95 3. (Ar.) — *πάλιν* erg. *ἀπεχώρησαν.* — *αἱ* ſie die. vgl. § 1. Gr. 50, 7 A. 12.

§ 3. *πόλεμον ἐστράτευσαν.* zu 1, 15, 2; Ol. 82, 4 u. 83 1, v. Ch. G. 448. Kr. Stud. S. 205.

C. 113. § 1. *ἐγγίγνεσθαι* intercedere, wie 4, 111, 1. 8, 9, 2, Her. 5, 92, 15, Aeſch. 3, 221. — *μετὰ ταῦτα* verbinde ich mit *ἐγγενομένου*: nachdem hierauf eine Zwiſchenzeit verſtrichen war. — *τῶν φευγόντων* der nach der Schlacht bei Oinophyta Vertriebenen. (Pp.) — *ἐστράτευσαν.* Ol. 83, 2, v. Ch. G. 446. Kr. Stud. S. 206 ff. — *χίλιοι.* Dieſelbe Zahl nach Xen. Mem. 3, 5, 4 u. Plut. Per. 18. — *ὡς ἑκάστοις.* erg. *ἐστράτευσαν* wie ſie mit jeglichen auszogen, je nachdem die einen oder die andern Zuzüge geſtellt hatten. vgl. zu 1, 3, 3.

§ 2. *ἐν Χαιρωνείᾳ.* So die meiſten Schriftſteller; bei Lebadeia Xen., im haliartiſchen Gebiete Paus. 1, 27, 6. Die Grenz-

φυλακὴν καταστήσαντες. πορευομένοις δ' αὐτοῖς ἐν Κορωνείᾳ ἐπιτίθενται οἵ τε ἐκ τῆς Ὀρχομενοῦ φυγάδες Βοιωτῶν καὶ Λοκροὶ μετ' αὐτῶν καὶ Εὐβοέων φυγάδες καὶ ὅσοι τῆς αὐτῆς γνώμης ἦσαν καὶ μάχῃ κρατήσαντες τοὺς μὲν διέφθειραν τῶν Ἀθηναίων τοὺς δὲ ζῶντας ἔλαβον. καὶ τὴν Βοιωτίαν ἐξέλιπον Ἀθηναῖοι πᾶσαν, σπονδὰς ποιησάμενοι ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. Καὶ οἱ φεύγοντες Βοιωτῶν κατελθόντες καὶ οἱ ἄλλοι πάντες αὐτόνομοι πάλιν ἐγένοντο.

114 Μετὰ δὲ ταῦτα οὐ πολλῷ ὕστερον Εὔβοια ἀπέστη ἀπὸ Ἀθηναίων. Καὶ ἐς αὐτὴν διαβεβηκότος ἤδη Περικλέους στρατιᾷ Ἀθηναίων ἠγγέλθη αὐτῷ ὅτι Μέγαρα ἀφέστηκε καὶ Πελοποννήσιοι μέλλουσιν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν καὶ οἱ φρουροὶ Ἀθηναίων διεφθαρμένοι εἰσὶν ὑπὸ Μεγαρέων, πλὴν ὅσοι ἐς Νίσαιαν ἀπέφυγον· ἐπαγαγόμενοι δὲ Κορινθίους
2 καὶ Σικυωνίους καὶ Ἐπιδαυρίους ἀπέστησαν οἱ Μεγαρῆς. ὁ δὲ Περικλῆς πάλιν κατὰ τάχος ἐκόμιζε τὴν στρατιὰν ἐκ τῆς Εὐβοίας. καὶ μετὰ τοῦτο οἱ Πελοποννήσιοι τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θριῶζε ἐσβαλόντες ἐδῄωσαν Πλειστοάνακτος τοῦ Παυσανίου, βασιλέως Λακεδαιμονίων, ἡγουμένου καὶ τὸ πλέον οὐκέτι προελθόντες ἀπεχώρησαν ἐπ' οἶκου. καὶ Ἀθηναῖοι πάλιν ἐς Εὔβοιαν διαβάντες Περικλέους στρατηγοῦντος κατεστρέψαντο πᾶσαν, καὶ τὴν μὲν ἄλλην ὁμολογίᾳ κατεστή-

---

marken der drei Orte berührten einander. — φυγάδες. nach 3, 62, 4 auch Thebäer. — Λοκροί, οἱ Ὑποκνήμιοι Λοκροί. (Sch.) — τῆς αὐτῆς γνώμης ἦσαν. Gr. 47, 6 A. 10. Aehnlich Plut. Timol. 3: ἐλπίδος τοιαύτης γενόμενον ἢ προαιρέσεως. — διέφθειραν. Es fiel auch Tolmides nach Diod. 12, 6, Pausan. u. Plut. an den a. St. — οἱ ἄλλοι πάντες, die lokrischen und euböischen Verbannten versteht Bl.; eine undenkbare Erklärung. Der Sinn ist: die Verbannten der Böoter heimgekehrt wurden mit den übrigen Böotern selbstständig; κατελθόντες gehört nicht auch zu οἱ ἄλλοι, wie schon Hl. einsah. vgl. 3, 62, 4. 4, 92, 6.

C. 114. § 1. ἀπέστη. Ol. 83, 3, v. Ch. G. 446. Kr. Stud. S. 207. — διαβεβηκότος — αὐτῷ. Gr. 47, 4 A. 2. — Νίσαιαν. vgl. 1, 103, 3.

§ 2. Θριῶζε für Θρίωζε Göttling Accentl. S. 359. (Pp.) — ἐδήουν erg. die Umgegend von Eleusis und die Thriasische Ebene. Gr. 60, 5 A. 5 u. Kr. Dion. p. 119. vgl. 2, 25, 4. 3, 30, 2. — τὸ πλέον, wie βραχύ τι, ὀλίγον προελθεῖν; ἐς τὸ πλεῖον 2, 21, 1. 4, 128, 2. — ἀπεχώρησαν, wie es schien weil Pleistoanax bestochen war. vgl. 2, 21, 1. 5, 16, 6. — πᾶσαν. Also war es früher wohl nicht ganz unterjocht ge-

σαντο, Ἑστιαιᾶς δ' ἐξοικίσαντες αὐτοὶ τὴν γῆν ἔσχον. ἀνα- 115
χωρήσαντες δὲ ἀπ' Εὐβοίας οὐ πολλῷ ὕστερον σπονδὰς ἐποι-
ήσαντο πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους τριακον-
τούτεις, ἀποδόντες Νίσαιαν καὶ Πηγὰς καὶ Τροιζῆνα καὶ
Ἀχαΐαν· ταῦτα γὰρ εἶχον Ἀθηναῖοι Πελοποννησίων.

Ἔκτῳ δὲ ἔτει Σαμίοις καὶ Μιλησίοις πόλεμος ἐγένετο 2
περὶ Πριήνης· καὶ οἱ Μιλήσιοι ἐλασσούμενοι τῷ πολέμῳ
παρ' Ἀθηναίους ἐλθόντες κατεβόων τῶν Σαμίων. ξυνεπε-
λαμβάνοντο δὲ καὶ ἐξ αὐτῆς τῆς Σάμου ἄνδρες ἰδιῶται νεω-
τερίσαι βουλόμενοι τὴν πολιτείαν. πλεύσαντες οὖν Ἀθηναῖοι 3
ἐς Σάμον ναυσὶ τεσσαράκοντα δημοκρατίαν κατέστησαν καὶ
ὁμήρους ἔλαβον τῶν Σαμίων πεντήκοντα μὲν παῖδας ἴσους
δὲ ἄνδρας καὶ κατέθεντο ἐς Λῆμνον καὶ φρουρὰν ἐγκαταλι-
πόντες ἀνεχώρησαν. τῶν δὲ Σαμίων ἦσαν γάρ τινες οἳ οὐχ 4
ὑπέμενον ἀλλ' ἔφυγον ἐς τὴν ἤπειρον, ξυνθέμενοι τῶν ἐν τῇ
πόλει τοῖς δυνατωτάτοις καὶ Ἰσσοσθνῃ τῷ Ὑσιάσπου ξυμ-
μαχίαν, ὅς εἶχε Σάρδεις τότε, ἐπικούρους τε ξυλλέξαντες ἐς
ἑπτακοσίους διέβησαν ὑπὸ νύκτα ἐς τὴν Σάμον. καὶ πρῶτον
μὲν τῷ δήμῳ ἐπανέστησαν καὶ ἐκράτησαν τῶν πλείστων,

---

wesen. Kr. z. Dion. p. Ls. — ἐξοικίσας. Den Grund s. bei Plut. Per. 23. (Bp.)

C. **115**. § 1. σπονδὰς ἐποιήσαντο. Ol. 83, 3, v. Ch. G. 445 gegen den Frühlingsanfang nach Kr. Stud. S. 207 f. — Ἀχαΐαν ist hier wie 4, 21, 4 feste La. Doch hatten die Athener wohl nur einzelne Theile Achaias inne gehabt. (Hf.) Möglich daß ein anderer Name verdrängt ist, etwa Ἀλιάδα. vgl. 2, 56, 3. Die Schreibart Ἀχαΐα statt Ἀχαΐα misbilligt Göttling Accentl. S. 130. — Πελοποννησίων hängt ab von ταῦτα. Gr. 47, 10 A. 2. So auch ἃ σφῶν, ἀλλήλων εἶχον Thuk. 4, 109, 1. 5, 39, 1.

§ 2. ἕκτῳ ἔτει, etwa im Frühling. Ol. 84, 4, v. Ch. G. 440. Kr. St. S. 208 f. — πόλεμος. Ueber alte Feindschaft beider Her. 5, 99; über diesen Krieg Plut. Per. 24 ff. und Diod. 12, 27. — κατεβόων klagten an, wie 5, 45, 4. vgl. 1, 73, 1. — τὴν πολιτείαν, damals eine aristokratische.

§ 4. τῶν Σαμίων hängt von τινές ab. vgl. zu 1, 72, 1. — ἐς τὴν ἤπειρον, wo sie wohl, wie später, sich in Anäa festsetzten. (Kr. z. Dion. p. 328.) — τοῖς δυνατωτάτοις den bedeutendsten Aristokraten. vgl. Kr. zu Dion. p. 270. — ξυμμαχίαν ist nur auf den Pissuthnes zu beziehen; über diesen Kr. eb. p. 352 s. — ἐπανάστασις bezeichnet einen Aufstand mit Angriff der Gegner verbunden. Kr. eb. p. LV. — τῶν πλείστων übersetzt Valla nicht; wenn es unverfälscht ist, so muß man wohl annehmen daß eine Anzahl von Demokraten sich irgend eines festen Platzes bemächtigt und sich dort gehalten habe.

ἔπειτα τοὺς ὁμήρους κλέψαντες ἐκ Λήμνου τοὺς αὐτῶν ἀπέστησαν καὶ τοὺς φρουροὺς τοὺς Ἀθηναίων καὶ τοὺς ἄρχοντας οἳ ἦσαν παρὰ σφίσιν ἐξέδοσαν Πισσούθνῃ, ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. ξυναπέστησαν δ' αὐτοῖς καὶ Βυζάντιοι.

116 Ἀθηναῖοι δ' ὡς ἤσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου τιῶς μὲν ἐκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο — ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου περιαγγέλλουσαι βοηθεῖν — τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ Σαμίων ναυσὶν ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι·
2 καὶ ἐνίκων Ἀθηναῖοι. ὕστερον δ' αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες τεσσαράκοντα καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι· καὶ ἀποβάντες καὶ κρατοῦντες τῷ πεζῷ ἐπολιόρ-
3 κουν τρισὶ τείχεσι τὴν πόλιν καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς δὲ λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων ὅτι Φοί-

---

§ 5. *τοὺς ἄρχοντας* wohl nicht bloß Officiere, ſondern auch Civilbeamte die Perikles zurückgelaſſen hatte, z. B. als *ἐπισκόπους* oder *φύλακας*. vgl. Schneider zu Xen. R. d. A. 1, 14 u. Böckh Staatsh. der A. 1 S. 168. 256. 437; *ἄρχων ἐν Λήμνῳ* heißt Agyrrhios b. Schol. zu Ar. Eccl. 102. — *σφίσιν*, *τοῖς Σαμίοις*; ſo auch *σφᾶς* in einem relativen Satze 3, 3, 3.

C. **116**. §. 1. *ταῖς μὲν ἐκκαίδεκα*. Gr. 50, 2 A. 8 u. z. Dion. p. 303. — *περιαγγέλλουσαι βοηθεῖν* indem ſie die Aufforderung zur Hülfe zu kommen umher meldeten; der Inf. wie 2, 10, 1. 80, 2. 4, 8. 1. 5, 54, 2. vgl. Gr. 55, 3 A. 13. — *στρατιώτιδες*, Transportſchiffe die nicht ſchnell ſegelten, *στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν*. (Sch.) vgl. 6, 43, 1. 8, 62, 1 u. Xen. Hell. 1, 1. 36. — *ναυσίν*. Die Verbindung zweier Da. iſt nicht ſelten. vgl. 1, 81, 1. 2, 92, 4. 4, 11, 1. 5, 72, 3. 7, 50, 2. 8, 10, 2; dreier 4, 129, 5; daneben 7, 22, 2: *ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα ἐναυμάχουν*.

§ 2. *τριὰ τείχεα*. Die Zweckmäßigkeit einer dreifachen Mauer um die Stadt iſt nicht recht begreiflich; auch würde Th. eine ſolche Einſchließung wohl durch *περιτειχίσαντες* bezeichnet haben. Richtiger alſo wird man *τριὰ τείχεα* von drei Mauern oder Verſchanzungen an den drei Landſeiten der Stadt verſtehen. (Kr.)

§ 3. *καὶ Καρίας*. So *ἀπὸ τοῦ Βουβάρου καὶ τῆς Σαλαμῖνος* 3, 51, 1. (Kr.) vgl. Gr. 69, 32 A. 2. — *ἐσαγγελθέντων* da gemeldet

νισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας. ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι 117
ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες τάς τε προφυλακίδας ναῦς διέφθειραν καὶ ναυμαχοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τέσσαρας καὶ δέκα καὶ ἐσεκομίσαντο καὶ ἐξεκομίσαντο
ἃ ἐβούλοντο. ἐλθόντος δὲ Περικλέους πάλιν ταῖς ναυσὶ 2
κατεκλήσθησαν. καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προσεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἄγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους, ἐκ δὲ Χίου καὶ Λέσβου τριάκοντα. καὶ ναυμα- 3
χίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι, ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν ἐξεπολιορκήθησαν ἐνάτῳ μηνὶ καὶ προσεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθελόντες καὶ ὁμήρους δόντες καὶ ναῦς παραδόντες καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. ξυνέβησαν δὲ καὶ Βυζάντιοι ὥσπερ καὶ πρότερον ὑπήκοοι εἶναι.

---

worden war. Eben ſo Dem. 50, 17; ähnlich *δηλωθέντων* Plat. Geſ. 914, a, *σημανθέντων* Xen. Cyr. 1, 4, 18. vgl. Gr. 47, 4 A. 5. — *ἐπ' αὐτούς* zu ihnen, den Samiern; gegen ſie, die Athener, würde *ἐπὶ σφᾶς* heißen. (Pp.) Bei dieſem Gedanken würde man doch eher *πρός* oder *παρά* und überhaupt andere Ausdrücke erwarten; *αὐτούς* auf die Athener zu beziehen hindert nichts, da *ἐσαγγελθέντων* einen temporalen Satz vertritt. vgl. auch zu 1, 95, 2. — *καὶ ἐκ τῆς Σ.*, wie Perikles von den Athenern. — *ἐπὶ τὰς Φ.* um ſie zu holen (Jacobs).

C. **117**. § 1. *ἀφράκτῳ*. das Schiffslager war nicht mit *σταυρώμασιν* eingeſchloſſen, wie 6, 66, 2. 7, 25, 4. 38, 2. (Kr.) — *ἡμέρας περὶ τ.* Gr. 68, 4 A. 2.

§ 2. *ἐλθόντος* als er zurückgekehrt war. vgl. 1, 136, 3. 4, 65, 3. 6, 29, 3 u. Kr. zu Xen. An. 2, 1, 1. — *Θουκυδίδου*. Es iſt der Sohn des Meleſias gemeint. Leb. des Soph. u. Kr. epikr. Nachtr. S. 24 f. Ueber die Chronologie Kr. Stud. S. 210 ff.

§ 3. *βραχεῖαν* eine unbedeutende. vgl. 2, 22, 2 u. Kr. z. Dion. p. 107. — *ἐνάτῳ* für *ἐννάτῳ* ſehr gute Hſn., Inſchriften bei Böckh p. 222, b, 227, b, 239. Nichts beweiſt Soph. El. 707: *ἔννατος* in einem Fragm. des Eubulos: *ὄγδοος ἀνακλητόρων, ὁ δ' ἔννατος χολῆς.* Die Unterwerfung erfolgte gegen das Ende von Ol. 85, 1 Kr. Stud. S. 212 ff. — *χρήματα τὰ ἀναλωθέντα*. Die Kriegskoſten betrugen tauſend Talente nach Iſokr. 15, 111; zwölfhundert nach Corn. Nep. Tim. 1; zweihundert nach Diod. 12, 28, wo vielleicht *χιλίων* ausgefallen iſt. — *ξυνέβησαν ἀποδοῦναι*. Gr. 55, 3 A. 12. vgl. 2, 4, 4. 4, 54, 2. 66, 3.

5 ἔπειτα τοὺς ὁμήρους κλέψαντες ἐκ Λήμνου τοὺς αὐτῶν ἀπέστησαν καὶ τοὺς φρουροὺς τοὺς Ἀθηναίων καὶ τοὺς ἄρχοντας οἳ ἦσαν παρὰ σφίσιν ἐξέδοσαν Πισσούθνῃ, ἐπί τε Μίλητον εὐθὺς παρεσκευάζοντο στρατεύειν. ξυναπέστησαν δ' αὐτοῖς καὶ Βυζάντιοι.

116 Ἀθηναῖοι δ' ὡς ᾔσθοντο, πλεύσαντες ναυσὶν ἑξήκοντα ἐπὶ Σάμου ταῖς μὲν ἑκκαίδεκα τῶν νεῶν οὐκ ἐχρήσαντο — ἔτυχον γὰρ αἱ μὲν ἐπὶ Καρίας ἐς προσκοπὴν τῶν Φοινισσῶν νεῶν οἰχόμεναι, αἱ δ' ἐπὶ Χίου καὶ Λέσβου περιαγγέλλουσαι βοηθεῖν — τεσσαράκοντα δὲ ναυσὶ καὶ τέσσαρσι Περικλέους δεκάτου αὐτοῦ στρατηγοῦντος ἐναυμάχησαν πρὸς Τραγίᾳ τῇ νήσῳ Σαμίων ναυσὶν ἑβδομήκοντα, ὧν ἦσαν αἱ εἴκοσι στρατιώτιδες· ἔτυχον δὲ αἱ πᾶσαι ἀπὸ Μιλήτου πλέουσαι·
2 καὶ ἐνίκων Ἀθηναῖοι. ὕστερον δ' αὐτοῖς ἐβοήθησαν ἐκ τῶν Ἀθηνῶν νῆες τεσσαράκοντα καὶ Χίων καὶ Λεσβίων πέντε καὶ εἴκοσι· καὶ ἀποβάντες καὶ κρατοῦντες τῷ πεζῷ ἐπολιόρ-
3 κουν τρισὶ τείχεσι τὴν πόλιν καὶ ἐκ θαλάσσης ἅμα. Περικλῆς δὲ λαβὼν ἑξήκοντα ναῦς ἀπὸ τῶν ἐφορμουσῶν ᾤχετο κατὰ τάχος ἐπὶ Καύνου καὶ Καρίας, ἐσαγγελθέντων ὅτι Φοί-

---

§ 5. *τοὺς ἄρχοντας* wohl nicht bloß Officiere, ſondern auch Civilbeamte die Perikles zurückgelaſſen hatte, z. B. als *ἐπισκόπους* oder *φύλακας*. vgl. Schneider zu Xen. R. d. A. 1, 14 u. Böckh Staatsh. der A. 1 S. 168. 256. 437; *ἄρχων ἐν Λήμνῳ* heißt Agyrrhios b. Schol. zu Ar. Ekkl. 102. — *σφίσιν, τοῖς Σαμίοις*; ſo auch *σφᾶς* in einem relativen Satze 3, 3, 3.

C. 116. §. 1. *ταῖς μὲν ἑκκαίδεκα.* Gr. 50, 2 A. 8 u. z. Dion. p. 303. — *περιαγγέλλουσαι βοηθεῖν* indem ſie die Aufforderung zur Hülfe zu kommen umher meldeten; der Inf. wie 2, 10, 1. 80, 2. 4, 8, 1. 5, 54, 2. vgl. Gr. 55, 3 A. 13. — *στρατιώτιδες*, Transportſchiffe die nicht ſchnell ſegelten, *στρατιώτας ἄγουσαι τοὺς μέλλοντας πεζομαχεῖν.* (Sch.) vgl. 6, 43, 1. 8, 62, 1 u. Xen. Hell. 1, 1. 36. — *ναυσίν.* Die Verbindung zweier Da. iſt nicht ſelten. vgl. 1, 81, 1. 2, 92, 4. 4, 11, 1. 5, 72, 3. 7, 50, 2. 8, 10, 2; dreier 4, 129, 5; daneben 7, 22, 2: *ταῖς μὲν πέντε καὶ εἴκοσι πρὸς τὰς πέντε καὶ τριάκοντα ἐναυμάχουν.*

§ 2. *τρισὶ τείχεσι.* Die Zweckmäßigkeit einer dreifachen Mauer um die Stadt iſt nicht recht begreiflich; auch würde Th. eine ſolche Einſchließung wohl durch *περιτειχίσαντες* bezeichnet haben. Richtiger alſo wird man *τρισὶ τείχεσι* von drei Mauern oder Verſchanzungen an den drei Landſeiten der Stadt verſtehen. (Kr.)

§ 3. *καὶ Καρίας.* So *ἀπὸ τοῦ Βουδόρου καὶ τῆς Σαλαμῖνος* 3, 51, 1. (Kr.) vgl. Gr. 69, 32 A. 2. — *ἐσαγγελθέντων* da gemeldet

νισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν· ᾤχετο γὰρ καὶ ἐκ τῆς Σάμου πέντε ναυσὶ Στησαγόρας καὶ ἄλλοι ἐπὶ τὰς Φοινίσσας. ἐν τούτῳ δὲ οἱ Σάμιοι ἐξαπιναίως ἔκπλουν ποιησάμενοι 117 ἀφράκτῳ τῷ στρατοπέδῳ ἐπιπεσόντες τάς τε προφυλακίδας ναῦς διέφθειραν καὶ ναυμαχοῦντες τὰς ἀνταναγομένας ἐνίκησαν, καὶ τῆς θαλάσσης τῆς καθ' ἑαυτοὺς ἐκράτησαν ἡμέρας περὶ τέσσαρας καὶ δέκα καὶ ἑσεκομίσαντο καὶ ἐξεκομίσαντο ἃ ἐβούλοντο. ἐλθόντος δὲ Περικλέους πάλιν ταῖς ναυσὶ 2 κατεκλήσθησαν. καὶ ἐκ τῶν Ἀθηνῶν ὕστερον προσεβοήθησαν τεσσαράκοντα μὲν αἱ μετὰ Θουκυδίδου καὶ Ἄγνωνος καὶ Φορμίωνος νῆες, εἴκοσι δὲ αἱ μετὰ Τληπολέμου καὶ Ἀντικλέους, ἐκ δὲ Χίου καὶ Λέσβου τριάκοντα. καὶ ναυμα- 3 χίαν μέν τινα βραχεῖαν ἐποιήσαντο οἱ Σάμιοι, ἀδύνατοι δὲ ὄντες ἀντισχεῖν ἐξεπολιορκήθησαν ἐνάτῳ μηνὶ καὶ προσεχώρησαν ὁμολογίᾳ, τεῖχός τε καθελόντες καὶ ὁμήρους δόντες καὶ ναῦς παραδόντες καὶ χρήματα τὰ ἀναλωθέντα κατὰ χρόνους ταξάμενοι ἀποδοῦναι. ξυνέβησαν δὲ καὶ Βυζάντιοι ὥσπερ καὶ πρότερον ὑπήκοοι εἶναι.

---

worden war. Eben ſo Dem. 50, 17; ähnlich δηλωθέντων Plat. Geſ. 914, a, σημανθέντων Xen. Cyr. 1, 4, 18. vgl. Gr. 47, 4 A. 5. — ἐπ' αὐτούς zu ihnen, den Samiern; gegen ſie, die Athener, würde ἐπὶ σφᾶς heißen. (Pp.) Bei dieſem Gedanken würde man doch eher πρός oder παρά und überhaupt andere Ausdrücke erwarten; αὐτούς auf die Athener zu beziehen hindert nichts, da ἐσαγγελθέντων einen temporalen Satz vertritt. vgl. auch zu 1, 95, 2. — καὶ ἐκ τῆς Σ., wie Perikles von den Athenern. — ἐπὶ τὰς Φ. um ſie zu holen (Jacobs).

C. 117. § 1. ἀφράκτῳ. das Schiffslager war nicht mit σταυρώμασιν eingeſchloſſen, wie 6, 66, 2. 7, 25, 4. 38, 2. (Kr.) — ἡμέρας περὶ τ. Gr. 68, 4 A. 2.

§ 2. ἐλθόντος als er zurückgekehrt war. vgl. 1, 136, 3. 4, 65, 3. 6, 29, 3 u. Kr. zu Xen. An. 2, 1, 1. — Θουκυδίδου. Es iſt der Sohn des Meleſias gemeint. Leb. des Soph. u. Kr. epikr. Nachtr. S. 24 f. Ueber die Chronologie Kr. Stud. S. 210 ff.

§ 3. βραχεῖαν eine unbedeutende. vgl. 2, 22, 2 u. Kr. z. Dion. p. 107. — ἐνάτῳ für ἐννάτῳ ſehr gute Hſn., Inſchriften bei Böckh p. 222, b, 227, b, 239. Nichts beweiſt Soph. El. 707: ἔννατος in einem Fragm. des Eubulos: ὄγδοος ἀνακλητόρων, ὁ δ' ἔννατος χολῆς. Die Unterwerfung erfolgte gegen das Ende von Ol. 85, 1 Kr. Stud. S. 212 ff. — χρήματα τὰ ἀναλωθέντα. Die Kriegskoſten betrugen tauſend Talente nach Iſokr. 15, 111; zwölfhundert nach Corn. Ney. Tim. 1; zweihundert nach Diod. 12, 28, wo vielleicht χιλίων ausgefallen iſt. — ξυνέβησαν ἀποδοῦναι. Gr. 55, 3 A. 12. vgl. 2, 4, 4. 4, 54, 2. 66, 3.

118 Μετὰ ταῦτα δὲ ἤδη γίγνεται οὐ πολλοῖς ἔτεσιν ὕστερον τὰ προειρημένα, τά τε Κερκυραϊκὰ καὶ τὰ Ποτιδαιατικὰ καὶ ὅσα πρόφασις τοῦδε τοῦ πολέμου κατέστη. ταῦτα δὲ ξύμπαντα ὅσα ἔπραξαν οἱ Ἕλληνες πρός τε ἀλλήλους καὶ τὸν βάρβαρον ἐγένετο ἐν ἔτεσι πεντήκοντα μάλιστα μεταξὺ τῆς Ξέρξου ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦδε τοῦ πολέμου, ἐν οἷς Ἀθηναῖοι τήν τε ἀρχὴν ἐγκρατεστέραν κατεστήσαντο καὶ
2 αὐτοὶ ἐπὶ μέγα ἐχώρησαν δυνάμεως. οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι οὔτε ἐκώλυον εἰ μὴ ἐπὶ βραχύ, ἡσύχαζόν τε τὸ πλέον τοῦ χρόνου, ὄντες μὲν καὶ πρὸ τοῦ μὴ ταχεῖς ἰέναι ἐς τοὺς πολέμους, εἰ μὴ ἀναγκάζοιντο, τὸ δέ τι καὶ πολέμοις οἰκείοις ἐξειργόμενοι, πρὶν δὴ ἡ δύναμις τῶν Ἀθηναίων
3 σαφῶς ἤρετο καὶ τῆς ξυμμαχίας αὐτῶν ἥπτοντο. τότε δ' οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ καὶ καθαιρετέα ἡ ἰσχύς, ἣν δύνωνται, ἀραμένοις τόνδε τὸν πόλεμον. αὐτοῖς μὲν οὖν τοῖς Λακεδαιμονίοις διέγνωστο λελύσθαι τε τὰς σπονδὰς καὶ τοὺς Ἀθηναίους ἀδικεῖν, πέμψαντες δὲ ἐς Δελφοὺς ἐπηρώτων τὸν θεὸν εἰ πολεμοῦσιν ἄμεινον ἔσται· ὁ δὲ ἀνεῖλεν αὐτοῖς, ὡς λέγεται, κατὰ κράτος πολεμοῦσι νίκην ἔσεσθαι, καὶ αὐτὸς ἔφη ξυλ-

---

C. 118. § 1. *τὰ προειρημένα* 1, 24 ff. u. 56 ff. — *μάλιστα* fere überſetzt von Cic. Att. 7, 11, 2. vgl. zu 1, 13, 2. — *ἐγκρατεστέραν, ἰσχυροτέραν.* (Sch.) vgl. *ἐγκρατῶς* 1, 76, 1. — *ἐπὶ μέγα.* zu 1, 16; ähnlich 2, 97, 4: *ἐπὶ μέγα ἡ βασιλεία ἦλθεν ἰσχύος.* über den Gr. Gr. 47, 10 A. 3. Die Redensart ſelbſt wird ſich ſonſt wohl bei den Attikern nicht finden.

§ 2. *ἐπὶ βραχύ* in geringem Maße. Dion. *π. συνθ.* 14 p. 162: *τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης.* vgl. Kr. z. Dion. p. 207. Ueber die Sache 1, 90 ff. u. 114. (Py.) — *τὸ πλέον τοῦ χρόνου.* Aehnlich *τὸ πλέον τοῦ χωρίου* 4, 4, 2. — *μή* ſteht durch Einwirkung des Infinitivs; denn vor *ὄντες* könnte nur *οὐ* ſtehen. — *οἰκείοις* heimiſche, wie gegen die Heloten 1, 101. vgl. 4, 64, 3. — *ξυμμαχία* die Verbündeten, wie 1, 119. 130, 2. 2, 7, 3. 9, 3. 10, 1. 4, 118, 3. 5, 33, 2.

§ 3. *ἀνασχετόν* in derſelben Formel 2, 21, 2; *ἀνεκτός* 2, 35, 3. 7, 5, 3. 77, 4. 87, 2. 8, 90, 3. — *διέγνωστο* 1, 87, 4. — *πολεμοῦσιν* erg. *τοῖς Λακεδαιμονίοις.* — *ἄμεινον* beſſer als wenn ſie es nicht thäten. Gr. 49, 6. — *πολεμοῦσι* könnte zwar auch allgemein heißen den Kriegenden; doch liegt hier gewiß keine Zweideutigkeit des Orakels zum Grunde. Denn daß dieſes beſtimmt ſich für die Lakedämonier ausgeſprochen zeigt das Folgende. vgl. 2, 54, 3 u. Plut. über die Or. der Pyth. 19.

λήψεσθαι καὶ παρακαλούμενος καὶ ἄκλητος· αὖθις δὲ τοὺς 119
ξυμμάχους παρακαλέσαντες ψῆφον ἐβούλοντο ἐπαγαγεῖν εἰ
χρὴ πολεμεῖν. καὶ ἐλθόντων τῶν πρέσβεων ἀπὸ τῆς ξυμ-
μαχίας καὶ ξυνόδου γενομένης οἵ τε ἄλλοι εἶπον ἃ ἐβού-
λοντο, κατηγοροῦντες οἱ πλείους τῶν Ἀθηναίων καὶ τὸν πό-
λεμον ἀξιοῦντες γενέσθαι, καὶ οἱ Κορίνθιοι δεηθέντες μὲν
καὶ κατὰ πόλεις πρότερον ἑκάστων ἰδίᾳ ὥστε ψηφίσασθαι
τὸν πόλεμον, δεδιότες περὶ τῇ Ποτιδαίᾳ μὴ προδιαφθαρῇ,
παρόντες δὲ καὶ τότε καὶ τελευταῖοι ἐπελθόντες ἔλεγον τοιάδε.

"Τοὺς μὲν Λακεδαιμονίους ὦ ἄνδρες ξύμμαχοι οὐκ 120
ἂν ἔτι αἰτιασαίμεθα ὡς οὐ καὶ αὐτοὶ ἐψηφισμένοι τὸν πό-
λεμόν εἰσι καὶ ἡμᾶς ἐς τοῦτο νῦν ξυνήγαγον. χρὴ γὰρ τοὺς
ἡγεμόνας τὰ ἴδια ἐξ ἴσου νέμοντας τὰ κοινὰ προσκοπεῖν,
ὥσπερ καὶ ἐν ἄλλοις ἐκ πάντων προτιμῶνται. ἡμῶν δὲ 2
ὅσοι μὲν Ἀθηναίοις ἤδη ἐνηλλάγησαν οὐχὶ διδαχῆς δέονται
ὥστε φυλάξασθαι αὐτούς· τοὺς δὲ τὴν μεσόγειαν μᾶλλον
καὶ μὴ ἐν πόρῳ κατῳκημένους εἰδέναι χρὴ ὅτι, τοῖς κάτω ἢν
μὴ ἀμύνωσι, χαλεπωτέραν ἕξουσι τὴν κατακομιδὴν τῶν

C. 119. αὖθις mit Bezug auf 1, 87, 3. (Pp.) — ὥστε ſteht ähnlich nach διδάσκειν 8, 45, 3. vgl. zu 2, 2, 4. — περὶ τῇ Π. μή. Ueber die Anticipation. Gr. 61, 6 A. 5.

C. 120. § 1. οὐκ ἂν ἔτι αἰτιασαίμεθα, wie ſie früher gethan 1, 68 ff. (Hf.) — ὡς οὐ καὶ — als ob ſie nicht ſowohl ſelbſt — als auch uns. — ἐς τοῦτο, den Krieg zu beſchließen. — γὰρ führt den Grundſatz ein den ſie dabei befolgt, ihr Verfahren damit belobend. — ἐξ ἴσου νέμοντας unter geſetzlicher, rechtlicher Gleichheit, ohne Pleonexie für ſich; ihr Vorrecht ſoll die Vorſorge (4, 61, 4. vgl. 3, 83, 1) für das gemeine Beſte ſein. vgl. zu 1, 71, 1. — καὶ gehört nicht zu ἄλλοις ſondern zum ganzen Satze: wie ſie ja auch. — ἐν ἄλλοις, ἐν προεδρίᾳ καὶ τοῖς τοιούτοις. (Sch.) Der Ausdruck wäre aber ſo gefaßt ſehr ſonderbar. Ich erkläre: unter Andern, mit Andern zuſammen befindlich. — ἐκ πάντων vor Allen. (Sch.)

§ 2. ἐνηλλάγησαν, συνέμιξαν καὶ ὡμίλησαν. (Sch.) — τὴν. κατὰ τήν St. Her. 4, 8: κατῳκημένον τὴν οἱ Ἕλληνες λέγουσιν Ἐρύθειαν νῆσον. (Kr.) vgl. Her. 1, 142, mit ἔν eb. 1, 27. 4, 116. 7, 9; über den Wechſel Gr. 59, 2 A. 2. — ἐν πόρῳ, ἐν τῇ παράλῳ. πόρον καλεῖ τὰ ἐμπόρια. (Sch.) vgl. 6, 48, 2 u. Her. 8, 76. — κατῳκημένους angeſiedelt. So noch, überall das Pf. oder Ppf., 2, 96, 1. 99, 4. 3, 34, 1. 5, 83, 3. Eben ſo Herodotos, aber nicht die Attiker. Denn Iph. A. 706 ſteht jetzt ᾠκίσθαι. — τοῖς κάτω, τοῖς παραλίοις. (Sch.) vgl. 1, 7, 2; über die Stellung Gr. 54, 17 A. 7. — κατακομιδή Herabführung aus dem Binnenlande nach den Seeſtädten. (Reiske.) Deren Erſchwerung war eben nicht zu beſorgen; wohl aber Erſchwerung der Aus-

ὡραίων καὶ πάλιν ἀντίληψιν ὧν ἡ θάλασσα τῇ ἠπείρῳ δίδωσιν, καὶ τῶν νῦν λεγομένων μὴ κακοὺς κριτὰς ὡς μὴ προσηκόντων εἶναι, προσδέχεσθαι δέ ποτε, εἰ τὰ κάτω προοῖντο, κἂν μέχρι σφῶν τὸ δεινὸν προελθεῖν καὶ περὶ αὐτῶν οὐχ
3 ἧσσον νῦν βουλεύεσθαι. διόπερ καὶ μὴ ὀκνεῖν δεῖ αὐτοὺς τὸν πόλεμον ἀντ' εἰρήνης μεταλαμβάνειν. ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν, ἀγαθῶν δὲ ἀδικουμένους ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι, καὶ μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι μήτε τῷ ἡσυχίῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι·
4 ὅ τε γὰρ διὰ τὴν ἡδονὴν ὀκνῶν τάχιστ' ἂν ἀφαιρεθείη τῆς ῥᾳστώνης τὸ τερπνὸν δι' ὅπερ ὀκνεῖ, εἰ ἡσυχάζοι, ὅ τε ἐν πολέμῳ εὐτυχίᾳ πλεονάζων οὐκ ἐντεθύμηται θράσει ἀπίστῳ

---

fuhr, ἐκκομιδή? vgl. 1, 117, 1. Von bloßer Erſchwerung des Abſatzes wäre der Ausdruck auffallend. — τῶν ὡραίων, τῶν καρπῶν. (Sch.) — ἀντίληψιν gegentheiliges Empfangen. τὴν τῶν ὡραίων ἀντίληψιν verbindet eben ſo Appian B. 1 p. 427. — ἡ θάλασσα der Seehandel. — προσηκόντων zur Sache Gehöriges, (Ds.), ſie Angehendes (Ba.) — εἶναι hängt von χρή ab. — ποτέ gehört zu προελθεῖν. — προοῖντο Preis geben, ἀμελήσειαν. (Sch.) Dem. 3, 9: εἰς τοῦτο περιστήσεται τὰ πράγματα, ἐὰν τὰ παρόντα προώμεθα. — οὐχ ἧσσον erg. ἢ περὶ τῶν κάτω.

§ 3. εἰ μὴ ἀδικοῖντο für ἢν μὴ ἀδικῶνται. vgl. 1, 121, 3. (Pr.) Aehnlicher 3, 10, 1. vgl. auch Iſokr. 2, 45. Plat Geſ. 658: εἰ τὰ πάνυ σμικρὰ κρίνοι παιδία, κρινοῦσι τὸν τὰ θαύματα ἐπιδεικνύντα. Es iſt angefangen als ob ἄν mit dem Opt. im Nachſatze ſtehen ſollte. — ἐκ μὲν εἰρήνης vom Friedenszuſtande aus. Dem. 19, 133: ἐκ πολέμου ποιούμενος εἰρήνην. Iſokr. 6, 50: ἐκ τῆς παραχῆς θᾶττον ἂν μεταβολῆς τύχοιεν. — παρέχει gebraucht nicht bloß Her. (ſ. die Erkl. zu 5, 49) ſondern auch die Attiker hin und wieder unperſönlich für πάρεστι, Th. 4, 85, 2. 6, 86, 4 u. Eur. El. 1080: καίτοι καλῶς γε σωφρονεῖν παρεῖχέ σοι. Daher wie παρόν ſo παρασχόν da es vorlag, leicht war. So καλῶς παρασχόν 5, 14, 1. 60, 4. 63, 1. Gr. 56, 9 A. 5. — ἡδομένους würde man wegen ἀνδρῶν erwarten; ἡδόμενον ſteht als ob bloß χρή vorangegangen. — ἀδικεῖσθαι ſich beleidigen zu laſſen. (Ba.) vgl. Gr. 52, 11 A. 3 u. zu 3, 82, 7.

§. 4. εἰ ἡσυχάζοι ſcheint ſchon in ὅ τε — ὀκνῶν enthalten; allein es regt doch einen neuen Gedanken an: wer ob dem Behagen an der Ruhe den Krieg ſcheut, dürfte, wenn er wirklich ruht, erforderlichen Falls ſich nicht aufrafft, das Ergötzliche der Läſſigkeit, deſſentwegen er den Krieg ſcheut, einbüßen. — πλεονάζων ſ. v. a. § 3 ἐπαίρεσθαι. — ἐντεθύμηται erwägt, wie ἔγνωκα. Heindorf. zu Plat. Phäd. 80 p. 130. Mit dem Particip wie 2, 62, 1. 6, 78, 1 und And. 4, 18: ἐνθυμούμενος ὑμῶν οὐδὲ τοὺς κακούργους ἀσφαλὲς εἰς τὸ δεσμω-

ἐπαιρόμενος. πολλὰ γὰρ κακῶς γνωσθέντα ἀβουλοτέρων
τῶν ἐναντίων τυχόντων κατωρθώθη, καὶ ἔτι πλέω ἃ καλῶς
δοκοῦντα βουλευθῆναι ἐς τοὐναντίον αἰσχρῶς περιέστη· ἐν-
θυμεῖται γὰρ οὐδεὶς ὁμοίᾳ τῇ πίστει καὶ ἔργῳ ἐπεξέρχεται,
ἀλλὰ μετ' ἀσφαλείας μὲν δοξάζομεν, μετὰ δέους δὲ ἐν τῷ
ἔργῳ ἐλλείπομεν."

"Ἡμεῖς δὲ νῦν καὶ ἀδικούμενοι τὸν πόλεμον ἐγείρομεν 121
καὶ ἱκανὰ ἔχοντες ἐγκλήματα, καὶ ὅταν ἀμυνώμεθα Ἀθηναί-
ους, καταθησόμεθα αὐτὸν ἐν καιρῷ. κατὰ πολλὰ δὲ ἡμᾶς
εἰκὸς ἐπικρατῆσαι, πρῶτον μὲν πλήθει προὔχοντας καὶ ἐμ-
πειρίᾳ πολεμικῇ, ἔπειτα ὁμοίως πάντας ἐς τὰ παραγγελλό-
μενα ἰόντας. ναυτικόν τε, ᾧ ἰσχύουσιν, ἀπὸ τῆς ὑπαρχούσης 2
τε ἑκάστοις οὐσίας ἐξαρτυσόμεθα καὶ ἀπὸ τῶν ἐν Δελφοῖς
καὶ Ὀλυμπίᾳ χρημάτων· δάνεισμα γὰρ ποιησάμενοι ὑπολα-

τήρων ὂν ἀπάγειν. vgl. Gr. 56, 7 A. 5 u. 12. In der ſpätern Attiſs ſcheint dieſer Gebrauch nicht vorzukommen. — θράσει ἀπίστῳ durch unzuverläſſige Zuverſicht auf ſein Kriegesglück. — τυχόντων für τυχόντα die beſten Hſn.: οἱ ἐναντίοι ἄβουλοι ἔτυχον. vgl. zu 1, 32, 2. — πλείω. Hart fehlt ἐστί, da es nicht logiſche Copula iſt; vgl. jedoch Soph. Ant. 966 f. (Pp.) Da ἃ περιέστη ſo v. ſt als τὰ περιστάντα ſo fehlt ἐστί doch eigentlich nur als Copula. — ἐς τοὐναντίον περιέστη ſchlug ins Gegentheil über, οὐ κατωρθώθη, hatte unglücklichen Ausgang. — γάρ. Deshalb nämlich weil der klugen Berechnung die Thatkraft nicht entſpricht. — ὁμοῖα mit ἐνθυμεῖσθαι verbunden wäre zwar ſprachgemäß, allein der Sinn empfiehlt Reiskes ὁμοίᾳ: nicht mit gleicher Zuverſicht überlegt man und führt man aus; mit geringerer nämlich das letztere. — πίστει. I, 140, 1: εἰδὼς τοὺς ἀνθρώπους οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας. (Gb.) — ἐπεξέρχεται. vgl. 5, 9, 7. — μετ' ἀσφαλείας in Sicherheit, alſo nicht durch eindringende Beſorgniſſe verwirrt. — δοξάζομεν überdenken, überlegen. — ἐλλείπομεν laſſen es an uns fehlen. Soph. Aj. 1379: ξυμπονεῖν καὶ μηδὲν ἐλλείπειν.

C. **121**. §. 1. πόλεμον ἐγείρειν ſagen auch Xen. Hipp. 1, 19 u. Polyb. 15, 1, 2. (Bl.) ἔγειρε δὲ φύλοπιν αἰνὴν Hom. Il. λ, 213. (Wa.) — κατὰ πολλά aus vielen Gründen, wie 1, 123, 2. (Pp.) — ἐς τὰ παραγγελλόμενα ἰόντας, wie 3, 55, 2. (Bl.) παραγγέλλειν iſt der eigentliche Ausdruck für die Befehle der Officiere; es wird alſo hier die den Doriern eigenthümliche Subordination bezeichnet.

§ 2. ἰσχύουσιν, οἱ Ἀθηναῖοι. — ἐν Δελφοῖς. Es ſcheint alſo Delphoi nicht mehr (vgl. 1, 112, 3) den Phokern unterwürfig geweſen zu ſein. (Pp.) — χρημάτων. Tempelſchätze griff man in Fällen der Noth an, unter der Bedingung künftiger Wiedererſtattung. vgl. 2, 13, 4. (Pp.) — ὑπολαβεῖν. Dagegen 1, 143, 1. (Pp.) In ὑπο — liegt der Begriff des

βεῖν οἷοί τ' ἐσμὲν μισθῷ μείζονι τοὺς ξένους αὐτῶν ναυβάτας. ὠνητὴ γὰρ Ἀθηναίων ἡ δύναμις μᾶλλον ἢ οἰκεία· ἡ δὲ ἡμετέρα ἥσσον ἂν τοῦτο πάθοι, τοῖς σώμασι τὸ πλέον
3 ἰσχύουσα ἢ τοῖς χρήμασιν. μιᾷ τε νίκῃ ναυμαχίας κατὰ τὸ εἰκὸς ἁλίσκονται· εἰ δ' ἀντίσχοιεν, μελετήσομεν καὶ ἡμεῖς ἐν πλέονι χρόνῳ τὰ ναυτικά, καὶ ὅταν τὴν ἐπιστήμην ἐς τὸ ἴσον καταστήσωμεν, τῇ γε εὐψυχίᾳ δή που περιεσόμεθα. ὃ γὰρ ἡμεῖς ἔχομεν φύσει ἀγαθὸν ἐκείνοις οὐκ ἂν γένοιτο διδαχῇ· ὃ δ' ἐκεῖνοι ἐπιστήμῃ προὔχουσι καθαιρετέον ἡμῖν ἐστι με-
4 λέτῃ. χρήματα δ' ὥστ' ἔχειν ἐς αὐτά, οἴσομεν· ἢ δεινὸν ἂν εἴη εἰ οἱ μὲν ἐκείνων ξύμμαχοι ἐπὶ δουλείᾳ τῇ αὐτῶν φέροντες οὐκ ἀπεροῦσιν, ἡμεῖς δ' ἐπὶ τῷ τιμωρούμενοι τοὺς ἐχθροὺς καὶ αὐτοὶ ἅμα σώζεσθαι οὐκ ἄρα δαπανήσομεν καὶ ἐπὶ τῷ μὴ ὑπ' ἐκείνων αὐτὰ ἀφαιρεθέντες αὐτοῖς τούτοις κακῶς πάσχειν."

Furtiven, wie 6, 58. vgl. zu 1, 68, 4. — *ναυβάτας*. das auch 7, 75, 7 und bei Plutarchos vorkommt, erklärt Poll. 1, 95 für *τραγικώτερον*. (Pp.) vgl. 8, 44, 1 u. Her. 1, 143. — *ὠνητή*, gekauft, gemiethet oder käuflich? wohl jenes wegen des Gegensatzes. In der ersten Bedeutung steht *ὠνητός* Soph Oed. T. 1123 u. Eur. Hek. 365. vgl. Lex. Plat.; über die zweite zu 3, 40, 1. — *τοῦτο, τὸ ὑπολαμβάνεσθαι τοὺς ναυβάτας*. (Gb.)

§ 3. *ἁλίσκονται* hat Perfectbedeutung. zu 1, 23, 2. Das Perfect aber kann das Zukünftige als etwas fast Unausbleibliches anticipiren. Gr. 53, 3 A. 4. — *εἰ ἀντίσχοιεν*. zu 1, 120, 3. — *μελετήσομεν*. dagegen 1, 80, 3. 142, 3. 4. — *χρόνῳ* ist wohl zu tilgen. vgl. 1, 72, 1. (Kr.) — *καθαιρετέον* müssen wir bewältigen: *καθαιρετόν* können wir bewältigen entspräche freilich mehr dem *οὐκ ἂν γένοιτο*. Doch ist diese Conformität nicht nothwendig.

§ 4. *χρήματα* mit Bezug auf 1, 80, 3. vgl. 141, 3. (Pp.) — *ἐς αὐτά* zur Bekämpfung. Gr. 44, 4 A. 3. — *ἤ* fast so v. a. *εἰ δὲ μή*. vgl. zu 1, 78, 3. — *φέροντες*. Gr. 56, 6 A. 1. — *οὐκ*. Gr. 67, 4 A. 1 u. Schömann z. Isä. S. 325. — *καὶ* vor *αὐτοὶ* stellt dies in Gegensatz zu *ἐχθρούς*: auch selbst, wenn es nicht zu tilgen ist. — *οὐκ ἄρα δαπανήσομεν*. Das *ἄρα* ist hier erloschen, indem, wie das *ἄρα* zeigt, anakoluthisch eine selbstständige Frage des Unwillens vortritt: *ἡμεῖς δ' οὐ δαπανῆσομεν*; Lys 12, 36: *οὔκουν δεινὸν εἰ τοὺς μὲν στρατηγοὺς — θανάτῳ ἐζημιώσατε· τούτους δὲ δὴ — οὐκ ἄρα χρὴ κολάζεσθαι*; (Pflugk zu Eur. Herk. 578.) Der Gedanke: und wir sollten nicht Gelder aufwenden wollen, um (*ἐπί*) theils die Feinde bestrafend zugleich auch selbst uns zu retten, theils nicht von jenen derselben (der Gelder) beraubt gerade durch sie noch mehr Unheil zu erdulden? Denn Vermehrung ihres Reichthums und ihrer Macht wird Vermehrung ihrer Unbilden gegen uns.

"Ὑπάρχουσι δὲ καὶ ἄλλαι ὁδοὶ πολέμου ἡμῖν, ξυμμά- 122
χων τε ἀπόστασις, μάλιστα παραίρεσις οὖσα τῶν προσόδων,
αἷς ἰσχύουσιν, καὶ ἐπιτειχισμὸς τῇ χώρᾳ, ἄλλα τε ὅσα οὐκ
ἂν τις νῦν προϊδοι. ἥκιστα γὰρ πόλεμος ἐπὶ ῥητοῖς χωρεῖ,
αὐτὸς δὲ ἀφ' αὑτοῦ τὰ πολλὰ τεχνᾶται πρὸς τὸ παρατυγχά-
νον· ἐν ᾧ ὁ μὲν εὐοργήτως αὐτῷ προσομιλήσας βεβαιότερος,
ὁ δ' ὀργισθεὶς περὶ αὐτὸν οὐκ ἐλάσσω πταίει. ἐνθυμώμεθα 2
δὲ καὶ ὅτι εἰ μὲν ἦσαν ἡμῶν ἑκάστοις πρὸς ἀντιπάλους περὶ
γῆς ὅρων διαφοραί, οἷσπερ ἂν ἦν· νῦν δὲ πρὸς ξύμπαντάς
τε ἡμᾶς Ἀθηναῖοι ἱκανοὶ καὶ κατὰ πόλιν ἔτι δυνατώτεροι,
ὥστε εἰ μὴ καὶ ἀθρόοι καὶ κατὰ ἔθνη καὶ ἕκασιον ἄστυ
μιᾷ γνώμῃ ἀμυνούμεθα αὐτούς, δίχα γε ὄντας ἡμᾶς ἀπό-

C. 122. § 1. *ὁδοί* Mittel und Wege, viae Tac. A. 2, 5. (Gb.) — *ἀπόστασις. ἀποστάσεις*? vgl. 1, 57, 3. 75, 2. 99, 1. Der Singular verdankt vielleicht dem *παραίρεσις* seine Entstehung. Die Bedeutung: Verleitung zum Abfalle (Va. u. Py.), welche das Wort wohl nie hat, gewiß wenigstens nicht bei Th., ist auch hier nicht nöthig. — *ἐπιτειχισμός* Aufführung von Festen in oder an dem Gebiete der Feinde, um dasselbe von dort aus zu befehden. vgl. Hemsterhuys z. Luc. I p. 263 f. Zweib. — *τῇ χώρᾳ*. Gr. 48, 12 A. 4. vgl. 47, 7 A. 5. — *ἐπὶ ῥητοῖς χωρεῖ* nimmt nach bestimmten, festgesetzten Normen seinen Lauf. Krobylos: *ὁ πόλεμος τεταγμένα οὐ σπεῦται* — *αὐτὸς* — *παρατυγχάνον* er selbst veranlaßt und lenkt durch sich selbst das Meiste nach den eintretenden Umständen, die Maßregeln werden durch die von dem Kriege selbst herbeigeführten Conjuncturen bestimmt. — *ἐν ᾧ* wobei; der Schol. *διό* — *εὐοργήτως* mit besonnener Umsicht, *εὐσκόπως, εὐτρόπως· ὀργὴ γὰρ ὁ τρόπος.* (Sch.) vgl. zu *ὀργή* 1, 130, 2. — *προσομιλήσας*, wie *ὁμιλεῖν* 6, 70, 1. (Py.) Ungewöhnlich. Doch sagt Platon z. B. *φιλοσοφίᾳ, γυμνασιχῇ ὁμιλεῖν.* — *βεβαιότερος* sicherer vor Unglück. — *ὁ ὀργισθείς* wer in Leidenschaft geräth. — *αὐτόν*. Dobree u. Bekker *αὑτόν*. Allein *περὶ αὐτόν* wüßte ich weder mit *ὀργίζεσθαι* noch mit *πταίειν* verbunden zu begründen. Auch *πταίειν περί τι* ist mir nicht so bekannt wie Hn. Py. und ich verbinde daher *περὶ αὐτόν* mit *ὀργισθείς*, wofür die Stellung zu sprechen scheint. vgl. Plat. Ges. 731, e: *τυφλοῦται περὶ τὸ φιλούμενον ὁ φιλῶν.* — *ἐλάσσω*. Gr. 46, 5 A. 4. — *πταίει* ist zu betonen: die Unfälle die er erleidet sind nicht geringer (eben so groß) als die Sicherheit des Andern.

§ 2. *ἀντιπάλους* nur gleich Mächtige, Ggs. *ὑποδεέστερος* 5, 8, 1. Diese sonst ungewöhnliche Bedeutung ist bei Th. die gewöhnliche. vgl. zu 2, 89, 4. — *κατὰ πόλιν* gegen jede einzelne Stadt. — *εἰ μὴ — αὐτούς* wenn nicht unsre gesammte Symmachie, jede einzelne Völkerschaft und jede einzelne Stadt einmüthig gegen sie ankämpft; selbst nicht eine einzelne Stadt darf sich dem einmüthigen Eifer, der Theilnahme an dem Kampfe nicht entziehen. — *κατὰ ἔθνη*. Gr. 60, 8 A. 4.

3 νως χειρώσονται. καὶ τὴν ἧσσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴστω οὐκ ἄλλο τι φέρουσαν ἢ ἄντικρυς δουλείαν· ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν. ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσχειν ἢ διὰ δειλίαν ἀνέχεσθαι καὶ τῶν πατέρων χείρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτό, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι
4 πόλιν, τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλύειν. καὶ οὐκ ἴσμεν ὅπως τάδε τριῶν τῶν μεγίστων ξυμφορῶν ἀπήλλακται, ἀξυνεσίας ἢ μαλακίας ἢ ἀμελείας. οὐ γὰρ δὴ πεφευγότες ταῦτα ἐπὶ τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν κεχωρήκατε, ἢ ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται."

123 "Τὰ μὲν οὖν προγεγενημένα τί δεῖ μακρότερον ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει αἰτιᾶσθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων

---

§ 3. ἄντικρυς δουλείαν entſchiedene Knechtſchaft, wie ἡ ἄντικρυς ἐλευθερία 8, 64, 3. vgl. 8, 92, 11 u. Gr. 50, 8 A. 19. — ὃ bezieht ſich dem Begriffe nach auf φέρειν (τι) δουλείαν. — καὶ λόγῳ ἐνδοιασθῆναι auch nur den Gedanken in ſich aufſteigen zu laſſen. (Reiske.) Bei Attikern ſcheint das Verbum ſonſt nicht vorzukommen; ἐνδοιάζω noch 1, 36, 2. 6, 91, 4 und bei Spätern. — κακοπαθεῖν, durch καί mit ὅ verbunden, hat ebenfalls αἰσχρόν zum Prädicat. — ἐν ᾧ wobei, wenn dies geſchähe. — φαίνεσθαι da zu ſtehen, von δοκοῖμεν regiert. Beiſpiele der Verbindung dieſer Verba bei Heindorf zu Plat. Phäbr. 97. — αὐτό, τὴν ἐλευθερίαν. (Sch.) — τύραννον — πόλιν. vgl. 1, 124, 3. 2, 63, 2. 3, 37, 2, Ar. Ritter 1114. 1330. 34. — ἐγκαθεστάναι, ἐν τῇ Ἑλλάδι. (Ys.) — καταλύειν. ſ. 1, 18, 1.

§ 4. οὐκ ἴσμεν — wir, die Redenden, wiſſen nicht wie ein ſolches Verfahren von den drei größten Fehlern, der Unklugheit oder Feigheit oder Nachläſſigkeit frei, frei zu ſprechen ſei. (Kr.) — τριῶν. vgl. 3, 40, 1. — ἀπήλλακται. vgl. 1, 143, 2 mit 138, 4. 3, 63, 4. — οὐ γὰρ — κεχωρήκατε denn gewiß nicht mit Vermeidung derſelben habt ihr euch zu der Verachtung, die ſchon ſo vielen geſchadet hat, gewendet, d. h. nur aus einem jener Fehler, nicht aus dem Gefühl eurer Uebermacht iſt eure bisherige Verachtung der Athener herzuleiten; ein Gedanke der auf die letztere Weiſe ausgeſprochen die Lakedämonier beleidigen konnte und deshalb einer mildernden Wendung bedurfte. (Kr.) — καταφρόνησις. vgl. 2, 62, 5. — πλείστους. πλείστους πλεῖστα? (Kr.) — ὄνομα ἀφροσύνη μετωνόμασται. vgl. 2, 37, 1. 4, 64, 2. 6, 4, 6. Gr. 46, 13 u. 50, 7 A. 5.

C. 123. § 1. ἐς kann verdächtig ſcheinen; eben ſo μελλόντων. (Kr.) vgl. 2, 64, 4. 4, 54, 3. 107, 1. Doch ſteht Plat. Parm. 141, e: τὸ ἔσται οὐ τοῦ ἔπειτα τοῦ μέλλοντος, was jedoch nur, wenn man das

τοῖς παροῦσι βοηθοῦντας χρὴ ἐπιταλαιπωρεῖν· πάτριον γὰρ ὑμῖν ἐκ τῶν πόνων τὰς ἀρετὰς κτᾶσθαι. καὶ μὴ μεταβάλλειν τὸ ἔθος, εἰ ἄρα πλούτῳ τε νῦν καὶ ἐξουσίᾳ ὀλίγον προφέρετε — οὐ γὰρ δίκαιον ἃ τῇ ἀπορίᾳ ἐκτήθη τῇ περιουσίᾳ 2
ἀπολέσθαι — ἀλλὰ θαρσοῦντας ἰέναι κατὰ πολλὰ ἐς τὸν πόλεμον, τοῦ τε θεοῦ χρήσαντος καὶ αὐτοῦ ὑποσχομένου ξυλλήψεσθαι καὶ τῆς ἄλλης Ἑλλάδος πάσης ξυναγωνιουμένης τὰ μὲν φόβῳ τὰ δ' ὠφελίᾳ. σπονδάς τε οὐ λύσετε πρότε- 3
ροι, ἃς γε καὶ ὁ θεὸς κελεύων πολεμεῖν νομίζει παραβεβάσθαι, ἠδικημέναις δὲ μᾶλλον βοηθήσετε· λύουσι γὰρ οὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ πρότεροι ἐπιόντες."

"Ὥστε πανταχόθεν καλῶς ὑπάρχον ὑμῖν πολεμεῖν καὶ 124
ἡμῶν τάδε κοινῇ παραινούντων, εἴπερ βεβαιότατον τὸ ταῦτα ξυμφέροντα καὶ πόλεσι καὶ ἰδιώταις εἶναι, μὴ μέλλετε Ποτιδαιάταις τε ποιεῖσθαι τιμωρίαν οὖσι Δωριεῦσι καὶ ὑπὸ

---

zweite τοῦ tilgt, ähnlich wird. — περὶ — ἐπιταλαιπωρεῖν rückſichtlich deſſen was künftig eintreten mag muß man (d. h. ihr) des Gegenwärtigen ſich annehmend Mühſale erdulden, um ſo für die Zukunft günſtigere Verhältniſſe zu begründen. — παροῦσι iſt das Neu. (Sch.) vgl. 1, 140, 2. 2, 63, 1. So βοηθεῖν τύχαις, συμφοραῖς. Ieſr. 4, 55. 56. — ἐπιταλαιπωρεῖν, προσθεῖναι τὸν πόνον. (Sch.) alſo Mühſale außer den ſonſtigen. — ὑμῖν für ἡμῖν die beſten Hſn. Für jenes ſpricht προφέρετε und λύσετε, wie ὑμῖν 124, 1. — τὰς ἀρετάς die Verdienſte; der Artikel bezeichnet die bezüglichen, eventuellen. — ἐξουσίᾳ als mächtige Hegemonen. — προφέρετε, προέχετε. vgl. zu 1, 93, 2. τῶν προγόνων ἦσαν ὀλίγον εὐπορώτεροι. (Sch.)

§ 2. τῇ ἀπορίᾳ, ὑπ' ἀπορίας κινηθέντες ἐκτησάμεθα. (Sch.) — ἐκτήθη. Gr. 40 unter κτάομαι. — χρήσαντος 1, 118, 3. — φόβῳ, ἵνα μὴ δουλωθῇ. — ὠφελίᾳ wegen des Vortheils (ἐπ' ὠφελίᾳ 1, 73, 2. 2, 29, 3. 5, 91, 2), den Vielen die Schwächung der Athener verheißt, Befreiung von drückenden Laſten u. dgl.

§ 3. παραβεβάσθαι. So παραβαθῆναι 3, 67, 4. 4, 23, 1, ξυμβεβάσθαι 8, 98, 2, ξυμβαθῆναι 4, 30, 3, ἀναβεβαμένος Xen. ἱππαρχ. 1, 4. 3, 4, ἀναβαθῆναι derſ. π. ἱππ. 3, 4. Sonſt finden ſich ſolche Formen bei Attikern nicht. Ueber das ſchlechte παραβεβασμένος u. a. Lobeck z. Phryn. p, 36.

C. 124. § 1. πανταχόθεν aus Gründen aller Art. vgl. zu 1, 17, 2. — ὑπάρχον wie 3, 63, 2. vgl. zu 1, 120, 3. — βεβαιότατον die ſicherſte Garantie des Zuſammenhaltens und Gelingens. — ταῦτα. ταὐτά γρ. A. und Reiske. Jenes iſt wie τάδε, auf πολεμεῖν zu beziehen. Gr. 44, 4 A. 3. — οὖσι Δωριεῦσι, urgirt ſowohl wegen der Stammverwandſchaft als aus doriſchem Stolze. Pp. vergleicht 5, 9, 1.

Ἰώνων πολιορκουμένοις, οὗ πρότερον ἦν τοὐναντίον, καὶ τῶν
2 ἄλλων μετελθεῖν τὴν ἐλευθερίαν, ὡς οὐκέτι ἐνδέχεται περι-
μένοντας τοὺς μὲν ἤδη βλάπτεσθαι, τοὺς δ', εἰ γνωσθησό-
μεθα ξυνελθόντες μὲν ἀμύνεσθαι δὲ οὐ τολμῶντες, μὴ πολὺ
ὕστερον τὸ αὐτὸ πάσχειν· ἀλλὰ νομίσαντες ἐς ἀνάγκην ἀφῖ-
χθαι ὦ ἄνδρες ξύμμαχοι καὶ ἅμα τάδε ἄριστα λέγεσθαι
ψηφίσασθε τὸν πόλεμον, μὴ φοβηθέντες τὸ αὐτίκα δεινόν,
3 τῆς δ' ἀπ' αὐτοῦ διὰ πλείονος εἰρήνης ἐπιθυμήσαντες· ἐκ
πολέμου μὲν γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται, ἀφ' ἡσυχίας δὲ
μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον. καὶ τὴν καθεστηκυῖαν
ἐν τῇ Ἑλλάδι πόλιν τύραννον ἡγησάμενοι ἐπὶ πᾶσιν ὁμοίως
καθεστάναι, ὥστε τῶν μὲν ἤδη ἄρχειν τῶν δὲ διανοεῖσθαι,
παραστησώμεθα ἐπελθόντες καὶ αὐτοί τε ἀκινδύνως τὸ λοι-
πὸν οἰκῶμεν καὶ τοὺς νῦν δεδουλωμένους Ἕλληνας ἐλευθε-
ρώσωμεν." τοιαῦτα μὲν οἱ Κορίνθιοι εἶπον.

125 Οἱ δὲ Λακεδαιμόνιοι ἐπειδὴ ἀφ' ἁπάντων ἤκουσαν
γνώμην, ψῆφον ἐπήγαγον τοῖς ξυμμάχοις ἅπασιν ὅσοι πα-

6, 77, 1. 7, 5, 3. 8, 25, 3. — πολιορκουμένοις 1, 64, 2. — μετελθεῖν, ἀνασώσασθαι. (Sch.) nachgehen, ſei es die gefährdete zu ſchirmen oder die entriſſene wieder herzuſtellen. (Bd.) vgl. 2, 39, 2 u. zu 1, 34, 2.

§. 2. ὡς denn. — τοὺς μέν, ἡμῶν. (Sch.) Der Sinn: es iſt nicht ſtatthaft, darf nicht mehr geſtattet werden daß, indem wir zaudern, die Einen von uns ſchon jetzt geſchädigt werden. (Hſ.) Bezug genommen wird hier auf die Korinthier ſelbſt. (Pp.) — εἰ — τολμῶντες wenn es ſich zeigen wird daß wir zwar uns verſammeln, zur Abwehr jedoch uns nicht entſchließen. Xen. Ag. 3, 5: μέγα καὶ καλὸν κτῆμα ἀνδρὶ στρατηγῷ πιστὸν εἶναί τε καὶ ὄντα ἐγνῶσθαι. — ἀλλά ſteht dem μὴ μέλλειν § 1 entgegen. (Pp.) — ἐς ἀνάγκην für ἐπ' ἀν. gute Hſn., für die der Sprachgebrauch entſcheidet. — ἀφῖχθαι kann perſönlich genommen werden, wie 7, 86, 4; doch auch unperſönlich, wie wohl 7, 75, 6. vgl. 4, 10, 2 u. zu 1, 6, 4. — τῆς δ' — εἰρήνης des aus demſelben, der gegenwärtigen Gefahr des Krieges, für längere Zeit entſprießenden Friedens. — διὰ πλείονος, wie δι' ὀλίγου 2, 85, 2. 5, 69, 3. 7, 70, 8. — ἐπιθυμήσαντες Begierde gefaßt habend. Gr. 53, 5 A. 1.

§ 3. ἐκ πολέμου als eine Frucht des Krieges. — μᾶλλον als etwa durch bloße Unterhandlungen. — πολεμῆσαι Krieg anzufangen. zu 1, 18, 4. vgl. 140, 5. — οὐχ ὁμοίως nicht eben ſo wie ein durch Krieg begründeter Friede. — διανοεῖσθαι erg. ἄρχειν. vgl. zu 1, 1, 1. — τε nach αὐτοί, was in guten Hſn. fehlt, iſt ſehr paſſend. vgl. Gr. 69, 59 A. 1. vgl. 32 A. 11.

§. 125. ἀπό bei ἀκούειν ungewöhnlich ſteht wie bei μανθάνειν.

ρῆσαν ἐξῆς, καὶ μείζονι καὶ ἐλάσσονι πόλει· καὶ τὸ πλῆθος ἐψηφίσαντο πολεμεῖν. δεδογμένον δὲ αὐτοῖς εὐθὺς μὲν ἀδύνατα ἦν ἐπιχειρεῖν ἀπαρασκεύοις οὖσιν, ἐκπορίζεσθαι δὲ ἐδόκει ἑκάστοις ἃ πρόσφορα ἦν καὶ μὴ εἶναι μέλλησιν. ὅμως δὲ καθισταμένοις ὧν ἔδει ἐνιαυτὸς μὲν οὐ διετρίβη, ἔλασσον δέ, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικὴν καὶ τὸν πόλεμον ἄρασθαι φανερῶς.

Ἐν τούτῳ δὲ ἐπρεσβεύοντο τῷ χρόνῳ πρὸς τοὺς Ἀθηναί- 126
ους ἐγκλήματα ποιούμενοι, ὅπως σφίσιν ὅτι μεγίστη πρόφασις εἴη τοῦ πολεμεῖν, ἢν μή τι ἐσακούωσιν. καὶ πρῶτον μὲν πρέσβεις πέμψαντες οἱ Λακεδαιμόνιοι ἐκέλευον τοὺς Ἀθηναίους τὸ ἄγος ἐλαύνειν τῆς θεοῦ· τὸ δὲ ἄγος ἦν τοιόνδε. Κύλων ἦν Ὀλυμπιονίκης ἀνὴρ Ἀθηναῖος τῶν πάλαι 2
εὐγενής τε καὶ δυνατός, ἐγεγαμήκει δὲ θυγατέρα Θεαγένους Μεγαρέως ἀνδρός, ὃς κατ' ἐκεῖνον τὸν χρόνον ἐτυράννει Με-

---

Gr. 67, 16 A. 7. — ἐξῆς. zu 1, 20, 1. — δεδογμένον da ſie beſchloſſen hatten. Gr. 56, 9 A. 5. So εἰρημένον 1, 140, 3. 5, 30, 2. 39, 2. 7, 18, 3. 77, 6, γεγραμμένον 5, 56, 2, προστεταγμένον Plat. Geſ. 902, d. — τὸ πλῆθος die Majorität, wie οἱ πολλοί. 5, 30, 2: κύριον εἶναι ὅ τι ἂν τὸ πλῆθος ψηφίσηται τῶν ξυμμάχων. (Ar.) — τὰ πρόσφορα das Zuträgliche, Zweckdienliche. vgl. 2, 46. 65, 7. 7, 62, 2 u. Lex. Plat. Sonſt iſt das Wort in der att Proſa nicht üblich. — ὅμως — obgleich man nicht zu zögern beſchloſſen hatte, ſo fand dennoch ein zwar nicht langer, aber doch ein Verzug ſtatt. — καθισταμένοις, παρασκευαζομένοις. — μὲν — δέ. ſ. zu 1, 67, 2.

C. 126. § 1. πρὸς τοὺς Ἀθηναίους. Nicht πρὸς ἀλλήλους heißt es, weil hier wie auch ἐσακούσωσι zeigt, zunächſt nur das Verhalten der Peloponneſier geſchildert werden ſoll. — πρῶτον μέν. Der Gegenſatz, durch Epiſoden entfernt, folgt 1, 139, 1. (Pp.) — τὸ ἄγος τῆς θεοῦ, τοὺς τὸ ἄγος ὀράσαντας τῆς θεοῦ, τῆς Ἀθηνᾶς. (Sch.) vgl. 1, 127, 1. 128, 1. 2. 135, 1. τὰ ἄγη 2, 13, 1. Sch. Soph. Oed. T. 656: κατ' ἐνημισμὸν καὶ τὰ μιάσματα ἄγη λέγεται καὶ οἱ μιαροὶ ἐναγεῖς καλοῦνται. So ſonſt auch bei Th. οἱ ἐναγεῖς. Beide Ausdrücke bezeichnen hier natürlich die Nachkommen derer die durch Mord (§ 6) den Tempel der Göttin entweiht hatten. — ἐλαύνειν iſt der eigentliche Ausdruck von Vertreibung Solcher. vgl. Oed. T. 98.

§ 2. Κύλων. Die alten Rhetoren bewunderten die Klarheit der folgenden Epiſode und äußerten hier über den Verfaſſer: λέων ἐγέλασεν. — Ὀλυμπιονίκης. Ol. 35 im Diaulos. Corſini diss. ag. p. 171. — ἀνὴρ kann man, vorher ein Komma ſetzend, mit Ἀθηναῖος verbinden. vgl. Meier de bonis damn. p. 4 n. 9. Doch kann man auch alle drei Begriffe zuſammennehmen ſo v. a. τῶν Ἀθηναίων ἀνὴρ Ὀλυμπιονίκης, wie Her. 5, 71 ſpricht. — τῶν πάλαι hängt von ἀνήρ ab. vgl. 6, 54,

γάρων. χρωμένῳ δὲ τῷ Κύλωνι ἐν Δελφοῖς ἀνεῖλεν ὁ Θεὸς ἐν τῇ τοῦ Διὸς τῇ μεγίστῃ ἑορτῇ καταλαβεῖν τὴν Ἀθηναίων
3 ἀκρόπολιν. ὁ δὲ παρά τε τοῦ Θεαγένους δύναμιν λαβὼν καὶ τοὺς φίλους ἀναπείσας, ἐπειδὴ ἐπῆλθον Ὀλύμπια τὰ ἐν Πελοποννήσῳ, κατέλαβε τὴν ἀκρόπολιν ὡς ἐπὶ τυραννίδι, νομίσας ἑορτήν τε τοῦ Διὸς μεγίστην εἶναι καὶ ἑαυτῷ τι προσήκειν Ὀλύμπια νενικηκότι. εἰ δὲ ἐν τῇ Ἀττικῇ ἢ ἄλλοθί που ἡ μεγίστη ἑορτὴ εἴρητο, οὔτε ἐκεῖνος ἔτι κατενόησε τό τε μαν-
4 τεῖον οὐκ ἐδήλου· ἔστι γὰρ καὶ Ἀθηναίοις Διάσια ἃ καλεῖται Διὸς ἑορτὴ Μειλιχίου μεγίστη, ἔξω τῆς πόλεως, ἐν ᾗ πανδημεὶ θύουσι, πολλοὶ οὐχ ἱερεῖα ἀλλὰ θύματα ἐπιχώρια· δοκῶν δὲ ὀρθῶς γιγνώσκειν ἐπεχείρησε τῷ ἔργῳ. οἱ δ' Ἀθηναῖοι αἰσθόμενοι ἐβοήθησάν τε πανδημεὶ ἐκ τῶν
5 ἀγρῶν ἐπ' αὐτοὺς καὶ προσκαθεζόμενοι ἐπολιόρκουν. χρόνου δὲ ἐπιγιγνομένου οἱ Ἀθηναῖοι τρυχόμενοι τῇ προσεδρείᾳ ἀπῆλθον οἱ πολλοί, ἐπιτρέψαντες τοῖς ἐννέα ἄρχουσι τὴν φυλακὴν καὶ τὸ πᾶν αὐτοκράτορσι διαθεῖναι ᾗ ἂν ἄριστα διαγιγνώσκωσιν· τότε δὲ τὰ πολλὰ τῶν πολιτικῶν οἱ ἐννέα

---

2. — τῇ τοῦ Διὸς τῇ. zu 1, 23, 3. — καταλαβεῖν. So ἔχρησε μετενέγκειν 1, 134, 4. Kr. zu Xen. An. 7, 6, 44.

§ 3. ἐπῆλθον für ἐπῆλθεν die beſten Hſn. zu 1, 58, 1. — Ὀλύμπια. Ol. 43, 1. Corſini F. A. 3 p. 64. vgl. 72. — κατέλαβε. Nach Her. 5 71 verſuchte er es ohne Erfolg — ἑαυτῷ τι προσήκειν es habe auf ihn eine Beziehung. — ἔτι weiter. (Hl.) So οὐκέτι nicht auch, nicht ebenfalls. Kr. zu Xen. An. 1, 10, 12 fl. A. — τε — οὐ. zu 1, 5, 2. vgl. 2, 22, 1. — κατενόησε bedachte er.

§ 4. Διάσια. Ἀθήνησιν ἑορτὴ Μειλιχίου Διός· ἄγεται δὲ μηνὸς Ἀνθεστηριῶνος ἡ φθίνοντος. Sch. Ar. Wo. 407. (Gb.) vgl. Herm. zu der St. des Ar., das Sch. zu Luc. Iſar. 24 u. Clinton F. H. p. 354, m. — πολλοί kann ſchon wegen πανδημεί nicht unmittelbar mit θύουσι verbunden werden; auch opferten Manche wirklich an dieſem Feſte Thiere. Daher iſt mit Bredow nach θύουσι interpungirt. vgl. das Schol.: πανδημεὶ ἑορτάζουσι, θύουσι δὲ πολλοί. Daß ſo zu leſen ſei vermuthet Hemſterhuys zu Luc. Tim. 7. — ἀλλά. ἀγνὰ δέ derſelbe. vgl. Poll. 1, 26. — θύματα, τινὰ πέμματα εἰς ζώων μορφὰς τετυπωμένα. (Sch.) — αὐτοὺς ihn und ſeine Anhänger. Kr. zu Xen. An. 4, 3, 28. 5, 10, 14 und zu σφᾶς oben 1, 62, 2.

§ 5. ἐπιγιγνομένου dazu kam, wie 4, 25, 1. vgl. 2, 33, 1. 3, 103, 1. — αὐτοκράτορσι mit unbeſchränkter Vollmacht für dieſen Fall: αὐτοκράτορες διέθεσαν. — ἄριστα für das beſte, nicht Adv. vgl. 6, 8, 2. 9, 2. 26, 1. 8, 67, 3. — τότε. Denn durch Solon wurde die Macht der Archonten beſchränkt. (Dr.) — φλαύρως, κακῶς 7, 80, 1, πονήρως 83, 2. Py. bemerkt daß Th. ſonſt immer φαῦλος ſage; φαύλως jedoch findet ſich bei ihm nicht.

ἄρχοντες ἔπρασσον. οἱ δὲ μετὰ τοῦ Κύλωνος πολιορκούμε- 6
νοι φλαύρως εἶχον σίτου τε καὶ ὕδατος ἀπορίᾳ. ὁ μὲν οὖν
Κύλων καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐκδιδράσκουσιν· οἱ δ' ἄλλοι
ὡς ἐπιέζοντο καί τινες καὶ ἀπέθνησκον ὑπὸ τοῦ λιμοῦ, κα-
θίζουσιν ἐπὶ τὸν βωμὸν ἱκέται τὸν ἐν τῇ ἀκροπόλει. ἀνα-
στήσαντες δὲ αὐτοὺς οἱ τῶν Ἀθηναίων ἐπιτεταμμένοι τὴν
φυλακήν, ὡς ἑώρων ἀποθνήσκοντας ἐν τῷ ἱερῷ, ἐφ' ᾧ μη-
δὲν κακὸν ποιήσουσιν, ἀπαγαγόντες ἀπέκτειναν· καθεζομέ- 7
νους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς ἐν
τῇ παρόδῳ διεχρήσαντο. καὶ ἀπὸ τούτου ἐναγεῖς καὶ ἀλι-
τήριοι τῆς θεοῦ ἐκεῖνοί τε ἐκαλοῦντο καὶ τὸ γένος τὸ ἀπ' ἐ-
κείνων. ἤλασαν μὲν οὖν καὶ οἱ Ἀθηναῖοι τοὺς ἐναγεῖς τού-
τους, ἤλασε δὲ καὶ Κλεομένης ὁ Λακεδαιμόνιος ὕστερον μετὰ
Ἀθηναίων στασιαζόντων, τούς τε ζῶντας ἐλαύνοντες καὶ τῶν
τεθνεώτων τὰ ὀστᾶ ἀνελόντες ἐξέβαλον· κατῆλθον μέντοι
ὕστερον καὶ τὸ γένος αὐτῶν ἔστιν ἔτι ἐν τῇ πόλει. τοῦτο δὴ 127
τὸ ἄγος οἱ Λακεδαιμόνιοι ἐλαύνειν ἐκέλευον δῆθεν τοῖς

---

§ 6. *ἀναστήσαντες* bewogen ſie das Aſyl zu verlaſſen, der eigentliche Ausdruck. vgl. 128, 1. 136, 4. 3, 28, 3. 75, 3. 4. (W.) So *ἀνάστασις* 1, 133. — *ἀποθνήσκοντας* im Begriff zu ſterben. Gr. 53, 1 A. 6. Ueber die Sache vgl. 1, 134, 3 u. die Erkl. zu Eu. Hipp. 1437. — *τῶν Ἀθηναίων*. Gr. 47, 9 A. 11. vgl. 4, 125, 3. 6, 102, 1. — *τὴν φυλακήν*. Gr. 52, 4 A. 5.

§ 7. *ἐπὶ τῶν* bei den, im Heiligthum der. Ar. Ri. 1311: *καθῆσθαί μοι δοκῶ 'πὶ τῶν σεμνῶν θεῶν*. Der Tempel der Erinnyen lag zwiſchen der Burg und dem Areopagos. (Sch.) — *ἐν τοῖς βωμοῖς* iſt vielleicht mit *διεχρήσαντο* zu verbinden. (Pp.) Das *ἔν* fehlt in einigen Hſn. — *ἐν τῇ παρόδῳ* im Vorbeigehen. (Hl.) Eben ſo (mit dem Artikel) 5, 4, 5. 7, 2, 3. — *διαχρῆσθαι* tödten iſt ein Herodoteiſcher Ausdruck. vgl. Her. 1, 23 u. oft. (Gb.) vgl. Th. 3, 36, 3. 6, 61, 3. (Pp.) — *ἀλιτήριοι*. Sch. Ar. Ri. 445: *τοὺς ἁμαρτάνοντας εἰς τοὺς ἱκέτας ἀλιτηρίους ἔφασκον*. vgl. Lex. Soph. u. d. W. — *τῆς θεοῦ*. Ar. Ri. 445: *ἐκ τῶν ἀλιτηρίων σέ φημι γεγονέναι τῶν τῆς θεοῦ*. (Dr.) vgl. Gr. 47, 26 A. 9. — *τὸ ἀπ' αὐτῶν*, namentlich die Alkmäoniden. Her. 5, 70 f. (Pp.) — *Κλεομένης*. Her. 5, 70 ff. (Dr.) — *ἐλαύνοντες* gehört ſowohl zu *οἱ Ἀθηναῖοι* als zu *Κλεομένης* und hat hier engere Bedeutung als *ἤλασαν, ἤλασε*, womit auch die Wegſchaffung der Gebeine befaßt wurde. — *ἀνελόντες*; *ἀνορύξαντες*. Plut. Sol. 12 (Pp.) vgl. zu 1, 8, 1. — *ἐξέβαλον, ἐξέρριψαν ὑπὲρ τοὺς ὅρους*. Plut. Sol. 12. — *ὕστερον*, bei der Zurückberufung des Kleiſthenes.

C. 127. § 1. *δῆθεν* findet ſich bei Th. ſonſt nicht ſo vorangeſtellt (vgl. 1, 92. 3, 68, 1. 111, 1 u. 4, 99) und wohl überhaupt erſt bei

θεοῖς πρῶτον τιμωροῦντες, εἰδότες δὲ Περικλέα τὸν Ξανθίππου προσεχόμενον αὐτῷ κατὰ τὴν μητέρα καὶ νομίζοντες ἐκπεσόντος αὐτοῦ ῥᾷον σφίσι προχωρεῖν τὰ ἀπὸ τῶν
2 Ἀθηναίων. οὐ μέντοι τοσοῦτον ἤλπιζον παθεῖν ἂν αὐτὸν τοῦτο ὅσον διαβολὴν οἴσειν αὐτῷ πρὸς τὴν πόλιν ὡς καὶ διὰ τὴν ἐκείνου ξυμφορὰν τὸ μέρος ἔσται ὁ πόλεμος. ὧν γὰρ δυνατώτατος τῶν καθ' ἑαυτὸν καὶ ἄγων τὴν πολιτείαν ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις καὶ οὐκ εἶα ὑπείκειν ἀλλ' ἐς τὸν πόλεμον ὥρμα τοὺς Ἀθηναίους.

128 Ἀντεκέλευον δὲ καὶ οἱ Ἀθηναῖοι τοὺς Λακεδαιμονίους τὸ ἀπὸ Ταινάρου ἄγος ἐλαύνειν· οἱ γὰρ Λακεδαιμόνιοι ἀναστήσαντές ποτε ἐκ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἀπὸ Ταινάρου τῶν Εἱλώτων ἱκέτας ἀπαγαγόντες διέφθειραν, διὸ δὴ καὶ σφίσιν αὐτοῖς νομίζουσι τὸν μέγαν σεισμὸν γενέσθαι ἐν
2 Σπάρτῃ. ἐκέλευον δὲ καὶ τὸ τῆς Χαλκιοίκου ἄγος ἐλαύνειν αὐτούς· ἐγένετο δὲ τοιόνδε. ἐπειδὴ Παυσανίας ὁ Λακεδαιμόνιος τὸ πρῶτον μεταπεμφθεὶς ὑπὸ Σπαρτιατῶν ἀπὸ τῆς ἀρχῆς τῆς ἐν Ἑλλησπόντῳ καὶ κριθεὶς ὑπ' αὐτῶν ἀπελύθη μὴ ἀδικεῖν, δημοσίᾳ μὲν οὐκέτι ἐξεπέμφθη, ἰδίᾳ δὲ αὐτὸς τριήρη λαβὼν Ἑρμιονίδα ἄνευ Λακεδαιμονίων ἀφικνεῖται ἐς Ἑλλήσποντον, τῷ μὲν λόγῳ ἐπὶ τὸν Ἑλληνικὸν πόλεμον, τῷ δὲ ἔργῳ τὰ πρὸς βασιλέα πράγματα πράσσειν, ὥσπερ καὶ τὸ

---

den Spätern. vgl. Jacobs z. Ach. T. p. 487. — *πρῶτον* vor allen Dingen. — *προσεχόμενον*, *ἔνοχον ὄντα* der Sch. und Plut. Per. 33. Seine Mutter Agariſte war eine Urenkelin des Alkmäon. Plut. Per. 3. — *τὰ ἀπὸ τῶν Α.* von den A. was ſie forderten. vgl. 3, 4, 4.

§ 2. *τὸ μέρος* ſeinem Antheile nach. vgl. zu 1, 74, 3. (Pp.) — *ἄγων* leitend. vgl. 2, 65, 5.

C. **128**. § 1. *τὸ ἀπὸ T.* das von T. herrührende, dort veranlaßte. — *καὶ* vor *σφίσιν* gehört zum ganzen Satze: weshalb eben ſie auch glauben. vgl. 1, 130, 2. 2, 21, 1. — *σφίσιν αὐτοῖς*. Gr. 51, 1 A. 7. — *σεισμόν*. zu 1, 101, 1.

§ 2. *Χαλκίοικος*, Beiname der Athene von einem ehernen, d. h. wahrſcheinlich mit ehernen Wänden verſehenen Tempel, in dem auch ein ehernes Standbild der Göttin. Pauſan. 3, 17, 3. — *Παυσανίας* —. S. 1, 95. — *ἄνευ Λ.* ohne Geheiß, Auctoriſation von Seiten der S. vgl. 2, 72, 3. 4, 78, 3. 8, 5, 2; *οὐ κελευσάντων* 1, 131, 1. (Pp.) — *πράγματα* iſt wohl hier wie noch ſichtlicher 4, 74, 2 eingeklammert. — *πράσσειν*, vor dem in ſchlechtern Hſn. *βουλόμενος* ſteht, ſchließt ſich an *ἀφικνεῖται* an: um zu betreiben. Gr. 55, 3 A. 20. Soph. Oed. K. 12: *μανθάνειν ἥκομεν*. vgl. 1, 72, 1 u. 8, 29, 2. So

πρῶτον ἐπεχείρησεν, ἐφιέμενος τῆς Ἑλληνικῆς ἀρχῆς. εὐεργε- 3
σίαν δὲ ἀπὸ τοῦδε πρῶτον ἐς βασιλέα κατέθετο καὶ τοῦ παντὸς πράγματος ἀρχὴν ἐποιήσατο· Βυζάντιον γὰρ ἑλὼν τῇ προτέρᾳ παρουσίᾳ μετὰ τὴν ἐκ Κύπρου ἀναχώρησιν — εἶχον δὲ Μῆδοι αὐτὸ καὶ βασιλέως προσήκοντές τινες καὶ ξυγγενεῖς [οἱ] ἐάλωσαν ἐν αὐτῷ — τότε τούτους, οὓς ἔλαβεν, ἀποπέμπει βασιλεῖ κρύφα τῶν ἄλλων ξυμμάχων, τῷ δὲ λόγῳ ἀπέδρασαν αὐτόν. ἔπρασσε δὲ ταῦτα μετὰ Γογγύλου τοῦ 4
Ἐρετριέως, ᾧπερ ἐπέτρεψε τό τε Βυζάντιον καὶ τοὺς αἰχμαλώτους. ἔπεμψε δὲ καὶ ἐπιστολὴν τὸν Γόγγυλον φέροντα αὐτῷ· ἐνεγέγραπτο δὲ τάδε ἐν αὐτῇ, ὡς ὕστερον ἀνευρέθη. "Παυσανίας ὁ ἡγεμὼν τῆς Σπάρτης τούσδε τέ σοι χαρίζε- 5
σθαι βουλόμενος ἀποπέμπει δορὶ ἑλὼν καὶ γνώμην ποιοῦμαι, εἰ καὶ σοὶ δοκεῖ, θυγατέρα τε τὴν σὴν γῆμαι καὶ σοι Σπάρτην τε καὶ τὴν ἄλλην Ἑλλάδα ὑποχείριον ποιῆσαι. δυνατὸς δὲ δοκῶ εἶναι ταῦτα πρᾶξαι μετὰ σοῦ βουλευόμενος. εἰ οὖν τί σε τούτων ἀρέσκει, πέμπε ἄνδρα πιστὸν ἐπὶ θάλασσαν δι' οὗ τὸ λοιπὸν τοὺς λόγους ποιησόμεθα."

Τοσαῦτα μὲν ἡ γραφὴ ἐδήλου. Ξέρξης δὲ ἥσθη τε τῇ 129
ἐπιστολῇ καὶ ἀποστέλλει Ἀρτάβαζον τὸν Φαρνάκου ἐπὶ θάλασσαν καὶ κελεύει αὐτὸν τήν τε Λασκυλίτιν σατραπείαν πα-

---

nach πέμπειν unten 5, 2, 2 Anm. — ἐπεχείρησεν. ἐνεχείρησεν mehrere ſehr gute Hſn. Pp. vergleicht 4, 4, 1. 47, 1. 8, 24, 5.

§ 3. δέ. τε Kr. — ἀπὸ τοῦδε von folgendem Vorgange her, nämlich bei der Eroberung von Byzantion. (Sch.) — ἐς βασιλέα. 2, 9, 1: τούτοις ἐς ἀμφοτέρους φιλία ἦν. vgl. zu 1, 68, 1. — κατέθετο. zu 1, 33, 1. — τῇ προτέρᾳ 1, 91. — παρουσίᾳ. Gr. 48, 2 A. 9; mit ἔν Pol. 9, 7, 10. — προσήκοντες Angehörige, auch bloß Verſchwägerte umfaſſend. — οἱ iſt vielleicht zu tilgen. (Bk.) — τότε allein wird ſich ſo nach einem Particip nicht leicht finden; vielleicht gehört es zum Vorhergehenden. — οὓς. ὡς? — τῶν ἄλλων. Gr. 50, 4 A. 11. — τῷ λόγῳ dem Vorgeben nach.

§ 4. ὕστερον. vgl. 1, 135, 1. Man fand wohl eine Abſchrift.

§ 5. ἀποπέμπει. ἀποπέμπω St. Aehnlich jedoch Xen. Hell. 5, 1, 31: νομίζει — ἐγὼ πολεμήσω. — δορὶ. 4, 98, 5: δορὶ ἐκτήσατο. Die Form iſt antik. Gr. 20 unter δόρυ. — γνώμην ποιοῦμαι ich ſchlage vor. vgl. 2, 2, 4. 7, 72, 2. — ἀρέσκειν verbindet Th. ſonſt immer mit dem Dativ. (Pp.) — θάλασσαν, τὰ παραθαλάσσια. (Sch.) Gemeint iſt Kleinaſien. (Bd.) — τούς die bezüglichen, erforderlichen. Gr. 50, 2 A. 4. — λόγους ποιησόμεθα wir, ich und du, unterhandeln können; über den Ind. Gr. 53, 7 A 8.

C. **129**. § 1. Φαρνάκου. Ueber die Familie und die Satrapie Kr. zu Dion. p. 353. vgl. Strabo 12, 8 p. 575 (Pp.) — τε ſteht hier

2 ραλαβεῖν Μεγαβάτην ἀπαλλάξαντα, ὃς πρότερον ἦρχεν, καὶ παρὰ Παυσανίαν ἐς Βυζάντιον ἐπιστολὴν ἀντεπετίθει αὐτῷ ὡς τάχιστα διαπέμψαι καὶ τὴν σφραγῖδα ἀποδεῖξαι, καὶ ἤν τι αὐτῷ Παυσανίας παραγγέλλῃ περὶ τῶν ἑαυτοῦ πραγμάτων, πράσσειν ὡς ἄριστα καὶ πιστότατα. ὁ δὲ ἀφικόμενος τά τε ἄλλα ἐποίησεν ὥσπερ εἴρητο καὶ τὴν ἐπιστολὴν διέπεμψεν·
3 ἀντεγέγραπτο δὲ τάδε. "ὧδε λέγει βασιλεὺς Ξέρξης Παυσανίᾳ. καὶ τῶν ἀνδρῶν οὓς μοι πέραν θαλάσσης ἐκ Βυζαντίου ἔσωσας κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνάγραπτος καὶ τοῖς λόγοις τοῖς ἀπὸ σοῦ ἀρέσκομαι. καί σε μήτε νὺξ μήθ' ἡμέρα ἐπισχέτω ὥστε ἀνεῖναι πράσσειν τι ὧν ἐμοὶ ὑπισχνῇ, μηδὲ χρυσοῦ καὶ ἀργύρου δαπάνῃ κεκωλύσθω μηδὲ στρατιᾶς πλήθει, εἴ ποι δεῖ παραγίγνεσθαι, ἀλλὰ μετ' Ἀρταβάζου ἀνδρὸς ἀγαθοῦ, ὅν σοι ἔπεμψα, πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ τὰ σὰ ὅπῃ κάλλιστα καὶ ἄριστα ἕξει ἀμφοτέροις."

---

als ob ἀντεπετίθει im folgenden nicht zugefügt werden sollte. Aehnliche Anakoluthien 3, 36, 2. 7, 14, 2. vgl. zu 1, 1, 1 u. zu 5, 11, 2. — ἀπαλλάξαντα ablösend. (Pp.).

§ 2. ἀντεπιτίθει, ἀντὶ τῆς κομισθείσης αὐτῷ ἐπιστολῆς ἑτέραν διδούς. Thom. — τὴν σφραγῖδα. ἡ σφραγὶς τοῦ Περσῶν βασιλέως εἶχε κατὰ μέν τινας τὴν βασιλέως εἰκόνα, κατὰ δέ τινας τὴν Κύρου τοῦ πρώτου βασιλέως αὐτῶν, κατὰ δέ τινας τὸν Δαρείου ἵππον, δι' ὃν χρεμετίσαντα ἐβασίλευσεν. (Sch.) Gemeint ist wohl das σφράγισμα des Briefes. vgl. Xen. Hell. 7, 1, 39 mit 1, 4, 3. (Pp.) Vielleicht ein Abdruck unter dem Briefe. — πράσσειν hängt ab von einem in ἀντεπετίθει liegenden trug ihm auf.

§ 3. ὧδε λέγει —. Ueber die Einfachheit des Anfanges solcher Briefe s. m. Wessel z. Her. 3, 40. (Pp.) — τῶν ἀνδρῶν für die M. Gr. 47, 25 A. 1, 21. — κεῖται. Plat. Rep. 344, e: οὐ κακῶς σοι κείσεται ὅ τι ἂν ἡμᾶς εὐεργετήσῃς. vgl. zu 1, 33, 1. vgl. Jacobs zum Achill. Tat. p. 678. — ἀνάγραπτος. ἀναγράφειν findet sich häufig so, indem man wirklich, namentlich am persischen Hofe, über die welche sich verdient gemacht Verzeichnisse führte. Her. 8, 85: Φύλακος εὐεργέτης βασιλέος ἀνεγράφη· οἱ δ' εὐεργέται βασιλέος ὀροσάγγαι καλέονται Περσιστί. Ueber diese Sitte bei Griechen Xen. π. προσ. 3, 11. — ὑπισχνῇ haben hier alle Hsn.; ἡγῇ die meisten 6, 14, 1: die einzigen Stellen an denen die zweite Pers. Sing. Pass. und Med. bei Th. vorkommt. (Pp.) — κεκωλύσθω. Subject ist τι ὧν ἐμοὶ ὑπισχνῇ. Nicht misfallen würde jedoch κεκώλυσο. (Pp.) vgl. 2, 64, 2. Einer Angabe nach erhielt Pausanias fünfhundert Talente Gold. Stob. 39, 31. — ἔπεμψα. Gr. 53, 10 A. 1.

Ταῦτα λαβὼν ὁ Παυσανίας τὰ γράμματα, ὧν καὶ πρό- 130
τερον ἐν μεγάλῳ ἀξιώματι ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Πλα-
ταιᾶσιν ἡγεμονίαν, πολλῷ τότε μᾶλλον ἦρτο καὶ οὐκέτι ἠδύ-
νατο ἐν τῷ καθεστηκότι τρόπῳ βιοτεύειν, ἀλλὰ σκευάς τε
Μηδικὰς ἐνδυόμενος ἐκ τοῦ Βυζαντίου ἐξῄει καὶ διὰ τῆς
Θρᾴκης πορευόμενον αὐτὸν Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφό-
ρουν, τράπεζάν τε Περσικὴν παρετίθετο καὶ κατέχειν τὴν 2
διάνοιαν οὐκ ἠδύνατο, ἀλλ' ἔργοις βραχέσι προὐδήλου ἃ τῇ
γνώμῃ μειζόνως ἐσέπειτα ἔμελλε πράξειν. δυσπρόσοδόν τε
αὑτὸν παρεῖχεν καὶ τῇ ὀργῇ οὕτω χαλεπῇ ἐχρῆτο ἐς πάντας
ὁμοίως ὥστε μηδένα δύνασθαι προσιέναι· διόπερ καὶ πρὸς
τοὺς Ἀθηναίους οὐχ ἥκιστα ἡ ξυμμαχία μετέσῃ.

Οἱ δὲ Λακεδαιμόνιοι αἰσθόμενοι τό τε πρῶτον δι' αὐτὰ 131
ταῦτα ἀνεκάλεσαν αὐτὸν καὶ ἐπειδὴ τῇ Ἑρμιονίδι νηὶ τὸ δεύ-
τερον ἐκπλεύσας οὐ κελευσάντων αὐτῶν τοιαῦτα ἐφαίνετο
ποιῶν καὶ ἐκ τοῦ Βυζαντίου βίᾳ ὑπ' Ἀθηναίων ἐκπολιορ-

C. 130. § 1. *γράμματα* Brief, wie 7, 8, 3, wo § 2 *ἐπιστολή*. vgl. 1, 133, 1. 137, 3. 8, 50, 4. — *ὑπό* ſteht wie bei Paſſiven auch bei Subſtantiven, bei *ἀξίωμα* 6, 15, 2, *ἀρχή* 2, 65, 6, *τιμή* Xen. Cyr. 3, 3, 2, *γραφή* Mem. 4, 4, 4, *παίδευσις* 2, 1, 34, *θάνατος* Plat. Rep. 620, a. vgl. Pflugk zu Eur. Herk. 1334. — *καθεστηκότι* für das üblichere *καθεστῶτι* die beſtehende Hſn. So noch 1, 98, 2. vgl. Eur. Hel. 438, Iſokr. 5, 18, *καθεστηκυῖα* Iſokr. 6, 78. vgl. Dem. 33, 14, *ἱστήκασιν* Eur. Kykl. 681, Ar. Vesp. 217, Vögel 1161, Iſokr. 8, 117, ſelbſt das bezweifelte *ἑστηκέναι* Dem. 19, 143. 51, 7. — *σκευάς τε Μηδικάς*. Ich zweifele ob gerade an den Kaftan, *κάνδυς*, zu denken ſei, den eher *στολή* bezeichnen würde. vgl. Kr. zu Xen. An. 1, 2, 27.

§ 2. *τράπεζαν* Mahlzeit. — *παρετίθετο* ließ ſich vorſetzen. (Gb.) vgl. Xen. Cyr. 8, 6, 12 und *ἐπιτίθεσθαι* eb. 8, 2, 4. (Pp.) Eben ſo Ar. Vö. 532 u. Pol. 39, 2, 11. — *διάνοιαν* Intention. vgl. 6, 11, 5. — *τῇ γνώμῃ* ſeiner Geſinnung nach, nur zu *ἔμελλε* gehörig. — *μειζόνως* in höherem Maße. Dieſer Comparativ iſt häufig, z. B. 4, 19, 3. 6, 27, 2, Iſokr. 9, 21. 11, 24. 15, 39, Plat. Rep. 422, e, 509, a, Tim 48, Kriti. 106, c, Krat. 407, Geſ. 693, e, 740, a, 789, b, 797, d, 867, b, 930, a, 932, a, Eur. Hec. 1121, Rheſ 849. Seltener ähnliche: *μειόνως* Soph. Oed. K. 104, *βελτόνως* Plat. Rep. B. 6 Anf., *καλλιόνως* Theät. 169, e, Geſ. 660, d, *χρειοσόνως*, *ἐλασσόνως* Antiph. 4, δ, 6. 7, Plat. Geſ. 660, d, 867, b, *ἐχθιόνως* Xen. Symp. 4, 3. — *ἐς ἔπειτα*. Gr. 66, 1 A. 4. — *δυσπρόσοδος* eben ſo Xen. Ag. 9, 2, *δυσπρόσιτος* Iph. A. 345; örtlich jenes 5, 65, 1. — *ὀργῇ* Temperament, Sinn. vgl. 1, 140, 1, Simonides bei Stob. 73, 61, Her. 6, 128 und Lex. Soph. In der att. Proſa iſt dieſe Bedeutung verſchollen.

C. 131. § 1. *τό τε πρῶτον* ſowohl das erſte Mal 1, 95, 2. — *καὶ ἐπειδὴ* — 1, 128, 2. — *ἐκπολιορκηθείς*, *τῇ πολιορκίᾳ ἐκβιᾳ-*

κηθεὶς ἐς μὲν τὴν Σπάρτην οὐκ ἐπανεχώρει, ἐς δὲ Κολωνὰς τὰς Τρῳάδας ἱδρυθεὶς πράσσων τε ἐσηγγέλλετο αὐτοῖς πρὸς τοὺς βαρβάρους καὶ οὐκ ἐπ' ἀγαθῷ τὴν μονὴν ποιούμενος, οὕτω δὴ οὐκέτι ἐπέσχον, ἀλλὰ πέμψαντες κήρυκα οἱ ἔφοροι καὶ σκυτάλην εἶπον τοῦ κήρυκος· μὴ λείπεσθαι· εἰ δὲ μή, 2 πόλεμον αὐτῷ Σπαρτιάτας προαγορεύειν. ὁ δὲ βουλόμενος ὡς ἥκιστα ὕποπτος εἶναι καὶ πιστεύων χρήμασι διαλύσειν τὴν διαβολὴν ἀνεχώρει τὸ δεύτερον ἐς Σπάρτην. καὶ ἐς μὲν τὴν εἱρκτὴν ἐσπίπτει τὸ πρῶτον ὑπὸ τῶν ἐφόρων, ἔξεστι δὲ τοῖς ἐφόροις τὸν βασιλέα δρᾶσαι τοῦτο, ἔπειτα διαπραξάμενος ὕστερον ἐξῆλθε καὶ καθίστησιν ἑαυτὸν ἐς κρίσιν τοῖς

θείς. (Sch.) vgl. 1, 134, 2. — Τρῳάς adjectiviſch, wie Ἑλλάς 6, 62, 2, Ἰάς 4, 61, 2, Περσίς 1, 138, 1. vgl. Matth. § 429, 4. (Pp.) — πράσσων τε ἐσηγγέλλετο. vgl. 3, 16, 2. 4, 25, 4 u. Gr. 56, 7 A. 3. — πρός für ἐς gute Hſn. vgl. jedoch 1, 132, 4. — μονήν, διατριβήν. (St.) — σκυτάλην, ἀντὶ τοῦ ἐπιστολὴν Λακωνικήν. ἦν δὲ ἡ σκυτάλη ξύλον στρογγύλον ἐξεσμένον ἐπίμηκες. δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον σκυτάλαι· καὶ τὴν μὲν μίαν κατεῖχον οἱ ἔφοροι τῶν Λ., τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ τῶν στρατηγῶν παρεῖχον. καὶ ὁπότε ἐβούλοντο ἐπιστεῖλαί τι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιείλουν τὴν σκυτάλην καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν, ἵνα μὴ μάθωσιν οἱ ἀποφέροντες τὰ ἐν τῷ ἱμάντι γεγραμμένα. ὁ δὲ στρατηγὸς λαβὼν τὸν ἱμάντα τῇ ἑαυτοῦ σκυτάλῃ περιείλιττε καὶ ἀνεγίγνωσκε τὴν τῶν γραμμάτων περιοχήν. εἰ δέ τις εἶποι, καὶ πῶς εἶχεν ὁ Παυσανίας τὴν σκυτάλην, λάθρᾳ τῆς πόλεως ἐξελθών; ῥητέον ὅτι ἀπὸ τῆς πρώτης στρατηγίας εἶχε τὴν σκυτάλην. (Sch.) vgl. die Erkl. zu Nep. Pauſ. 3. (Pp.) — οὕτω δή nach ἐπειδή 2, 19, 1. 70, 1. 83, 3. 3, 98, 1; nach ὡς 2, 12, 3. 4, 74, 1. 75, 2. — τοῦ κήρυκος μὴ λείπεσθαι hinter dem Herolde nicht zurückzubleiben, ihm zu folgen. Gewöhnlicher iſt μὴ ἀπολείπεσθαι. Kr. zu Xen. An. 4, 3, 22. Ueber den Inf. bei εἶπον ſ. zu 1, 28, 3. — εἰ δὲ μή. zu 1, 28, 2.

§ 2. διαλύσειν. Das Medium 1, 140, 4 u. 145, ἀπολύεσθαι 8, 87, 1. (Pp.) — ὑπό, wie bei ἐκπίπτει 4, 66, 1. 2. 6, 4, 6. vgl. zu 1, 8, 2. — τὸν βασιλέα. Als ἐπίτροπος 132, 1 war er des Königs Stellvertreter, einſtweiliger König. König nennt ihn auch Ariſtot. Rep. 7, 13, 13 u. die Rede g. d. Neära 97. — δρᾶσαι τοῦτο, wie 3, 10, 3. vgl. 1, 137, 4. 2, 37, 2. 3, 68, 1. 6, 35, 1 u. Lex. Plat. Sonſt iſt in ſolchen Verbindungen ποιεῖν bei den att. Proſaikern viel üblicher. — διαπραξάμενος ἐξῆλθε er wirkte ſich aus daß er loskam, ἐκ τῆς εἱρκτῆς. τὸ ἀνύσασθαί τι παρὰ τοῖς ἄρχουσιν διαπράξασθαι λέγεται. (Sch.) — περὶ αὐτόν in Bezug auf ihn. vgl. 1, 135, 1 u. Aeſchin. 2, 180: διὰ τῆς περὶ Τίμαρχον κρίσεως. Mehrere Hſn. περὶ αὐτῶν über dieſe Dinge. — ἐλέγχειν Beweismittel vorbringen. Gr. 52, 1 A. 2.

βουλομένους περὶ αὐτὸν ἐλέγχειν. καὶ φανερὸν μὲν εἶχον 132
οὐδὲν οἱ Σπαρτιᾶται σημεῖον, οὔτε οἱ ἐχθροὶ οὔτε ἡ πᾶσα
πόλις, ὅτῳ ἂν πιστεύσαντες βεβαίως ἐτιμωροῦντο ἄνδρα γέ-
νους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα·
Πλείσταρχον γὰρ τὸν Λεωνίδου, ὄντα βασιλέα καὶ νέον ἔτι,
ἀνεψιὸς ὢν ἐπετρόπευεν· ὑποψίας δὲ πολλὰς παρεῖχε τῇ τε 2
παρανομίᾳ καὶ ζηλώσειν τῶν βαρβάρων μὴ ἴσος βούλεσθαι
εἶναι τοῖς παροῦσιν, τά τε ἄλλα αὐτοῦ ἀνεσκόπουν, εἴ τι
που ἐξεδεδιήητο τῶν καθεστώτων νομίμων, καὶ ὅτι ἐπὶ τὸν
τρίποδά ποτε τὸν ἐν Δελφοῖς, ὃν ἀνέθεσαν οἱ Ἕλληνες ἀπὸ
τῶν Μήδων ἀκροθίνιον, ἠξίωσεν ἐπιγράψασθαι αὐτὸς ἰδίᾳ
τὸ ἐλεγεῖον τόδε·

Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων,
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

τὸ μὲν οὖν ἐλεγεῖον οἱ Λακεδαιμόνιοι ἐξεκόλαψαν εὐθὺς 3
τότε ἀπὸ τοῦ τρίποδος τοῦτο καὶ ἐπέγραψαν ὀνομαστὶ τὰς
πόλεις ὅσαι ξυγκαθελοῦσαι τὸν βάρβαρον ἔστησαν τὸ ἀνά-
θημα· τοῦ μέντοι Παυσανίου ἀδίκημα καὶ τοῦτ' ἐδόκει εἶναι
καὶ ἐπειδὴ ἐν τούτῳ καθεστήκει, πολλῷ μᾶλλον παρόμοιον
πραχθῆναι ἐφαίνετο τῇ παρούσῃ διανοίᾳ.

C. 132. § 1. βεβαίως gehört zu πιστεύσαντες. vgl. 1, 134, 1. — ἐπιτροπεύειν τινά. Gr. 46, 6 A. 5. Bei den Lakedämoniern hieß des Königs Vormund πρόδικος. zu 1, 107, 1.

§ 2. τοῖς παροῦσι, τοῖς ἤθεσι τῶν Ἀχαιῶν. (Sch.) Der Sinn: er wolle sich nicht als ein Gleicher den bestehenden Gesetzen fügen, τοῖς καθεστῶσι νομίμοις. — ἐξεδεδιήητο, ἔξω τῶν Ἀχαϊκῶν διηῖτο [ἐξεδεδιήητο] νόμων. (Sch.) Das doppelte Augment haben δεδιήημαι Dem. 21, 85. 33, 31, δεδιήημαι 21, 85. 96. 55, 31, Thuc. 7, 77, 2; meist ἐδιήτησα Dem. 21, 84. 96; 40, 31, Isä. Fragm. 1, 11, 12, διήτησα Isä. 2, 31; dagegen διητώμην Lys. 1, 9. 32, 8, Isokr. 18, 19. 21, 2, Isä. 6, 21. 8, 9. 9, 27, Plat. Phäd. 61, e; διητήθην Thuc. 7, 87, 4, Isä. 6, 15; aber ἐξεδεδιητήθη Dio Cass. 555, 71. — τὸν τρίποδα, οὐκ ἐν ᾧ ἐμαντεύετο ὁ Ἀπόλλων, ἀλλ' ἕτερόν τινα, ὃν ἔλαβον οἱ Ῥωμαίων βασιλεῖς καὶ μετέθηκαν ἐπὶ τὸν Ἱπποδρόμον τοῦ Βυζαντίου. (Sch.) vgl. Gibbon Ueber den Verfall ꝛc. 3, 17. (Arn.) — ἀνέθεσαν. Her. 9, 81. vgl. dort Weſſ. — ἀπὸ τῶν wegen Beſiegung der; die eig. Präpoſition in dieſem Sinne, wie Dem. 22, 72 u. Aeſch. 3, 156. — ἠξίωσεν er hatte ſich angemaßt. — αὐτὸς ἰδίᾳ, οὐ κοινοῦ τοῦ ἔργου ὄντος καὶ τοῦ ἀναθήματος, ἀλλ' οὐ κοινοῦ τῶν συμμάχων. Rede g. die Neära 97. — τὸ ἐλεγεῖον. Verfaſſer des Diſtichon war Simonides nach Pauſan. 3, 8, 1. vgl. Anthol. Pal. 6, 197.

3 νως χειρώσονται. καὶ τὴν ἧσσαν, εἰ καὶ δεινόν τῳ ἀκοῦσαι, ἴσιω οὐκ ἄλλο τι φέρουσαν ἢ ἄντικρυς δουλείαν· ὃ καὶ λόγῳ ἐνδοιασθῆναι αἰσχρὸν τῇ Πελοποννήσῳ καὶ πόλεις τοσάσδε ὑπὸ μιᾶς κακοπαθεῖν. ἐν ᾧ ἢ δικαίως δοκοῖμεν ἂν πάσχειν ἢ διὰ δειλίαν ἀνέχεσθαι καὶ τῶν πατέρων χείρους φαίνεσθαι, οἳ τὴν Ἑλλάδα ἠλευθέρωσαν· ἡμεῖς δὲ οὐδ' ἡμῖν αὐτοῖς βεβαιοῦμεν αὐτό, τύραννον δὲ ἐῶμεν ἐγκαθεστάναι
4 πόλιν, τοὺς δ' ἐν μιᾷ μονάρχους ἀξιοῦμεν καταλύειν. καὶ οὐκ ἴσμεν ὅπως τάδε τριῶν τῶν μεγίστων ξυμφορῶν ἀπήλλακται, ἀξυνεσίας ἢ μαλακίας ἢ ἀμελείας. οὐ γὰρ δὴ πεφευγότες ταῦτα ἐπὶ τὴν πλείστους δὴ βλάψασαν καταφρόνησιν κεχωρήκατε, ἢ ἐκ τοῦ πολλοὺς σφάλλειν τὸ ἐναντίον ὄνομα ἀφροσύνη μετωνόμασται."

123 "Τὰ μὲν οὖν προγεγενημένα τί δεῖ μακρότερον ἢ ἐς ὅσον τοῖς νῦν ξυμφέρει αἰτιᾶσθαι; περὶ δὲ τῶν ἔπειτα μελλόντων

---

§ 3. *ἄντικρυς δουλείαν* entſchiedene Knechtſchaft, wie *ἡ ἄντικρυς ἐλευθερία* 8, 64, 3. vgl. 8, 92, 11 u. Gr. 50, 8 A. 19. — *ὃ* bezieht ſich dem Begriffe nach auf *φέρειν* (τι) *δουλείαν*. — *καὶ λόγῳ ἐνδοιασθῆναι* auch nur den Gedanken in ſich aufkeimen zu laſſen. (Reiske.) Bei Attikern ſcheint das Verbum ſonſt nicht vorzukommen; *ἐνδοιάζω* noch 1, 36, 2. 6, 91, 4 und bei Spätern. — *κακοπαθεῖν*, durch *καί* mit *ὅ* verbunden, hat ebenfalls *αἰσχρόν* zum Prädicat. — *ἐν ᾧ* wobei, wenn dies geſchähe. — *φαίνεσθαι* da zu ſtehen, von *δοκοῖμεν* regiert. Beiſpiele der Verbindung dieſer Verba bei Heindorf zu Plat. Phädr. 97. — *αὐτό, τὴν ἐλευθερίαν*. (Sch.) — *τύραννον — πόλιν*. vgl. 1, 124, 3. 2, 63, 2. 3, 37, 2, Ar. Ritter 1114. 1330. 34. — *ἐγκαθεστάναι, ἐν τῇ Ἑλλάδι*. (Ps.) — *καταλύειν*. ſ. 1, 18, 1.

§ 2. *ἐνιαυτόν.* Ol. 77, $\frac{1}{2}$, v. Ch. G. 471. Kr. Stud. S. 34. 49 ff. — *ἀξίωσιν.* zu 1, 69, 2. — *ὑπετίθει.* ähnlich 4, 65, 4. (Pp.) — *δουλώσειν* hängt von *ἐλπίδα* ab: *ὑπετίθει αὐτῷ τοῦ Ἑλληνικοῦ ἐλπίδα δουλώσειν.* Gr. 61, 6 A. 8. — *ἀπὸ τοῦ — φαίνεσθαι* dadurch daß er durch Proben ſich bewährend einſichtig erſchien.

§. 3. Nach *Θεμιστοκλῆς* und nach *δηλώσας* ſetzen Emperius und Sintenis ein Komma. Nicht übel. vgl. Gr. 56, 3 A. 1. — *βεβαιότατα δή* aufs zuverläſſigſte, unzweifelhafteſte. — *φύσεως ἰσχύν* angeborne Geiſteskraft, im Gegenſatz zu erworbener Geſchicklichkeit. — *τι* um etwas, ein Beträchtliches und *οὐδέν, μηδέν, πολύ* ſtehen bei *διαφερόντως* wie bei *διαφέρειν.* Gr. 49, 15 A. 14. — *ἐς αὐτό* in Bezug darauf, auf dieſen Punct. Gr. 68, 21 A. 8. — *θαυμάσαι.* Gr. 55, 3 A. 7. — *οἰκείᾳ, φυσικῇ.* (Sch.) — *προμαθών* vor ſeinem Eintritt ins politiſche Leben. — *ἐς αὐτήν* bezieht der Sch. auf *ἰσχύν*; warum nicht auf *ξύνεσιν*? — *τῶν παραχρῆμα* der im Moment eintretenden Vorkommniſſe. — *διά* durch, nach Verlauf, wie *διὰ τοιαύτης παρασκευῆς ἀνάγεσθαι* 8, 95, 3. — *γνώμων, κριτής.* (Sch.) Sonſt ſo nicht üblich. — *τῶν μελλόντων* hängt von *ἐπὶ πλεῖστον* ab, *τοῦ γενησομένου* von *εἰκαστής* (umgekehrt nach Reiske): über eine große Strecke der Zukunft der geſchickteſte Enträthſeler deſſen was eintreten würde. — *εἰκαστής*, ein ungewöhnliches Subſtantiv, von Arr. An. 7, 28, 2 umſchrieben: *ἐκ τῶν φαινομένων τὸ εἰκὸς ξυμβαλεῖν ἐπιτυχέστατος.* vgl. Kr. z. Dion. p. 240.

§ 4. *καί* nebſt dem Kolon iſt zu tilgen. So Va. — *μετὰ χεῖρας ἔχειν* unter Händen haben gleichfalls uneigentlich bei Her. 7, 16. vgl. Gr. 68, 27 A. 2; üblicher *ἐν χερσὶν ἔχειν.* — *ἐξηγήσασθαι, ἑρμηνεῦσαι.* Kr. ind. Dion. vgl. 5, 26, 5 mit 2, 60, 4. Andres: leitend ausführen. — *οἷός τε* erg. *ἦν.* (Sch.) Gr. 62, 1 A. 6. — *ὧν —*

εἴη κρῖναι ἱκανῶς οὐκ ἀπήλλακτο· τό τε ἄμεινον ἢ χεῖρον ἐν τῷ ἀφανεῖ ἔτι προεώρα μάλιστα. καὶ τὸ ξύμπαν εἰπεῖν, φύσεως μὲν δυνάμει μελέτης δὲ βραχύτητι κράτιστος δὴ οὗτος αὐτοσχεδιάζειν τὰ δέοντα ἐγένετο.

Νοσήσας δὲ τελευτᾷ τὸν βίον· λέγουσι δέ τινες καὶ 5
ἑκούσιον φαρμάκῳ ἀποθανεῖν αὐτόν, ἀδύνατον νομίσαντα εἶναι ἐπιτελέσαι βασιλεῖ ἃ ὑπέσχετο. μνημεῖον μὲν οὖν αὐτοῦ ἐν Μαγνησίᾳ ἐστὶ τῇ Ἀσιανῇ ἐν τῇ ἀγορᾷ· ταύτης γὰρ 6
ἦρχε τῆς χώρας, δόντος βασιλέως αὐτῷ Μαγνησίαν μὲν ἄρτον, ἣ προσέφερε πεντήκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, Λάμψακον δὲ οἶνον, ἐδόκει γὰρ πολυοινότατον τῶν τότε εἶναι, Μυοῦντα δὲ ὄψον. τὰ δὲ ὀστᾶ φασι κομισθῆναι αὐτοῦ οἱ προσήκον- 7
τες οἴκαδε κελεύσαντος ἐκείνου καὶ τεθῆναι κρύφα Ἀθηναίων ἐν τῇ Ἀττικῇ· οὐ γὰρ ἐξῆν θάπτειν ὡς ἐπὶ προδοσίᾳ φεύγοντος. τὰ μὲν κατὰ Παυσανίαν τὸν Λακεδαιμόνιον καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, λαμπροτάτους γενομένους τῶν καθ' ἑαυτοὺς Ἑλλήνων αὕτως ἐτελεύτησεν.

Λακεδαιμόνιοι δ' ἐπὶ μὲν τῆς πρώτης πρεσβείας τοι- 139
αῦτα ἐπέταξάν τε καὶ ἀντεκελεύσθησαν περὶ τῶν ἐναγῶν τῆς ἐλάσεως· ὕστερον δὲ φοιτῶντες παρ' Ἀθηναίους Ποτιδαίας τε ἀπανίστασθαι ἐκέλευον καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι,

---

ἀπήλλακτο worin er ungeübt war, das zu beurtheilen war er nicht unfähig. (Wa.) — ἔτι gehört zu ἀφανεῖ. (Ba.) Arr. An. 7, 28, 2: ξυνιδεῖν τὸ δέον ἔτι ἐν τῷ ἀφανεῖ ὂν δεινότατος. — μελέτης βραχύτητι bei kurzer Vorbereitung, meditatio. (Wytt.) — αὐτοσχεδιάζειν τὰ δέοντα ſchleunig dienſame Maßregeln erfinden. (Hl.).

§ 5. καὶ gehört wohl zum ganzen Gedanken: es ſagen aber auch Einige. — ἑκούσιον. Gr. 57, 5 A. 2. — φαρμάκῳ, αἷμα ταύρειον πιεῖν ſchon Ar. Ri. 83. — μνημεῖον Denkmal auch von einem Grabmale, wie 5, 11, 1 u. bei Xen. (Py.)

§ 6. δόντος. Her. 7, 135. 9, 107: Κιλικίης πάσης ἦρξε δόντος βασιλέος. Iſokr. 6, 24: ταύτην οἰκοῦμεν δόντων Ἡρακλειδῶν. vgl. zu 1, 89, 2. — ἄρτον iſt Prädicat: als Brod, zum Brode, εἰς ἄρτον Plut. Them. 29. vgl. Kr. zu Xen. An. 4, 5, 24. — πολυοινότατον. zu 1, 10, 1. vgl. 4, 76, 3. — ὄψον. Noch zwei Städte fügt Athen. 1, 23 (54) hinzu. (Wa.)

§ 7. αὐτοῦ gehört wohl zu ὀστᾶ. vgl. zu 1, 33, 1. — οὐ γὰρ ἐξῆν. nach dem Geſetze bei Xen. Hell. 1, 7, 22. vgl. Meier de bonis damn. p. 11 ss.

C. 139. § 1. ἐπὶ μέν. Wiederaufnahme des 1, 126, 1 Berichteten. — περὶ gehört zu ἐλάσεως. zu 1, 9, 3.

2 καὶ μάλιστά γε πάντων καὶ ἐνδηλότατα προὔλεγον τὸ περὶ Μεγαρέων ψήφισμα καθελοῦσι μὴ ἂν γίγνεσθαι πόλεμον, ἐν ᾧ εἴρητο αὐτοὺς μὴ χρῆσθαι τοῖς λιμέσι τοῖς ἐν τῇ Ἀθηναίων ἀρχῇ μηδὲ τῇ Ἀττικῇ ἀγορᾷ. οἱ δ' Ἀθηναῖοι οὔτε τἆλλα ὑπήκουον οὔτε τὸ ψήφισμα καθῄρουν, ἐπικαλοῦντες ἐπεργασίαν Μεγαρεῦσι τῆς γῆς τῆς ἱερᾶς καὶ τῆς ἀορίστου καὶ ἀνδραπόδων ὑποδοχὴν τῶν ἀφισταμένων.
3 τέλος δὲ ἀφικομένων τῶν τελευταίων πρέσβεων ἐκ Λακεδαίμονος, Ῥαμφίου τε καὶ Μελησίππου καὶ Ἀγησάνδρου, καὶ λεγόντων ἄλλο μὲν οὐδὲν ὧν πρότερον εἰώθεσαν, αὐτὰ δὲ τάδε, ὅτι Λακεδαιμόνιοι βούλονται τὴν εἰρήνην εἶναι, εἴη δ' ἂν εἰ τοὺς Ἕλληνας αὐτονόμους ἀφεῖτε, ποιήσαντες ἐκκλησίαν οἱ Ἀθηναῖοι γνώμας σφίσιν αὐτοῖς προὐτίθεσαν, καὶ ἐδόκει ἅπαξ περὶ ἁπάντων βουλευσαμένους
4 ἀποκρίνασθαι. καὶ παριόντες ἄλλοι τε πολλοὶ ἔλεγον, ἐπ' ἀμφότερα γιγνόμενοι ταῖς γνώμαις, καὶ ὡς χρὴ πολεμεῖν καὶ ὡς μὴ ἐμπόδιον εἶναι τὸ ψήφισμα εἰρήνης ἀλλὰ καθελεῖν, καὶ παρελθὼν Περικλῆς ὁ Ξανθίππου, ἀνὴρ κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράσσειν δυνατώτατος, παρῄνει τοιάδε.

140 Τῆς μὲν γνώμης ὦ Ἀθηναῖοι ἀεὶ τῆς αὐτῆς ἔχομαι, μὴ εἴκειν Πελωποννησίοις, καίπερ εἰδὼς τοὺς ἀνθρώπους

---

§ 2. αὐτούς. Gr. 55, 3 A. 13. — τἆλλα. ʒu 1, 26, 3. — ἐπεργασία hier für ἐργασία. vgl. Pauſan. 1, 36, 3: ὡς μὴ τοῦ λοιποῦ τὴν χώραν ἐπεργάζοιντο. (Pp.) — ἱερᾶς. τὴν γῆν λέγει τὴν μεταξὺ Μεγάρων καὶ τῆς Ἀττικῆς, ἥντινα ἀνέθεσαν ταῖς Ἐλευσινίαις θεαῖς. (Sch.) — ἀόριστός ἐστιν ἡ μὴ ἔχουσα ὅρους μηδὲ σπειρομένη. (Sch.) Daß dieſe von der ἱερὰ verſchieden war zeigt der Artikel vor ἀόριστος. (Gö.) vgl. Kr. ʒ. Dion. p. XLVIII. — ἀνδράποδα der Aſpaſia. Ar. Ach. 525 u. Athen. 13 p. 570. (Dr.) Aber gewiß nicht ſie allein. — ἀφισταμένων. ʒu 1, 101, 1.

§ 3. ἄλλο μέν wie 8, 67, 2. vgl. Her. 8, 30 u. Gr. 50, 4 A. 10. — ὅτι. Gr. 65, 1 A. 2. — γνώμας, προὐτίθεσαν Dinge ʒur Beſprechung vorlegen. vgl. 3, 36, 4. 6, 14, 1, προτιθέναι λέγειν 3, 38, 1. vgl. 42, 1.

§ 4. ἅπαξ ein für alle Mal. (Hl.) — ἐπ' ἀμφότερα für und gegen Nachgiebigkeit. — γιγνόμενοι ſich entſchieden. — ὡς μή, ὡς χρὴ μή.

C. 140. § 1. ἔχομαι halte feſt. vgl. 8, 81, 1. vgl. 1, 22, 1. — εἴκειν. Gr. 57, 10 A. 6. App. Syr. 14: τῆς γνώμης ἔχομαι τῆς

οὐ τῇ αὐτῇ ὀργῇ ἀναπειθομένους τε πολεμεῖν καὶ ἐν τῷ ἔργῳ πράσσοντας, πρὸς δὲ τὰς ξυμφορὰς καὶ τὰς γνώμας τρεπομένους. ὁρῶ δὲ καὶ νῦν ὁμοῖα καὶ παραπλήσια ξυμ- 2
βουλευτέα μοι ὄντα, καὶ τοὺς ἀναπειθομένους ὑμῶν δικαιῶ τοῖς κοινῇ δόξασιν, ἢν ἄρα τι καὶ σφαλλώμεθα, βοηθεῖν ἢ μηδὲ κατορθοῦντας τῆς ξυνέσεως μεταποιεῖσθαι. ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου· διόπερ καὶ τὴν τύχην, ὅσα ἂν παρὰ λόγον ξυμβῇ εἰώθαμεν αἰτιᾶσθαι.
Λακεδαιμόνιοι δὲ πρότερόν τε δῆλοι ἦσαν ἐπιβουλεύοντες 3
ἡμῖν καὶ νῦν οὐχ ἥκιστα. εἰρημένον γὰρ δίκας μὲν τῶν διαφορῶν ἀλλήλοις διδόναι καὶ δέχεσθαι, ἔχειν δὲ ἑκατέρους ἃ ἔχομεν, οὔτε αὐτοὶ δίκας πω ἤτησαν οὔτε ἡμῶν διδόντων δέχονται· βούλονται δὲ πολέμῳ μᾶλλον ἢ λόγοις τὰ ἐγκλή- 4
ματα διαλύεσθαι καὶ ἐπιτάσσοντες ἤδη καὶ οὐκέτι αἰτιώμενοι

αὐτῆς, τὴν στρατιὰν ἀπὸ τῆς Ἀσίας καλεῖν. — οὐ τῇ αὐτῇ, mit geringerm nämlich bei der Führung des Krieges. — ὀργῇ Eifer. (Hl.) zu 1, 130, 2. Ar. Weſp. 1030: ἀλλ' Ἡρακλέους ὀργήν τιν' ἔχων τοῖσι μεγίστοις ἐπιχειρεῖ. — πρὸς — τρεπομένους nach den Ereigniſſen auch ihre Geſinnungen wandeln. vgl. 2, 64, 5 u. Eur. Hel. 321: πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.

§ 2. ὁμοῖα Aehnliches wie früher; παραπλήσια eigentlich durch Annäherung Vergleichbares, Entſprechendes. — τοὺς ἀναπειθομένους die ſich zum Kriege aufreden laſſen. — τοῖς κοινῇ δόξασιν βοηθεῖν für das gemeinſchaftlich Beſchloſſene mitzuwirken. vgl. zu 1, 123, 1. — ἢ μηδὲ κατορθοῦντας, ἀντὶ τοῦ κατορθούντων. (Sch.) Gr. 56, 9 A. 2. Man erkläre ſo: oder auch nicht, wenn ſie mit den Uebrigen, mit der Geſamtheit, glücklich ſind, auf Klugheit Anſpruch machen; vielmehr ſollen ſie an den Erfolgen ſich kein Verdienſt anmaßen. — τῆς ξυνέσεως der bezüglichen Einſicht, durch die das Gute herbeigeführt worden. — μεταποιεῖσθαι erſtreben, Anſprüche machen. vgl. 2, 51, 3. — τὰς ξυμφοράς, τὰς ἀποβάσεις. (Sch.) vgl. Soph. Oed. T. 44. — γὰρ ſteht mit Bezug auf σφαλλώμεθα. (Pp.) — ἀμαθῶς berechnungswidrig. — ὅσα in Bezug auf Alles was. Gr. 51, 13.

§ 3. πρότερον 1, 90, 1. 107, 3. 114, 2. (Pp.) — εἰρημένον, in dem dreißigjährigen Vertrage. zu 1, 78, 3. — διαφορῶν Zwiſtigkeiten für διαφόρων (ſ. zu 1, 56, 1. 68, 2) die beſten Hſn. vgl. 1, 23, 4. 81, 2. 102, 2. 122, 2. 146 und beſonders 7, 18, 4. — ἔχειν ἃ ἔχομεν feſter Ausdruck für den status quo. vgl. 4, 65, 1. 118, 3. — οὔτε — ἤτησαν. vgl. 1, 85, 2. (Pp.) — διδόντων anbieten. vgl. 1, 85, 2 u. über die Sache 1, 78, 3. (Pp.).

§ 4. πολέμῳ διαλύεσθαι iſt ein Oxymoron: mit dem Schwerte löſen. — Μεγαρέων. περὶ M. 1, 139, 1. (Pp.) Gr. 47, 7 A. 6.

πάρεισιν, Ποτιδαίας τε γὰρ ἀπανίστασθαι κελεύουσι καὶ Αἴγιναν αὐτόνομον ἀφιέναι καὶ τὸ Μεγαρέων ψήφισμα καθαιρεῖν· οἱ δὲ τελευταῖοι οὐδὲ ἥκοντες καὶ τοὺς Ἕλληνας προαγορεύουσιν αὐτονόμους ἀφιέναι. ὑμῶν δὲ μηδεὶς νομίσῃ περὶ βραχέος ἂν πολεμεῖν, εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιμεν, ὅπερ μάλιστα προὔχονται εἰ καθαιρεθείη μὴ ἂν γίγνεσθαι τὸν πόλεμον· μηδ' ἐν ὑμῖν αὐτοῖς αἰτίαν ὑπολίπησθε ὡς διὰ μικρὸν ἐπολεμήσατε, τὸ γὰρ βραχύ τι τοῦτο πᾶσαν ὑμῶν ἕξει τὴν βεβαίωσιν καὶ πεῖραν τῆς γνώμης. οἷς εἰ ξυγχωρήσετε, καὶ ἄλλο τι μεῖζον εὐθὺς ἐπιταχθήσεσθε ὡς φόβῳ καὶ τοῦτο ὑπακούσαντες· ἀπισχυρισάμενοι δὲ σαφὲς ἂν κατασήσαιτε αὐτοῖς ἀπὸ τοῦ ἴσου ὑμῖν μᾶλλον προσφέρεσθαι."

141 "Αὐτόθεν δὴ διανοήθητε ἢ ὑπακούειν πρίν τι βλαβῆναι ἢ εἰ πολεμήσομεν, ὡς ἔμοιγε ἄμεινον δοκεῖ εἶναι, καὶ ἐπὶ

---

§ 5. ὅπερ verbindet Pp. als Ac. mit προὔχονται; allein ſchwerlich finden ſich ſolche Beiſpiele der Anticipation vor einer Bedingungspartikel. Ich ziehe alſo ὅπερ als No. zu καθαιρεθείη: wenn dieſes, ſchützen ſie am meiſten vor, aufgehoben würde. Gr. 51, 9 A. 2 zweite Ausg. — προὔχονται, προβάλλονται. (Sch.) Sonſt προίσχεσθαι, z. B. bei Her., προὔχεσθαι auch Soph. Ant. 80. — μηδ' ἐν —, noch laſſet in euch ſelbſt den Vorwurf zurück, ihr habet nicht nöthig Euch mit dem Vorwurfe zu quälen. — ἐπολεμήσατε. zu 1, 144, 3. Die Sache wird als ſchon geſchehen geiſtig anticipirt.

§ 6. τὸ γὰρ βραχύ τι τοῦτο denn dieſes als etwas Geringes betrachtete. So τὸ ποιόν τι Plat. Phäd. 78, b u. Geſ. 677, a, ταὐτόν τι Gorg. 481, Parm. 163. Aehnlich unten 7, 55, 2: ἐκ πολιτείας τι μεταβολῆς τὸ διάφορον. Nicht nöthig iſt nach τι eine Diaſtole zu ſetzen mit Fritzſche Quaestt. Luc. p. 18. — πᾶσαν — γνώμης enthält vollſtändig die Bewährung und Erprobung eurer Geſinnung. — οἷς, den Lakedämoniern, die vorher nur angedeutet ſind. vgl. 2, 44, 2. 4, 26, 3. 8, 76, 5. (Schömann z. Iſä. p. 243.) — ἐπιταχθήσεσθε. Gr. 52, 4 A. 2. vgl. 2, 7, 2. — καὶ τοῦτο die Aufhebung des megariſchen Pſephisma. — ἀπισχυρισάμενοι durch entſchiedene Zurückweiſung. — κατασήσαιτε hat geringe Auctorität; die beſten Hſſ. καταστήσετε. — ἀπὸ τοῦ ἴσου als Gleichgeſtellte, nicht als Gebieter. (Kiſtemaker.) vgl. zu 1, 77, 3. — προσφέρεσθαι. Der Inf. weil σαφὲς ἂν κ. den Begriff eindringlicher Mahnung, Nöthigung einſchließt. Κατέσησα allein mit dem Inf. 2, 84, 2. 6, 16, 6.

C. 141. § 1. αὐτόθεν aus dieſen Gründen. (Pp.) — διανοήθητε entſchließt euch; mit dem Inf. oft. Gr. 55, 3 A. 16. — βλαβῆναι. Matth. Verz. der Verba u. d. W. βλαφθῆναι 4, 73, 4. 87, 4. Plat. Geſ. 843. 844. 846. u. a. — εἰ πολεμήσομεν wenn wir über-

μεγάλῃ καὶ ἐπὶ βραχείᾳ ὁμοίως προφάσει μὴ ἔξοντες μηδὲ ξὺν φόβῳ ἕξοντες ἃ κεκτήμεθα· τὴν γὰρ αὐτὴν δύναται δούλωσιν ἥ τε μεγίστη καὶ ἐλαχίστη δικαίωσις ἀπὸ τῶν ὁμοίων πρὸ δίκης τοῖς πέλας ἐπιτασσομένη. τὰ δὲ τοῦ πολέμου καὶ 2
τῶν ἑκατέρους ὑπαρχόντων ὡς οὐκ ἀσθενέστερα ἔξομεν, γνῶτε καθ' ἕκαστον ἀκούοντες. αὐτουργοί τε γάρ εἰσι Πελοποννήσιοι καὶ οὔτε ἰδίᾳ οὔτ' ἐν κοινῷ χρήματά ἐστιν αὐτοῖς, ἔπειτα χρονίων πολέμων καὶ διαπλοντίων ἄπειροι διὰ τὸ βραχέως αὐτοὶ ἐπ' ἀλλήλους ὑπὸ πενίας ἐπιφέρειν. καὶ οἱ 3
τοιοῦτοι οὔτε ναῦς πληροῦντες οὔτε πεζὰς στρατιὰς πολλάκις ἐκπέμπειν δύνανται, ἀπὸ τῶν ἰδίων τε ἅμα ἀπόντες καὶ ἀπὸ τῶν αὐτῶν δαπανῶντες καὶ προσέτι καὶ θαλάσσης εἰργόμενοι· αἱ δὲ περιουσίαι τοὺς πολέμους μᾶλλον ἢ αἱ βίαιοι ἐσφοραὶ ἀνέχουσιν. σώμασί τε ἑτοιμότεροι οἱ αὐτουργοὶ 4
τῶν ἀνθρώπων ἢ χρήμασι πολεμεῖν, τὸ μὲν πιστὸν

---

haupt den Krieg nicht vermeiden wollen. — ἕξοντες. Es könnte freilich εἶχεν, ἔχειν folgen. Doch darf so wenig der Wechsel der Construction als ein Particip bei διανοεῖσθαι auffallen: seid gesinnt wie Männer die ꝛc. Διανοεῖσθαι folgt der Analogie von γιγνώσκω, ἐνθυμοῦμαι u. a., wie z. B. auch φροντίζω Eur. Hec. 256: μὴ γιγνώσκουσθ' ἐμοί, οὓς τοὺς φίλους βλάπτοντες οὐ φροντίζετε. — δύναται gilt, wirkt. vgl. 3, 46, 2. Ar. Plut. 842: τὸ τριβώνιον τί δύναται πρὸς τὸν θεόν. — δικαίωσις Anspruch, Forderung, ein Thukydideisches Wort nach Dion., auch 3, 82, 3, 4, 86, 4. 5, 17, 2. 8, 66, 2 gebraucht. — ὁμοίων ist unstreitig Mss. — πρὸ δίκης vor einem Rechtsverfahren. — ἐπιτασσομένη. Isokr. 6, 51: Χρὴ τοὺς βουλομένους ἐλευθέρους εἶναι τὰς ἐκ τῶν ἐπιταγμάτων συνθήκας φεύγειν ὡς ἐγγὺς δουλείας οὔσας. vgl. And. 3, 11.

§ 2. τὰ δὲ — ὑπαρχόντων die Erfordernisse des Krieges und den Zustand (τά) der beiderseitigen Hülfsmittel. — αὐτουργοί, οἱ ἑαυτῶν τὴν γῆν ἐργαζόμενοι σπάνει δούλων. vgl. Periz. z. Ael. 1, 31. 7, 5. 12, 43. und die Erkl. zu Xen. Symp. 1, 5. Wohl stehen sie hier auch als γεωργοὶ den θαλασσίοις entgegen. vgl. 1, 142, 3. (Dr.) — χρήματα. vgl. 1, 80, 3. (Pp.) — βραχέως auf kurze Zeit. (Bs.) — ἐπιφέρειν erg. πολέμους. (Bs.)

§ 3. πληροῦντες. Auch hier ist πολλάκις ἐκπέμπειν δύνανται zu denken. (Pp.) — ἀπὸ τῶν αὐτῶν von ihrem Vermögen; No. τὰ αὐτῶν. Gr. 47, 9 A. 8. Sonst zieht Th. immer τῶν σφετέρων vor. 2, 20, 3. 3, 95, 2. 107, 2. 4, 66, 1. 5, 115, 1. 6, 8, 2. 71, 1. 7, 1, 5. 23, 4. 48, 2. 8, 107, 2. (Arndt.) — περιουσίαι überflüssiges Vermögen, wie der zurückgelegte Schatz der Athener. (Pp.) — βίαιοι ἐσφοραί auferlegte, gewaltsam abgenöthigte Kriegssteuern. vgl. 1, 121, 4. (Pp.) — ἀνέχουσι erhalten, geben die Mittel dazu. vgl. Hermann zu Soph. OK. 674.

§ 4. σώμασι — πολεμεῖν sind bereitwilliger persönlich sich selbst als ihr Vermögen im Kriege auszusetzen. — τὸ μὲν,

ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγενέσθαι, τὸ δὲ οὐ βέβαιον μὴ οὐ προαναλώσειν, ἄλλως τε κἂν παρὰ δόξαν, ὅπερ εἰκός, ὁ πόλεμος αὐτοῖς μηκύνηται. μάχῃ μὲν γὰρ μιᾷ πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἀντισχεῖν, πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι, ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι παραχρῆμά τι ὀξέως ἐπιτελῶσιν, πάντες τε ἰσόψηφοι ὄντες καὶ οὐχ ὁμόφυλοι τὸ ἐφ' ἑαυτὸν ἕκασος σπεύδῃ· ἐξ ὧν φιλεῖ μηδὲν ἐπιτελὲς γίγνεσθαι. καὶ γὰρ οἱ μὲν ὡς μάλιστα τιμωρήσασθαί τινα βούλονται, οἱ δὲ ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι. χρόνιοί τε ξυνιόντες ἐν βραχεῖ μὲν μορίῳ σκοποῦσί τι τῶν κοινῶν, τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσιν. καὶ ἕκασις οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν, μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν, ὥστε τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ κοινὸν ἄῤῥοον φθειρόμενον.

142 Μέγιστον δὲ τῇ τῶν χρημάτων σπάνει κωλύσονται,

τὸ τῶν σωμάτων, δεῖ δὲ ὑποστέξαι εἰς τὸ μέν. (Sch.) Der Sinn: zuverſichtlich erwartend das Eine (die Körper) wohl auch aus Gefahren errettet zu ſehen. (Pp.) vgl. 4, 10, 1. — τὸ δὲ — nicht mit Sicherheit erwartend das Andre (ihr Vermögen) nicht vorher erſchöpft zu ſehen, nämlich vor der Durchführung des Krieges. (Gö.)

§ 5. μὴ πρὸς ὁμοίαν gegen eine ungleiche. vgl. zu 1, 91, 4, wie die der Athener. — ὅταν da, weil, nach Matth. § 624, 2. Doch iſt der Zeitbegriff nicht ganz verwiſcht: zur Zeit wo, ſo lange als. vgl. 1, 142, 1. — μήτε. ſ. zu 1, 12, 1. — βουλευτηρίῳ ἑνί, wie die Athener; denn ihre Bundesgenoſſen waren autonom. — τὸ ἐφ' ἑαυτῶν was ihn anbetrifft. Gr. 68, 41 A. 9. Porſ. zu Eur. Or. 1338: σώθηθ' ὅσον γε τοὐπ' ἐμέ. Wenige und ſchlechte Hſn. τὸ ἐφ' ἑαυτῶν. vgl. zu 1, 17, 1.

§ 6. φθεῖραι, ἐκ τοῦ πολεμεῖν, τῇ ἀπουσίᾳ. (Sch.) — χρόνιοι ξυνιόντες fäumig zuſammenkommend zu Bundesverſammlungen. Gr. 57, 5 A. 4. — μορίῳ erg. τῆς ξυνόδου aus ξυνιόντες. — τῷ δὲ πλείονι hängt noch von ἕν ab. Gr. 68, 9. — πράσσουσι verhandeln. — παρά wegen. Gr. 69, 36 A. 6. Dem. 4, 11: οὐ παρὰ τὴν αὐτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν. 9, 2: οὐ παρ' ἓν ἢ δύο εἰς τοῦτο τὰ πράγματα ἀφῖκται. — βλάψειν er werde Schaden ſtiften. Gr. 52, 1 A. 2. vgl. 1, 23, 3. 2, 42, 2. — ὑπὲρ ἑαυτοῦ an ſeiner Stelle. Reiz z. Vig. 427. — τῷ αὐτῷ — δοξάσματι durch die gleichmäßig von allen gehegte Privatgeſinnung, ſich auf Andere zu verlaſſen; über ὑπό ſ. zu 1, 130, 1.

C. 142. § 1. Μέγιστον δέ was aber das Wichtigſte iſt.

ὅταν σχολῇ αὐτὰ πορίζόμενοι διαμέλλωσιν· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί. καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις οὐδὲ τὸ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι. τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι, ἢ που δὴ ἐν πολεμίᾳ τε καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων. φρούριον δ' εἰ ποιήσονται, τῆς μὲν γῆς βλάπτοιεν ἂν τι μέ- 2
ρος καταδρομαῖς καὶ αὐτομολίαις, οὐ μέντοι ἱκανόν γε ἔσται ἐπιτειχίζειν τε κωλύειν ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων καὶ ἧπερ ἰσχύομεν, ταῖς ναυσὶν ἀμύνεσθαι· πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας ἢ ἐκεῖνοι ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά. τὸ δὲ τῆς θαλάσσης ἐπι- 3
στήμονας γενέσθαι οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται. οὐδὲ γὰρ ὑμεῖς μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν ἐξείργασθε· πῶς δὴ ἄνδρες γεωργοὶ καὶ οὐ θαλάσσιοι, καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι διὰ τὸ ὑφ' ἡμῶν πολλαῖς

Gr. 57, 10 A. 12. Xen. An. 2, 5, 7: πρῶτον καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσιν. — σχολῇ, βραδέως. (Sch.) aegre. (Pß.) — κωλύσονται. Dies Fu. wird ſonſt nicht leicht paſſiv vorkommen. — μενετοί. activ wie in anderm Sinne bei Ar. Vögel 1620, ſonſt ſchwerlich vorkommend. Dem. 4, 37: οἱ τῶν πραγμάτων καιροὶ οὐ μένουσι τὴν ἡμετέραν βραδυτῆτα. Aeſch. 3, 163: ῥητορικὴν δεινὸν δημόσιος καιρὸς οὐκ ἀναμένει. — οὐδ' — οὐδέ nicht einmal — noch auch. Gr. 69, 53 A. — φοβηθῆναι. Gr. 55, 3 A. 8. — τὴν μὲν — παρασκευάσασθαι kann man ſelbſt im Frieden nicht leicht als eine (der Stadt gegen die ſie erbaut iſt) gewachſene Stadt (Feſte) gründen. Die Conſtruction iſt: χαλεπόν ἐστι (πρα) τὴν ἐπιτείχισιν (τὴν μέν) παρασκευάσασθαι πόλιν ἀντίπαλον. Doch läßt ſich τὴν μέν auch als Subjectsaccuſativ faſſen: daß die ἐπιτείχισις beſchaffe. — ἧπου δή geſchweige denn. vgl. 6, 37, 3. — ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων da wir gegen ſie ἐπιτειχίσματα beſitzen, nämlich in den Feſten Attikas.

§ 2. φρούριον ein bloßes Caſtell, im Gegenſatze einer πόλις ἀντίπαλος. — βλάπτοιεν. vgl. 7, 28. — αὐτομολίαις der Sclaven. vgl. 7, 27, 4. — ἐπιτειχίζειν hängt von κωλύειν ab: uns zu hindern gegen die Peloponneſier ein ἐπιτείχισμα zu gründen. — ἧπερ ἰσχύομεν worin unſere Stärke beſteht. vgl. 2, 13, 2. — ἀμύνεσθαι zu vergelten. vgl. 1, 42, 1. 96, 1. — τοῦ κατὰ γῆν hängt von ἐμπειρίας, ἐμπειρίας von πλέον ab: wir haben aus dem Seeweſen mehr Erfahrung im Landkriege. (Hk. u. Pp.)

§ 3. θαλάσσιοι. zu 1, 7, 2. — ἐασόμενοι paſſiv. Eur. Iph. A. 331: οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι. Ueber die Sache vgl. 1, 80, 3. 121, 3.

4 ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἂν τι ὀρᾶτε; πρὸς μὲν γὰρ ὀλίγας ἐφορμούσας κἂν διακινδυνεύσειαν, πλήθει τὴν ἀμαθίαν θρασύνοντες, πολλαῖς δὲ ἐργόμενοι ἡσυχάσουσι καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται καὶ δι' αὐτὸ καὶ ὀκνηρότεροι. τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν ὥσπερ καὶ ἄλλο τι καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι.
143 εἴ τε καὶ κινήσαντες τῶν Ὀλυμπίασιν, ἢ Δελφοῖς χρημάτων μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων ἐσβαίνουσιν αὐτῶν τε καὶ τῶν μετοίκων δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει καὶ ὅπερ κράτιστον, κυβερνήτας ἔχομεν πολίτας καὶ τὴν ἄλλην
2 ὑπηρεσίαν πλείους καὶ ἀμείνους ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. καὶ ἐπὶ τῷ κινδύνῳ οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὐτοῦ φεύγειν καὶ μετὰ τῆς ἥσσονος ἅμα ἐλπίδος ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως ἐκείνοις ξυναγωνίζεσθαι.

Καὶ τὰ μὲν Πελοποννησίων ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα τούτων τε ὥνπερ ἐκείνοις ἐμεμψάμην ἀπηλλάχθαι καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα

---

§ 4. ἐν τῷ μὴ μελετῶντι bei ihrer Uebungslosigkeit. zu 1, 36, 1. vgl. 5, 9, 3. 4 u. 2, 63, 1. — ὥσπερ καὶ ἄλλο τι wie auch irgend etwas Anderes, etwas verſchieden von εἴ τε καὶ ἄλλο τι. Aehnlich ὥς τις καὶ ἄλλος Xen. An. 1, 3, 15. — ὅταν τύχῃ erg. μελετώμενον aus μελετᾶσθαι. Gr. 56, 4 A. 2. Eur. El. 1169: νέμει τοι δίκας θεὸς ὅταν τύχῃ. — ἐκ παρέργου. vgl. 7, 27, 3. ἐν παρέργῳ 6, 69, 5. — γίγνεσθαι hängt von einem aus ἐνδέχεται zu entnehmenden χρή ab. vgl. zu Xen. An. 7, 2, 28.

C. 143. § 1. εἴ τε. zu 1, 35, 2. — κινεῖν angreifen, wie 2, 24, 2. 6, 70, 4. 8, 15, 1 u. Dem. 24, 179; über die Sache vgl. 1, 121, 2. — Δελφοῖς ohne ἐν entſchuldigt ſich durch Ὀλυμπίασιν; denn ſonſt findet es ſich nicht ſo wie Μαραθῶνι 1, 73, 2. (Pp.) Gr. 46, 1 A. 4. — ὑπολαβεῖν. zu 1, 121, 2. — αὐτῶν für ἡμῶν αὐτῶν. vgl. § 5 u. Gr. 51, 6 A. 3. — τόδε, τὸ ἀντιπάλους ἡμᾶς αὐτοὺς μετὰ τῶν μετοίκων εἶναι αὐτοῖς. (Sch.) Gr. 51, 7 A. 3. — ὑπηρεσία bezeichnet im weitern Sinn die Schiffsmannſchaft überhaupt mit Ausſchluß der ἐπιβάται; im engeren die Ruderer. Die Erkl. zu 6, 31, 3. vgl. Dem. 50, 30. 32. 35. — πλείους, weil auch ὑπηρεσία Männer bezeichnet.

§ 2. ἐπὶ τῷ κινδύνῳ erkläre ich: bei der Gefahr, ungerechnet die Gefahr ertappt und beſtraft zu werden. — φεύγειν. Denn ſie waren meiſt Angehörige Athen unterworfener Staaten. (Sch.) — ὀλίγων ἡμερῶν hängt von μισθοῦ ab. Gr. 47, 8 A. 1. — οὐκ ἀπὸ τοῦ ἴσου nicht bei gleichen Vorzügen, ſondern bei größern, dagegen bei geringeren auf Seiten der Peloponneſier. Dieſe Vorzüge, namentlich der Hülfsmittel, lernen wir 2, 13 kennen.

ἔχειν. ἢν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν 3
ἐκείνων πλευσούμεθα, καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσται Πε-
λοποννήσου μέρος τι τμηθῆναι καὶ τὴν Ἀττικὴν ἅπασαν. οἱ
μὲν γὰρ οὐχ ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί, ἡμῖν δ' ἐστὶ
γῆ πολλὴ καὶ ἐν νήσοις καὶ κατ' ἤπειρον. μέγα γὰρ τὸ τῆς
θαλάσσης κράτος. σκέψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, 4
τίνες ἂν ἀληπτότεροι ἦσαν; καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου
διανοηθέντας τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ θα-
λάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελοποννησίοις ὑπὲρ
αὐτῶν ὀργισθέντας πολλῷ πλείοσι μὴ διαμάχεσθαι — κρα-
τήσαντές τε γὰρ αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα καὶ ἢν σφα-
λῶμεν, τὰ τῶν ξυμμάχων, ὅθεν ἰσχύομεν, προσαπόλλυται·
οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρα- 5
τεύειν — τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι
ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄν-
δρες ταῦτα κτῶνται. καὶ εἰ ἔμην πείσειν ὑμᾶς, αὐτοὺς ἂν
ἐξελθόντας ἐκέλευον αὐτὰ δῃῶσαι καὶ δεῖξαι Πελοποννησίοις
ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε."

„Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν 144
ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες καὶ κινδύ-

---

§ 3. ἤν τε —. So räth auch Ar. Frö. 1463 f. — ἐκ τοῦ ὁμοίου gleichmäßig. vgl. 2, 44, 3. 3, 12, 2. 4, 10, 4. Aehnlich ὅπως ἐκ τοῦ ἴσου γίγνωνται 2, 3, 3. vgl. Gr. 43, 4 A. 5. — ἀμαχεί haben alle Hſn. auch 5, 7, 3. 7, 14, 2. 8, 105, 3; nur eine hier ἀμαχί. Die Theorie iſt etwas unſicher. Buttm. ausf. Gr. § 119 A. 39, Reiſig zu Soph. Oed. K. En. 1638, Ellendt Lex. Soph. in ἀνατεί. — κατ' ἤπειρον, beſonders in Kleinaſien und Thrake.

§ 4. τούτου der Lage von Inſelbewohnern: wir müſſen mög-lichſt ſo geſinnt ſein als ob wir das wären. — ἐγγύτατα ähnlich 3, 40, 6. (Pp.) — οἰκίας ohne Artikel weil nur ein Theil, die auf dem Lande und in unbefeſtigten Orten gemeint ſind. vgl. 2, 13, 2. — ὑπὲρ αὐτῶν ὀργισθέντας. auch hiezu iſt das folgende μή zu denken, das ſonſt auch dem Particip in ſolchen Fällen voranſteht. vgl. zu 1, 12, 1. — ὅθεν, durch deren Abgaben, Schiffe, Mannſchaft.

§ 5. ἡσυχάσουσι d. h. nicht treu bleiben. (Pp.) — ὀλόφυρσις hat auch Liban. or. p. 509. (Bl.) — οἰκιῶν. Gr. 47, 25 A. 1, 21. — πεισθαι von χρή § 4 abhängig. — οὐ γάρ —. vgl. 7, 77, 7. — ὑμᾶς kann nicht zu αὐτούς gezogen werden, weil die Stellung αὐτοὺς ὑμᾶς hier nöthig wäre. vgl. zu § 1.

C. 144. § 1. ἄλλα andre Gründe. — ἐς ἐλπίδα. So ἐς ἀπόδειξιν 2, 13, 7. — ἐθέλητε μή, wie 4, 104, 1, βούλεσθαι μή 2, 94, 1.

νους αὐθαιρέτους μὴ προσιδέσθαι· μᾶλλον γὰρ πεφόβημαι τὰς οἰκείας ἡμῶν ἁμαρτίας ἢ τὰς τῶν ἐναντίων διανοίας.
2 ἀλλ' ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τούτοις ἀποκρινάμενοι ἀποπέμψομεν, Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ λιμέσι χρῆσθαι, ἢν καὶ Λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι μήτε ἡμῶν μήτε τῶν ἡμετέρων ξυμμάχων — οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς
3 σπονδαῖς οὔτε τόδε — τὰς δὲ πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα καὶ ὅταν κἀκεῖνοι ταῖς αὑτῶν ἀποδῶσι πόλεσι μὴ σφίσι τοῖς Λακεδαιμονίοις ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλ' αὐτοῖς ἑκάστοις ὡς βούλονται· δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας,
4 πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι. εἰδέναι δὲ χρὴ ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἑκούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐχπεσομένους τοὺς ἐναντίους ἕξομεν· ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ μέγιστα
5 τιμαὶ περιγίγνονται. οἱ γοῦν πατέρες ἡμῶν ὑποστάντες Μήδους καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλιπόντες γνώμῃ τε πλείονι ἢ τύχῃ καὶ τόλμῃ μείζονι ἢ δυνάμει τόν τε βάρβαρον ἀπεώσαντο καὶ ἐς τάδε προήγα-

---

ἐπικτᾶσθαι. vgl. 2, 65, 4. 6, 10, 3. (Py.) — πεφόβημαι als Präſent, wie 4, 114, 4. 6, 34, 7. φοβοῦνται — πεφόβηται Plat. Krat. 403, b, neben δέδοικεν Euthyphr. p. 12. — τὰς οἰκείας ἡμῶν. Gr. 47, 5 A. 1.

§ 2. ἐν ἄλλῳ λόγῳ 2, 13 u. 2, 61 ff. (Py.) — Μεγαρέας ſteht, wie § 3 τὰς πόλεις, als Hauptbegriff vor ὅτι: was die M. betrifft. (Ba.) — κωλύει intranſitiv iſt ein Hinderniß (κωλύεται erklärt Dion. 6 p. 797), wie Ar. Vögel 463: ὃν διαμάττειν οὐ κωλύει. Py. vergleicht noch Siebelis z. Pauſ. 4, 25, 3. — ἐν fehlt bei Dion.; Ba. überſetzt es nicht. vgl. Kr. z. Dion. p. 228. — τὰς δέ. τάς τε zwölf z. Th. ſehr gute Hſn. u. Py. vgl. 2, 70, 2. 3, 46, 2. 4, 32, 2. — ἔχοντες zu Bundesgenoſſen. — ἐσπεισάμεθα bezeichnet den dreißigjährigen Vertrag. — σφίσι τοῖς Λακεδαιμονίοις. Gr. 50, 8 A. 2. vgl. 4, 114, 4. — αὐτοῖς ἑκάστοις. αὑτοῖς ἑκάστους? — ἄρξομεν iſt das gewöhnliche: der erſte ſein die Waffen zu ergreifen (Gr. 52, 8 A. 8. vgl. Gr. Vö. 1596); ἀρχομένους wenn ſie ſich in den Krieg einlaſſen, ihn anfangen um ſelbſt ihn fortzuſetzen.

§ 4. δεχώμεθα, πολεμεῖν (Ba.) — περιγίγνονται reſultiren, hervorgehen. vgl. 2, 39, 3. 87, 4. Dem. 3, 12: τούτου μόνου περιγίγνεσθαι μέλλοντος, παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα. vgl. Kr. zu Xen. An. 5, 8, 26.

§ 5. οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι nicht von ſo bedeutenden Mitteln ausgehend. — ἐς τάδε zu dieſer (jetzigen) Macht. 6,

γον αὐτά. ὧν οὐ χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι."

Ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν, οἱ δ' Ἀθηναῖοι νομί- 145
σαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν ἐψηφίσαντο ἃ ἐκέλευεν καὶ τοῖς Λακεδαιμονίοις ἀπεκρίναντο τῇ ἐκείνου γνώμῃ καθ' ἕκαστά τε ὡς ἔφρασεν καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἑτοῖμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο, αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ 146
πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ. ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς καὶ παρ' ἀλλήλους ἐφοίτων ἀκηρύκτως μὲν ἀνεπόπτως δὲ οὔ· σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν καὶ πρόφασις τοῦ πολεμεῖν.

B.

Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πε- 1
λοποννησίων καὶ τῶν ἑκατέροις ξυμμάχων, ἐν ᾧ οὔτε ἐπεμίγνυντο ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους καταστάντες τε ξυνεχῶς ἐπολέμουν· γέγραπται δ' ἐξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ χειμῶνα.

18, 6: ἐς τάδε ἦραν αὐτά. (Pp.) — προήγαγον. zu 1, 75, 2. — αὐτα, τα ὑπάρχοντα, ihre Macht. vgl. Kr. zu Xen. An. I, 7, 9. — λείπεσθαι. zu 1, 10, 4. — ἐπὶ ἴσῃ. zu 1, 27, 1. — οὐκέτι ἐπρεσβεύοντο. Denn Meleſippos 2, 12, 1 war nur ein Herold. (Pp.)

C. 146. αἰτίαι. vgl. 1, 23, 5. (Pp.) — ἀκηρύκτως ohne einen Herold bei dem Verkehr zu gebrauchen, was bei entſchiedener Feindſchaft nöthig war. (Sch.) vgl. 2, 1. — ξύγχυσις Aufhebung, wie 5, 26, 5. Plat. Rep. 379, e: τὴν τῶν ὅρκων καὶ σπονδῶν σύγχυσιν ἣν ὁ Πάνδαρος συνέχεεν. vgl. zu 5. 39, 2.

C. 1. ἐνθένδε. Gr. 66, 3 A. 3. Dem. 23, 64: ἄρξομαι ἐντεῦθεν ὅθεν μάλιστα μαθήσεσθε. — ἀκηρυκτεί. Nur einige ſchlechte Hſn. ἀκηρυτί. Soph. Aj. 1227 hat Lob. wegen beſſerer Auctoritäten ἀνομωκτεί beibehalten. vgl. zu 1, 143, 3. Ueber den Begriff zu 1, 146. — κατα-στάντες. ähnlich wie 1, 49, 2. — θέρος begreift Frühling und Sommer.

2 Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτιες σπονδαὶ αἱ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης καὶ Αἰνησίου ἐφόρου ἐν Σπάρτῃ καὶ Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτιδαίᾳ μάχην μηνὶ ἕκτῳ καὶ ἅμα ἦρι ἀρχομένῳ Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων — ἦγον δὲ αὐτῶν βοιωταρχοῦντες Πυθαγγελίδας τε ὁ Φυλείδου καὶ Διέμπορος ὁ Ὀνητορίδου — ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας, οὖσαν Ἀθηναίων ξυμμα-
2 χίδα. ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας Πλαταιῶν ἄνδρες Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι ἰδίᾳ ἕνεκα δυνάμεως ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου τοῦ Λεοντιάδου, ἀνδρὸς
3 Θηβαίων δυνατωτάτου· προϊδόντες γὰρ οἱ Θηβαῖοι ὅτι ἐσοιτο ὁ πόλεμος, ἐβούλοντο τὴν Πλάταιαν, ἀεὶ σφίσι διάφορον οὖσαν, ἔτι ἐν εἰρήνῃ τε καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος προκαταλαβεῖν. ᾗ καὶ ῥᾷον ἔλαθον ἐσελθόντες, φυ-
4 λακῆς οὐ προκαθεστηκυίας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ

---

vgl. 5, 39, 2. 40, 1. 81, 2. um die Mitte des Elaphebolion anfangend 4, 118, 9. vgl. 117, 1. auch das φθινόπωρον 2, 31, 1. (Pp.) vgl. Kr. Stud. S. 221. Die Kriegszeit betrug acht Monate nach Plut. Per. 11. Der Winter fing im Maimakterion an. Kr. eb.

C. 2. γάρ bezieht sich auf ἄρχεται C. 1. — ἐνέμειναν bestanden. vgl. 1, 5, 3. — δυοῖν δέοντα. Gr. 24, 2 A. 9. — τῷ πέμπτῳ καὶ δεκάτῳ. So auch Xen. Hell. 2, 3, 9. (Pp.) — δύο. δ' d. h. τέσσαρας liest Kr. hist. phil. Stud. S. 221 ff. — τριακοσίων. Vierhundert nach Her. 7, 233. Andere Verschiedenheiten in der Rede g. die Neära 98 ff. vgl. Aen. Poliork. 2. (Gb.) — περὶ πρῶτον ὕπνον, eine Zeitbestimmung wie auch bei uns die Volkssprache sie bietet. vgl. Ar. We. 31. Dion. Arch. 5, 41 u. Plut. Nik. 5. ἀπὸ πρώτου ὕπνου unten 7, 43, 2. (Dr.) — ξυμμαχίδα. vgl. 3, 55, 1. (Pp.).

§. 2. ἐπηγάγοντο, ἐπεκαλέσαντο 3, 65, 1, auch über die Sache zu vergleichen. (Pp.).

§ 3. ἐβούλοντο. Die meisten und besten Hss. ἠβούλοντο, wie zu Th. nur noch 2, 5, 2 u. 6, 79, 2. (Pp.) — τε καί. Man würde bloß καὶ erwarten. Doch findet sich τε καὶ auch sonst ohne Gegensatz, wie 5, 9, 1. vgl. Fritzsche Quaestt. Luc. p. 130. — φανεροῦ ist Prädicat: ὁ πόλεμος κατέστη, ἦν φανερός.

§ 4. θέμενοι τὰ ὅπλα nachdem sie sich aufgestellt. vgl. 4, 41, 1. 68, 2. 93, 3. 8, 25, 3. 93, 1. (Pp.) Kr. zu Xen. An. 1, 6, 6.

ὅπλα τοῖς μὲν ἐπαγομένοις οὐκ ἐπείθοντο ὥστ' εὐθὺς ἔργου ἔχεσθαι καὶ ἰέναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν, γνώμην δ' ἐποιοῦντο κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις καὶ ἐς ξύμβασιν μᾶλλον καὶ φιλίαν τὴν πόλιν ἀγαγεῖν. καὶ ἀνεῖπεν ὁ κῆρυξ, εἴ τις βούλεται κατὰ τὰ πάτρια τῶν πάντων Βοιωτῶν ξυμμαχεῖν, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα, νομίζοντες σφίσι ῥᾳδίως τούτῳ τῷ τρόπῳ προσχωρήσειν τὴν πόλιν.

Οἱ δὲ Πλαταιῆς ὡς ἤσθοντο ἔνδον τε ὄντας τοὺς Θη- 3
βαίους καὶ ἐξαπιναίως κατειλημμένην τὴν πόλιν, καταδείσαντες καὶ νομίσαντες πολλῷ πλείους ἐσεληλυθέναι, οὐ γὰρ ἑώρων ἐν τῇ νυκτί, πρὸς ξύμβασιν ἐχώρησαν καὶ τοὺς λόγους δεξάμενοι ἡσύχαζον, ἄλλως τε καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. πράσσοντες δέ πως ταῦτα κατενόησαν οὐ 2
πολλοὺς τοὺς Θηβαίους ὄντας καὶ ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατῆσαι· τῷ γὰρ πλήθει τῶν Πλαταιῶν οὐ βουλομένῳ ἦν τῶν Ἀθηναίων ἀφίστασθαι. ἐδόκει οὖν ἐπιχειρητέα εἶναι καὶ ξυνελέγοντο διορύσσοντες τοὺς κοινοὺς τοίχους παρ' ἀλλήλους, ὅπως μὴ διὰ τῶν ὁδῶν φανεροὶ ὦσιν ἰόντες, ἁμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίστασαν, ἵν' ἀντὶ τείχους ᾖ, καὶ τἆλλα ἐξήρτυον ἧ ἕκαστον ἐφαίνετο πρὸς τὰ παρόντα ξύμφορον ἔσεσθαι. ἐπεὶ δὲ ὡς ἐκ τῶν 3
δυνατῶν ἕτοιμα ἦν, φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περιορθρον ἐχώρουν ἐκ τῶν οἰκιῶν ἐπ' αὐτούς, ὅπως μὴ κατὰ

— ἐπαγομένοις indem ſie als eben noch dabei wirkſam gedacht werden. Pp. vergleicht οἱ προσιόντες 2, 5, 4, τῶν διαβαλλόντων 3, 4, 3 und οἱ διαφεύγοντες 3, 40, 4. — ὥσιε. vgl. 2, 101, 3. 3, 31. 70, 3. 75, 1. 100, 1. 102, 4. 8, 5, 2. — γνώμην ἐποιοῦντο, zu 1, 128, 5. — αὐτούς. αὐτοὺς die Hſn. Der Sinn: ſich bewaffnet mit ihnen zu verbinden.

C. 3. § 1. ἐν τῇ νυκτί in und wegen der Nacht. vgl. § 3. — ἐχώρησαν wendeten ſich. vgl. 3, 66, 1. — ἐνεωτέριζον, οἱ Θηβαῖοι. (Sch.) Gr. 51, 5 A. 3. Der Sinn: ſie ergriffen keine unge-wöhnlichen, harten Maßregeln. vgl. 3, 66, 1. 4, 51.

§ 2. πως etwa unſer ſo verbindet der Sch. falſch mit κατενόησαν. — ὄντας. vgl. 3, 66, 1. Gr. 56, 7 A. 1. — οὐ βουλομένῳ ἦν war es nicht genehm. Gr. 48, 6 A. 4. — κοινούς, die zwiſchen den Häuſern. (Sch.) — ἵν' ἀντὶ τείχους ᾖ damit es eine Barrikade ſei. Derſelbe Ausdruck App. Pun. 8, 25.

§ 3. ὡς. vgl. 6, 54, 3. 70, 4. — ἐκ τῶν δυνατῶν nach Möglichkeit. Gr. 68, 17 A. 9. — ἕτοιμα, wie 2, 10, 1. 56, 1. 98, 1. 7, 50, 4. vgl. zu 1, 46, 1. — φυλάξαντες, wie 7, 83, 3; νηρεῖν

φῶς θαρσαλεωτέροις οὖσι προσφέρωνται καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες ἥσσους ὦσι τῆς σφετέρας ἐμπειρίας τῆς κατὰ τὴν πόλιν. προσέβαλόν τε 4 εὐθὺς καὶ ἐς χεῖρας ἦλθον κατὰ τάχος. οἱ δ' ὡς ἔγνωσαν ἠπατημένοι, ξυνεστρέφοντό τε ἐν σφίσιν αὐτοῖς καὶ τὰς προσβολὰς ᾗ προσπίπτοιεν ἀπεωθοῦντο. καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο, ἔπειτα πολλῷ θορύβῳ αὐτῶν τε προσβαλλόντων καὶ τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων λίθοις τε καὶ κεράμῳ βαλλόντων καὶ ὑετοῦ ἅμα διὰ νυκτὸς πολλοῦ ἐπιγενομένου ἐφοβήθησαν καὶ τραπόμενοι ἔφυγον διὰ τῆς πόλεως, ἄπειροι μὲν ὄντες οἱ πλείους ἐν σκότῳ καὶ πηλῷ τῶν διόδων ᾗ χρὴ σωθῆναι, καὶ γὰρ τελευτῶντος τοῦ μηνὸς τὰ γιγνόμενα ἦν, ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας τοῦ μὴ ἐκφεύγειν, ὥστε 2 διεφθείροντο πολλοί. τῶν δὲ Πλαταιῶν τις τὰς πύλας ᾗ ἐσῆλθον καὶ αἷπερ ἦσαν ἀνεῳγμέναι μόναι, ἔκλῃσε στυραξίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος ἐς τὸν μοχλόν, ὥστε μηδὲ

3, 22, 1. 4, 26, 4. — *αὐτό.* Gr. 51, 6 A. 9. — *ἐκ τοῦ ἴσου* in gleicher Lage. Xen. An. 3, 4, 47: *οὐκ ἐξ ἴσου ἐσμέν.* vgl. zu 1, 143, 3. — *γίγνωνται, οἱ Θηβαῖοι.* (Bs.) — *φοβερός* heißt sonst bei Th. nur furchtbar, hier furchtsam, wie Xen. Kyr. 3, 3, 19, Oek. 7, 25. — *ἥσσους ὦσι* unterlägen oder nur nachständen, im Nachtheil seien. vgl. 2, 4, 1. — *ἐμπειρία* das Bescheitwissen, wie 3, 95, 3. 7, 44, 8. vgl. 3, 112, 4.

C. 4. § 1. *ξυνεστρέφοντο ἐν σφίσιν αὐτοῖς* schlossen sich gedrängt an einander. vgl. 7, 30, 2. — *προσπίπτοιεν* angriffen. vgl. 4, 34, 1. 7, 70, 4; ergg. *οἱ Πλαταιῆς.* — *ἀπό* mit Bezug auf den Standpunct der Thebäer, denen das Geschrei von den Häusern her kam. — *κέραμος* im Sing. wie 3, 74, 1. 4, 4, 48, 2, bei Xen. Mem. 3, 1, 7 u. sonst; ähnlich *πλίνθος, ἄμπελος* unten 4, 90, 2 u. a. Gr. 44, 1 A. 1. Der Singular ist in solchen Fällen kein Numerus, sondern ein formloser Materialis, wie z. B. im Deutschen: das Schiff ging unter mit Mann und Maus. — *διὰ νυκτός* die Nacht hindurch. Xen. An. 4, 6, 22: *ἔκαιον πυρὰ πολλὰ διὰ νυκτός.* — *σκότῳ. σκότος* eine gute Hs., was vielleicht vorzuziehen ist. vgl. 3, 23, 4. 8, 42, 1. (Pp.) — *τοῦ μὴ ἐκφεύγειν* so daß sie nicht entfliehen konnten. Lys. 20, 36: *παρ' ὑμῶν οὐδὲν εὑρησόμεθα τοῦ σωθῆναι.* vgl. zu 1, 4. — *οἱ* vor *πολλοί* ist mit einer guten Hs. getilgt, weil von 300 weniger als 120 umkamen 2, 5, 4. (Hf.).

§ 2. *στυραξίῳ.* Kr. zu Xen. An. 4, 7, 16. — *βάλανός ἐστι τὸ βαλλόμενον ἐς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον.* (Sch.) vgl. Ar. Vö. 1159, Eccl. 361. 370. Ausgezogen wurde es durch die *βαλανάγρα* (Xen. Hell. 5, 2, 29), so gen. *παρὰ τὸ ἀγρεύειν τὴν βάλανον.* (Sch.) — *χρησάμενος ἐς, ἐμβαλὼν ἐς.* (Sch.) Nehmlich

ταύτῃ ἔτι ἔξοδον εἶναι. διωκόμενοί τε κατὰ τὴν πόλιν οἱ μέν τινες αὐτῶν ἐπὶ τὸ τεῖχος ἀναβάντες ἔρριψαν ἑς τὸ ἔξω σφᾶς αὐτοὺς καὶ διεφθάρησαν οἱ πλείους, οἱ δὲ κατὰ πύλας ἐρήμους γυναικὸς δούσης πέλεκυν λαθόντες καὶ διακόψαντες τὸν μοχλὸν ἐξῆλθον οὐ πολλοί, αἴσθησις γὰρ ταχεῖα ἐπεγένετο, ἄλλοι δὲ ἄλλῃ τῆς πόλεως σποράδην ἀπώλλυντο. τὸ 3 δὲ πλεῖστον καὶ ὅσον μάλιστα ἦν ξυνεστραμμένον ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους καὶ αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ, οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι καὶ ἔντικρυς δίοδον ἐς τὸ ἔξω. ὁρῶντες 4 δ' αὐτοὺς οἱ Πλαταιῆς ἀπειλημμένους ἐβουλεύοντο εἴτε καταχαύσωσιν ὥσπερ ἔχουσιν, ἐμπρήσαντες τὸ οἴκημα, εἴτε τι ἄλλο χρήσωνται. τέλος δὲ οὗτοί τε καὶ ὅσοι ἄλλοι τῶν Θηβαίων περιῆσαν κατὰ τὴν πόλιν πλανώμενοι ξυνέβησαν τοῖς Πλαταιεῦσι παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα χρήσασθαι ὅ τι ἂν βούλωνται.

Οἱ μὲν δὴ ἐν τῇ Πλαταίᾳ οὕτως ἐπεπράγεσαν· οἱ δ' ἄλ- 5 λοι Θηβαῖοι, οὓς ἔδει ἔτι τῆς νυκτὸς παραγενέσθαι πανστρατιᾷ, εἴ τι ἄρα μὴ προχωροίη τοῖς ἐσεληλυθόσιν, τῆς ἀγγελίας ἅμα καθ' ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενημένων ἐπεβοήθουν. ἀπέχει δ' ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα καὶ τὸ ὕδωρ τὸ γενόμενον τῆς νυκτὸς ἐποίησε

πολλοὶ τοῦτο καὶ ἔδρασαν ἐς φρέατα 2, 49, 3. (Pp.) Ar. We. 200: καὶ τὴν βέλεμνον ἔμβαλλε πάλιν εἰς τὸν μοχλόν. — οἱ πλείους der ſich Hinabſtürzenden.

§ 3. τοῦ τείχους. zu 1, 134, 2. — πλησίον nahe den Thebäern. (Pp.) — αὐτοῦ. Gr. 60, 6 A. 2. — ἔντικρυς gerade zu, wie 6, 49. An den übrigen Stellen des Th. heißt es offenbar 1, 122, 3. 5, 30, 3. 6, 10, 2. 8, 64, 3. 92, 11. (Sch. u. Pp.).

§ 4. ἀπειλημμένους abgeſchnitten. vgl. 4, 14, 2. 4. — καταχαύσωσιν für καταχάνσουσιν haben, gleichfalls forachgemäß, gute Hſn. vgl. 2, 52, 2. 4, 13, 2. 5, 65, 5. 7, 1, 1, Aeſchin. 2, 64. 68. 3, 202, Lyſ. 8, 5, Her. 1, 53. 75. 2, 52. 6, 52 u. Gr. 54, 7 A. 1. — τι ἄλλο. Gr. 46, 5 A. 9. — σφᾶς αὐτούς 7, 82, 3. 83, 1; ἑαυτούς 2, 68, 4. (Arndt.) — χρήσασθαι ὅ τι βούλονται ſo daß ſie mit ihnen machen könnten was ſie wollten, feſte Formel für Ergebung auf Gnade und Ungnade. vgl. 4, 69, 3. 7, 85, 1 u. Xen. Hell. 2, 4, 37: παραδιδόασι σφᾶς αὐτοὺς Λακεδαιμονίοις χρῆσθαι ὅ τι βούλονται. Ueber den Inf. Gr. 55, 3 A. 20. Das ὅ τι hängt von χρήσασθαι ab. Gr. 56, 4 A. 1.

C. 5. § 1. ὕδωρ Regen. Gr. 61, 4 A 4.

2 βραδύτερον αὐτοὺς ἐλθεῖν· ὁ γὰρ Ἀσωπὸς ποταμὸς ἐρρύη μέγας καὶ οὐ ῥᾳδίως διαβατὸς ἦν. πορευόμενοί τε ἐν ὑετῷ καὶ τὸν ποταμὸν μόλις διαβάντες ὕστερον παρεγένοντο, ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων τῶν δὲ ζώντων ἐχομένων. ὡς δ' ἤσθοντο οἱ Θηβαῖοι τὸ γεγενημένον, ἐπεβούλευον τοῖς ἔξω τῆς πόλεως τῶν Πλαταιῶν· ἦσαν γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς καὶ κατασκευή, οἷα ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου· ἐβούλοντο γὰρ σφίσιν, εἴ τινα λάβοιεν, ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα τύχωσί τινες ἐζω-
3 γρημένοι. καὶ οἱ μὲν ταῦτα διενοοῦντο, οἱ δὲ Πλαταιῆς ἔτι διαβουλευομένων αὐτῶν ὑποτοπήσαντες τοιοῦτόν τι ἔσεσθαι καὶ δείσαντες περὶ τοῖς ἔξω κήρυκα ἐξέπεμψαν παρὰ τοὺς Θηβαίους, λέγοντες ὅτι οὔτε τὰ πεποιημένα ὅσιος δράσειαν ἐν σπονδαῖς σφῶν πειραθέντες καταλαβεῖν τὴν πόλιν, τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἔφασαν αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν οὓς ἔχουσι ζῶντας· ἀναχωρησάντων δὲ πάλιν ἐκ τῆς γῆς ἀποδώσειν αὐτοῖς τοὺς ἄν-
4 δρας. Θηβαῖοι μὲν ταῦτα λέγουσι καὶ ἐπομόσαι φασὶν αὐτούς· Πλαταιῆς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀποδώσειν, ἀλλὰ λόγων πρῶτον γενομένων, ἢν τι ξυμβαίνωσιν, καὶ ἐπομόσαι οὗ φασιν. ἐκ δ' οὖν τῆς γῆς ἀνεχώρησαν οἱ Θηβαῖοι οὐδὲν ἀδικήσαντες· οἱ δὲ Πλαταιῆς

---

§ 2. μέγας ist Prädicat: er ſtrömte hoch, wie Her. 2, 25. 8, 138 u. [Dem.] 59, 99. Ar. Lyſ. 1034: ῥεῖ μου τὸ δάκρυον πολύ. vgl. Gr. 57, 4 A. 2. — ζώντων ἐχομένων aus ζῶντες εἶχοντο. zu 1, 75, 2. vgl. Gr. 56, 15 A. 6. — Πλαταιῶν hängt von τοῖς ἔξω ab. — ἦσαν γὰρ bezieht ſich auf τοῖς ἔξω, ἐβούλοντο γάρ auf ἐπεβούλευον. (Sk.) Gr. 69, 14 A. 2. — κατασκευή beweglicke Habe. — οἷα wie ἅτε mit dem Particip. Gr. 56, 12 A. 2. vgl. 8, 95, 1. — κακοῦ ohne Artikel: da ein unvorhergeſehenes Unglück eingetreten war.

§ 3. ὑποτοπεῖν, ſonſt ziemlich verſchollen, hat Th. auch 1, 20, 3. 56. 2, 13, 1. 3, 24, 1. 5, 31, 3. 116, 1; ὑποτοπεύειν 5, 35, 3. 8, 76, 1. vgl. Paſſows Lex. u. d. W. — σφῶν hängt von πόλιν ab. vgl. zu 1, 25, 2. — πειραθῆναι nur noch 2, 33, 2. 6, 92, 3; ſonſt gebraucht Thuc. abweichend von andern Schriftſtellern πειράσασθαι 2, 44, 2. 85, 1. 4, 114, 4. 117, 2. 5, 69, 1. Paſſiv ſteht πειραθῆναι 6, 54, 3. — τά τε ἔξω ἔλεγον. Umgewandelte Fügung als ob vorher nicht ὅτι οὔτε ſondern ὅτι οὐ ſtände und ἔλεγον mit ἐξέπεμψαν zu verbinden wäre. (Pp.) Aehnlich Xen. An. 2, 1, 3.

§ 4. τι über etwas. vgl. 4, 41, 1, οὐδέν 5, 36, 1, τἄλλα 8, 98, 2, τὰ πλείω 4, 117, 1. Gr. 46, 5 A. 4.

ἐπειδὴ τὰ ἐκ τῆς χώρας κατὰ τάχος ἐσεκομίσαντο, ἀπέκτειναν τοὺς ἄνδρας εὐθύς. ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες καὶ Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες.

Τοῦτο δὲ ποιήσαντες ἔς τε τὰς Ἀθήνας ἄγγελον ἔπεμπον καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Θηβαίοις, τά τ' ἐν τῇ πόλει καθίσταντο πρὸς τὰ παρόντα ἧ ἐδόκει αὐτοῖς. τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ περὶ τῶν Πλαταιῶν γεγενημένα, καὶ Βοιωτῶν τε παραχρῆμα ξυνέλαβον ὅσοι ἦσαν ἐν τῇ Ἀττικῇ καὶ ἐς τὴν Πλάταιαν ἔπεμψαν κήρυκα, κελεύοντες εἰπεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν οὓς ἔχουσι Θηβαίων, πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν· οὐ γὰρ ἠγγέλθη αὐτοῖς ὅτι τεθνηκότες εἶεν. ἅμα γὰρ τῇ ἐσόδῳ γιγνομένῃ τῶν Θηβαίων ὁ πρῶτος ἄγγελος ἐξῆλθε, ὁ δὲ δεύτερος ἄρτι νενικημένων τε καὶ ξυνειλημμένων· καὶ τῶν ὕστερον οὐδὲν ἤδεσαν. οὕτω δὴ οὐκ εἰδότες οἱ Ἀθηναῖοι ἐπέστελλον· ὁ δὲ κῆρυξ ἀφικόμενος εὗρε τοὺς ἄνδρας διαφθαρμένους. καὶ μετὰ ταῦτα οἱ Ἀθηναῖοι στρατεύσαντες ἐς Πλάταιαν σῖτόν τε ἐσήγαγον καὶ φρουροὺς ἐγκατέλιπον τῶν τε ἀνθρώπων τοὺς ἀχρειοτάτους ξὺν γυναιξὶ καὶ παισὶν ἐξεκόμισαν.

Γεγενημένου δὲ τοῦ ἐν Πλαταιαῖς ἔργου καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες, παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν, προσβείας τε μέλλοντες πέμπειν παρὰ βασιλέα καὶ ἄλλοσε ἐς τοὺς βαρβάρους, εἴ ποθέν τινα ὠφελίαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι, πόλεις τε ξυμμαχίδας ποι-

---

C. 6. § 1. πρὸς τὰ παρόντα mit Rückſicht auf die gegenwärtigen Umſtände, vgl. 6, 46, 4. — περὶ für παρά die beſten Hſn., kurz für ἠγγέλθη περὶ Πλαταιῶν τὰ περὶ Πλαταιέας γενομένα. vgl. Kr. zu Xen. An. 2, 5, 37. Doch kann γεγενημένα auch prädicativ ſtehen. Gr. 56, 7 A. 3. — περὶ τῶν ἀ. wie 1, 58, 1; der Ac. 2, 73, 3. 4, 51. (Bl.) — οὓς Θηβαίων. Gr. 47, 9 A. 5.

C. 7. § 1. Πλαταιαί, ſonſt bei Th. im Singular, im Plural 2, 10, 1, und in mehrern z. Th. zweifelhaften Ge., wie 2, 78, 3. 3, 21, 1. 36, 1. (Pp.) — λαμπρῶς, φανερῶς, ἀναμφισβητήτως. (Sch.) vgl. zu 1, 49, 6. — μέλλοντες bezieht ſich auch auf Ἀθηναῖοι. Kr. z. Dion. p. 350, nach πολεμήσοντες nur ein Komma ſetzend. So ſchon Ba. Dafür ſpricht ἑκάτεροι. — ἑαυτῶν in einem relativen Beſtimmungsſatze, wie 2, 92, 3, Her. 1, 21 u. 8, 24. (Arndt.).

ἔχοντες ἐκ τῶν κινδύνων κἂν περιγενέσθαι, τὸ δὲ οὐ βέβαιον μὴ οὐ προαναλώσειν, ἄλλως τε κἂν παρὰ δόξαν, ὅπερ εἰκός, 5 ὁ πόλεμος αὐτοῖς μηκύνηται. μάχῃ μὲν γὰρ μιᾷ πρὸς ἅπαντας Ἕλληνας δυνατοὶ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἀντισχεῖν, πολεμεῖν δὲ μὴ πρὸς ὁμοίαν ἀντιπαρασκευὴν ἀδύνατοι, ὅταν μήτε βουλευτηρίῳ ἑνὶ χρώμενοι παραχρῆμά τι ὀξέως ἐπιτελῶσιν, πάντες τε ἰσόψηφοι ὄντες καὶ οὐχ ὁμόφυλοι τὸ ἐφ' ἑαυτὸν ἕκαστος σπεύδῃ· ἐξ ὧν φιλεῖ μηδὲν 6 ἐπιτελὲς γίγνεσθαι. καὶ γὰρ οἱ μὲν ὡς μάλιστα τιμωρήσασθαί τινα βούλονται, οἱ δὲ ὡς ἥκιστα τὰ οἰκεῖα φθεῖραι. χρόνιοί τε ξυνιόντες ἐν βραχεῖ μὲν μορίῳ σκοποῦσί τι τῶν κοινῶν, τῷ δὲ πλέονι τὰ οἰκεῖα πράσσουσιν. καὶ ἕκασος οὐ παρὰ τὴν ἑαυτοῦ ἀμέλειαν οἴεται βλάψειν, μέλειν δέ τινι καὶ ἄλλῳ ὑπὲρ ἑαυτοῦ τι προϊδεῖν, ὥστε τῷ αὐτῷ ὑπὸ ἁπάντων ἰδίᾳ δοξάσματι λανθάνειν τὸ κοινὸν ἅθρόον φθειρόμενον.

142 Μέγιστον δὲ τῇ τῶν χρημάτων σπάνει κωλύσονται,

τὸ τῶν σωμάτων, δεῖ δὲ ὑποσπάσαι εἰς τὸ μέν. (Sch.) Der Sinn: zuversichtlich erwartend das Eine (die Körper) wohl auch aus Gefahren errettet zu sehen. (Pp.) vgl. 4, 10, 1. — τὸ δὲ — nicht mit Sicherheit erwartend das Andre (ihr Vermögen) nicht vorher erschöpft zu sehen, nämlich vor der Durchführung des Krieges. (Gö.)

§ 5. μὴ πρὸς ὁμοίαν gegen eine ungleiche. vgl. zu 1, 91, 4. wie die der Athener. — ὅταν da, weil, nach Matth. § 624, 2. Doch ist der Zeitbegriff nicht ganz verwischt: zur Zeit wo, so lange als. vgl. 1, 142, 1. — μήτε. s. zu 1, 12, 1. — βουλευτηρίῳ ἑνί, wie die Athener; denn ihre Bundesgenossen waren autonom. — τὸ ἐφ' ἑαυτόν was ihn anbetrifft. Gr. 68, 41 A. 9. Porſ. zu Eur. Or. 1338: σαθηθ' ὅσον γε τοὐπ' ἐμέ. Wenige und schlechte Hſn. τὸ ἐφ' ἑαυτῶν. vgl. zu 1, 17, 1.

§ 6. φθεῖραι, ἐκ τοῦ πολεμεῖν, τῇ ἀπουσίᾳ. (Sch.) — χρόνιοι ξυνιόντες säumig zuſammenkommend zu Bundesverſammlungen. Gr. 57, 5 A. 4. — μορίῳ erg. τῆς ξυνόδου aus ξυνιόντες. — τῷ δὲ πλείονι hängt noch von ἐν ab. Gr. 68, 9. — πράσσουσι verhandeln. — παρά wegen. Gr. 69, 36 A. 6. Dem. 4, 11: οὐ παρὰ τὴν αὑτοῦ ῥώμην τοσοῦτον ἐπηύξηται ὅσον παρὰ τὴν ἡμετέραν ἀμέλειαν. 9, 2: οὐ παρ' ἓν ἢ δύο εἰς τοῦτο τὰ πράγματα ἀφῖκται. — βλάψειν er werde Schaden ſtiften. Gr. 52, 1 A. 2. vgl. 1, 23, 3. 2, 42, 2. — ὑπὲρ ἑαυτοῦ an ſeiner Stelle. Reiz z. Dig. 427. — τῷ αὐτῷ — δοξάσματι durch die gleichmäßig von allen gehegte Privatgeſinnung, ſich auf Andere zu verlaſſen; über ὑπό ſ. zu 1, 130, 1.

C. 142. § 1. Μέγιστον δέ was aber das Wichtigſte iſt.

ὅταν σχολῇ αὐτὰ ποριζόμενοι διαμέλλωσιν· τοῦ δὲ πολέμου οἱ καιροὶ οὐ μενετοί. καὶ μὴν οὐδ' ἡ ἐπιτείχισις οὐδὲ τὸ ναυτικὸν αὐτῶν ἄξιον φοβηθῆναι. τὴν μὲν γὰρ χαλεπὸν καὶ ἐν εἰρήνῃ πόλιν ἀντίπαλον παρασκευάσασθαι, ἢ που δὴ ἐν πολεμίᾳ τε καὶ οὐχ ἧσσον ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων. φρούριον δ' εἰ ποιήσονται, τῆς μὲν γῆς βλάπτοιεν ἂν τι μέ- 2
ρος καταδρομαῖς καὶ αὐτομολίαις, οὐ μέντοι ἱκανόν γε ἔσται ἐπιτείχιζειν τε κωλύειν ἡμᾶς πλεύσαντας ἐς τὴν ἐκείνων καὶ ἧπερ ἰσχύομεν, ταῖς ναυσὶν ἀμύνεσθαι· πλέον γὰρ ἡμεῖς ἔχομεν τοῦ κατὰ γῆν ἐκ τοῦ ναυτικοῦ ἐμπειρίας ἢ ἐκεῖνοι ἐκ τοῦ κατ' ἤπειρον ἐς τὰ ναυτικά. τὸ δὲ τῆς θαλάσσης ἐπι- 3
στήμονας γενέσθαι οὐ ῥᾳδίως αὐτοῖς προσγενήσεται. οὐδὲ γὰρ ὑμεῖς μελετῶντες αὐτὸ εὐθὺς ἀπὸ τῶν Μηδικῶν ἐξείργασθε· πῶς δὴ ἄνδρες γεωργοὶ καὶ οὐ θαλάσσιοι, καὶ προσέτι οὐδὲ μελετῆσαι ἐασόμενοι διὰ τὸ ὑφ' ἡμῶν πολλαῖς

Gr. 57, 10 A. 12. Xen. An. 2, 5, 7: πρῶτον καὶ μέγιστον οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσιν. — σχολῇ, βραδέως. (Sch.) aegre. (Pß.) — κωλύσονται. Dies Fu. wird ſonſt nicht leicht paſſiv vorkommen. — μενετοί. activ wie in anderm Sinne bei Ar. Vögel 1620, ſonſt ſchwerlich vorkommend. Dem. 4, 37: οἱ τῶν πραγμάτων καιροὶ οὐ μένουσι τὴν ἡμετέραν βραδυτῆτα. Aeſch. 3, 163: ῥητορικὴν δειλίαν δημόσιος καιρὸς οὐκ ἀναμένει. — οὐδ' — οὐδέ nicht einmal — noch auch. Gr. 69, 53 A. — φοβηθῆναι. Gr. 55, 3 A. 8. — τὴν μὲν — παρασκευάσασθαι denn die erſtere (durch erſtere) kann man ſelbſt im Frieden nicht leicht als eine (der Stadt gegen die ſie erbaut iſt) gewachſene Stadt (Feſte) gründen. Die Conſtruction iſt: χαλεπόν ἐστι (τινα) τὴν ἐπιτείχισιν (τὴν μὲν) παρασκευάσασθαι πόλιν ἀντίπαλον. Doch läßt ſich τὴν μέν auch als Subjectsaccuſativ faſſen: daß die ἐπιτείχισις beſchaffe. — ἧπου δή geſchweige denn. vgl. 6, 37, 3. — ἐκείνοις ἡμῶν ἀντεπιτετειχισμένων da wir gegen ſie ἐπιτειχίσματα beſitzen, nämlich in den Feſten Attikas.

§ 2. φρούριον ein bloßes Caſtell, im Gegenſatze einer πόλις ἀντίπαλος. — βλάπτοιεν. vgl. 7, 28. — αὐτομολίαις der Sclaven. vgl. 7, 27, 4. — ἐπιτειχίζειν hängt von κωλύειν ab: uns zu hindern gegen die Peloponneſier ein ἐπιτείχισμα zu gründen. — ἧπερ ἰσχύομεν worin unſere Stärke beſteht. vgl. 2, 13, 2. — ἀμύνεσθαι zu vergelten. vgl. 1, 42, 1. 96, 1. — τοῦ κατὰ γῆν hängt von ἐμπειρίας, ἐμπειρίας von πλέον ab: wir haben aus dem Seeweſen mehr Erfahrung im Landkriege. (Hk. u. Pp.)

§ 3. θαλάσσιοι. zu 1, 7, 2. — ἐασόμενοι paſſiv. Eur. Iph. A. 331: οὐχὶ δεινά; τὸν ἐμὸν οἰκεῖν οἶκον οὐκ ἐάσομαι. Ueber die Sache vgl. 1, 80, 3. 121, 3.

4 ναυσὶν ἀεὶ ἐφορμεῖσθαι, ἄξιον ἂν τι δρᾶσεν; πρὸς μὲν γὰρ ὀλίγας ἐφορμούσας κἂν διακινδυνεύσειαν, πλήθει τὴν ἀμαθίαν θρασύνοντες, πολλαῖς δὲ εἰργόμενοι ἡσυχάσουσι καὶ ἐν τῷ μὴ μελετῶντι ἀξυνετώτεροι ἔσονται καὶ δι' αὐτὸ καὶ ὀκνηρότεροι. τὸ δὲ ναυτικὸν τέχνης ἐστὶν ὥσπερ καὶ ἄλλο τι καὶ οὐκ ἐνδέχεται, ὅταν τύχῃ, ἐκ παρέργου μελετᾶσθαι, ἀλλὰ μᾶλλον μηδὲν ἐκείνῳ πάρεργον ἄλλο γίγνεσθαι.
143 εἴ τε καὶ κινήσαντες τῶν Ὀλυμπίασιν ἢ Δελφοῖς χρημάτων μισθῷ μείζονι πειρῷντο ἡμῶν ὑπολαβεῖν τοὺς ξένους τῶν ναυτῶν, μὴ ὄντων μὲν ἡμῶν ἀντιπάλων ἐσβαίντων αὐτῶν τε καὶ τῶν μετοίκων δεινὸν ἂν ἦν· νῦν δὲ τόδε τε ὑπάρχει καὶ ὅπερ κράτιστον, κυβερνήτας ἔχομεν πολίτας καὶ τὴν ἄλλην
2 ὑπηρεσίαν πλείους καὶ ἀμείνους ἢ πᾶσα ἡ ἄλλη Ἑλλάς. καὶ ἐπὶ τῷ κινδύνῳ οὐδεὶς ἂν δέξαιτο τῶν ξένων τήν τε αὐτοῦ φεύγειν καὶ μετὰ τῆς ἥσσονος ἅμα ἐλπίδος ὀλίγων ἡμερῶν ἕνεκα μεγάλου μισθοῦ δόσεως ἐκείνοις ξυναγωνίζεσθαι.

Καὶ τὰ μὲν Πελοποννησίων ἔμοιγε τοιαῦτα καὶ παραπλήσια δοκεῖ εἶναι, τὰ δὲ ἡμέτερα τούτων τε ὧνπερ ἐκείνοις ἐμεμψάμην ἀπηλλάχθαι καὶ ἄλλα οὐκ ἀπὸ τοῦ ἴσου μεγάλα

---

§ 4. ἐν τῷ μὴ μελετῶντι bei ihrer Uebungsloſigkeit. zu 1, 36, 1. vgl. 5, 9, 3. 4 u. 2, 63, 1. — ὥσπερ καὶ ἄλλο τι wie auch irgend etwas Anderes, etwas verſchieden von εἴ καὶ ἄλλο τι. Aehnlich ὥς τις καὶ ἄλλος Xen. An. 1, 3, 15. — ὅταν τύχῃ erg. μελετώμενον aus μελετᾶσθαι. Gr. 56, 4 A. 2. Eur. El. 1169: νέμει τοι δίκας θεὸς ὅταν τύχῃ. — ἐκ παρέργου. vgl. 7, 27, 3. ἐν παρέργῳ 6, 69, 5. — γίγνεσθαι hängt von einem aus ἐνδέχεται zu entnehmenden χρή ab. vgl. zu Xen. An. 7, 2, 28.

C. 143. § 1. εἴ τε. zu 1, 35, 2. — κινεῖν angreifen, wie 2, 24, 2. 6, 70, 4. 8, 15, 1 u. Dem. 24, 179; über die Sache vgl. 1, 121, 2. — Δελφοῖς ohne ἔν entſchuldigt ſich durch Ὀλυμπίασιν; denn ſonſt findet es ſich nicht ſo wie Μαραθῶνι 1, 73, 2. (Pp.) Gr. 46, 1 A. 4. — ὑπολαβεῖν. zu 1, 121, 2. — αὐτῶν für ἡμῶν αὐτῶν. vgl. § 5 u. Gr. 51, 6 A. 3. — τόδε, τὸ ἀντιπάλους ἡμᾶς αὐτοὺς μετὰ τῶν μετοίκων εἶναι αὐτοῖς. (Sch.) Gr. 51, 7 A. 3. — ὑπηρεσία bezeichnet im weitern Sinn die Schiffsmannſchaft überhaupt mit Ausſchluß der ἐπιβάται; im engeren die Ruderer. Die Erkl. zu 6, 31, 3. vgl. Dem. 50, 30. 32. 35. — πλείους, weil auch ὑπηρεσία Männer bezeichnet.

§ 2. ἐπὶ τῷ κινδύνῳ erkläre ich: bei der Gefahr, ungerechnet die Gefahr ertappt und beſtraft zu werden. — φεύγειν. Denn ſie waren meiſt Angehörige Athen unterworfener Staaten. (Sch.) — ὀλίγων ἡμερῶν hängt von μισθοῦ ab. Gr. 47, 8 A. 1. — οὐκ ἀπὸ τοῦ ἴσου nicht bei gleichen Vorzügen, ſondern bei größern, dagegen bei geringeren auf Seiten der Peloponneſier. Dieſe Vorzüge, namentlich der Hülfsmittel, lernen wir 2, 13 kennen.

ἔχειν. ἢν τ' ἐπὶ τὴν χώραν ἡμῶν πεζῇ ἴωσιν, ἡμεῖς ἐπὶ τὴν 3
ἐκείνων πλευσούμεθα, καὶ οὐκέτι ἐκ τοῦ ὁμοίου ἔσται Πε-
λοποννήσου μέρος τι τμηθῆναι καὶ τὴν Ἀττικὴν ἅπασαν. οἱ
μὲν γὰρ οὐχ ἕξουσιν ἄλλην ἀντιλαβεῖν ἀμαχεί, ἡμῖν δ' ἐστὶ
γῆ πολλὴ καὶ ἐν νήσοις καὶ κατ' ἤπειρον. μέγα γὰρ τὸ τῆς
θαλάσσης κράτος. σκέψασθε δέ· εἰ γὰρ ἦμεν νησιῶται, 4
τίνες ἂν ἀληπτότεροι ἦσαν; καὶ νῦν χρὴ ὅτι ἐγγύτατα τούτου
διανοηθέντας τὴν μὲν γῆν καὶ οἰκίας ἀφεῖναι, τῆς δὲ θα-
λάσσης καὶ πόλεως φυλακὴν ἔχειν, καὶ Πελοποννησίοις ὑπὲρ
αὐτῶν ὀργισθέντας πολλῷ πλείοσι μὴ διαμάχεσθαι — κρα-
τήσαντές τε γὰρ αὖθις οὐκ ἐλάσσοσι μαχούμεθα καὶ ἢν σφα-
λῶμεν, τὰ τῶν ξυμμάχων, ὅθεν ἰσχύομεν, προσαπόλλυται·
οὐ γὰρ ἡσυχάσουσι μὴ ἱκανῶν ἡμῶν ὄντων ἐπ' αὐτοὺς στρα- 5
τεύειν — τήν τε ὀλόφυρσιν μὴ οἰκιῶν καὶ γῆς ποιεῖσθαι
ἀλλὰ τῶν σωμάτων· οὐ γὰρ τάδε τοὺς ἄνδρας, ἀλλ' οἱ ἄν-
δρες ταῦτα κτῶνται. καὶ εἰ ἐμὴν πείσειν ὑμᾶς, αὐτοὺς ἂν
ἐξελθόντας ἐκέλευον αὐτὰ δρῶσαι καὶ δεῖξαι Πελοποννησίοις
ὅτι τούτων γε ἕνεκα οὐχ ὑπακούσεσθε."

„Πολλὰ δὲ καὶ ἄλλα ἔχω ἐς ἐλπίδα τοῦ περιέσεσθαι, ἢν 144
ἐθέλητε ἀρχήν τε μὴ ἐπικτᾶσθαι ἅμα πολεμοῦντες καὶ κινδύ-

---

§ 3. *ἢν τε —*. So räth auch Ar. Frö. 1463 f. — *ἐκ τοῦ ὁμοίου* gleichmäßig. vgl. 2, 44, 3. 3, 12, 2. 4, 10, 4. Aehnlich *ὅπως ἐκ τοῦ ἴσου γίγνωνται* 2, 3, 3. vgl. Gr. 43, 4 A. 5. — *ἀμαχεί* haben alle Hſn. auch 5, 7, 3. 7, 14, 2. 8, 105, 3; nur eine hier *ἀμαχί*. Die Theorie iſt etwas unſicher. Buttm. ausf. Gr. § 119 A. 39, Reiſig zu Soph. Oed. K. En. 1638, Ellendt Lex. Soph. in *ἀναπεί*. — *κατ' ἤπειρον*, beſonders in Kleinaſien und Thrake.

§ 4. *τούτου* der Lage von Inſelbewohnern: wir müſſen mög-lichſt ſo geſinnt ſein als ob wir das wären. — *ἐγγύτατα* ähnlich 3, 40, 6. (Pp.) — *οἰκίας* ohne Artikel weil nur ein Theil, die auf dem Lande und in unbefeſtigten Orten gemeint ſind. vgl. 2, 13, 2. — *ὑπὲρ αὐτῶν ὀργισθέντας*. auch hiezu iſt das folgende *μή* zu denken, das ſonſt auch dem Particip in ſolchen Fällen voranſteht. vgl. zu 1, 12, 1. — *ὅθεν*, durch deren Abgaben, Schiffe, Mannſchaft.

§ 5. *ἡσυχάσουσι* d. h. nicht treu bleiben. (Pö.) — *ὀλόφυρσις* hat auch Liban. or. p. 509. (Bl.) — *οἰκιῶν*. Gr. 47, 25 A. 1, 21. — *πεισεῖσθαι* von *χρή* § 4 abhängig. — *οὐ γάρ —*. vgl. 7, 77, 7. — *ὑμᾶς* kann nicht zu *αὐτούς* gezogen werden, weil die Stellung *αὐτοὺς ὑμᾶς* hier nöthig wäre. vgl. zu § 1.

C. 144. § 1. *ἄλλα* andre Gründe. — *ἐς ἐλπίδα*. So *ἐς ἀπόδειξιν* 2, 13, 7. — *ἐθέλητε μή*, wie 4, 104, 1, *βούλεσθαι μή* 2, 94, 1.

νους αὐθαιρέτους μὴ προστίθεσθαι· μᾶλλον γὰρ πεφόβηται τὰς οἰκείας ἡμῶν ἁμαρτίας ἢ τὰς τῶν ἐναντίων διανοίας. 2 ἀλλ' ἐκεῖνα μὲν καὶ ἐν ἄλλῳ λόγῳ ἅμα τοῖς ἔργοις δηλωθήσεται· νῦν δὲ τούτοις ἀποκρινάμενοι ἀποπέμψωμεν, Μεγαρέας μὲν ὅτι ἐάσομεν ἀγορᾷ καὶ λιμέσι χρῆσθαι, ἢν καὶ Λακεδαιμόνιοι ξενηλασίας μὴ ποιῶσι μήτε ἡμῶν μήτε τῶν ἡμετέρων ξυμμάχων — οὔτε γὰρ ἐκεῖνο κωλύει ἐν ταῖς 3 σπονδαῖς οὔτε τόδε — τὰς δὲ πόλεις ὅτι αὐτονόμους ἀφήσομεν, εἰ καὶ αὐτονόμους ἔχοντες ἐσπεισάμεθα καὶ ὅταν κἀκεῖνοι ταῖς αὑτῶν ἀποδῶσι πόλεσι μὴ σφίσι τοῖς Λακεδαιμονίοις ἐπιτηδείως αὐτονομεῖσθαι, ἀλλ' αὐτοῖς ἑκάστοις ὡς βούλονται· δίκας δὲ ὅτι ἐθέλομεν δοῦναι κατὰ τὰς ξυνθήκας, 4 πολέμου δὲ οὐκ ἄρξομεν, ἀρχομένους δὲ ἀμυνούμεθα. ταῦτα γὰρ δίκαια καὶ πρέποντα ἅμα τῇδε τῇ πόλει ἀποκρίνασθαι. εἰδέναι δὲ χρὴ ὅτι ἀνάγκη πολεμεῖν· ἢν δὲ ἑκούσιοι μᾶλλον δεχώμεθα, ἧσσον ἐγκεισομένους τοὺς ἐναντίους ἕξομεν· ἔκ τε τῶν μεγίστων κινδύνων ὅτι καὶ πόλει καὶ ἰδιώτῃ μέγισται 5 τιμαὶ περιγίγνονται. οἱ γοῦν πατέρες ἡμῶν ὑποστάντες Μήδους καὶ οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι ἀλλὰ καὶ τὰ ὑπάρχοντα ἐκλιπόντες γνώμῃ τε πλείονι ἢ τύχῃ καὶ τόλμῃ μείζονι ἢ δυνάμει τόν τε βάρβαρον ἀπεώσαντο καὶ ἐς τάδε προήγα-

---

ἐπικτᾶσθαι. vgl. 2, 65, 4. 6, 10, 3. (Pp.) — πεφόβηται als Präſens, wie 4, 114, 4. 6, 34, 7. φοβοῦνται — πεφόβηται Plat. Krat. 403, b, neben δέδοικεν Euthyphr. p. 12. — τὰς οἰκείας ἡμῶν. Gr. 47, 5 A. 1.

§ 2. ἐν ἄλλῳ λόγῳ 2, 13 u. 2, 61 ff. (Pp.) — Μεγαρέας ſteht, wie § 3 τὰς πόλεις, als Hauptbegriff vor ὅτι: was die M. betrifft. (Ba.) — κωλύει intranſitiv iſt ein Hinderniß (κωλύεται erklärt Dion. 6 p. 797), wie Ar. Vögel 463: ὃν διαμάττειν οὐ κωλύει. Pp. vergleicht noch Siebelis z. Pauſ. 4, 25, 3. — ἐν fehlt bei Dion.; Ba. überſetzt es nicht. vgl. Kr. z. Dion. p. 228. — τὰς δέ. τάς τε zwölf z. Th. ſehr gute Hſn. u. Pp. vgl. 2, 70, 2. 3, 46, 2. 4, 32, 2. — ἔχοντες zu Bundesgenoſſen. — ἐσπεισάμεθα bezeichnet den dreißigjährigen Vertrag. — σφίσι τοῖς Λακεδαιμονίοις. Gr. 50, 8 A. 2. vgl. 4, 114, 4. — αὐτοῖς ἑκάστοις. αὑτοῖς ἑκάστους? — ἄρξομεν iſt das gewöhnliche: der erſte ſein die Waffen zu ergreifen (Gr. 52, 8 A. 8. vgl. Gr. Bö. 1596); ἀρχομένους wenn ſie ſich in den Krieg einlaſſen, ihn anfangen um ſelbſt ihn fortzuſetzen.

§ 4. δικώμεθα, πολεμεῖν (Ba.) — περιγίγνονται reſultiren, hervorgehen. vgl. 2, 39, 3. 87, 4. Dem. 3, 12: τούτου μόνου περιγίγνεσθαι μέλλοντος, παθεῖν ἀδίκως τι κακὸν τὸν ταῦτ' εἰπόντα. vgl. Kr. zu Xen. An. 5, 8, 26.

§ 5. οὐκ ἀπὸ τοσῶνδε ὁρμώμενοι nicht von ſo bedeutenden Mitteln ausgehend. — ἐς τάδε zu dieſer (jetzigen) Macht. 6,

γον αὐτά. ὧν οὐ χρὴ λείπεσθαι, ἀλλὰ τούς τε ἐχθροὺς παντὶ τρόπῳ ἀμύνεσθαι καὶ τοῖς ἐπιγιγνομένοις πειρᾶσθαι αὐτὰ μὴ ἐλάσσω παραδοῦναι."

Ὁ μὲν Περικλῆς τοιαῦτα εἶπεν, οἱ δ' Ἀθηναῖοι νομί- 145
σαντες ἄριστα σφίσι παραινεῖν αὐτὸν ἐψηφίσαντο ἃ ἐκέλευεν καὶ τοῖς Λακεδαιμονίοις ἀπεκρίναντο τῇ ἐκείνου γνώμῃ καθ' ἕκαστά τε ὡς ἔφρασεν καὶ τὸ ξύμπαν, οὐδὲν κελευόμενοι ποιήσειν, δίκῃ δὲ κατὰ τὰς ξυνθήκας ἑτοῖμοι εἶναι διαλύεσθαι περὶ τῶν ἐγκλημάτων ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ. καὶ οἱ μὲν ἀπεχώρησαν ἐπ' οἴκου καὶ οὐκέτι ὕστερον ἐπρεσβεύοντο, αἰτίαι δὲ αὗται καὶ διαφοραὶ ἐγένοντο ἀμφοτέροις πρὸ τοῦ 146
πολέμου, ἀρξάμεναι εὐθὺς ἀπὸ τῶν ἐν Ἐπιδάμνῳ καὶ Κερκύρᾳ. ἐπεμίγνυντο δὲ ὅμως ἐν αὐταῖς καὶ παρ' ἀλλήλους ἐφοίτων ἀκηρύκτως μὲν ἀνυπόπτως δὲ οὔ· σπονδῶν γὰρ ξύγχυσις τὰ γιγνόμενα ἦν καὶ πρόφασις τοῦ πολεμεῖν.

B.

Ἄρχεται δὲ ὁ πόλεμος ἐνθένδε ἤδη Ἀθηναίων καὶ Πε- 1
λοποννησίων καὶ τῶν ἑκατέροις ξυμμάχων, ἐν ᾧ οὔτε ἐπεμίγνυντό ἔτι ἀκηρυκτεὶ παρ' ἀλλήλους καταστάντες τε ξυνεχῶς ἐπολέμουν· γέγραπται δ' ἑξῆς ὡς ἕκαστα ἐγίγνετο κατὰ θέρος καὶ χειμῶνα.

18, 6: ἐς τάδε ἦραν αὐτά. (Pp.) — προήγαγον. zu 1, 75, 2. — αὐτα, τὰ ὑπάρχοντα, ihre Macht. vgl. Kr. zu Xen. An. I, 7, 9. — λείπεσθαι. zu 1, 10, 4. — ἐπὶ ἴσῃ. zu 1, 27, 1. — οὐκέτι ἐπρεσβεύοντο. Denn Melesippos 2, 12, 1 war nur ein Herold. (Pp.)

C. 146. αἰτίαν. vgl. 1, 23, 5. (Pp.) — ἀκηρύκτως ohne einen Herold bei dem Verkehr zu gebrauchen, was bei entschiedener Feindschaft nöthig war. (Sch.) vgl. 2, 1. — ξύγχυσις Aufhebung, wie 5, 26, 5. Plat. Rep. 379, e: τὴν τῶν ὅρκων καὶ σπονδῶν σύγχυσιν ἣν ὁ Πάνδαρος συνέχεεν. vgl. zu 5. 39, 2.

C. 1. ἐνθένδε. Gr. 66, 3 A. 3. Dem. 23, 64: ἄρξομαι ἐντεῦθεν ὅθεν μάλιστα μαθήσεσθε. — ἀκηρυκτεί. Nur einige schlechte Hss. ἀκηρυκτί. Soph. Aj. 1227 hat Lob. wegen besserer Auctoritäten ἀνοιμωκτεί beibehalten. vgl. zu 1, 143, 3. Ueber den Begriff zu 1, 146. — καταστάντες. ähnlich wie 1, 49, 2. — θέρος begreift Frühling und Sommer.

2 Τέσσαρα μὲν γὰρ καὶ δέκα ἔτη ἐνέμειναν αἱ τριακοντούτεις σπονδαὶ αἱ ἐγένοντο μετ' Εὐβοίας ἅλωσιν· τῷ δὲ πέμπτῳ καὶ δεκάτῳ ἔτει, ἐπὶ Χρυσίδος ἐν Ἄργει τότε πεντήκοντα δυοῖν δέοντα ἔτη ἱερωμένης καὶ Αἰνησίου ἐφόρου ἐν Σπάρτῃ καὶ Πυθοδώρου ἔτι δύο μῆνας ἄρχοντος Ἀθηναίοις, μετὰ τὴν ἐν Ποτιδαίᾳ μάχην μηνὶ ἕκτῳ καὶ ἅμα ἦρι ἀρχομένῳ Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων — ἦγον δὲ αὐτῶν βοιωταρχοῦντες Πυθαγγελός τε ὁ Φυλείδου καὶ Λιέμπορος ὁ Ὀνητορίδου — ἐσῆλθον περὶ πρῶτον ὕπνον ξὺν ὅπλοις ἐς Πλάταιαν τῆς Βοιωτίας, οὐσαν Ἀθηναίων ξυμμα-
2 χίδα. ἐπηγάγοντο δὲ καὶ ἀνέῳξαν τὰς πύλας Πλαταιῶν ἄνδρες Ναυκλείδης τε καὶ οἱ μετ' αὐτοῦ, βουλόμενοι ἰδίας ἕνεκα δυνάμεως ἄνδρας τε τῶν πολιτῶν τοὺς σφίσιν ὑπεναντίους διαφθεῖραι καὶ τὴν πόλιν Θηβαίοις προσποιῆσαι. ἔπραξαν δὲ ταῦτα δι' Εὐρυμάχου τοῦ Λεοντιάδου, ἀνδρὸς
3 Θηβαίων δυνατωτάτου· προϊδόντες γὰρ οἱ Θηβαῖοι ὅτι ἔσοιτο ὁ πόλεμος, ἐβούλοντο τὴν Πλάταιαν, ἀεὶ σφίσι διάφορον οὖσαν, ἔτι ἐν εἰρήνῃ τε καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος προκαταλαβεῖν. ᾗ καὶ ῥᾷον ἔλαθον ἐσελθόντες, φυ-
4 λακῆς οὐ προκαθεστηκυίας. θέμενοι δὲ ἐς τὴν ἀγορὰν τὰ

---

vgl. 5, 39, 2. 40, 1. 81, 2. um die Mitte des Elaphebolion anfangend 4, 118, 9. vgl. 117, 1. auch das φθινόπωρον 2, 31, 1. (Pp.) vgl. Kr. Stud. S. 221. Die Kriegszeit betrug acht Monate nach Plut. Per. 11. Der Winter fing im Maimakterion an. Kr. eb.

C. 2. γάρ bezieht sich auf ἄρχεται C. 1. — ἐνέμειναν bestanden. vgl. 1, 5, 3. — δυοῖν δέοντα. Gr. 24, 2 A. 9. — τῷ πέμπτῳ καὶ δεκάτῳ. So auch Xen. Hell. 2, 3, 9. (Pp.) — δύο. δ' d. h. τέσσαρας liest Kr. hist. phil. Stud. S. 221 ff. — τριακοσίων. Vierhundert nach Her. 7, 233. Andere Verschiedenheiten in der Rede g. die Neära 98 ff. vgl. Aen. Poliork. 2. (Gb.) — περὶ πρῶτον ὕπνον, eine Zeitbestimmung wie auch bei uns die Volkssprache sie bietet. vgl. Ar. We. 31, Dion. Arch. 5, 41 u. Plut. Nik. 5. ἀπὸ πρώτου ὕπνου unten 7, 43, 2. (Dr.) — ξυμμαχίδα. vgl. 3, 55, 1. (Pp.).

§. 2. ἐπηγάγοντο, ἐπεκαλέσαντο 3, 65, 1, auch über die Sache zu vergleichen. (Pp.).

§ 3. ἐβούλοντο. Die meisten und besten Hss. ἠβούλοντο, wie zu Th. nur noch 2, 5, 2 u. 6, 79, 2. (Pp.) — τε καί. Man würde bloß καί erwarten. Doch findet sich τε καί auch sonst ohne Gegensatz, wie 5, 9, 1. vgl. Fritzsche Quaestt. Luc. p. 130. — φανεροῦ ist Prädicat: ὁ πόλεμος κατέστη, ἦν φανερός.

§ 4. θέμενοι τὰ ὅπλα nachdem sie sich aufgestellt. vgl. 4, 41, 1. 68, 2. 93, 3. 8, 25, 3. 93, 1. (Pp.) Kr. zu Xen. An. 1, 6, 6.

ὅπλα τοῖς μὲν ἐπαγομένοις οὐκ ἐπείθοντο ὥστ' εὐθὺς ἔργου ἔχεσθαι καὶ ἰέναι ἐς τὰς οἰκίας τῶν ἐχθρῶν, γνώμην δ' ἐποιοῦντο κηρύγμασί τε χρήσασθαι ἐπιτηδείοις καὶ ἐς ξύμβασιν μᾶλλον καὶ φιλίαν τὴν πόλιν ἀγαγεῖν. καὶ ἀνεῖπεν ὁ κῆρυξ, εἴ τις βούλεται κατὰ τὰ πάτρια τῶν πάντων Βοιωτῶν ξυμμαχεῖν, τίθεσθαι παρ' αὐτοὺς τὰ ὅπλα, νομίζοντες σφίσι ῥᾳδίως τούτῳ τῷ τρόπῳ προσχωρήσειν τὴν πόλιν.

Οἱ δὲ Πλαταιῆς ὡς ἤσθοντο ἔνδον τε ὄντας τοὺς Θη- 3
βαίους καὶ ἐξαπιναίως κατειλημμένην τὴν πόλιν, καταδείσαντες καὶ νομίσαντες πολλῷ πλείους ἐσεληλυθέναι, οὐ γὰρ ἐώρων ἐν τῇ νυκτί, πρὸς ξύμβασιν ἐχώρησαν καὶ τοὺς λόγους δεξάμενοι ἡσύχαζον, ἄλλως τε καὶ ἐπειδὴ ἐς οὐδένα οὐδὲν ἐνεωτέριζον. πράσσοντες δέ πως ταῦτα κατενόησαν οὐ 2
πολλοὺς τοὺς Θηβαίους ὄντας καὶ ἐνόμισαν ἐπιθέμενοι ῥᾳδίως κρατῆσαι· τῷ γὰρ πλήθει τῶν Πλαταιῶν οὐ βουλομένῳ ἦν τῶν Ἀθηναίων ἀφίστασθαι. ἐδόκει οὖν ἐπιχειρητέα εἶναι καὶ ξυνελέγοντο διορύσσοντες τοὺς κοινοὺς τοίχους παρ' ἀλλήλους, ὅπως μὴ διὰ τῶν ὁδῶν φανεροὶ ὦσιν ἰόντες, ἁμάξας τε ἄνευ τῶν ὑποζυγίων ἐς τὰς ὁδοὺς καθίστασαν, ἵν' ἀντὶ τείχους ᾖ, καὶ τἆλλα ἐξήρτυον ᾗ ἕκαστον ἐφαίνετο πρὸς τὰ παρόντα ξύμφορον ἔσεσθαι. ἐπεὶ δὲ ὡς ἐκ τῶν 3
δυνατῶν ἕτοιμα ἦν, φυλάξαντες ἔτι νύκτα καὶ αὐτὸ τὸ περιορθρον ἐχώρουν ἐκ τῶν οἰκιῶν ἐπ' αὐτούς, ὅπως μὴ κατὰ

— ἐπαγομένοις indem ſie als eben noch dabei wirkſam gedacht werden. Pp. vergleicht οἱ προσιόντες 2, 5, 4, τῶν διαβαλλόντων 3, 4, 3 und οἱ διαφεύγοντες 3, 40, 4. — ὥστε. vgl. 2, 101, 3. 3, 31. 70, 3. 75, 1. 100, 1. 102, 4. 8, 5, 2. — γνώμην ἐποιοῦντο, zu 1, 128, 5. — αὐτούς. αὐτοῖς die Hſſ. Der Sinn: ſich bewaffnet mit ihnen zu verbinden.

C. 3. § 1. ἐν τῇ νυκτί in und wegen der Nacht. vgl. § 3. — ἐχώρησαν wendeten ſich. vgl. 3, 66, 1. — ἐνεωτέριζον, οἱ Θηβαῖοι. (Sch.) Gr. 51, 5 A. 3. Der Sinn: ſie ergriffen keine ungewöhnlichen, harten Maßregeln. vgl. 3, 66, 1. 4, 51.

§ 2. πως etwa unſer ſo verbindet der Sch. falſch mit κατενόησαν. — ὄντας. vgl. 3, 66, 1. Gr. 56, 7 A. 1. — οὐ βουλομένῳ ἦν war es nicht genehm. Gr. 48, 6 A. 4. — κοινούς, die zwiſchen den Häuſern. (Sch.) — ἵν' ἀντὶ τείχους ᾖ damit es eine Barrikade ſei. Derſelbe Ausdruck App. Pun. 8, 25.

§ 3. ὡς. vgl. 6, 54, 3. 70, 4. — ἐκ τῶν δυνατῶν nach Möglichkeit. Gr. 68, 17 A. 9. — ἕτοιμα, wie 2, 10, 1. 56, 1. 98, 1. 7, 50, 4. vgl. zu 1, 46, 1. — φυλάξαντες, wie 7, 83, 3; τηρεῖν

φῶς θαρσαλεωτέροις οὖσι προσφέρωνται καὶ σφίσιν ἐκ τοῦ ἴσου γίγνωνται, ἀλλ' ἐν νυκτὶ φοβερώτεροι ὄντες ἧσσους ὦσι τῆς σφετέρας ἐμπειρίας τῆς κατὰ τὴν πόλιν. προσέβαλόν τε 4 εὐθὺς καὶ ἐς χεῖρας ἦεσαν κατὰ τάχος. οἱ δ' ὡς ἔγνωσαν ἠπατημένοι, ξυνεστρέφοντό τε ἐν σφίσιν αὐτοῖς καὶ τὰς προσβολὰς ᾗ προσπίπτοιεν ἀπεωθοῦντο. καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο, ἔπειτα πολλῷ θορύβῳ αὐτῶν τε προσβαλλόντων καὶ τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων λίθοις τε καὶ κεράμῳ βαλλόντων καὶ ὕετοῦ ἅμα διὰ νυκτὸς πολλοῦ ἐπιγενομένου ἐφοβήθησαν καὶ τραπόμενοι ἔφυγον διὰ τῆς πόλεως, ἄπειροι μὲν ὄντες οἱ πλείους ἐν σκότῳ καὶ πηλῷ τῶν διόδων ᾗ χρὴ σωθῆναι, καὶ γὰρ τελευτῶντος τοῦ μηνὸς τὰ γιγνόμενα ἦν, ἐμπείρους δὲ ἔχοντες τοὺς διώκοντας τοῦ μὴ ἐκφεύγειν, ὥστε 2 διεφθείροντο πολλοί. τῶν δὲ Πλαταιῶν τις τὰς πύλας ᾗ ἐσῆλθον καὶ αἷπερ ἦσαν ἀνεῳγμέναι μόναι, ἔκλῃσε στυραξίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος ἐς τὸν μοχλόν, ὥστε μηδὲ

3, 22, 1. 4, 26, 4. — *αὐτό*. Gr. 51, 6 A. 9. — *ἐκ τοῦ ἴσου* in gleicher Lage. Xen. An. 3, 4, 47: *οὐκ ἐξ ἴσου ἐσμέν*. vgl. zu 1, 143, 3. — *γίγνωνται, οἱ Θηβαῖοι*. (Pö.) — *φοβερός* heißt sonst bei Th. nur furchtbar, hier furchtsam, wie Xen. Kyr. 3, 3, 19, Oek. 7, 25. — *ἧσσους ὦσι* unterlägen oder nur nachständen, im Nachtheil seien. vgl. 2, 4, 1. — *ἐμπειρία* das Bescheitwissen, wie 3, 95, 3. 7, 44, 8. vgl. 3, 112, 4.

C. 4. § 1. *ξυνιστρέφοντο ἐν σφίσιν αὐτοῖς* schlossen sich gedrängt an einander. vgl. 7, 30, 2. — *προσπίπτοιεν* angriffen. vgl. 4, 34, 1. 7, 70, 4; erg. *οἱ Πλαταιῆς*. — *ἀπό* mit Bezug auf den Standpunct der Thebäer, denen das Geschrei von den Häusern her kam. — *κέραμος* im Sing. wie 3, 74, 1. 4, 4, 48, 2, bei Xen. Mem. 3, 1, 7 u. sonst; ähnlich *πλίνθος, ἄμπελος* unten 4, 90, 2 u. a. Gr. 44, 1 A. 1. Der Singular ist in solchen Fällen kein Numerus, sondern ein formloser Materialis, wie z. B. im Deutschen: das Schiff ging unter mit Mann und Maus. — *διὰ νυκτός* die Nacht hindurch. Xen. An. 4, 6, 22: *ἕκαιον πυρὰ πολλὰ διὰ νυκτός*. — *σκότῳ. σκότει* eine gute Hs., was vielleicht vorzuziehen ist. vgl. 3, 23, 4. 8, 42, 1. (Pp.) — *τοῦ μὴ ἐκφεύγειν* sp dass sie nicht entfliehen konnten. Lys. 20, 36: *παρ' ὑμῶν οὐδὲν εὑρησόμεθα τοῦ σωθῆναι*. vgl. zu 1, 4. — *οἱ* vor *πολλοί* ist mit einer guten Hs. getilgt, weil von 300 weniger als 120 umkamen 2, 5, 4. (Hf.).

§ 2. *στυραξίῳ*. Kr. zu Xen. An. 4, 7, 16. — *βάλανός ἐστι τὸ βαλλόμενον ἐς τὸν μοχλὸν σιδήριον, ὃ καλοῦμεν μάγγανον*. (Sch). vgl. Ar. Wö. 1159, Eccl. 361. 370. Ausgezogen wurde es durch die *βαλαναύγρα* (Xen. Hell. 5, 2, 29), so gen. *παρὰ τὸ ἀγρεύειν τὴν βάλανον*. (Sch.) — *χρησάμενος ἐς, ἐμβαλὼν ἐς*. (Sch.) Nehmlich

ταύτῃ ἔτι ἔξοδον εἶναι. διωκόμενοί τε κατὰ τὴν πόλιν οἱ μέν τινες αὐτῶν ἐπὶ τὸ τεῖχος ἀναβάντες ἔρριψαν ἐς τὸ ἔξω σφᾶς αὐτοὺς καὶ διεφθάρησαν οἱ πλείους, οἱ δὲ κατὰ πύλας ἐρήμους γυναικὸς δούσης πέλεκυν λαθόντες καὶ διακόψαντες τὸν μοχλὸν ἐξῆλθον οὐ πολλοί, αἴσθησις γὰρ ταχεῖα ἐπεγένετο, ἄλλοι δὲ ἄλλῃ τῆς πόλεως σποράδην ἀπώλλυντο. τὸ 3 δὲ πλεῖστον καὶ ὅσον μάλιστα ἦν ξυνεστραμμένον ἐσπίπτουσιν ἐς οἴκημα μέγα, ὃ ἦν τοῦ τείχους καὶ αἱ πλησίον θύραι ἀνεῳγμέναι ἔτυχον αὐτοῦ, οἰόμενοι πύλας τὰς θύρας τοῦ οἰκήματος εἶναι καὶ ἄντικρυς δίοδον ἐς τὸ ἔξω. ὁρῶντες 4 δ' αὐτοὺς οἱ Πλαταιῆς ἀπειλημμένους ἐβουλεύοντο εἴτε κατακαύσωσιν ὥσπερ ἔχουσιν, ἐμπρήσαντες τὸ οἴκημα, εἴτε τι ἄλλο χρήσωνται. τέλος δὲ οὗτοί τε καὶ ὅσοι ἄλλοι τῶν Θηβαίων περιῆσαν κατὰ τὴν πόλιν πλανώμενοι ξυνέβησαν τοῖς Πλαταιεῦσι παραδοῦναι σφᾶς αὐτοὺς καὶ τὰ ὅπλα χρήσασθαι ὅ τι ἂν βούλωνται.

Οἱ μὲν δὴ ἐν τῇ Πλαταίᾳ οὕτως ἐπεπράγεσαν· οἱ δ' ἄλ- 5 λοι Θηβαῖοι, οὓς ἔδει ἔτι τῆς νυκτὸς παραγενέσθαι πανστρατιᾷ, εἴ τι ἄρα μὴ προχωροίη τοῖς ἐσεληλυθόσιν, τῆς ἀγγελίας ἅμα καθ' ὁδὸν αὐτοῖς ῥηθείσης περὶ τῶν γεγενημένων ἐπεβοήθουν. ἀπέχει δ' ἡ Πλάταια τῶν Θηβῶν σταδίους ἑβδομήκοντα καὶ τὸ ὕδωρ τὸ γενόμενον τῆς νυκτὸς ἐποίησε

πολλοὶ τοῦτο καὶ ἔδρασαν ἐς φρέατα 2, 49, 3. (Pp.) Ar. We. 200: καὶ τὴν βάλανον ἔμβαλλε πάλιν εἰς τὸν μοχλόν. — οἱ πλείους der sich Herabstürzenden.

§ 3. τοῦ τείχους. zu 1, 134, 2. — πλησίον nahe den Thebäern. (Pp.) — αὐτοῦ. Gr. 60, 6 A. 2. — ἄντικρυς gerade zu, wie 6, 49. An den übrigen Stellen des Th. heißt es offenbar 1, 122, 3. 5, 30, 3. 6, 10, 2. 8, 64, 3. 92, 11. (Sch. u. Pp.).

§ 4. ἀπειλημμένους abgeschnitten. vgl. 4, 14, 2. 4. — κατακαύσωσιν für κατακαύσουσιν haben, gleichfalls sprachgemäß, gute Hsn. vgl. 2, 52, 2. 4, 13, 2. 5, 65, 5. 7, 1, 1, Aeschin. 2, 64. 68. 3, 202, Lys. 8, 5, Her. 1, 53. 75. 2, 52. 6, 52 u. Gr. 54, 7 A. 1. — τι ἄλλο. Gr. 46, 5 A. 9. — σφᾶς αὐτούς 7, 82, 3. 83, 1; ἑαυτούς 2, 68, 4. (Arndt.) — χρήσασθαι ὅ τι βούλονται so daß sie mit ihnen machen könnten was sie wollten, feste Formel für Ergebung auf Gnade und Ungnade. vgl. 4, 69, 3. 7, 85, 1 u. Xen. Hell. 2, 4, 37: παραδιδόασι σφᾶς αὐτοὺς Λακεδαιμονίοις χρῆσθαι ὅ τι βούλονται. Ueber den Inf. Gr. 55, 3 A. 20. Das ὅ τι hängt von χρήσασθαι ab. Gr. 56, 4 A. 1.

C. 5. § 1. ὕδωρ Regen. Gr. 61, 4 A 4.

2 βραδύτερον αὐτοὺς ἐλθεῖν· ὁ γὰρ Ἀσωπὸς ποταμὸς ἐρρύη μέγας καὶ οὐ ῥᾳδίως διαβατὸς ἦν. πορευόμενοί τε ἐν ὑετῷ καὶ τὸν ποταμὸν μόλις διαβάντες ὕστερον παρεγένοντο, ἤδη τῶν ἀνδρῶν τῶν μὲν διεφθαρμένων τῶν δὲ ζώντων ἐχομένων. ὡς δ' ᾔσθοντο οἱ Θηβαῖοι τὸ γεγενημένον, ἐπεβούλευον τοῖς ἔξω τῆς πόλεως τῶν Πλαταιῶν· ἦσαν γὰρ καὶ ἄνθρωποι κατὰ τοὺς ἀγροὺς καὶ κατασκευή, οἷα ἀπροσδοκήτου κακοῦ ἐν εἰρήνῃ γενομένου· ἐβούλοντο γὰρ σφίσιν, εἴ τινα λάβοιεν, ὑπάρχειν ἀντὶ τῶν ἔνδον, ἢν ἄρα τύχωσί τινες ἐζω-
3 γρημένοι. καὶ οἱ μὲν ταῦτα διενοοῦντο, οἱ δὲ Πλαταιῆς ἔτι διαβουλευομένων αὐτῶν ὑποτοπήσαντες τοιοῦτόν τι ἔσεσθαι καὶ δείσαντες περὶ τοῖς ἔξω κήρυκα ἐξέπεμψαν παρὰ τοὺς Θηβαίους, λέγοντες ὅτι οὔτε τὰ πεποιημένα ὁσίως δράσειαν ἐν σπονδαῖς σφῶν πειραθέντες καταλαβεῖν τὴν πόλιν, τά τε ἔξω ἔλεγον αὐτοῖς μὴ ἀδικεῖν· εἰ δὲ μή, καὶ αὐτοὶ ἔφασαν αὐτῶν τοὺς ἄνδρας ἀποκτενεῖν οὓς ἔχουσι ζῶντας· ἀναχωρησάντων δὲ πάλιν ἐκ τῆς γῆς ἀποδώσειν αὐτοῖς τοὺς ἄν-
4 δρας. Θηβαῖοι μὲν ταῦτα λέγουσι καὶ ἐπομόσαι φασὶν αὐτούς· Πλαταιῆς δ' οὐχ ὁμολογοῦσι τοὺς ἄνδρας εὐθὺς ὑποσχέσθαι ἀποδώσειν, ἀλλὰ λόγων πρῶτον γενομένων, ἤν τι ξυμβαίνωσιν, καὶ ἐπομόσαι οὔ φασιν. ἐκ δ' οὖν τῆς γῆς ἀνεχώρησαν οἱ Θηβαῖοι οὐδὲν ἀδικήσαντες· οἱ δὲ Πλαταιῆς

---

§ 2. *μέγας* ist Prädicat: er strömte hoch, wie Her. 2, 25. 8, 138 u. [Dem.] 59, 99. Ar. Lys. 1034: *ῥεῖ μου τὸ δάκρυον πολύ.* vgl. Gr. 57, 4 A. 2. — *ζώντων ἐχομένων* aus *ζῶντες εἴχοντο.* zu 1, 75, 2. vgl. Gr. 56, 15 A. 6. — *Πλαταιῶν* hängt von *τοῖς ἔξω* ab. — *ἦσαν γὰρ* bezieht sich auf *τοῖς ἔξω*, *ἐβούλοντο γάρ* auf *ἐπεβούλευον.* (Hk.) Gr. 69, 14 A. 2. — *κατασκευή* bewegliche Habe. — *οἷα* wie *ἅτε* mit dem Particip. Gr. 56, 12 A. 2. vgl. 8, 95, 1. — *κακοῦ* ohne Artikel: da ein unvorhergesehenes Unglück eingetreten war.

§ 3. *ὑποτοπεῖν*, sonst ziemlich verschollen, hat Th. auch 1, 20, 3. 56. 2, 13, 1. 3, 24, 1. 5, 31, 3. 116, 1; *ὑποτοπεύειν* 5, 35, 3. 8, 76, 1. vgl. Passows Lex. u. d. W. — *σφῶν* hängt von *πόλιν* ab. vgl. zu 1, 25, 2. — *πειραθῆναι* nur noch 2, 33, 2. 6, 92, 3; sonst gebraucht Thuc. abweichend von andern Schriftstellern *πειράσασθαι* 2, 44, 2. 85, 1. 4, 114, 4. 117, 2. 5, 69, 1. Passiv steht *πειραθῆναι* 6, 54, 3. — *τά τε ἔξω ἔλεγον.* Umgewandelte Fügung als ob vorher nicht *ὅτι οὔτε* sondern *ὅτι οὐ* stände und *ἔλεγον* mit *ἐξέπεμψαν* zu verbinden wäre. (Pp.) Aehnlich Xen. An. 2, 1, 3.

§ 4. *τι* über etwas. vgl. 4, 41, 1, *οὐδέν* 5, 36, 1, *τἆλλα* 8, 98, 2, *τὰ πλείω* 4, 117, 1. Gr. 46, 5 A. 4.

ἐπειδὴ τὰ ἐκ τῆς χώρας κατὰ τάχος ἐσεκομίσαντο, ἀπέκτειναν τοὺς ἄνδρας εὐθύς. ἦσαν δὲ ὀγδοήκοντα καὶ ἑκατὸν οἱ ληφθέντες καὶ Εὐρύμαχος εἷς αὐτῶν ἦν, πρὸς ὃν ἔπραξαν οἱ προδιδόντες.

Τοῦτο δὲ ποιήσαντες ἔς τε τὰς Ἀθήνας ἄγγελον ἔπεμπον καὶ τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν τοῖς Θηβαίοις, τά τ' ἐν τῇ πόλει καθίσταντο πρὸς τὰ παρόντα ᾗ ἐδόκει αὐτοῖς. τοῖς δ' Ἀθηναίοις ἠγγέλθη εὐθὺς τὰ περὶ τῶν Πλαταιῶν γεγενημένα, καὶ Βοιωτῶν τε παραχρῆμα ξυνέλαβον ὅσοι ἦσαν ἐν τῇ Ἀττικῇ καὶ ἐς τὴν Πλάταιαν ἔπεμψαν κήρυκα, κελεύοντες εἰπεῖν μηδὲν νεώτερον ποιεῖν περὶ τῶν ἀνδρῶν οὓς ἔχουσι Θηβαίων, πρὶν ἄν τι καὶ αὐτοὶ βουλεύσωσι περὶ αὐτῶν· οὐ γὰρ ἠγγέλθη αὐτοῖς ὅτι τεθνηκότες εἶεν. ἅμα γὰρ τῇ ἐσόδῳ γιγνομένῃ τῶν Θηβαίων ὁ πρῶτος ἄγγελος ἐξῄει, ὁ δὲ δεύτερος ἄρτι νενικημένων τε καὶ ξυνειλημμένων· καὶ τῶν ὕστερον οὐδὲν ᾔδεσαν. οὕτω δὴ οὐκ εἰδότες οἱ Ἀθηναῖοι ἐπέστελλον· ὁ δὲ κῆρυξ ἀφικόμενος εὗρε τοὺς ἄνδρας διεφθαρμένους. καὶ μετὰ ταῦτα οἱ Ἀθηναῖοι στρατεύσαντες ἐς Πλάταιαν σῖτόν τε ἐσήγαγον καὶ φρουροὺς ἐγκατέλιπον τῶν τε ἀνθρώπων τοὺς ἀχρειοτάτους ξὺν γυναιξὶ καὶ παισὶν ἐξεκόμισαν.

Γεγενημένου δὲ τοῦ ἐν Πλαταιαῖς ἔργου καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες, παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν, προσβείας τε μέλλοντες πέμπειν παρὰ βασιλέα καὶ ἄλλοσε ἐς τοὺς βαρβάρους, εἴ ποθέν τινα ὠφελίαν ἤλπιζον ἑκάτεροι προσλήψεσθαι, πόλεις τε ξυμμαχίδας ποι-

---

6

2

3

7

C. 6. § 1. πρὸς τὰ παρόντα mit Rückſicht auf die gegenwärtigen Umſtände, vgl. 6, 46, 4. — περὶ für παρά die beſten Hſn., kurz für ἠγγέλθη περὶ Πλαταιῶν τὰ περὶ Πλαταιέας γενομένα. vgl. Kr. zu Xen. An. 2, 5, 37. Doch kann γεγενημένα auch prädicativ ſtehen. Gr. 56, 7 A. 3. — περὶ τῶν ꝛc. wie 1, 58, 1; der Ac. 2, 73, 3. 4, 51. (Bl.) — οὓς Θηβαίων. Gr. 47, 9 A. 5.

C. 7. § 1. Πλαταιαί, ſonſt bei Th. im Singular, im Plural 2, 10, 1, und in mehrern z. Th. zweifelhaften Ge., wie 2, 78, 3. 3, 21, 1. 36, 1. (Pp.) — λαμπρῶς, φανερῶς, ἀναμφισβητήτως. (Sch.) vgl. zu 1, 49, 6. — μέλλοντες bezieht ſich auch auf Ἀθηναῖοι. Kr. z. Dion. p. 350, nach πολεμήσοντες nur ein Komma ſetzend. So ſchon Ba. Dafür ſpricht ἑκάτεροι. — ἑαυτῶν in einem relativen Beſtimmungsſatze, wie 2, 92, 3, Her. 1, 21 u. 8, 24. (Arndt.).

2 οὐμενοι ὅσαι ἦσαν ἐκτὸς τῆς ἑαυτῶν δυνάμεως. καὶ Λακεδαιμονίοις μὲν πρὸς ταῖς αὐτοῦ ὑπαρχούσαις ἐξ Ἰταλίας καὶ Σικελίας τοῖς τἀκείνων ἑλομένοις ναῦς ἐπετάχθησαν ποιεῖσθαι κατὰ μέγεθος τῶν πόλεων, ὡς ἐς τὸν πάντα ἀριθμὸν πεντακοσίων νεῶν ἐσομένων, καὶ ἀργύριον ἠητὸν ἑτοιμάζειν, τά τ' ἄλλα ἡσυχάζοντας καὶ Ἀθηναίους δεχομένους μιᾷ νηὶ
3 ἕως ἂν ταῦτα παρασκευασθῇ. Ἀθηναῖοι δὲ τήν τε ὑπάρχουσαν ξυμμαχίαν ἐξήταζον καὶ ἐς τὰ περὶ Πελοπόννησον μᾶλλον χωρία ἐπρεσβεύοντο, Κέρκυραν καὶ Κεφαλληνίαν καὶ Ἀκαρνᾶνας καὶ Ζάκυνθον, ὁρῶντες, εἰ σφίσι φίλια ταῦτ' εἴη βεβαίως, περιξ τὴν Πελοπόννησον καταπολεμήσοντες.
8 Ὀλίγον τε ἐπενόουν οὐδὲν ἀμφότεροι, ἀλλ' ἔρρωντο ἐς τὸν πόλεμον, οὐκ ἀπεικότως· ἀρχόμενοι γὰρ πάντες ὀξύτερον ἀντιλαμβάνονται, τότε δὲ καὶ νεότης πολλὴ μὲν οὖσα ἐν τῇ

---

§ 2. *Λακεδαιμονίοις* gehört zu *ἐπετάχθησαν* ſie, die Bundesgenoſſen, wurden von den L. beauftragt, geheißen. — *αὐτοῦ* kann doch wohl nur auf den Peloponnes, nicht, wie Hermann will, auf Italien und Sikelien bezogen, werden, freilich hiſtoriſch kaum erklärbar. — *ὑπαρχούσαις, ναυσί* aus dem flg. *ναῦς*. Plat. Phil. 58, a: *ἡ τοῦ πείθειν πολὺ διαφέρει πασῶν τεχνῶν.* — *ἐξ Ἰταλίας καὶ Σ.* verbinden Ba. u. Herm. mit *ἑλομένοις*, was doch die Stellung vor *τοῖς* in dieſer Verbindung kaum geſtattet. Die Stelle iſt ſchwerlich fehlerfrei. Das *ἐξ* iſt vielleicht eine verſchriebene Zahl: *νξ*? — *τἀκείνων* die Parthie derſelben, der Lakedämonier. Gr. 47, 5 A. 9. — *ἑλομένοις*. vgl. 3, 63, 3 und über die Sache 3, 86. (Pp.) — *ἐπετάχθη* eine Hſ. gebilligt von Py vgl. 1, 141, 1. — *ἐς τὸν πάντα ἀριθμόν* zur Geſamtzahl. Gr. 56, 11 A. 12. — *τά τ' ἄλλα* weil auch das *δέχεσθαι* eine Art von Friedensruhe war. — *ἡσυχάζοντας* als ob *ἐπετάχθη* oder *ἐπέταξαν* vorherginge. — *μιᾷ νηὶ* wenn ſie bloß mit einem Schiffe ankämen. (Ba.) vgl. 3, 71. *καταπλεόντων* iſt hinzugefügt 6, 52, 2. (Pp.).

§ 3. *ἐξήταζον, ἐδοκίμαζον.* (Sch). — *μᾶλλον* mehr als anderswohin. — *βεβαίως* iſt mit Koraes zum Vorhergehenden gezogen, da wirklich dieſe Staaten, ſchon früher befreundet, nur noch feſter ſich anſchließen ſollten. (Gö.) vgl. 4, 20, 3: *ἔξεσθαι ὑμῖν φίλους γενέσθαι βεβαίως.*

§ 8. *ὀλίγον ἐπενόουν οὐδέν, οὐδὲν μικρὸν ἐφρόνουν.* (Sch.) vgl. zu 7, 59, 2 u. Fritzſche zu Luc. Alex. p. 224. (Pp.) — *ἔρρωντο* hatten Muth und Entſchloſſenheit. vgl. § 3, 4, 72, 1. (Kr.) App. Bürg. 2, 30: *ἔρρωτο πᾶς ἀνὴρ ἐς προθυμίαν καὶ πόνους.* — *οὐκ ἀπεικότως.* zu 1, 77, 3. — *ἀντιλαμβάνονται, τῶν πραγμάτων.* Gr. 52, 1 A. 2. — *τότε δέ* für *τότε δή* Hf. et Ba. *δὲ δή*? — *νεότης.* vgl. 2, 20, 1. 6, 18, 7. So *φιλότης* die Lieben. Lyſ. 2, 35. —

Πελοποννήσῳ, πολλὴ δ' ἐν ταῖς Ἀθήναις οὐκ ἀκουσίως ὑπὸ ἀπειρίας ἥπτετο τοῦ πολέμου. ἥ τε ἄλλη Ἑλλὰς πᾶσα μετέωρος ἦν ξυνιουσῶν τῶν πρώτων πόλεων. καὶ πολλὰ μὲν 2
λόγια ἐλέγοντο, πολλὰ δὲ χρησμολόγοι ᾖδον ἔν τε τοῖς μέλλουσι πολεμήσειν καὶ ἐν ταῖς ἄλλαις πόλεσιν. ἔτι δὲ Δῆλος ἐκινήθη ὀλίγον πρὸ τούτων, πρότερον οὔπω σεισθεῖσα ἀφ' οὗ Ἕλληνες μέμνηνται· ἐλέγετο δὲ καὶ ἐδόκει ἐπὶ τοῖς μέλλουσι γενήσεσθαι σημῆναι. εἴ τέ τι ἄλλο τοιουτότροπον ξυνέβη γενέσθαι, πάντα ἀνεζητεῖτο. ἡ δὲ εὔνοια παρὰ πολὺ ἐποίει 3
τῶν ἀνθρώπων μᾶλλον ἐς τοὺς Λακεδαιμονίους, ἄλλως τε καὶ προεκήρυττον ὅτι τὴν Ἑλλάδα ἐλευθεροῦσιν. ἔρρωτό τε πᾶς καὶ ἰδιώτης καὶ πόλις εἴ τι δύναιτο καὶ λόγῳ καὶ ἔργῳ ξυνεπιλαμβάνειν αὐτοῖς· ἐν τούτῳ τε κεκωλῦσθαι ἐδόκει ἑκάστῳ τὰ πράγματα ᾧ μή τις αὐτὸς παρέσται. οὕτως ὀργῇ

ὑπὸ ἀπειρίας. παροιμία, γλυκὺς ἀπείρῳ πόλεμος. (Sch.) vgl. zu 1, 80, 1. — μετέωρος aufgeregt, geſpannt. Dorville z. Char. p. 407. — ξυνιουσῶν da ſie einander angriffen. (Ba.)

§ 2. λόγια ἐστιν τὰ παρὰ τοῦ θεοῦ (παρά του?) λεγόμενα καταλογάδην, χρησμοὶ δὲ οἵτινες ἐμμέτρως λέγονται ἐμφορουμένων τῶν λεγόντων. (Sch.) Λόγια ſind wohl überhaupt Weiſſagungen, göttliche wie menſchliche. vgl. Ar. Rt. 120. 194. 211. 797. 999 (1002 ſyn. χρησμοί) 1026. 45. 50, Eur. Her. 405. Arr. An. 2, 3. 8. 7, 16, 5. vgl. Lex. Her. — ἐλέγοντο für ἐλέγετο die beſten Hſn. vgl zu 1, 58, 1. — ταῖς μελλούσαις überſetzt Ba. — φῦπω. Ueber den Widerſpruch mit Her. 6, 98 anderswo. — χρησμολόγοι Orakelbeuter. (Hl.) vgl. Lex. Herod. und Th 2, 21, 3. 8, 1, 1. — σημῆναι, σημεῖον εἶναι. (Sch.) Her. 6, 27; φιλέει δέ κως προσημαίνειν, ὅτε ἄν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι. Bei den Attikern findet ſich das Wort ſonſt wohl nicht intranſitiv; erſt Spätere haben es wieder ſo, wie Arr. 7, 22, 3. 24, 1, App. Syr. 56, Bürg. 5, 80. — τοιουτότροπος iſt bei Attikern ſelten. vgl. 2, 13, 4. 4, 25, 4, Plat. Phädr. 240, b; bei Her. nur 7, 226.

§ 3. ἐποίει äußerte ſich für ἐπῆγε die beſten Hſn. Dieſe Bedeutung iſt freilich ſonſt bei muſtergültigen Schriftſtellern nicht nachweislich; aber Spätere haben dieſe Stelle nachgeahmt, wie App. Bürg 1, 82: ἡ εὔνοια τῶν ἀνδρῶν ἐς τοὺς ὑπάτους παρὰ πολὺ ἐποίει. — ἄλλως τε. über die Sache vgl. 2, 11, 2. — ἐλευθεροῦσιν. Das Präſens hier wohl inſofern ſchon mit den Rüſtungen an der Befreiung gearbeitet wurde. vgl. 4, 85, 1, zu 1, 69, 2 u. Kr. z. Dion. p. 327. — ξυνεπιλαμβάνειν. Ueblicher wäre das Med. (Gb.) vgl. 1, 115, 2. 3, 74 1. (Pp.) — ἐν τούτῳ in ſofern. — κεκωλῦσθαι, ἐμποδισθήσεσθαι. (Sch.) Las er etwa κεκωλύσεσθαι? Das Perfect bezeichnet wohl die Unfehlbarkeit des Eintretens. — ᾧ μή τις. vgl. 4, 14, 2. (Dr.) — ὀργῇ. ἐν ὀργῇ εἶχον 2, 18, 3. 21, 3. 65, 2. Doch ähnlich Plut. Alk. 18: ὀργῇ καὶ πόθῳ τὸ γεγονὸς λαμβάνοντες. Soph. Oed. K. 1678: ὡς μάλιστ' ἂν ἐν

εἶχον οἱ πλείους τοὺς Ἀθηναίους, οἱ μὲν τῆς ἀρχῆς ἀπολυθῆναι βουλόμενοι, οἱ δὲ μὴ ἀρχθῶσι φοβούμενοι.

9 Παρασκευῇ μὲν οὖν τοιαύτῃ καὶ γνώμῃ ὥρμηντο. πόλεις δ' ἑκάτεροι τάσδ' ἔχοντες ξυμμάχους ἐς τὸν πόλεμον καθίσταντο. Λακεδαιμονίων μὲν οἵδε ξύμμαχοι, Πελοποννήσιοι μὲν οἱ ἐντὸς Ἰσθμοῦ πάντες πλὴν Ἀργείων καὶ Ἀχαιῶν — τούτοις δ' ἐς ἀμφοτέρους φιλία ἦν· Πελληνῆς δὲ Ἀχαιῶν μόνοι ξυνεπολέμουν τὸ πρῶτον, ἔπειτα δὲ ὕστερον καὶ ἅπαν-
2 τες — ἔξω δὲ Πελοποννήσου Μεγαρῆς, Φωκῆς, Λοκροί, Βοιωτοί, Ἀμπρακιῶται, Λευκάδιοι, Ἀνακτόριοι. τούτων ναυτικὸν παρεῖχοντο Κορίνθιοι, Μεγαρῆς, Σικυώνιοι, Πελληνῆς, Ἠλεῖοι, Ἀμπρακιῶται, Λευκάδιοι, ἱππέας δὲ Βοιωτοί,
3 Φωκῆς, Λοκροί· αἱ δ' ἄλλαι πόλεις πεζὸν παρεῖχον. αὕτη Λακεδαιμονίων ξυμμαχία, Ἀθηναίων δὲ Χῖοι, Λέσβιοι, Πλαταιῆς, Μεσσήνιοι οἱ ἐν Ναυπάκτῳ, Ἀκαρνάνων οἱ πλείους, Κερκυραῖοι, Ζακύνθιοι καὶ ἄλλαι πόλεις αἱ ὑποτελεῖς οὖσαι ἐν ἔθνεσι τοσοῖσδε, Καρία ἡ ἐπὶ θαλάσσῃ, Δωριῆς Καρσὶ πρόσοικοι, Ἰωνία, Ἑλλήσποντος, τὰ ἐπὶ Θρᾴκης, νῆσοι ὅσαι ἐντὸς Πελοποννήσου καὶ Κρήτης πρὸς ἥλιον ἀνίσχοντα, πᾶσαι αἱ ἄλλαι Κυκλάδες πλὴν Μήλου καὶ Θήρας. τούτων ναυτικὸν παρεῖχοντο Χῖοι, Λέσβιοι, Κερκυραῖοι, οἱ δ' ἄλλοι πεζὸν καὶ χρήματα. ξυμμαχία μὲν αὕτη ἑκατέρων καὶ παρασκευὴ ἐς τὸν πόλεμον ἦν.

10 Οἱ δὲ Λακεδαιμόνιοι μετὰ τὰ ἐν Πλαταιαῖς εὐθὺς περιήγγελλον κατὰ τὴν Πελοπόννησον καὶ τὴν ἔξω ξυμμαχίαν στρατιὰν παρασκευάζεσθαι ταῖς πόλεσι τά τε ἐπιτήδεια οἷα εἰκὸς ἐπὶ ἔξοδον ἔκδημον ἔχειν, ὡς ἐσβαλοῦντες ἐς τὴν Ἀτ-

---

πόθῳ λάβοις. vgl. unten ὄψει λαβόντες 3, 38, 3. Valckenär zu Her. 5, 81 vermuthete ὀργῆς εἶχον οἱ πλείους ἐς τούς.

C. 9. § 1. ἔπειτα δ' ὕστερον, wie 3, 94, 1. 5, 61, 3. 5, 61, 3. 6, 66, 3. 88, 10. 7, 82, 2. So ἔπειτα μεθύστερον Ho. Hy. Art. 205. (Pp.).

§ 2. Λοκροί. Die opuntischen. vgl. 2, 32. (Pp.) — παρεῖχοντο, wie § 3. 1, 74, 1. 2, 12, 3. 98, 3. 6, 83, 1, 7, 58, 4; das Activ 1, 27, 3. 30, 2. 68, 4. 96, 1. 2, 9, 2. 3, 62, 4. 6, 31, 3. 7, 33, 4. 57, 4.

§ 3. αὕτη. μέν ist vielleicht ausgefallen. — οἱ πλείους. Ausg. nur Deniadă 2, 102, 2. 3, 94, 1. (Pp.) — Κυκλάδες verdächtigt Pp.

C. 10. § 1. περιήγγελον παρασκευάζεσθαι. zu 1, 116, 1.

τικήν. ἐπειδὴ δὲ ἑκάστοις ἑτοῖμα γίγνοιτο, κατὰ τὸν χρόνον τὸν εἰρημένον ξυνήεσαν τὰ δύο μέρη ἀπὸ πόλεως ἑκάστης ἐς τὸν Ἰσθμόν. καὶ ἐπειδὴ πᾶν τὸ στράτευμα ξυνειλεγμένον ἦν, 2
Ἀρχίδαμος ὁ βασιλεὺς τῶν Λακεδαιμονίων, ὅσπερ ἡγεῖτο τῆς ἐξόδου ταύτης, ξυγκαλέσας τοὺς στρατηγοὺς τῶν πόλεων πασῶν καὶ τοὺς μάλιστα ἐν τέλει καὶ ἀξιολογωτάτους παρεῖναι τοιάδ' ἔλεξεν.

"Ἄνδρες Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι, καὶ οἱ πα- 11
τέρες ἡμῶν πολλὰς στρατείας καὶ ἐν αὐτῇ Πελοποννήσῳ καὶ ἔξω ἐποιήσαντο καὶ αὐτῶν ἡμῶν οἱ πρεσβύτεροι οὐκ ἄπειροι πολέμων εἰσίν· ὅμως δὲ τῆσδε οὔπω μείζονα παρασκευὴν ἔχοντες ἐξήλθομεν. ἀλλὰ καὶ ἐπὶ πόλιν δυνατωτάτην νῦν ἐρχόμεθα καὶ αὐτοὶ πλεῖστοι καὶ ἄριστοι στρατεύοντες. δί- 2
καιον οὖν ἡμᾶς μήτε τῶν πατέρων χείρους φαίνεσθαι μήτε ἡμῶν αὐτῶν τῆς δόξης ἐνδεεστέρους. ἡ γὰρ Ἑλλὰς πᾶσα τῇδε τῇ ὁρμῇ ἐπῆρται καὶ προσέχει τὴν γνώμην, εὔνοιαν ἔχουσα διὰ τὸ Ἀθηναίων ἔχθος πρᾶξαι ἡμᾶς ἃ ἐπινοοῦμεν. οὔκουν χρή, εἴ τῳ καὶ δοκοῦμεν πλήθει ἐπιέναι καὶ ἀσφάλεια πολλὴ εἶναι μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους ἡμῖν διὰ μάχης, τούτου ἕνεκα ἀμελέστερόν τι παρεσκευασμένους χωρεῖν, ἀλλὰ καὶ πόλεως ἑκάστης ἡγεμόνα καὶ στρατιώτην τὸ καθ' αὑ-

---

— γίγνοιτο, der iterative Optativ, in ſofern er auf mehrere Staaten zu beziehen iſt. Gr. 65, 7 A. 5. Das Komma ſetzt man ſonſt nach εἰρημένον. — τὰ δύο μέρη. zu 1, 74, 1. Gemeint ſind unſtreitig zwei Drittheile der waffenfähigen Mannſchaft überhaupt.

§ 2. παρεῖναι. παραινῶν Kr. Denn die Conſtruction wäre beiſpiellos.

C. 11. § 1. οἱ ξύμμαχοι mit dem Vocativ verbunden, wie Xen. Ἀριαῖος καὶ οἱ ἄλλοι An. 2, 5, 39. vgl. Gr. 45, 2 A. 8. — αὐτῇ Π. Gr. 50, 11 A. 16. — μείζονα. ſechzigtauſend Hopliten nach Plut. Per. 33 u. Ariſtid. 2 p. 141, hunderttauſend Mann nach Andreton Sch. zu Soph. Oed. K. 694. — ἀλλὰ καὶ doch wie wir ſelbſt mächtig ſind, ſo ziehen wir auch. (Pv.).

§ 2. ἡμῶν αὐτῶν. Gr. 51, 2 A. 6. — ἐπῆρται iſt aufgeregt. Dem. 4, 49: τοῖς πεπραγμένοις ἐπηρμένον. — πρᾶξαι. Der Infinitiv inſofern εὔνοιαν ἔχουσα einen Wunſch andeutet. Plat. Rep. 608, a: εὖνοι ἐσόμεθα φανῆναι αὐτὴν ὡς βελτίστην. — εἶναι als οὐ δοκεῖ vorher ſtände. Umgekehrt Xen. An. 5, 9, 26. Ueber den Inf. Gr. 50, 6 A. 4. — διὰ μάχης. vgl. § 4. 4, 92, 1. Soph. Ant. 742: διὰ δίκης ἰὼν πατρί. vgl. Gr. 68, 22 A. 2. — στρατιώτην umfaßt Alle als Materialis. vgl. Gr. 44, 1 A. 2. — τὸ καθ' αὑτόν an ſeinem Theil ſeinerſeits. (Pl.).

3 τὸν ἀεὶ προσδέχεσθαι ἐς κίνδυνόν τινα ἥξειν. ἄδηλα γὰρ τὰ τῶν πολέμων, καὶ ἐξ ὀλίγου τὰ πολλὰ καὶ δι' ὀργῆς αἱ ἐπιχειρήσεις γίγνονται· πολλάκις τε τὸ ἔλασσον πλῆθος δεδιὸς ἄμεινον ἠμύνατο τοὺς πλέονας διὰ τὸ καταφρονοῦντας ἀπαρασκεύους γενέσθαι. χρὴ δὲ ἀεὶ ἐν τῇ πολεμίᾳ τῇ μὲν γνώμῃ θαρσαλέους στρατεύειν, τῷ δ' ἔργῳ δεδιότας παρασκευάζεσθαι· οὕτω γὰρ πρός τε τὸ ἐπιέναι τοῖς ἐναντίοις εὐψυχότατοι ἂν εἶεν πρός τε τὸ ἐπιχειρεῖσθαι ἀσφαλέστα-
4 τοι. ἡμεῖς δὲ οὐδ' ἐπὶ ἀδύνατον ἀμύνεσθαι οὕτω πόλιν ἐρχόμεθα, ἀλλὰ τοῖς πᾶσιν ἄριστα παρεσκευασμένην, ὥστε χρὴ καὶ πάνυ ἐλπίζειν διὰ μάχης ἰέναι αὐτούς, εἰ μὴ καὶ
5 νῦν ὥρμηνται ἐν ᾧ οὔπω πάρεσμεν, ἀλλ' ὅταν ἐπὶ τῇ γῇ ὁρῶσιν ἡμᾶς δῃοῦντάς τε καὶ τἀκείνων φθείροντας. πᾶσι γὰρ ἐν τοῖς ὄμμασι καὶ ἐν τῷ παραυτίκα ὁρᾶν πάσχοντάς τι ἄηθες ὀργὴ προσπίπτει· καὶ οἱ λογισμῷ ἐλάχιστα χρώμενοι θυμῷ πλεῖστα ἐς ἔργον καθίστανται. Ἀθηναίους δὲ καὶ πλέον τι τῶν ἄλλων εἰκὸς τοῦτο δρᾶσαι, οἳ ἄρχειν τε τῶν
6 ἄλλων ἀξιοῦσι καὶ ἐπιόντες τὴν τῶν πέλας δῃοῦν μᾶλλον ἢ τὴν ἑαυτῶν ὁρᾶν. ὡς οὖν ἐπὶ τοσαύτην πόλιν στρατεύοντες καὶ μεγίστην δόξαν οἰσόμενοι τοῖς τε προγόνοις καὶ ἡμῖν αὐ-

---

§ 3. ἐξ ὀλίγου schnell, plötzlich. (Abr.) vgl. 2, 61, 2. 4, 108, 6. 5, 64, 3. 65, 5. 72, 1. (Dr.) — τὰ πολλά mehrentheils. (Bs.) Gr. 46, 3 A. 2. — δι' ὀργῆς in Aufregung. — τοὺς πλέονας hier die an Zahl Ueberlegenen. — διὰ τὸ — γενέσθαι weil sie die Gegner verachtend sich nicht vorbereitet. — γνώμῃ in Geist und Muth. — δεδιότας, μετὰ φόβου 6, 34, 8. — εἶεν hat, die παρασκευάζεσθαι, ein unbestimmtes Subject, τινές, ἄνθρωποι. — ἐπιχειρεῖσθαι angegriffen werden.

§ 4. οὕτως, wohl richtig mit ἀδύνατον verbunden, ist etwa unser eben. — καὶ πάνυ zu 1, 3, 2. vgl. Fritzsche Quaestt. Lucc. p. 6. — εἰ μὴ καὶ νῦν für εἰ καὶ νῦν μή. vgl. 6, 60, 2 u. Schn. zu Plat. Rep. 1 p. 134. (Pp.) — ἐκεῖνος als Ggs. von ἡμεῖς, wie 6, 36, 3. vgl. 63, 2. (Arndt.)

§ 5. ἐν τοῖς — ἄηθες beim Anblick und wenn sie (irgend welche der Ihrigen) so eben Ungewohntes erdulden sehen: τῷ gehört zu ὁρᾶν: ὁρῷ πάσχων, τὸ ὁρᾶν πάσχοντας, dies als Prädicatsac. zu einem erg. ἑαυτούς. — ἐλάχιστα. zu 1, 3, 4. — πλεῖστα am häufigsten, wie πολλά § 3. Oder ist auch hiezu χρώμενοι zu denken? — πλέον τι für μᾶλλον τι, wie 5, 109 u 7, 21, 3. vgl. Gr. 49, 2 A. 5. — ὁρᾶν erg. δῃουμένην. vgl. zu 1, 78, 3.

§ 6. τοσαύτην eine so mächtige. — δόξαν voc. med. Ruhm oder Schande, wegen ἐπ' ἀμφότερα, d. h καὶ εὐκλείας καὶ δυσκλείας. (Sch.) — τοῖς προγόνοις als würdige oder unwürdige

τοῖς ἐπ' ἀμφότερα ἐκ τῶν ἀποβαινόντων, ἕπεσθ' ὅπῃ ἄν τις ἡγῆται, κόσμον καὶ φυλακὴν περὶ παντὸς ποιούμενοι καὶ τὰ παραγγελλόμενα ἀξέως δεχόμενοι· κάλλιστον γὰρ τόδε καὶ ἀσφαλέστατον, πολλοὺς ὄντας ἑνὶ κόσμῳ χρωμένους φαίνεσθαι."

Τοσαῦτα εἰπὼν καὶ διαλύσας τὸν ξύλλογον ὁ Ἀρχίδα- 12
μος Μελήσιππον πρῶτον ἀποστέλλει ἐς τὰς Ἀθήνας τὸν Λιακρίτου, ἄνδρα Σπαρτιάτην, εἴ τι ἄρα μᾶλλον ἐνδοῖεν οἱ Ἀθηναῖοι ὁρῶντες ἤδη σφᾶς ἐν ὁδῷ ὄντας. οἱ δὲ οὐ προσεδέξαντο αὐτὸν ἐς τὴν πόλιν οὐδ' ἐπὶ τὸ κοινόν· ἦν γὰρ 2
Περικλέους γνώμη πρότερον νενικηκυῖα κήρυκα καὶ πρεσβείαν μὴ προσδέχεσθαι Λακεδαιμονίων ἐξεστρατευμένων· ἀποπέμπουσιν οὖν αὐτὸν πρὶν ἀκοῦσαι καὶ ἐκέλευον ἐκὸς ὅρων εἶναι αὐθημερόν, τό τε λοιπὸν ἀναχωρήσαντας ἐπὶ τὰ σφέτερα αὐτῶν, ἤν τι βούλωνται, πρεσβεύεσθαι. ξυμπέμπουσί τε τῷ Μελησίππῳ ἀγωγούς, ὅπως μηδενὶ ξυγγένηται. ὁ δ' ἐπειδὴ 3
ἐπὶ τοῖς ὁρίοις ἐγένετο καὶ ἔμελλε διαλύσεσθαι, τοσόνδε εἰπὼν ἐπορεύετο ὅτι ἥδε ἡ ἡμέρα τοῖς Ἕλλησι μεγάλων κακῶν ἄρξει. ὡς δὲ ἀφίκετο ἐς τὸ στρατόπεδον καὶ ἔγνω ὁ Ἀρχίδαμος ὅτι οἱ Ἀθηναῖοι οὐδέν πω ἐνδώσουσιν, οὕτω δὴ ἄραις.

Nachkommen. — *κόσμος* gebrauchen Her. u. Thuk. von militäriſcher Ordnung. vgl. 2, 89, 7. 4, 126, 6. 5, 66, 2. Nicht ſo Xen. — *ὀξέως δέχεσθαι* iſt der techniſche Ausdruck von prompter Befolgung militäriſcher Befehle. vgl. Arr. An. 1, 6, 2. Dem. 19, 185 p. 399: (*ἐν ταῖς μοναρχίαις*) *πάντ' ἐξ ἐπιτάγματος ὀξέως γίγνεται.* Aehnlich unten 6, 34, 4 *ὀξέως πείθεσθαι.*

C. 12. § 1. *τὸν Δ.* Gr. 57, 9 A. 1. vgl. 3, 35, 1. 4, 90, 1. — *εἰ οὐ*, inſofern *ἀποστέλλει* einen Verſuch einſchließt. vgl. 2, 67, 1. 3, 4, 3. (Gb.) Gr. 65, 1 A. 10. — *τι* gehört zu *ἐνδοῖεν*. vgl. § 3. 18, 3. 4, 104, 3. 6, 78, 4. — *μᾶλλον* als früher 1, 139, 3. (Pv.) — *τὸ κοινόν*. zu 1, 90, 4.

§ 2. *γνώμη* ohne Artikel, wie 1, 53, 2. 6, 47, 1. (Pv.) Eig. ſo doch iſt die Bedeutung: es war eine Meinung des P. — *ἐκτὸς ὅρων*. Gr. 50, 2 A. 15. — *μηδενί*. Aus Vorſicht gegen ariſtokratiſche Umtriebe.

§ 3. *διαλύεσθαι, ἀφίστασθαι τῶν ἀγωγῶν.* (Sch.) So *διαλύεσθαι ἐκ τοῦ συλλόγου* Her. 3, 73; *ἐκ τοῦ συνεδρίου* 8, 56. — *τοσόνδε*. Gr. 25, 10 A. 5 (2.) — *κακῶν ἄρξει*. Ar. Friede 435: *σπένδοντες εὐχώμεσθα τὴν νῦν ἡμέραν Ἕλλησιν ἄρξαι πᾶσι πολλῶν κἀγαθῶν.* vgl. Valck. Her. 5, 97. (Gb.) Xen. Hell. 2, 2, 23: *νομίζοντες ἐκείνην τὴν ἡμέραν τῇ Ἑλλάδι ἄρχειν τῆς ἐλευθερίας.* — *πω* ſteht nur ſcheinbar mit dem Fu.: ſie ſeien noch nicht bewogen nachzuge-

τῷ στρατῷ προυχώρει ἐς τὴν γῆν αὐτῶν. Βοιωτοὶ δὲ μέρος μὲν τὸ σφέτερον καὶ τοὺς ἱππέας παρείχοντο Πελοποννησίοις ξυστρατεύειν, τοῖς δὲ λειπομένοις ἐς Πλάταιαν ἐλθόντες γῆν ἔδῃουν.

13 Ἔτι δὲ τῶν Πελοποννησίων ξυλλεγομένων τε ἐς τὸν Ἰσθμὸν καὶ ἐν ὁδῷ ὄντων, πρὶν ἐσβαλεῖν ἐς τὴν Ἀττικήν, Περικλῆς ὁ Ξανθίππου στρατηγὸς ὢν Ἀθηναίων δέκατος αὐτός, ὡς ἔγνω τὴν ἐσβολὴν ἐσομένην, ὑποτοπήσας, ὅτι Ἀρχίδαμος αὐτῷ ξένος ὢν ἐτύγχανε, μὴ πολλάκις ἢ αὐτὸς ἰδίᾳ βουλόμενος χαρίζεσθαι τοὺς ἀγροὺς αὐτοῦ παραλίπῃ καὶ μὴ δῃώσῃ ἢ καὶ Λακεδαιμονίων κελευσάντων ἐπὶ διαβολῇ τῇ ἑαυτοῦ γένηται τοῦτο, ὥσπερ καὶ τὰ ἄγη ἐλαύνειν προεῖπον ἕνεκα ἐκείνου, προηγόρευε τοῖς Ἀθηναίοις ἐν τῇ ἐκκλησίᾳ ὅτι Ἀρχίδαμος μέν οἱ ξένος εἴη, οὐ μέντοι ἐπὶ κακῷ
2 γε τῆς πόλεως γένοιτο· τοὺς δ' ἀγροὺς τοὺς ἑαυτοῦ καὶ οἰκίας ἢν ἄρα μὴ δῃώσωσιν οἱ πολέμιοι ὥσπερ καὶ τὰ τῶν ἄλλων, ἀφίησιν αὐτὰ δημόσια εἶναι· καὶ μηδεμίαν οἱ ὑποψίαν κατὰ ταῦτα γίγνεσθαι. παρῄνει δὲ καὶ περὶ τῶν παρόντων ἅπερ καὶ πρότερον, παρασκευάζεσθαί τε ἐς τὸν πόλεμον καὶ τὰ ἐκ τῶν ἀγρῶν ἐσκομίζεσθαι, ἔς τε μάχην μὴ ἐπεξιέναι, ἀλλὰ τὴν πόλιν ἐσελθόντας φυλάσσειν, καὶ τὸ ναυτικόν, ᾗπερ ἰσχύουσιν, ἐξαρτύεσθαι, τά τε τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν, λέγων τὴν ἰσχὺν αὐτοῖς ἀπὸ τούτων εἶναι

---

ben. — μέρος τὸ σφέτερον ihr Contingent, zwei Drittel 2, 10, 1. — τοῖς λειπομένοις mit den Zurückbleibenden. vgl. 1, 34, 1. 5, 114.

C. 13. § 1. μή ſteht eben ſo 3, 53, 2, nach ὑπόνοια 7, 49, 4, nach ὕποπτος 6, 75, 3, προσδοκία 2, 93, 2. 5, 14, 2. vgl. Gr. 54, 8 A. 10. — πολλάκις etwa, wohl nur ſo nach εἴ, ἐάν, μή, ἵνα μή vgl. Heind. zu Plat. Phäd. 11, ſcheint urſprünglich anzudeuten: wie bei gleichen ja oft vorkommt. vgl. Buttm. Ind. ad Men. — αὐτοῦ. Andere αὑτοῦ oder ἑαυτοῦ. — μή wo man οὔ erwarten würde. Aehnlich Xen. Mem. 1, 2, 7. (Bellermann.) — προεῖπον 1, 127, 1. — Ἀρχίδαμος. Eine ähnliche Liſt des Hannibal bei Liv. 22, 23.

§ 2. ἀφίησιν iſt noch an ὅτι anzuſchließen. (Ar.) — εἶναι. Gr. 55, 3 A. 20. Dem. 29, 25: ἀφεθέντα τοῦτον ἐλεύθερον εἶναι. vgl. App. Mak. 9, 7, 2 u. Arr. An. 1, 17, 4. — γίγνεσθαι hängt von προηγόρευε ab, das hiezu in dem Sinne von ἐκέλευε zu denken iſt. vgl. zu 1, 28, 3. Andre ergänzen dies aus ἀφίησιν. Möglich daß παρῄνει vor παρῄνει ausgefallen. vgl. 5, 38, 2. 4. — πρότερον 1, 143 f. — ᾗπερ zu 1, 142, 2. — διὰ χειρὸς ἔχειν ſorglich zu handhaben, in

τῶν χρημάτων τῆς προσόδου, τὰ δὲ πολλὰ τοῦ πολέμου γνώμῃ καὶ χρημάτων περιουσίᾳ κρατεῖσθαι. θαρσεῖν τε ἐκέ- 3
λευε προσιόντων μὲν ἑξακοσίων ταλάντων ὡς ἐπὶ τὸ πολὺ φόρου κατ' ἐνιαυτὸν ἀπὸ τῶν ξυμμάχων τῇ πόλει ἄνευ τῆς ἄλλης προσόδου, ὑπαρχόντων δ' ἐν τῇ ἀκροπόλει ἔτι τότε ἀργυρίου ἐπισήμου ἑξακισχιλίων ταλάντων — τὰ γὰρ πλεῖστα τριακοσίων ἀποδέοντα μύρια ἐγένετο, ἀφ' ὧν ἔς τε τὰ προπύλαια τῆς ἀκροπόλεως καὶ τἆλλα οἰκοδομήματα καὶ ἐς Ποτίδαιαν ἀπανηλώθη — χωρὶς δὲ χρυσίου ἀσήμου καὶ ἀργυ- 4
ρίου ἔν τε ἀναθήμασιν ἰδίοις καὶ δημοσίοις καὶ ὅσα ἱερὰ σκεύη περί τε τὰς πομπὰς καὶ τοὺς ἀγῶνας καὶ σκῦλα Μηδικὰ καὶ εἴ τι τοιουτότροπον, οὐκ ἐλάσσονος [ἦν] ἢ πεντακοσίων ταλάντων. ἔτι δὲ καὶ τὰ ἐκ τῶν ἄλλων ἱερῶν προσεπίθει χρήματα οὐκ ὀλίγα, οἷς χρήσεσθαι αὐτούς, καὶ ἦν

Obhut zu haben, δι' ἐπιμελείας, ἵνα μὴ ἀποσιῶσι. (Sch.) Ariſtot. Polit. 5, 7, 5: φοβούμενοι διὰ χειρῶν ἔχουσι μᾶλλον τὴν πολιτείαν. (St.) vgl. Sintenis z. Plut. Per. 34. Unten 8, 1, 4: τὰ τῶν ξυμμάχων ἐς ἀσφάλειαν ποιεῖσθαι. — ἀπό gehört zu τῆς προσόδου. (Ba.) vgl. 6, 33, 1, zu 1, 9, 3 u. z. Dion. p. 196. — τούτων der von den Bundesgenoſſen geſteuerten. vgl. 1, 122, 1. 3, 13, 5. (Pp.) — τὰ πολλὰ κρατεῖσθαι das Meiſte werde erſiegt, in den meiſten Fällen ſiege man.

§ 3. ὡς ἐπὶ τὸ πολύ. zu 1, 12, 1. — φόρου. materialer Ge. von ταλάντων regiert, wie bald ἀργυρίου. Gr. 47, 8. — τῇ πόλει gehört zu προσιόντων. (Ba.) Ueber die Sache Manſo Sparta 2 S. 398 ff. u. Böckh Staatsh. S. 430 — ἐπισήμου gemünztes. — τὰ πλεῖστα ἐγένετο die größte Summe (d. h. zur Zeit wo am Meiſten da war) belief ſich auf. (Pp.) Aehnlich πλεῖστον 2, 57. — μύρια ohne Abzug Iſokr. 8, 69. (vgl. 126) 15, 234, Dem. 3, 24, Diod. 12, 40. vgl. Böckh. Staatsh. S. 475 f. — ἐς Π. 1, 56 ff. — ἀπανηλώθη es wurden davon Ausgaben gemacht, ohne Subject wie manche Tranſitive ohne Object. vgl. zu 1, 6, 4. Ueber die Sache 3, 17 u. Böckh Staatsh. S. 312.

§ 4. σκῦλα M., τὸν ἀργυρόπουν θρόνον (des Xerxes) καὶ τὸν ἀκινάκην τὸν χρυσοῦν (des Mardonios). (Sch.) vgl. Stanley zu Aeſch. Perſ. 464 Schütz. (Pp.) — ἐλάσσονος. ἔλασσον vermuthet St., ἦν tilgt Abr., conſtruirend ὑπάρχοντος (aus § 3) χρυσίου — οὐκ ἐλάσσονος. — ἱερά heilige Sachen, wie Xen. Hell. 1, 7, 22 und App. 2, 613, 1: τά τε κοινὰ ἀπεδίδοντο πάντα καὶ τὰ ἱερὰ ἐπὶ τοῖς κοινοῖς, ὅσα εἶχον ἐς πομπὰς ἢ ἀναθήματα, ἔκοπτον. (Bl.) Iſokr. 8, 126: ὀκτακόσια τάλαντα χωρὶς τῶν ἱερῶν. — οἷς χρήσεσθαι. vgl. Gr. 55, 4 A. 9. Ueber die Sache Böckh Staatsh. S. 479 f. — καί vor ἦν verbindet οἷς und χρυσίους: und — auch, ſelbſt — des Goldes könnten ſie ſich be-

πάνυ ἐξειργωνται πάντων, καὶ αὐτῆς τῆς θεοῦ τοῖς περικει-
5 μένοις χρυσίοις· ἀπέφαινε δ' ἔχον τὸ ἄγαλμα τεσσαράκοντα
τάλαντα σταθμὸν χρυσίου ἀπέφθου καὶ περιαιρετὸν εἶναι
ἅπαν. χρησαμένους τε ἐπὶ σωτηρίᾳ ἔφη χρῆναι μὴ ἐλάσσω
ἀντικαταστῆσαι πάλιν. χρήμασι μὲν οὖν οὕτως ἐθάρσυνεν
αὐτούς· ὁπλίτας δὲ τρισχιλίους καὶ μυρίους εἶναι ἄνευ τῶν
ἐν τοῖς φρουρίοις καὶ τῶν παρ' ἔπαλξιν ἑξακισχιλίων καὶ
6 μυρίων. τοσοῦτοι γὰρ ἐφύλασσον τὸ πρῶτον ὁπότε οἱ πο-
λέμιοι ἐσβάλοιεν, ἀπό τε τῶν πρεσβυτάτων καὶ τῶν νεωτά-
των, καὶ μετοίκων ὅσοι ὁπλῖται ἦσαν. τοῦ τε γὰρ Φαληρι-
κοῦ τείχους στάδιοι ἦσαν πέντε καὶ τριάκοντα πρὸς τὸν κύ-
κλον τοῦ ἄστεος καὶ αὐτοῦ τοῦ κύκλου τὸ φυλασσόμενον
τρεῖς καὶ τεσσαράκοντα· ἔστι δὲ αὐτοῦ ᾧ καὶ ἀφύλακτον ἦν,
τὸ μεταξὺ τοῦ τε μακροῦ καὶ τοῦ Φαληρικοῦ· τὰ δὲ μακρὰ
τείχη πρὸς τὸν Πειραιᾶ τεσσαράκοντα σταδίων, ὧν τὸ ἔξω-
θεν ἐτηρεῖτο, καὶ τοῦ Πειραιῶς ξὺν Μουνυχίᾳ ἑξήκοντα μὲν
σταδίων ὁ ἅπας περίβολος, τὸ δ' ἐν φυλακῇ ὂν ἥμισυ τού-

---

dienen. — πάντων von allen Abgaben der Bundesgenoſſen und Einkünften. (Kiſt.) — τῆς θεοῦ des Standbildes der Athene. Ueber die Sache Sintenis zu Plut. Per. 31 u. Müller Phid. p. 33.

§ 5. τάλαντα iſt Prädicat. Gr. 60, 2 A. 2. vgl. 8, 95, 2. — ἀπέφθου, πολλάκις ἑψηθέντος ὥστε γενέσθαι ὄβρυζον. (Sch.) vgl. Lenney z. Phal. 106 und Schweigh. zu Her. 1, 50. — περιαιρετόν das Standbild ſei abnehmbar, d. h. der goldene Schmuck könne von ihm abgenommen werden. vgl. Diod. 12, 40 u. Plut. Per. 31. — χρήμασι durch die, rückſichtlich der Geldmittel. — ὁπλίτας. Böckh Staatsh. S. 279. — εἶναι, von einem aus ἐθάρσυνε zu entnehmenden εἶπεν abhängig. Gr. 65, 11 A. 7. — τῶν παρ' ἔπαλξιν der längs der Zinnen hin aufgeſtellten; der Singular auch 7, 28, 2 u. Ar. Ach. 72, indem man ſich die regelmäßig fortlaufenden Zinnen als ein Ganzes dachte. (Kr.)

§ 6. ὅσοι, nämlich die Reichſten wie gewiß auch die ἱππεῖς. Böckh C. Inscr. 1 p. 306. (Pp.) — στάδιοι ἦσαν. Gr. 53, 2 A. 4. vgl. Kr. L. des Th. S. 73. — πέντε καὶ τριάκοντα. Die gerade Entfernung des nächſten Küſtenpunctes Phalerons betrug nur zwanzig Stadien. Pauſ. 8, 10, 3. — κύκλος Ringmauer. vgl. Iſokr. 18, 45. — ἔστιν ſcheinbar für ἦν; allein die Bedeutung des Tempus iſt erloſchen, weil ἔστιν ὅ ſo v. a. μέρος τι iſt. (St.) Gr. 61, 5 A. 3. — σταδίων. In einer ſolchen Verbindung kann ἐστίν, ἦν nicht ſchlechtweg fehlen. Es iſt alſo ἦν aus ἦσαν nach στάδιοι zu ergänzen, wie auch bei περίβολος, indem der Satz ἔστι δὲ ꝛc. parenthetiſch iſt und nach Φαληρικοῦ und ἐτηρεῖτο verwirrend ein Punct geſetzt wird. Ueber die Mauern Kr. Stud. 166 ff. — τὸ ἔξωθεν die nördliche. vgl. zu 1, 93, 3. — ἦν nach ὅν fehlt in guten Hſn.

του. ἱππέας δ' ἀπέφαινε διακοσίους καὶ χιλίους ξὺν ἱππο- 7
τοξόταις, ἑξακοσίους δὲ καὶ χιλίους τοξότας καὶ τριήρεις τὰς
πλωίμους τριακοσίας. ταῦτα γὰρ ὑπῆρχεν Ἀθηναίοις καὶ οὐκ
ἐλάσσω ἕκαστα τούτων ὅτε ἡ ἐσβολὴ τὸ πρῶτον ἔμελλε
Πελοποννησίων ἔσεσθαι καὶ ἐς τὸν πόλεμον καθίσταντο. ἔλεγε
δὲ καὶ ἄλλα οἷάπερ εἰώθει Περικλῆς ἐς ἀπόδειξιν τοῦ περι-
έσεσθαι τῷ πολέμῳ.

Οἱ δὲ Ἀθηναῖοι ἀκούσαντες ἀνεπείθοντό τε καὶ ἐσεκο- 14
μίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας καὶ τὴν ἄλλην
κατασκευὴν ᾗ κατ' οἶκον ἐχρῶντο, καὶ αὐτῶν τῶν οἰκιῶν κα-
θαιροῦντες τὴν ξύλωσιν· πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὴν
Εὔβοιαν διεπέμψαντο καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας.
χαλεπῶς δὲ αὐτοῖς διὰ τὸ ἀεὶ εἰωθέναι τοὺς πολλοὺς ἐν τοῖς
ἀγροῖς διαιτᾶσθαι ἡ ἀνάστασις ἐγίγνετο. ξυνεβεβήκει δὲ 15
ἀπὸ τοῦ πάνυ ἀρχαίου ἑτέρων μᾶλλον Ἀθηναίοις τοῦτο. ἐπὶ
γὰρ Κέκροπος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θη-
σέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο πρυτανεῖά τε ἔχουσα καὶ ἄρχον-
τας, καὶ ὁπότε μή τι δείσειαν, οὐ ξυνήεσαν βουλευσόμενοι
ὡς τὸν βασιλέα, ἀλλ' αὐτοὶ ἕκαστοι ἐπολιτεύοντο καὶ ἐβου-
λεύοντο· καί τινες καὶ ἐπολέμησάν ποτε αὐτῶν, ὥσπερ καὶ 2
Ἐλευσίνιοι μετ' Εὐμόλπου πρὸς Ἐρεχθέα. ἐπειδὴ δὲ Θη-
σεὺς ἐβασίλευσε, γενόμενος μετὰ τοῦ ξυνετοῦ καὶ δυνατὸς τά

---

§ 7. διακοσίους καὶ χιλίους. Nur tauſend nennt Ar. Ritter 225, vielleicht die ἱπποτοξότας nicht mit rechnend. (Schneider zu Xen. ἱππρ. 9, 4).

C. 14. ἄλλην. Gr. 50, 4 A. 11. — ξύλωσιν Holzwerk. (Gb.) ἰδία λέξις τοῦ Θουκυδίδου αὕτη. (Sch.) erſt von Spätern nachgebraucht. Xen. An. 2, 2, 16: διήρπαστο καὶ αὐτὰ τὰ ἀπὸ τῶν οἰκιῶν ξύλα. wo auch καὶ αὐτά ſogar ſelbſt ſo wie hier ſteht. — διεπέμψαντο. Gr. 52, 10 A. 8. — χαλεπῶς mit Schwierigkeit und Widerwillen. — ἀνάστασις ſelten in dieſem Sinne findet ſich ſo bei Her. 9, 106, Dio C. u. App. (Bl.).

C. 15. § 1. ἑτέρων. zu 1, 85, 2. — τοῦτο, τὸ ἐν ἀγροῖς δίαιταν ἔχειν. (Sch.) — κατά. zu 1, 10, 3. — πόλεις, zwölf nach Strabo 9 p. 609 u. Steph. Byz. p. 42. (Gb.) — ἐχούσας Bl. u. Hier. Müller. Man ziehe κατὰ πόλεις zu ἔχουσα. — ἐπολιτεύοντο. Gr. 52, 8 A. 7.

§ 2. ὥσπερ καί wie ſowohl andre als auch. Ueber den ſog. eleuſiniſchen Krieg ſ. Gottleber zu Plat. Menex. 9. — ἐβασίλευσε. Gr. 53, 5 A. 1. — μετὰ τοῦ ξυνετοῦ neben der Einſicht. —

τε ἄλλα διεκόσμησε τὴν χώραν καὶ καταλύσας τῶν ἄλλων πόλεων τά τε βουλευτήρια καὶ τὰς ἀρχὰς ἐς τὴν νῦν πόλιν οὖσαν ἓν βουλευτήριον ἀποδείξας καὶ πρυτανεῖον ξυνῴκισε πάντας, καὶ νεμομένους τὰ αὑτῶν ἑκάστους ἅπερ καὶ πρὸ τοῦ ἠνάγκασε μιᾷ πόλει ταύτῃ χρῆσθαι, ἣ ἁπάντων ἤδη ξυντελούντων ἐς αὐτὴν μεγάλη γενομένη παρεδόθη ὑπὸ Θησέως 3 τοῖς ἔπειτα. καὶ ξυνοίκια ἐξ ἐκείνου Ἀθηναῖοι ἔτι καὶ νῦν τῇ Θεῷ ἑορτὴν δημοτελῆ ποιοῦσιν. τὸ δὲ πρὸ τούτου ἡ ἀκρόπολις ἡ νῦν οὖσα πόλις ἦν καὶ τὸ ὑπ' αὐτὴν πρὸς νότον μάλιστα τετραμμένον. τεκμήριον δέ· τὰ γὰρ ἱερὰ ἐν αὐτῇ τῇ ἀκροπόλει καὶ ἄλλων θεῶν ἐστι καὶ τὰ ἔξω πρὸς τοῦτο τὸ μέρος τῆς πόλεως μᾶλλον ἵδρυται, τό τε τοῦ Διὸς τοῦ Ὀλυμπίου καὶ τὸ Πύθιον καὶ τὸ τῆς Γῆς καὶ τὸ ἐν Λίμναις Διονύσου, ᾧ τὰ ἀρχαιότερα Διονύσια τῇ δωδεκάτῃ ποιεῖται ἐν μηνὶ Ἀνθεστηριῶνι, ὥσπερ καὶ οἱ ἀπ' Ἀθηναίων Ἴωνες ἔτι καὶ νῦν νομίζουσιν. ἵδρυται δὲ καὶ ἄλλα ἱερὰ 4 ταύτῃ ἀρχαῖα. καὶ τῇ κρήνῃ τῇ νῦν μὲν τῶν τυράννων οὕτω σκευασάντων Ἐννεακρούνῳ καλουμένῃ, τὸ δὲ πάλαι φανερῶν τῶν πηγῶν οὐσῶν Καλλιρρόῃ ὠνομασμένῃ, ἐκείνῃ τε ἐγγὺς οὔσῃ τὰ πλείστου ἄξια ἐχρῶντο καὶ νῦν ἔτι ἀπὸ τοῦ ἀρχαίου

καταλύσας ἐς. Gr. 68, 21 A. 4. — ταύτῃ. Gr. 61, 7 A. 1. — ξυνῴκισε nicht in wohnlicher, sondern in ſtaatlicher Beziehung. (Sch.) — πόλει iſt Prädicat: dieſer als der einzigen Stadt. — ξυντελεῖν der eigentliche Ausdruck von ſtaatlicher Genoſſenſchaft, wohl mit τὰ τέλη (zu 1, 10, 6) zuſammenhängend. vgl. 4, 76, 2.

§ 3. ξυνοίκια heißen ſie auch bei Steph. Byz. p. 42. (Gk.) Plut. Theſ. 24: μετοίκια τῇ ἕκτῃ ἐπὶ δέκα τοῦ Ἑκατομβαιῶνος ἔτι νῦν θύουσιν. (Hudſ.) Ueber ξυνοίκια ἑορτήν. Gr. 60, 2 A. 2. — δημοτελῆ εἰς ἃ θύματα δίδωσιν ἡ πόλις, δημοτικὰ δὲ εἰς ἃ ὁ δῆμος (οἱ δῆμοι). Heſych. vgl. Böckh. Staatshaush. 1 S. 228. — μάλιστα zumeiſt, wenn gleich einem geringen Theile nach auch andern Himmelsgegenden zugewendetes. (Pp.) — καὶ ἄλλων als der Athene. — τό τε τοῦ Διός — vgl. Forchhammers Topogr. von Athen S. 94 ff. — τὰ ἀρχαιότερα Δ., die Antheſterien, eig. drei Tage dauernd, den 11 — 13 Antheſterion. Wachsm. Hell. Alterthumsk. 2, 2 S. 255. 286. — τῇ δωδεκάτῃ. So auch [Dem.] 59, 7. Vielleicht weil dies der Haupttag war vorzugsweiſe angegeben. — οἱ ἀπ' Ἀ., οἱ ἄποικοι τῶν Ἀ. (Sch.) vgl. 7, 57, 4. (Pp.) — νομίζουσιν. zu 1, 77, 4.

§ 4. τῶν τυράννων, τῶν Πεισιστρατιδῶν. (Sch.) vgl. Paus. 1, 14, 1. — φανερῶν als ſie noch offen lagen, vor der Verbauung durch die Tyrannen. (Hemſterh.) — τῶν πηγῶν, τῶν ἀναδόσεων τοῦ ὕδατος.

πρό τε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι. καλεῖται δὲ διὰ τὴν παλαιὰν ταύτῃ κατοίκησιν καὶ ἡ ἀκρόπολις μέχρι τοῦδε ἔτι ὑπ' Ἀθηναίων πόλις. τῇ τε16 οὖν ἐπὶ πολὺ κατὰ τὴν χώραν αὐτονόμῳ οἰκήσει μετεῖχον οἱ Ἀθηναῖοι καὶ ἐπειδὴ ξυνῳκίσθησαν, διὰ τὸ ἔθος ἐν τοῖς ἀγροῖς ὅμως οἱ πλείους ἰῶν ἀρχαίων καὶ τῶν ὕστερον μέχρι τοῦδε τοῦ πολέμου πανοικησίᾳ γενόμενοί τε καὶ οἰκήσαντες οὐ ῥᾳδίως τὰς μεταναστάσεις ἐποιοῦντο, ἄλλως τε καὶ ἄρτι ἀνειλημμένοι τὰς κατασκευὰς μετὰ τὰ Μηδικά· ἐβαρύνοντο δὲ καὶ χαλεπῶς ἔφερον οἰκίας τε καταλιπόντες καὶ ἱερά, ἃ διὰ παντὸς ἦν αὐτοῖς ἐκ τῆς κατὰ τὸ ἀρχαῖον πολιτείας πάτρια, δίαιταν τε μέλλοντες μεταβάλλειν καὶ οὐδὲν ἄλλο ἢ πόλιν τὴν αὑτοῦ ἀπολείπων ἕκαστος.

(Sch.) Nachweiſungen bei Fiſcher Ind. z. Aeſch. in Καλλιρρόη. — καὶ ἐς ἄλλα. καὶ γὰρ ὁ γάμος ἱερός. (Sch.) — τῷ, τῷ τῆς Καλλιρρόης. (Ba.) — ἐκείνῃ nimmt nach Pp. den Begriff κρήνῃ wieder auf, ein Gebrauch der bei οὗτος eben ſo gewöhnlich wie bei ἐκεῖνος ſelten iſt. Etwas verſchieden iſt ὅς — ἐκεῖνος Xen. R. Lak. 10, 4 u. Xen. Cyr. 6, 2, 33: ὁ τὴν λόγχην ἀκονῶν, ἐκεῖνος καὶ τὴν ψυχὴν τι παρακονᾷ. Anſtößig iſt dabei auch die Stellung des τέ. Der Sch. mag, was auch Hk. conjicirte, ἐκείνης geleſen haben: τῆς ἀκροπόλεως δηλονότι; Bk. vermuthet ἐκεῖνοι, was er jetzt aufgenommen hat. Jedenfalls ſteht τέ mit καί vor νῦν in Bezug. — τὰ πλείστου ἄξια ſo v. a. τὰς πλείστου ἀξίας χρήσεις. vgl. zu 1, 3, 4. Gemeint ſind Feſte u. ä. — γαμικά Hochzeitsfeier. (St.) So zu den νυμφικοῖς λουτροῖς. Poll. 3, 43. (Hudſ.) — πόλις. vgl. 5, 18, 10, Ar. Lyſ. 245. 487, Plut. Pel. 18 u. Sch. Aeſch. g. Tim. p. 117.

C. 16. οὖν. ἐπανάληψις von K. 14. (Sch.) — οἰκήσει. Pp. vergleicht Stellen wie Dem. 18, 58: κοινωνεῖν ἡγοῦμαι καὶ τοῦτο τοῖς πεπολιτευμένοις. Aber der Unterſchied iſt bedeutend: es ſteht hier weder πρᾶγμα μετέχειν πράγματι, noch ἀνὴρ ἀνδρί. Seltſam ergänzt Matth. § 325 A. 2 τῆς πόλεως zu μετεῖχον. Dobree vermuthet ἐπῆχον. Vielleicht iſt etwas ausgefallen. — πανοικησίᾳ καὶ οὐ πανοικίᾳ λέγεται. (Sch.) Doch wurde ſpäter das letztere auch bei Attikern üblich. Lobeck z. Phrym. p. 514 s. — γενόμενοι geboren Pp., wogegen πανοικησίᾳ ſpricht. Warum nicht da ſie ſich aufgehalten καὶ οἰκήσαντες und eingewohnt? — οὐ ῥᾳδίως, χαλεπῶς 14. vgl. 7, 73, 2 — μεταναστάσεις Umſiedelungen mit Aufgebung der frühern Wohnorte. — ἄρτι wie nuper vor nicht ſehr langer Zeit. — ἀνειλημμένοι da ſie wieder gewonnen, wiederhergeſtellt hatten. — κατασκευάς häusliche Einrichtungen und Habe, zum Comfort gehörig oder Anlagen, wie 1, 10, 2. — πάτρια. Schömann z. Iſä. p. 218. — οὐδὲν ἄλλο. Gr. 62, 3 A. 7. vgl. 4, 14, 3. 7, 75, 4.

17 Ἐπειδή τε ἀφίκοντο ἐς τὸ ἄστυ, ὀλίγοις μέν τισιν ὑπῆρχον οἰκήσεις καὶ παρὰ φίλων τινὰς ἢ οἰκείων καταφυγή, οἱ δὲ πολλοὶ τά τε ἑρῆμα τῆς πόλεως ᾤκησαν καὶ τὰ ἱερὰ καὶ τὰ ἡρῷα πάντα πλὴν τῆς ἀκροπόλεως καὶ τοῦ Ἐλευσινίου καὶ εἴ τι ἄλλο βεβαίως κλῃστὸν ἦν· τό τε Πελασγικὸν καλούμενον τὸ ὑπὸ τὴν ἀκρόπολιν, ὃ καὶ ἐπάρατόν τε ἦν μὴ οἰκεῖν καί τι καὶ Πυθικοῦ μαντείου ἀκροτελεύτιον τοιόνδε διεκώλυε, λέγον ὡς τὸ Πελασγικὸν ἀργὸν ἄμεινον, ὅμως ὑπὸ
2 τῆς παραχρῆμα ἀνάγκης ἐξῳκήθη. καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι ἢ προσεδέχοντο· οὐ γὰρ διὰ τὴν παράνομον ἐνοίκησιν αἱ ξυμφοραὶ γενέσθαι τῇ πόλει, ἀλλὰ διὰ τὸν πόλεμον ἡ ἀνάγκη τῆς οἰκήσεως, ὃν οὐκ ὀνομάζον τὸ μαντεῖον προῄδει μὴ ἐπ' ἀγαθῷ ποτε αὐτὸ κατοικισθησόμενον. κατεσκευάσαντο δὲ καὶ ἐν τοῖς πύργοις τῶν τειχῶν
3 πολλοὶ καὶ ὡς ἕκαστός που ἐδύνατο· οὐ γὰρ ἐχώρησε ξυνελθόντας αὐτοὺς ἡ πόλις, ἀλλ' ὕστερον δὴ τά τε μακρὰ τείχη ᾤκησαν κατανειμάμενοι καὶ τοῦ Πειραιῶς τὰ πολλά. ἅμα δὲ καὶ τῶν πρὸς τὸν πόλεμον ἥπτοντο, ξυμμάχους τε ἀγείροντες καὶ τῇ Πελοποννήσῳ ἑκατὸν νεῶν ἐπίπλουν ἐξαρτύοντες, καὶ οἱ μὲν ἐν τούτῳ παρασκευῆς ἦσαν.

18 Ὁ δὲ στρατὸς τῶν Πελοποννησίων προϊὼν ἀφίκετο τῆς Ἀττικῆς ἐς Οἰνόην πρῶτον, ἥπερ ἔμελλον ἐσβαλεῖν. καὶ ὡς ἐκαθέζοντο, προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησόμε-

---

C. 17. § 1. τισίν. Gr. 51, 16 A. 4. — ἑρῆμα unbebaute Stellen. Kr. L. des Th. S. 94 A. 3. vgl. Ar. Eccl. 243. — ᾤκησαν beſetzten, ſiedelten ſich an. zu 1, 8, 1. — Πελασγικόν, Feld an der Nordweſtſeite der Burg. Kruſe Hellas 1 S. 416 u. 2 S. 78. (Py.) — ἐπάρατον, weil Feinde, die Pelasger, es bewohnt. (Sch.) — ὃ καὶ was ſogar. — μή, weil ἐπάρατον ein Verbot enthält. — ἀκροτελεύτιον, τέλος τοῦ στίχου. (Sch.) — ἐξῳκήθη wurde gänzlich zu Wohnplätzen verwendet. (Ba.) vgl. Reiſig Enarr. Soph. Oed. C. 27.

§ 2. ξυμβῆναι erfüllt zu ſein. — γενέσθαι erg. δοκοῦσαν aus δοκεῖ. Gr. 62, 4 A. 1. — μή. zu 1, 76, 1. — κατεσκευάσαντο richteten ſich häuslich ein. vgl. Xen. Cyr. 7, 5, 37 u. Markl. zum Lyſ. 5 p. 754 Reiske. (Py.)

§ 3. ἐχώρει faßte. (Pö.) — παρασκευῆς. Gr. 47, 10 A. 3; ἐν παρασκευῇ εἶναι 2, 101, 2. 8, 14, 3. vgl. 3, 15 u. Arr. An. 1, 1, 3. 2, 25, 3.

C. 18. § 1. ποιησόμενοι ohne ὡς nach παρασκευάζεσθαι, was ſelten, aber doch vorkommt. vgl. 2, 91, 1. 6, 54, 4. 7, 17, 2, Xen.

νοι μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ· ἡ γὰρ Οἰνόη οὖσα ἐν μεθορίοις τῆς Ἀττικῆς καὶ Βοιωτίας ἐτετείχιστο, καὶ αὐτῷ φρουρίῳ οἱ Ἀθηναῖοι ἐχρῶντο ὁπότε πόλεμος καταλάβοι. τάς τε οὖν προσβολὰς εὐτρεπίζοντο καὶ ἄλλως ἐνδιέτριψαν 2
χρόνον περὶ αὐτήν. αἰτίαν τε οὐκ ἐλαχίστην Ἀρχίδαμος ἔλαβεν ἀπ' αὐτοῦ, δοκῶν καὶ ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου μαλακὸς εἶναι καὶ τοῖς Ἀθηναίοις ἐπιτήδειος, οὐ παραινῶν προθύμως πολεμεῖν· ἐπειδή τε ξυνελέγετο ὁ στρατός, ἥ τε ἐν τῷ Ἰσθμῷ ἐπιμονὴ γενομένη καὶ κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης διέβαλεν αὐτόν, μάλιστα δὲ ἡ ἐν τῇ Οἰνόῃ ἔποκσχεσις. οἱ γὰρ Ἀθηναῖοι ἐσεκομίζοντο ἐν τῷ χρόνῳ τούτῳ, 3
καὶ ἐδόκουν οἱ Πελοποννήσιοι ἐπελθόντες ἂν διὰ τάχους πάντα ἔτι ἔξω καταλαβεῖν, εἰ μὴ διὰ τὴν ἐκείνου μέλλησιν. ἐν τοιαύτῃ μὲν ὀργῇ ὁ στρατὸς τὸν Ἀρχίδαμον ἐν τῇ καθέδρᾳ εἶχεν. ὁ δέ, προσδεχόμενος, ὡς λέγεται, τοὺς Ἀθηναίους τῆς γῆς ἔτι ἀκεραίου οὔσης ἐνδώσειν τι καὶ κατοκνήσειν περιιδεῖν αὐτὴν τμηθεῖσαν, ἀνεῖχεν.

Ἐπειδὴ μέντοι προσβαλόντες τῇ Οἰνόῃ καὶ πᾶσαν ἰδέαν 19
πειράσαντες οὐκ ἐδύναντο ἑλεῖν, οἵ τε Ἀθηναῖοι οὐδὲν ἐπεκηρυκεύοντο, οὕτω δὴ ὁρμήσαντες ἀπ' αὐτῆς μετὰ τὰ ἐν Ἠλα-

---

Hell. 4, 1, 41, Plat. Menex 19. (Pp.) — *αὐτῷ* für *αὐτῇ* dem *φρουρίῳ* aſſimilirt. Gr. 61, 7 A. 1. — *καταλάβοι* eintrat von Unfällen auch 2, 54, 2. 4, 31, 3; tranſitiv 4, 20, 1. (Dr.) Gr. 52, 1 A. 3.

§ 2. *εὐτρεπίζοντο* für *ηὑτρ.* nur Eine Hſ. Th. augmentirt das *εὐ* — nicht. (Pp.) — *χρόνον* eine Zeit lang, öfter ohne *τις*. Schömann z. Iſä. p. 444. — *αἰτίαν ἔλαβεν* zog ſich Beſchuldigung zu. Markl. Lyſ. p. 723 f. R. vgl. 6, 60, 1. — *ἀπ' αὐτοῦ* davon. — *ἐν τῇ ξυναγωγῇ τοῦ πολέμου* bei der Anregung des Krieges 1, 80 ff. (Pp.) — *εἶναι* geweſen zu ſein. Gr. 53, 2 A. 9. — *κατὰ τὴν ἄ. π.* ſteht des Gegenſatzes halber vor *ἡ*. Ar. Ach. 636: *πρότερον δ' ὑμᾶς ἀπὸ τῶν πόλεων οἱ πρέσβεις ἐξαπατῶντες*. vgl. zu 1, 137, 4. — *διέβαλεν*. Ueber die *προσωποία* zu *κατέσχεν* 1, 6, 3.

§ 3. *εἰ μὴ διὰ τὴν ἐ. μ.* wenn ſeine Zögerung es nicht verhindert hätte. Gr. 54, 12 A. 10. — *ἐν τῇ καθέδρᾳ* wegen des Aufenthaltes, in welchem gleichſam der Zorn beruhte. vgl. 2, 40, 1. *ἄχθεσθαι τῇ ἕδρᾳ* 5, 7, 1. — *ἀκεραίου* unverſehrt. Valck. z. Her. 4, 152. — *ἀνεῖχεν* hielt ſich auf. (Gr.) vgl. 7, 48, 3. 8, 94, 2. Sonſt in dieſem Sinne ungewöhnlich.

C. 19. § 1. *πᾶσαν ἰδέαν* auf jegliche Weiſe. (Pz.) — *πειράσαντες*. etg. *αὐτῆς*. — *ὁρμᾶν* mit *ἀπό* auch 3, 24, 1. 7, 19, 4, *οἴκοθεν* 4, 90, 3, *ἀπ' οἴκου* 4, 94, 2. vgl. 96, 5. vgl. Gr. 52,

ταῖα τῶν ἐσελθόντων Θηβαίων [γενόμενα] ἡμέρᾳ ἑβδοηκοστῇ μάλιστα, τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐσέβαλον ἐς
2 τὴν Ἀττικήν· ἡγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ καθεζόμενοι ἔτεμνον πρῶτον μὲν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον, καὶ τροπήν τινα τῶν Ἀθηναίων ἱππέων περὶ τοὺς Ῥείτους καλουμένους ἐποιήσαντο. ἔπειτα προὐχώρουν ἐν δεξιᾷ ἔχοντες τὸ Αἰγάλεων ὄρος διὰ Κρωπειῶν, ἕως ἀφίκοντο ἐς Ἀχαρνάς, χῶρον μέγιστον τῆς Ἀττικῆς τῶν δήμων καλουμένων. καὶ καθεζόμενοι ἐς αὐτὸν στρατόπεδόν τε ἐποιήσαντο χρόνον τε πολὺν
20 ἐμμείναντες ἔτεμνον. γνώμη δὲ τοιᾷδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι. τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν, ἀκμάζοντάς τε νεότητι πολλῇ καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον, ἴσως ἂν ἐπε-
2 ξελθεῖν καὶ τὴν γῆν οὐκ ἂν περιιδεῖν τμηθῆναι. ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο περὶ τὰς Ἀχαρνὰς καθήμενος εἰ ἐπεξίασιν· ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι, ἅμα δὲ καὶ οἱ Ἀχαρνῆς μέγα μέρος ὄντες τῆς

---

2 A. 1. — *τῶν Θηβαίων* hängt von *τὰ ἐν Πλαταιᾷ* ab: die Verſuche der Thebäer in (auf) Platäa; *γενόμενα* iſt appoſitiv: welche geſchehen waren. Daß ein ſolches Particip bei Th. einen Genitiv der Perſon annehme iſt ein Irrthum Matthiäs Gr. § 375 A. 1. Doch vermuthe ich daß *τῶν* nach *ἐσελθόντων* zu ſtellen ſei. — *θέρους ἀκμάζοντος* ſagt auch Strabo 15, 3 p. 731, wie *θέρους ἀκμή* Xen. Hell. 5, 3, 19, unſtreitig von der Mitte des Sommers im weitern Sinne, wobei jedoch etwa ſchon an den May zu denken. — *σίτου ἀκμάζοντος* iſt wohl segetes prope maturitatem erant Liv. 28, 5; nur daß dies prope nicht zu urgiren und an die Zeit wo das Getraide völlig ausgewachſen iſt zu denken ſein wird. Denn für Getraideblüthe ſcheint doch *ἀκμή* kein entſprechender Ausdruck.

§ 2. *Ῥείτους.* Ὧρος *Ῥειτός*, *Ἡρωδιανὸς Ῥίτος.* (Sch.) vgl. Lobeck Parall. p. 351. — *Αἰγάλεων* kann hier nur Neutrum ſein. vgl. Gr. 50, 7 A. 2; *Αἰγάλεως* Her. 8, 90 u. Sch. zu Soph. Oed. K. 1059. — *χῶρον* für *χωρίον* und *αὐτόν* für *αὐτό* die beſten Hſn., wohl mit Bezug auf das Stadtgebiet gewählt. — *καλουμένων.* Gr. 50, 12 A. 3.

C. 20. § 1. *ἐκείνῃ τῇ ἐσβολῇ.* Gr. 48, 2 A. 9. — *τμηθῆναι.* zu 1, 35, 3.

§ 2. *ἐνστρατοπεδεῦσαι.* So *χῶρος ἐπιτηδειότερος ἐνστρατοπεδεύσασθαι* ꝛc. Her. 6, 102. 9, 2. 7. 25. vgl. Kr. z. Dion. p. 483, b. — *μέγα μέρος*, wie 5, 32, 2. (Pp.) — *τῆς πόλεως* des attiſchen Staates. — *καὶ τοὺς πάντας.* Gr. 69, 32 A. 18.

πόλεως, τρισχίλιοι γὰρ ὁπλῖται ἐγένοντο, οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην. εἴ τε καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ 3
οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν καὶ πρὸς αὐτὴν τὴν πόλιν χωρήσεσθαι· τοὺς γὰρ Ἀχαρνέας ἐστερημένους τῶν σφετέρων οὐχ ὁμοίως προθύμους ἔσεσθαι ὑπὲρ τῆς τῶν ἄλλων κινδυνεύειν, στάσιν δ' ἐνέσεσθαι τῇ γνώμῃ. Τοιαύτῃ μὲν διανοίᾳ ὁ Ἀρχίδαμος περὶ τὰς Ἀχαρνὰς ἦν.

Ἀθηναῖοι δέ, μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θρι- 21
άσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Παυσανίου Λακεδαιμονίων βασιλέα, ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θριῶζε στρατῷ Πελοποννησίων πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν ἀνεχώρησε πάλιν ἐς τὸ πλεῖον οὐκέτι προελθών, διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ Σπάρτης δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν· ἐπειδὴ δὲ περὶ Ἀχαρνὰς εἶδον τὸν στρατὸν 2
ἑξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' αὐτοῖς, ὡς εἰκός, γῆς τεμνομένης ἐν τῷ ἐμφανεῖ, ὃ οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι πλὴν τὰ Μηδικά, δεινὸν ἐφαίνετο, καὶ ἐδόκει τοῖς

---

§ 3. τεμεῖν erg. ἐδόκει, ἐνόμιζεν aus ἐδόκουν, auch zu den folgenden Infinitiven. (Ps. u. Pp.) Gr. 65, 11 A. 7. — τῇ γνώμῃ der Gesinnung.

C. 21. § 1. καί τινα hatten sie auch. Denn mit Hl. auch dies noch als Vordersatz zu nehmen und erst nach προελθών als Nachsatz ἠσύχαζον zu ergänzen wäre doch sprachwidrig. — Πλειστοάνακτα. zu 1, 114, 2. — ὅτε (wie quum) nach μεμνῆσθαι und ähnlichen Verben ist nicht selten: sich der Zeit erinnernd wo Pl. Gr. 56, 7 A. 12. Selten jedoch wird das Subject des Satzes mit ὅτε proleptisch (Gr. 61, 6 A. 2) dem vorhergehenden angefügt. Aehnlich, aber Xen. Hell. 6, 5, 46: τῶν ὑμετέρων προγόνων καλὸν λέγεται ὅτε τοὺς Ἀργείων τελευτήσαντας ἐπὶ τῇ Καδμείᾳ οὐκ εἶασαν ἀτάφους γενέσθαι. — πεισθῆναι τὴν ἀ. ungewöhnlich, aber analog den Beispielen Gr. 53, 4 A. 8. vgl. Hermann zu Eur. Or. 275. Wenn nicht τὴν ἀναχώρησιν aus dem Sch. eingefälscht ist. Dieser und Va. scheinen es nicht gelesen zu haben.

§ 2. ὡς εἰκός wie natürlich ziehe ich zu γῆς τεμνομένης. vgl. Kr. zu Xen. An. 1, 6, 7; Kistemaker zu δεινὸν ἐφαίνετο, wovon es zu entfernt ist. — γῆς τεμνομένης da ihnen Land verwüstet wurde, ohne Artikel auch 2, 54, 1. 74, 1. (Kr.) — τὰ Μηδικά im Perser-

τε ἄλλοις καὶ μάλιστα τῇ νεότητι ἐπεξιέναι καὶ μὴ περιορᾶν, κατὰ ξυστάσεις τε γιγνόμενοι ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν 3 κελεύοντες ἐξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. χρησμολόγοι τε ἦδον χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὤρητο. οἵ τε Ἀχαρνῆς οἰόμενοι πυρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ὧν παρῄνεσε πρότερον ἐμέμνητο οὐδέν, ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι, αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων ὧν ἔπασχον.

22 Περικλῆς δὲ ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἁμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε καὶ δι' ἡσυ- 2 χίας μάλιστα ὅσον ἐδύνατο εἶχεν. ἱππέας μέντοι ἐξέπεμπεν ἀεὶ τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν· καὶ ἱππομαχία τις ἐνεγένετο βραχεῖα ἐν Φρυγίοις τῶν τε Ἀθηναίων

ſerkriege iſt Ac. — ξύστασις von aufrühreriſchen Zuſammenkünften. Dem. 45, 67: τὰς αὐτῶν συστάσεις πονηροτέρας τῶν νόμων ἀξιοῦν εἶναι. vgl. Pflugk Herakl. 416. — γενόμενοι κατά zuſammenkommend in einzelne, wie 3, 27.

§ 3. ὤργητο für ὥρμητο die beſten Hſn. Das Activ des ſeltenen Wortes 4, 108, 4. 8, 2, 2. Bekker Anecd. p. 7: ἀκοῦσαι ὀργῷ σημαίνει τὸ πάνυ ἐπαίρομαι πρὸς τὸ πρᾶξαί τι ἢ ἀκοῦσαι. (Pp.) vgl. Aeſch. Cho. 447, Ar. Bö. 462, Lyſ. 1113 u. Her. 4, 199. Ein leidenſchaftliches Streben ſcheint, nur geſteigert, auch im Medium zu liegen. Das ὤργητο für ὤργηντο iſt dem ἕκαστος angefügt, wie 2, 48, 2. — παρά. zu 1, 33, 1. — ἐκάκιζον, beſ. Kleon. Plut. Per. 33. (Gb.).

C. 22. § 1. τὰ ἄριστα das Erſprießlichſte, Heilſamſte. — πρός in Bezug auf. vgl. 2, 59, 2. (Pp.) — τε οὐκ zu 1, 5, 2; τέ entſpricht dem τέ in τήν τε πόλιν. — ξύλλογος, ein weiterer Begriff als ἐκκλησία, bezeichnet jede Art von Verſammlung. (Pb.) Plat. Gorg. 456, c: ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ. (Arn.) — τοῦ. zu 1, 4. — δι' ἡσυχίας εἶχεν hielt ſie in Ruhe, wie in διὰ φυλακῆς ἔχειν 7, 8, 3. (Pp.) — μάλιστα. zu 1, 17, 1.

§ 2. πρόδρομοι Leichtbewaffnete. vgl. 3, 1 (Gb.) zum Recognosciren, Fouragiren u. dgl. vorausgeſchickt. Eine regelmäßigere Truppe

τέλει ἐνὶ τῶν ἱππέων καὶ Θεσσαλοῖς μετ' αὐτῶν πρὸς τοὺς Βοιωτῶν ἱππέας, ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ Ἀθηναῖοι καὶ Θεσσαλοί, μέχρι οὗ προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν τροπὴ ἐγένετο αὐτῶν καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνείλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους. καὶ οἱ Πελοποννήσιοι τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν. ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν κατὰ τὸ 3
παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις, καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισαῖοι, Φαρσάλιοι, Παράσιοι, Κρανώνιοι, Πυράσιοι, Γυρτώνιοι, Φεραῖοι, ἡγοῦντο δὲ αὐτῶν ἐκ μὲν Λαρίσης Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς στάσεως ἑκάτερος, ἐκ δὲ Φαρσάλου Μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες.

Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξήεσαν αὐτοῖς οἱ 23
Ἀθηναῖοι ἐς μάχην, ἄραντες ἐκ τῶν Ἀχαρνῶν ἐδήουν τῶν δήμων τινὰς ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλήσσου ὄρους. ὄντων δὲ αὐτῶν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον ἅσπερ παρεσκευάζοντο καὶ χιλίους ὁπλίτας ἐπ' αὐτῶν καὶ τοξότας τετρακοσίους· ἐστρατήγει δὲ Καρκίνος τε ὁ Ξενοτίμου καὶ Πρωτέας ὁ Ἐπικλέους καὶ Σωκράτης ὁ Ἀντιγένους. καὶ οἱ μὲν ἄραντες τῇ 2
παρασκευῇ ταύτῃ περιέπλεον, οἱ δὲ Πελοποννήσιοι χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ ὅσου εἶχον τὰ ἐπιτήδεια ἀνεχώρη-

---

bezeichnet das Wort bei Arrian. — *τέλει*, *τάγματι*. (Sch.) vgl. Weſſ. zu Her. 1, 103 (Kr.) Wie groß ein Geſchwader geweſen iſt unbekannt. — *ἀσπόνδους*, mithin ohne ſich für beſiegt zu erklären. vgl. zu 1, 63, 3.

§ 3. *ξυμμαχικόν*. zu 1, 107, 4. — *Παράσιοι*. *Πειράσιοι* Bl. aus Steph. B.; tilgen will es Pp. als aus einer verſchiedenen Schreibart für *Πυράσιοι* entſtanden. — *Πυράσιοι* für *Πειράσιοι* zwei gute Hſn. vgl. Strabo 9 p. 435. (Pp.) — *τῆς στάσεως*. Der Artikel iſt wohl mit Ba. poſſeſſiv zu nehmen: von ſeiner Faction, Einer von der demokratiſchen, Einer von der oligarchiſchen. Nur weil letzteres auffallend, ſcheint Th. den Zuſatz gemacht zu haben.

C. 23. § 1. *ἄραντες*. *αἴρειν* intranſitiv aufbrechen iſt bei andern Attikern nicht häufig. vgl. Gr. 53, 2 A. 1, bei Th. ſehr gewöhnlich, z. B. a) von Landtruppen 2, 98, 1. 3, 96, 1. 4, 11, 1, mit ἐξ 4, 103, 1, *ἀπό* 2, 56, 3. 3, 95, 1; b) von Schiffen 2, 22, 3. 25, 3, mit ἐξ 3, 32, 1. 91, 2. 106, 1. 4, 45, 1 ꝛc. — *παρεσκευάζοντο* ausgerüſtet hatten 2, 17, 3. vgl. 8, 26, 2. (Kr.) Gr. 53, 2 A. 8. — *χιλίους*. Ueber die geringe Anzahl Sintenis zu Plut. Them. 14.

§ 2. *περιέπλεον*, *τὴν Πελοπόννησον*. (Hl. u. Pp.) — *ὅσον*

σαν διὰ Βοιωτῶν, οὐχ ἥπερ ἐσέβαλον· παριόντες δὲ Ὠρωπὸν τὴν γῆν τὴν Πειραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι, Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν. ἀφικόμενοι δὲ ἐς Πελοπόννησον διελύθησαν κατὰ πόλεις ἕκαστοι.

24 Ἀναχωρησάντων δὲ αὐτῶν οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο καὶ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς ἐξαίρετα ποιησαμένοις χωρὶς θέσθαι καὶ μὴ ἀναλοῦν, ἀλλ' ἀπὸ τῶν ἄλ-
2 λων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο. τριήρεις τε μετ' αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιήσαντο καὶ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας καὶ τριηράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἢν δέῃ.

25 Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι καὶ Κερκυραῖοι μετ' αὐτῶν, πεντήκοντα ναυσὶ προσβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων ἄλλα τε ἐκάκουν περιπλέοντες καὶ ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες τῷ τείχει προσέβαλον, ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόν-

---

für ὅσον die beſten Hſn. vgl. 3, 1, 2. (Bk.) vgl. zu 1, 48, 1. 143, 2 — Πειραϊκήν. Γραικήν (Γραϊκήν) Steph. Byz.

C. 24. § 1. χίλια τάλαντα. 8, 15, 1. vgl. Böckh Staatsh. 1 S. 311 u. Inscr. p. 903. (Pp.).

§ 2. εἰπεῖν iſt der feſte Ausdruck von Geſetzvorſchlägen u. dgl. — ἢν μή findet ſich ähnlich nach μὴ πρόσθεν in einigen Hſn. 7, 63, 1. — νηΐτης στρατός auch 4, 85, 4, nachgeahmt von Spätern, wie Arr. An. 7, 7, 7: νηΐτης στόλος. — θάνατον in dieſer Verbindung in der Regel ohne Artikel, der jedoch bei ζημία öfter ſteht: als die gebührende Strafe. — ἐπέθεντο ungewöhnliches Medium, da ſonſt ζημίαν, δίκην ἐπιτιθέναι üblich iſt. (Pp.) Vor ſchwebte wohl die Analogie von νόμον τίθεσθαι. — κατὰ — βελτίστας. Es iſt anzunehmen daß für die hundert Schiffe jährlich hundert andere ſubſtituirt wurden. Anſprechend iſt was eine Hſ. für dieſe Worte hat μετὰ τῶν ναυτῶν τὰς βελτίστας. Kr. z. Dion. p. 310. — χρῆσθαι hängt noch von ἔδοξεν ab. vgl. 5, 63, 3. (Pp.).

C. 25. § 1. ἐκεῖ ſ. 2, 9, 3. — ἄλλα andre Gegenden (Hſ.) — τῆς Λακωνικῆς, wozu damals auch Meſſene gerechnet wurde. Kr. zum Clinton p. 402. — ὄντι καὶ ἐνόντων. Gr. 56, 14 A. 2. — ἀνθρώπων, λείπει πολλῶν. (Sch.) vgl. § 2. Pp. verſteht Sol-daten.

τιων. ἔτυχε δὲ περὶ τοὺς χώρους τούτους Βρασίδας ὁ Τέλ- 2
λιδος, ἀνὴρ Σπαρτιάτης, φρουρὰν ἔχων καὶ αἰσθόμενος ἐβοή-
θει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. διαδραμὼν δὲ
τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἐσκεδασμένον κατὰ τὴν χώραν
καὶ πρὸς τὸ τεῖχος τετραμμένον, ἐσπίπτει ἐς τὴν Μεθώνην,
καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσδρομῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ
τήν τε πόλιν περιεποίησε καὶ ἀπὸ τούτου τοῦ τολμήματος
πρῶτος τῶν κατα τὸν πόλεμον ἐπῃνέθη ἐν Σπάρτῃ. οἱ δὲ 3
Ἀθηναῖοι ἄραντες παρέπλεον καὶ σχόντες τῆς Ἠλείας ἐς
Φειὰν ἐδῄουν τὴν γῆν ἐπὶ δύο ἡμέρας, καὶ προσβοηθήσαντας
τῶν ἐκ τῆς κοίλης Ἠλιδος τριακοσίους λογάδας καὶ τῶν αὐ-
τόθεν ἐκ τῆς περιοικίδος Ἠλείων μάχῃ ἐκράτησαν. ἀνέμου
δὲ κατιόντος μεγάλου χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ οἱ
μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς καὶ περιέπλεον τὸν Ἰχθῦν
καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα, οἱ δὲ Μεσ- 4
σήνιοι ἐν τούτῳ καὶ ἄλλοι τινὲς οἱ οὐ δυνάμενοι ἐπιβῆναι
κατὰ γῆν χωρήσαντες τὴν Φειὰν αἱροῦσιν. καὶ ὕστερον αἵ τε
νῆες περιπλεύσασαι ἀναλαμβάνουσιν αὐτοὺς καὶ ἐξανάγονται
ἐκλιπόντες Φειάν, καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ
προσεβεβοηθήκει. παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα
χωρία ἐδῄουν.

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα 26
ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα καὶ Εὐβοίας ἅμα φυλα-
κήν· ἐστρατήγει δὲ αὐτῶν Κλεόπομπος ὁ Κλεινίου. καὶ ἀπο-
βάσεις ποιησάμενος τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε
καὶ Θρόνιον εἷλεν, ὁμήρους τε ἔλαβεν αὐτῶν καὶ ἐν Ἀλόπῃ
τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν.

---

§ 2. περιεποίησε vettete, Correlat zu περιοῦναι bei Her. 3, 36. vgl. unten 3, 102, 2. 4, 105, 1. 6, 104, 2.

§ 3. σχόντες. zu 1, 110, 2. — τῶν κατὰ τὸν πόλεμον unter den in diesem Kriege Beschäftigten. (Ba.) — κατιέναι ist der eigentliche Ausdruck von einem irgend woher wehenden Winde. So 2, 84, 2. 6, 2, 4. Art. An. 6, 18, 5: τὸ πνεῦμα κατῄει μέγα ἀπὸ τῆς ἔξω θαλάσσης. vgl. Sintenis zu Plut. Per. 33. — Ἰχθῦν für Ἰχθύν die Grammatiker. Göttling Accentl. S. 260. — ἐν τῇ Φειᾷ bei Pheia vgl. 1, 52, 1. 4, 25, 4. (Pp.).

§ 4. καί vor τῶν ist fast so viel als γάρ. (Pp.)

C. 26. περὶ τὴν Λ. καὶ φυλακήν. Gr. 59, 2 A. 2.

27 Ἀνέσησαν δὲ καὶ Αἰγινήτας τῷ αὐτῷ θέρει τούτῳ ἐξ Αἰγίνης Ἀθηναῖοι, αὐτούς τε καὶ παῖδας καὶ γυναῖκας, ἐπικαλέσαντες οὐχ ἥκιστα τοῦ πολέμου σφίσιν αἰτίους εἶναι· καὶ τὴν Αἴγιναν ἀσφαλέστερον ἐφαίνετο, τῇ Πελοποννήσῳ ἐπικειμένην, αὐτῶν πέμψαντας ἐποίκους ἔχειν. καὶ ἐξέπεμψαν
2 ὕστερον οὐ πολλῷ ἐς αὐτὴν τοὺς οἰκήτορας. ἐκπεσοῦσι δὲ τοῖς Αἰγινήταις οἱ Λακεδαιμόνιοι ἔδοσαν Θυρέαν οἰκεῖν καὶ τὴν γῆν νέμεσθαι, κατά τε τὸ Ἀθηναίων διάφορον καὶ ὅτι σφῶν εὐεργέται ἦσαν ὑπὸ τὸν σεισμὸν καὶ τῶν Εἱλώτων τὴν ἐπανάστασιν. ἡ δὲ Θυρεᾶτις γῆ μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστιν, ἐπὶ θάλασσαν καθήκουσα. καὶ οἱ μὲν αὐτῶν ἐνταῦθα ᾤκησαν, οἱ δ' ἐσπάρησαν κατὰ τὴν ἄλλην Ἑλλάδα.

28 Τοῦ δ' αὐτοῦ θέρους νουμηνίᾳ κατὰ σελήνην, ὥσπερ καὶ μόνον δοκεῖ εἶναι γίγνεσθαι δυνατόν, ὁ ἥλιος ἐξέλιπε μετὰ μεσημβρίαν καὶ πάλιν ἀνεπληρώθη, γενόμενος μηνοειδὴς καὶ ἀστέρων τινῶν ἐκφανέντων.

29 Καὶ ἐν τῷ αὐτῷ θέρει Νυμφόδωρον τὸν Πύθεω, ἄνδρα Ἀβδηρίτην, οὗ εἶχε τὴν ἀδελφὴν Σιτάλκης, δυνάμενον παρ' αὐτῷ μέγα οἱ Ἀθηναῖοι, πρότερον πολέμιον νομίζοντες, πρόξενον ἐποιήσαντο καὶ μετεπέμψαντο, βουλόμενοι Σιτάλκην σφίσι τὸν Τήρεω, Θρᾳκῶν βασιλέα, ξύμμαχον γενέσθαι.

C. 27. § 1. *οὐχ ἥκιστα* gehört zu *αἰτίους εἶναι*. Ueber die Sache 1, 67, 2. — *ἐπικειμένην* bezeichnet die Nähe der Lage, an sich nicht eine bedrohliche. vgl. 2, 14. 4, 44, 5. 53, 2. 54, 3. 6, 2, 6. — *ἔποικοι* Ansiedler rücksichtlich des Ortes wohin sie gehen; *ἄποικοι* rücksichtlich dessen woher sie kommen, verbunden Strabo 12, 3 p. 546. (Kr.) vgl. unten, 2, 70, 3. 4, 102, 1. 5, 5, 1. 6, 4, 3. (7, 57, 3.) (Bp.) — *τοὺς* die dazu bestimmten. vgl. 4, 92, 4.

§ 2. *ἔδοσαν οἰκεῖν*. vgl. 2, 30, 1 u. auch über die Sache 4, 56, 4. — *κατά τε — καὶ ὅτι*. Gr. 59, 2 A. 4. — *τὸ Ἀθηναίων διάφορον* das Zerwürfniß mit den A. vgl. 3, 54, 1. 4, 79, 2. (Bp.) mit *πρός* 6, 62, 1. — *τὸν σεισμόν* 1, 101, 1. — *μεθορία*. Die Composita von *ὅρος* sind oft Adjective dreier Endungen; so dieses 4, 56, 3. 5, 41, 1. 54, 1. 3; über *ὑπερόριος* zu 8, 72, 2.

C. 28. *κατὰ σελήνην* der mondmäßige, im Gegensatz zum politischen. (Elmsley.) vgl. Clinton F. H. p. 339, p. Das Datum war der dritte August. — *γενόμενος καὶ ἐκφανέντων*. Gr. 56, 14, A. 2.

C. 29. § 1. *Πύθεω*. *ὁ Πύθης, τοῦ Πύθεω ἰωνικῶς*. (Sch.) Gr. 15, 4 A. 2. — *εἶχε*, zur Gattin. (Ba.).

ὁ δὲ Τήρης οὗτος ὁ τοῦ Σιτάλκου πατὴρ πρῶτος Ὀδρύσαις 2
τὴν μεγάλην βασιλείαν ἐπὶ πλεῖον τῆς ἄλλης Θρᾴκης ἐποιη-
σεν· πολὺ γὰρ μέρος καὶ αὐτόνομόν ἐστι Θρᾳκῶν. Τηρεῖ
δὲ τῷ Πρόκνην τὴν Πανδίονος ἀπ' Ἀθηνῶν σχόντι γυναῖκα
προσήκει ὁ Τήρης οὗτος οὐδὲν οὐδὲ τῆς αὐτῆς Θρᾴκης ἐγένον-
το, ἀλλ' ὁ μὲν ἐν Λαυλίᾳ τῆς Φωκίδος νῦν καλουμένης γῆς ὁ
Τηρεὺς ᾤκει, τότε ὑπὸ Θρᾳκῶν οἰκουμένης, καὶ τὸ ἔργον τὸ 3
περὶ τὸν Ἴτυν αἱ γυναῖκες ἐν τῇ γῇ ταύτῃ ἔδραξαν· πολλοῖς
δὲ καὶ τῶν ποιητῶν ἐν ἀηδόνος μνήμῃ Λαυλιὰς ἡ ὄρνις
ἐπωνόμασται. εἰκὸς δὲ καὶ τὸ κῆδος Πανδίονα ξυνάψασθαι
τῆς θυγατρὸς διὰ τοσούτου ἐπ' ὠφελίᾳ τῇ πρὸς ἀλλήλους
μᾶλλον ἢ διὰ πολλῶν ἡμερῶν ἐς Ὀδρύσας ὁδοῦ. Τήρης δὲ 4
οὔτε τὸ αὐτὸ ὄνομα ἔχων βασιλεύς τε πρῶτος ἐν κράτει
Ὀδρυσῶν ἐγένετο. οὗ δὴ ὄντα τὸν Σιτάλκην οἱ Ἀθηναῖοι
ξύμμαχον ἐποιήσαντο, βουλόμενοι σφίσι τὰ ἐπὶ Θρᾴκης χω-
ρία καὶ Περδίκκαν ξυνεξελεῖν αὐτόν. ἐλθών τε ἐς τὰς Ἀθή-
νας ὁ Νυμφόδωρος τήν τε τοῦ Σιτάλκου ξυμμαχίαν ἐποίησε
καὶ Σάδοκον τὸν υἱὸν αὐτοῦ Ἀθηναῖον, τόν τε ἐπὶ Θρᾴκης
πόλεμον ὑπεδέχετο καταλύσειν· πείσειν γὰρ Σιτάλκην πέμ-
ψειν στρατιὰν Θρᾳκίαν Ἀθηναίοις ἱππέων τε καὶ πελταστῶν.

---

§ 2. ἐπὶ πλεῖον. zu 1, 9, 3. — γάρ bezieht ſich auf πλεῖον: nicht über das Ganze; denn. vgl. 2, 96, 2. — Θρᾴκης. Wie z. B. πόλεώς τινος εἶναι einer Stadt angehören. Xen. An. 7, 3, 19, Plat. Apol. 29, e, Tim. 20, a, Prot. 316, ſo auch γίγνεσθαι mit dem Genitiv. Dem. 39, 30: πόϑεν νῦν τῆς Ἀχαμαντίδος φίλος γέγονας. Gr. 47, 6 A. 5. Aehnlich Soph. Phil. 222: ποίας πάτρας ὑμῖς ἂν ἢ γένους ποτὲ τύχοιμ' ἂν εἰπών. — ὁ μὲν — ὁ Τηρεύς. Gr. 50, 1 A. 11.

§ 3. ἐν ἀηδόνος μνήμῃ ἀντὶ τοῦ μεμνημένοι τῆς ἀηδόνος τοῦ ὀρνέου. (Sch.) — διὰ τοσούτου bei einem ſo geringen Zwiſchenraume. (Sch.) vgl. Gr. 25, 10 A. 5 u. über διά zu 2, 89, 7 u. 3, 94, 4. Plat. Theät. p. 193, c: διὰ μακροῦ καὶ μὴ ἱκανῶς ὁρῶν ἄμφω. — μᾶλλον vielmehr gehört zu τοσούτου. (Abr.)

§ 4. οὔτε ἔχων βασιλεύς τε ἐγένετο ein Uebergang vom Particip zum Indicativ (Pp.), wenn die Stelle unverfälſcht iſt. — ἐν κράτει, ἐν δυνάμει. (Sch.) machtvoll. vgl. § 2. — οὗ deſſen Sohn. — δή weiſt auf § 1 zurück. (Pp.) — ξυνεξελεῖν überwältigen helfen. Xen. Hell. 7, 4, 12: ξυνεξαιρεῖ αὐτοῖς Σέλλασίαν. Die meiſten Hſn. ξυνελεῖν. — αὐτόν, Subjectsac., bezieht ſich auf Σάδοκον. — Ἀθηναῖον, ἐποίησε bewerkſtelligte daß man ihm das atheniſche Bürgerrecht verlieh. So ſteht Ἀθηναῖος Xen. Hell. 2, 2, 1, Dinarch. 1, 44. 45, Pauſan. 1, 35, 2. (Bl.) — πέμψειν. zu 1, 27, 2.

5 ξυνεβίβασε δὲ καὶ τὸν Περδίκκαν τοῖς Ἀθηναίοις καὶ Θέρμην αὐτῷ ἔπεισεν ἀποδοῦναι· ξυνεστράτευσέ τ' εὐθὺς Περδίκκας ἐπὶ Χαλκιδέας μετ' Ἀθηναίων καὶ Φορμίωνος. οὕτω μὲν Σιτάλκης τε ὁ Τήρεω, Θρᾳκῶν βασιλεύς, ξύμμαχος ἐγένετο Ἀθηναίοις καὶ Περδίκκας ὁ Ἀλεξάνδρου, Μακεδόνων βασιλεύς.

30 Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶν Ἀθηναῖοι, ἔτι ὄντες περὶ Πελοπόννησον, Σόλιόν τε, Κορινθίων πόλισμα, αἱροῦσι καὶ παραδιδόασι Παλαιρεῦσιν Ἀκαρνάνων μόνοις τὴν γῆν καὶ πόλιν νέμεσθαι· καὶ Ἄστακον, ἧς Εὔαρχος ἐτυράννει, λαβόντες κατὰ κράτος καὶ ἐξελάσαντες αὐτὸν τὸ χωρίον ἐς τὴν
2 ξυμμαχίαν προσεποιήσαντο. ἐπί τε Κεφαλληνίαν τὴν νῆσον πλεύσαντες προσηγάγοντο ἄνευ μάχης· κεῖται δὲ ἡ Κεφαλληνία κατὰ Ἀκαρνανίαν καὶ Λευκάδα τετράπολις οὖσα, Παλῆς, Κράνιοι, Σαμαῖοι, Προννᾶιοι. ὕστερον δ' οὐ πολλῷ ἀνεχώρησαν αἱ νῆες ἐς τὰς Ἀθήνας.

31 Περὶ δὲ τὸ φθινόπωρον τοῦ θέρους τούτου Ἀθηναῖοι πανδημεί, αὐτοὶ καὶ οἱ μέτοικοι, ἐσέβαλον ἐς τὴν Μεγαρίδα Περικλέους τοῦ Ξανθίππου στρατηγοῦντος. καὶ οἱ περὶ Πελοπόννησον Ἀθηναῖοι ἐν ταῖς ἑκατὸν ναυσίν, ἔτυχον γὰρ ἤδη ἐν Αἰγίνῃ ὄντες ἐπ' οἴκου ἀνακομιζόμενοι, ὡς ἤσθοντο τοὺς ἐκ τῆς πόλεως πανστρατιᾷ ἐν Μεγάροις ὄν[illegible] ἔπλευ-
2 σαν παρ' αὐτοὺς καὶ ξυνεμίχθησαν. στρατόπεδόν τε μέγιστον δὴ τοῦτο ἀθρόον Ἀθηναίων ἐγένετο, ἀκμαζούσης ἔτι τῆς πόλεως καὶ οὔπω νενοσηκυίας· μυρίων γὰρ ὁπλιτῶν οὐκ ἐλάσσους ἦσαν αὐτοὶ Ἀθηναῖοι, χωρὶς δὲ αὐτοῖς οἱ ἐν Ποτιδαίᾳ τρισχίλιοι ἦσαν, μέτοικοι δὲ ξυνεσέβαλον οὐκ ἐλάσσους τρισχιλίων ὁπλιτῶν, χωρὶς δὲ ὁ ἄλλος ὅμιλος ψιλῶν

---

§. 5. ξυνεβίβασε, φίλον ἐποίησε. (Sch.). — Θέρμην 1, 61, 2.

C. 30. §. 1. ταῖς 2, 23, 1. 25, 1.

§ 2. κατά gegenüber. Kr. zu Xen. An. 1, 4, 3.

C. 31. § 1. ἀνακομιζόμενοι ist mit Hk. dem ἔτυχον ὄντες anzuſchließen. — ξυνεμίχθησαν. Gewöhnlich ξυνέμιξαν. (Dd.).

§ 2. Ἀθηναίων ohne Bundesgenoſſen. — τρισχίλιοι 1, 57, 4. 61, 1. 3; noch ſechzehnhundert 1, 64, 1. Um ſo viele mochte die Anzahl (4600) durch die Belagerung vermindert ſein. (Py.) Es iſt doch wohl eher eine Anzahl zurückgekehrt.

οὐκ ὀλίγος. θηώσαντες δὲ τὰ πολλὰ τῆς γῆς ἀνεχώρησαν. 3
ἐγένοντο δὲ καὶ ἄλλαι ὕστερον ἐν τῷ πολέμῳ κατὰ ἔτος ἕκα-
στον ἐσβολαὶ Ἀθηναίων ἐς τὴν Μεγαρίδα, καὶ ἱππέων καὶ
πανστρατιᾷ, μέχρι οὗ Νίσαια ἑάλω ὑπ' Ἀθηναίων.

Ἐπιχίσθη δὲ καὶ Ἀταλάντῃ ὑπ' Ἀθηναίων φρούριον τοῦ 32
θέρους τούτου τελευτῶντος ἢ ἐπὶ Λοκροῖς τοῖς Ὀπουντίοις
νῆσος, ἐρήμη πρότερον οὖσα, τοῦ μὴ λῃστὰς ἐκπλέοντας ἐξ
Ὀποῦντος καὶ τῆς ἄλλης Λοκρίδος κακουργεῖν τὴν Εὔβοιαν.

Ταῦτα μὲν ἐν τῷ θέρει τούτῳ μετὰ τὴν Πελοποννησίων 33
ἐκ τῆς Ἀττικῆς ἀναχώρησιν ἐγένετο. τοῦ δ' ἐπιγιγνομένου
χειμῶνος Εὔαρχος ὁ Ἀκαρνάν, βουλόμενος ἐς τὴν Ἀσιακὴν
κατελθεῖν, πείθει Κορινθίους τεσσαράκοντα ναυσὶ καὶ πεντα-
κοσίοις καὶ χιλίοις ὁπλίταις ἑαυτὸν κατάγειν πλεύσαντας, καὶ
αὐτὸς ἐπικούρους τινὰς προσεμισθώσατο· ἦρχον δὲ τῆς στρα- 2
τιᾶς Εὐφαμίδας τε ὁ Ἀριστωνύμου καὶ Τιμόξενος ὁ Τιμο-
κράτους καὶ Εὔμαχος ὁ Χρύσιδος. καὶ πλεύσαντες κατήγα-
γον· καὶ τῆς ἄλλης Ἀκαρνανίας τῆς περὶ θάλασσαν ἔστιν ἃ
χωρία βουλόμενοι προσποιήσασθαι καὶ πειραθέντες, ὡς οὐκ
ἠδύναντο, ἀπέπλεον ἐπ' οἴκου. σχόντες δ' ἐν τῷ παράπλῳ 3
ἐς Κεφαλληνίαν καὶ ἀπόβασιν ποιησάμενοι ἐς τὴν Κρανίων
γῆν, ἀ[illegible]ντες ὑπ' αὐτῶν ἐξ ὁμολογίας τινὸς ἄνδρας τε
ἀποβάλ[illegible]φῶν αὐτῶν, ἐπιθεμένων ἀπροσδοκήτοις τῶν
Κρανίων[illegible]βιαιότερον ἀναγαγόμενοι ἐκομίσθησαν ἐπ' οἴκου.

Ἐν δὲ τῷ αὐτῷ χειμῶνι οἱ Ἀθηναῖοι τῷ πατρίῳ νόμῳ 34
χρώμενοι δημοσίᾳ ταφὰς ἐποιήσαντο τῶν ἐν τῷδε τῷ πολέμῳ
πρῶτον ἀποθανόντων τρόπῳ τοιῷδε. τὰ μὲν ὀστᾶ προτί-

---

§ 3. καὶ ἄλλαι. vgl. 4, 66, 1 u. Plut. Per. 30. (Sk.).

C. 32. § 1. φρούριον als, zum Caſtell. vgl. 6, 75, 1. (Pp.).

C. 32. § 3. ἐξ ὁμολογίας da ſie ſich angeſtellt als wollten ſie ſich unterwerfen. (Ba.) — ἀπροσδόκητος activ 2, 93, 3. 4, 72, 2. 7, 39, 2; paſſiv 2, 5, 2. 61, 3. 3, 39, 4. — βιαιότερον ziemlich bedrängt. (Ba.) φυγὴ καὶ ἀποχώρησις οὐ βίαιος 5, 73, 5. (Bl.) βιαιοτέρα ἀναχώρησις 4, 31, 3. (Pp.) — ἄνδρας von einer geringen Zahl, wie 7, 43, 3. 8, 71, 3.

C. 34. § 1. ἐποιήσαντο begingen; ταφὰς ποιεῖν veranſtalten Plat. Menex. 1 u. Iſokr. 8, 87. vgl. § 3. — πρῶτον in dieſem Jahre als dem erſten, alſo nicht bloß die 2, 22, 2, ſondern auch die

θενται τῶν ἀπογενομένων πρότριτα σκηνὴν ποιήσαντες, καὶ
2 ἐπιφέρει τῷ αὐτοῦ ἕκαστος ἤν τι βούληται· ἐπειδὰν δὲ ἡ
ἐκφορὰ ᾖ, λάρνακας κυπαρισσίνας ἄγουσιν ἅμαξαι, φυλῆς
ἑκάστης μίαν· ἔνεστι δὲ ἰὰ ὀστᾶ ἧς ἕκαστος ἦν φυλῆς. μία
δὲ κλίνη κενὴ φέρεται ἐστρωμένη τῶν ἀφανῶν οἳ ἂν μὴ εὑ-
ρεθῶσιν ἐς ἀναίρεσιν. ξυνεκφέρει δὲ ὁ βουλόμενος καὶ
ἀστῶν καὶ ξένων, καὶ γυναῖκες πάρεισιν αἱ προσήκουσαι ἐπὶ
3 τὸν τάφον ὀλοφυρόμεναι. τιθέασιν οὖν ἐς τὸ δημόσιον σῆ-
μα, ὅ ἐστιν ἐπὶ τοῦ καλλίστου προαστείου τῆς πόλεως, καὶ
ἀεὶ ἐν αὐτῷ θάπτουσι τοὺς ἐκ τῶν πολέμων, πλὴν γε τοὺς
ἐν Μαραθῶνι· ἐκείνων δὲ διαπρεπῆ τὴν ἀρετὴν κρίναντες
αὐτοῦ καὶ τὸν τάφον ἐποίησαν. ἐπειδὰν δὲ κρύψωσι γῆ,
ἀνὴρ ἡρημένος ὑπὸ τῆς πόλεως, ὃς ἂν γνώμῃ τε δοκῇ μὴ
ἀξύνετος εἶναι καὶ ἀξιώσει προήκῃ, λέγει ἐπ' αὐτοῖς ἔπαινον

2, 19, 2. 33, 3 erwähnten u. A. — προτίθενται ſtellen zur Schau aus, der eigentliche Ausdruck. Wachsmuth Hell. Alterthumskunde 2, 2 p. 80 A. 36 u. Heindorf z. Plat. Phäd. 148. vgl. Eur. Alk. 664, Hik. 54, Ar. Vö. 474, Lyſ. 611, Efſl. 537, Her. 5, 8, Lyſ. 12, 18 u. Luc. v. d. Trauer 11. — ἀπογίγνεσθαι umkommen iſt ſelten bei den Attikern. vgl. 2, 51, 3 u. in e. Geſetze Dem. 43, 57; bei Her. 2, 85. 136. 3, 111. 5, 4. — πρότριτα, πρὸ τρίτης ἡμέρας τῆς ἐκφορᾶς, drei Tage vorher. (Sch.) vgl. Schömann z. Iſä. p. 219. — ἐπιφέρει, etwa Blumen, köſtliche Salben und andere Koſtbarkeiten.

§ 2. λάρνακες. vgl. Müller Arch. § 301. (Pp.) — κυπαρισσίνας. διὰ τὸ ἄσηπτον εἶναι. (Sch.) — μίαν. μία μίαν? — ἧς in der Kiſte der Phyle von der ein jeder war. — κλίνη, φέρετρον. (Bl.) — ἐστρωμένη. Eur. Hel. 1241: Ἕλλησίν ἐστι νόμος ὃς ἂν πόντῳ θάνῃ νεκροὺς θάπτειν ἐν πέπλων ὑφάσμασιν. vgl. Her. 6, 58. — τῶν ἀφανῶν derer, für die deren Leichen nicht aufgefunden ſind, nur andeutend was der folgende Satz erklärt. — ὁ βουλόμενος. So auch Iſokr. 8, 87. Bei Privatbeſtattungen war dies nicht erlaubt. — σῆμα Grabſtätte, im äußern Kerameikos.

§ 3. ἀεί. Kr. Stud. S. 68. — τοὺς ἐκ τῶν πολέμων, ἐκ weil die Leichen mit Bezug auf die Zurückbringung gedacht werden. vgl. 2, 35, 1. 3, 70, 1. Ar. Ritter 742: τῶν στρατηγῶν ὑποφραμὼν τοὺς ἐκ Πύλου. vgl. 1201 u. 702. — τοὺς ἐν Μαραθῶνι kurz nach der Analogie von ἡ (ἐν) Μαραθῶνι μάχη für die bei Marathon gekämpft, hier die geblieben waren. Plat. Gorg. 516: Μιλτιάδην τὸν ἐν Μαραθῶνι. Menex. 240, e: μαθηταὶ τῶν Μαραθῶνι γενόμενοι. So οἱ Μαραθῶνι καὶ Σαλαμῖνι Dem. 19, 312. vgl. 14, 30. verſtiftirt von Ar. The. 806: ἐκείνην τὴν Μαραθῶνο. Dergleichen Ausdrücke wurden ſo ſtereotyp daß Iſä. 7, 5 ſogar ſagt: τῶν ἐν Σικελίᾳ τριηράρχων καταλογεῖς. — αὐτοῦ. So wurde auch Tellos durch Beſtattung an dem Orte wo er geblieben ausgezeichnet. Her. 1, 30. vgl. Kr. Stud. S. 70. — ἐπ' αὐτοῖς zu Ehren derſelben. vgl. § 4. 35, 1. 42, 1, Lyſ. 2, 1.

τὸν πρέποντα· μετὰ δὲ τοῦτο ἀπέρχονται. ὧδε μὲν θάπτουσιν· καὶ διὰ παντὸς τοῦ πολέμου, ὁπότε ξυμβαίη αὐτοῖς, 4
ἐχρῶντο τῷ νόμῳ. ἐπὶ δ' οὖν τοῖς πρώτοις τοῖσδε Περικλῆς ὁ Ξανθίππου ἠρέθη λέγειν. καὶ ἐπειδὴ καιρὸς ἐλάμβανε, προελθὼν ἀπὸ τοῦ σήματος ἐπὶ βῆμα ὑψηλὸν πεποιημένον, ὅπως ἀκούοιτο ὡς ἐπὶ πλεῖστον τοῦ ὁμίλου, ἔλεγε τοιάδε.

"Οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων ἤδη ἐπαινοῦσι 35
τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε, ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ' ἀρκοῦν ἂν ἐδόκει εἶναι ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς, οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πι-

---

2. 80. Dem. 18, 285: *τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι.* 20, 141: *ἐπὶ τοῖς τελευτήσασι δημοσίᾳ ταφὰς ποιεῖσθε καὶ λόγους ἐπιταφίους.*

§ 4. *ὁπότε ξυμβαίη αὐτοῖς* erg. *χρῆσθαι τῷ νόμῳ*, so oft ihnen der Anlaß dazu eintrat. vgl. Gr. 53, 4 A. 11. — *θ' οὖν* wendet das Vorhergehende beseitigend die Rede auf die Hauptsache zurück. — *καιρόν* einige, zum Theil gute Hss. Allein dabei wäre *ἔλαβεν* erforderlich. Ferner war die Wahl der rechten Zeit nicht in seiner Gewalt. (Herm.) *λάμβανε.* Dio Cass. 393, 21: *ἐπεί τε ὁ καιρὸς ἐλάμβανε, προσῆλ[illegible]* lieber *καταλαμβάνει* zu 2, 18, 1. — *ὑψηλόν* ist prädicativ: *[illegible] ὑψηλὸν ἐπεποίητο.* vgl. 7, 4, 3 u. Gr. 57, 4 A. 2. — *τοῦ ὁμίλου.* zu 1, 1, 2.

C. 35. § 1. *τὸν προσθέντα* den der hinzugefügt. Her. 2, 136: *προστεθῆναι τούτῳ τῷ νόμῳ τόνδε.* (Bl.) Etwa im Zeitalter der Perserkriege. Kr. hist. phil. Stud. S. 68 A. 3. — *τῷ νόμῳ* dem Gesetz über die öffentliche Bestattung der Gefallenen. — *ὡς καλόν* als ob es schön sei. Gr. 56, 9 A. 7 und Sintenis z. Plut. Them. p. XLIX. — *αὐτόν.* Gr. 61, 6 A. 6. — *ἂν ἐδόκει* würde es scheinen. (Kistemaker). Für *εἰ μή* folgt ein Gegensatz, *ἐπειδὴ δέ.* vgl. Kr. zu Xen. An. 3, 2, 24. — *ἔργῳ καί. καὶ ἔργῳ* möchte man erwarten; allein *καί* gehört zum ganzen Satze. — *οἷα*, thätliche Ehrenbezeigungen. — *καὶ μή.* Aus *ἀρκοῦν* denke man etwa *καλόν*: und es schien mir gut daß nicht. — *ἐν ἑνί.* Eur. Kykl. 654: *ἐν τῷ Καρὶ κινδυνεύσομεν.* Isokr. 4, 86: *ἐν ἀλλοτρίαις ψυχαῖς κινδυνεύσομεν.* — *κινδυνεύεσθαι.* Gr. 52, 3 A. 4. vgl. 2, 43, 3 u. 3, 39, 7. — *τε καί.* Gr. 69, 59 A. 1. vgl. Dion. Br. an d. Pomp. 1, 7: *χρυσὸς ἑτέρῳ χρυσῷ παραπεθεὶς κρείττων τε καὶ χείρων εὑρίσκεται.* — *χεῖρον* schlechter als ihren Verdiensten gebührt. (Pp.) — *εἰπόντι* je nachdem er gesprochen. — *πιστευθῆναι* von *κινδυνεύεσθαι* regiert (Sch.): die Tugenden schweben an den Talenten eines Mannes in Gefahr geglaubt zu werden, können mithin auch als zweifelhaft erscheinen. Gr. 61, 6 A. 8. Sch.: *ἀντὶ τοῦ μὴ ἐν κινδύνῳ*

ταῖς τῶν ἐσελθόντων Θηβαίων [γενόμενα] ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα, τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος, ἐσέβαλον ἐς
2 τὴν Ἀττικήν· ἦγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ καθεζόμενοι ἔτεμνον πρῶτον μὲν Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον, καὶ τροπήν τινα τῶν Ἀθηναίων ἱππέων περὶ τοὺς Ῥείτους καλουμένους ἐποιήσαντο. ἔπειτα προὐχώρουν ἐν δεξιᾷ ἔχοντες τὸ Αἰγάλεων ὄρος διὰ Κρωπειῶν, ἕως ἀφίκοντο ἐς Ἀχαρνάς, χῶρον μέγιστον τῆς Ἀττικῆς τῶν δήμων καλουμένων. καὶ καθεζόμενοι ἐς αὐτὸν στρατόπεδόν τε ἐποιήσαντο χρόνον τε πολὺν
20 ἐμμείναντες ἔτεμνον. γνώμῃ δὲ τοιᾷδε λέγεται τὸν Ἀρχίδαμον περί τε τὰς Ἀχαρνὰς ὡς ἐς μάχην ταξάμενον μεῖναι καὶ ἐς τὸ πεδίον ἐκείνῃ τῇ ἐσβολῇ οὐ καταβῆναι. τοὺς γὰρ Ἀθηναίους ἤλπιζεν, ἀκμάζοντάς τε νεότητι πολλῇ καὶ παρεσκευασμένους ἐς πόλεμον ὡς οὔπω πρότερον, ἴσως ἂν ἐπε-
2 ξελθεῖν καὶ τὴν γῆν οὐκ ἂν περιιδεῖν τμηθῆναι. ἐπειδὴ οὖν αὐτῷ ἐς Ἐλευσῖνα καὶ τὸ Θριάσιον πεδίον οὐκ ἀπήντησαν, πεῖραν ἐποιεῖτο περὶ τὰς Ἀχαρνὰς καθήμενος εἰ ἐπεξίασιν· ἅμα μὲν γὰρ αὐτῷ ὁ χῶρος ἐπιτήδειος ἐφαίνετο ἐνστρατοπεδεῦσαι, ἅμα δὲ καὶ οἱ Ἀχαρνῆς μέγα μέρος ὄντες τῆς

---

2 A. 1. — *τῶν Θηβαίων* hängt von *τὰ ἐν Πλαταιᾷ* ab: die Verſuche der Thebäer in (auf) Plataä; *γενόμενα* iſt appoſitiv: welche geſchehen waren. Daß ein ſolches Particip bei Th. einen Genitiv der Perſon annehme iſt ein Irrthum Matthiäs Gr. § 375 A. 1. Doch vermuthe ich daß *τῶν* nach *ἐσελθόντων* zu ſtellen ſei. — *θέρους ἀκμάζοντος* ſagt auch Strabo 15, 3 p. 731, wie *θέρους ἀκμή* Xen. Hell. 5, 3, 19, unſtreitig von der Mitte des Sommers im weitern Sinne, wobei jedoch etwa ſchon an den May zu denken. — *σίτου ἀκμάζοντος* iſt wohl segetes prope maturitatem erant Liv. 28, 5; nur daß dies prope nicht zu urgiren und an die Zeit wo das Getraide völlig ausgewachſen iſt zu denken ſein wird. Denn für Getraideblüthe ſcheint doch *ἀκμή* kein entſprechender Ausdruck.

§ 2. *Ῥείτους. Ὦρος Ῥειτός, Ἡρωδιανὸς Ῥῖτος.* (Sch.) vgl. Lobeck Paralll. p. 351. — *Αἰγάλεων* kann hier nur Neutrum ſein. vgl. Gr. 50, 7 A. 2; *Αἰγάλεως* Her. 8, 90 u. Sch. zu Soph. Oed. K. 1059. — *χῶρον* für *χωρίον* und *αὐτόν* für *αὐτό* die beſten Hſn., wohl mit Bezug auf das Stadtgebiet gewählt. — *καλουμένων*. Gr. 50, 12 A. 3.

C. 20. § 1. *ἐκείνῃ τῇ ἐσβολῇ* Gr. 48, 2 A. 9. — *τμηθῆναι*. zu 1, 35, 3.

§ 2. *ἐνστρατοπεδεῦσαι*. So *χῶρος ἐπιτηδειότερος ἐνστρατοπεδεύσασθαι* ꝛc. Her. 6, 102. 9, 2. 7. 25. vgl. Kr. z. Dion. p. 483, b. — *μέγα μέρος*, wie 5, 32, 2. (Pp.) — *τῆς πόλεως* des attiſchen Staates. — *καὶ τοὺς πάντας*. Gr. 69, 32 A. 18.

πόλεως, τρισχίλιοι γὰρ ὁπλῖται ἐγένοντο, οὐ περιόψεσθαι ἐδόκουν τὰ σφέτερα διαφθαρέντα, ἀλλ' ὁρμήσειν καὶ τοὺς πάντας ἐς μάχην. εἴ τε καὶ μὴ ἐπεξέλθοιεν ἐκείνῃ τῇ ἐσβολῇ 3
οἱ Ἀθηναῖοι, ἀδεέστερον ἤδη ἐς τὸ ὕστερον τὸ πεδίον τεμεῖν καὶ πρὸς αὐτὴν τὴν πόλιν χωρήσεσθαι· τοὺς γὰρ Ἀχαρνέας ἐστερημένους τῶν σφετέρων οὐχ ὁμοίως προθύμους ἔσεσθαι ὑπὲρ τῆς τῶν ἄλλων κινδυνεύειν, στάσιν δ' ἐνέσεσθαι τῇ γνώμῃ. Τοιαύτῃ μὲν διανοίᾳ ὁ Ἀρχίδαμος περὶ τὰς Ἀχαρνὰς ἦν.

Ἀθηναῖοι δέ, μέχρι μὲν οὗ περὶ Ἐλευσῖνα καὶ τὸ Θρι- 21
άσιον πεδίον ὁ στρατὸς ἦν, καί τινα ἐλπίδα εἶχον ἐς τὸ ἐγγυτέρω αὐτοὺς μὴ προϊέναι, μεμνημένοι καὶ Πλειστοάνακτα τὸν Παυσανίου Λακεδαιμονίων βασιλέα, ὅτε ἐσβαλὼν τῆς Ἀττικῆς ἐς Ἐλευσῖνα καὶ Θριῶζε στρατῷ Πελοποννησίων πρὸ τοῦδε τοῦ πολέμου τέσσαρσι καὶ δέκα ἔτεσιν ἀνεχώρησε πάλιν ἐς τὸ πλεῖον οὐκέτι προελθών, διὸ δὴ καὶ ἡ φυγὴ αὐτῷ ἐγένετο ἐκ Σπάρτης δόξαντι χρήμασι πεισθῆναι τὴν ἀναχώρησιν· ἐπειδὴ δὲ περὶ Ἀχαρνὰς εἶδον τὸν στρατὸν 2
ἑξήκοντα σταδίους τῆς πόλεως ἀπέχοντα, οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' αὐτοῖς, ὡς εἰκός, γῆς τεμνομένης ἐν τῷ ἐμφανεῖ, ὃ οὔπω ἑωράκεσαν οἵ γε νεώτεροι, οὐδ' οἱ πρεσβύτεροι πλὴν τὰ Μηδικά, δεινὸν ἐφαίνετο, καὶ ἐδόκει τοῖς

---

§ 3. τεμεῖν erg. ἐδόκει, ἐνόμιζεν aus ἐδόκουν, auch zu den folgenden Infinitiven. (Ps. u. Pp.) Gr. 65, 11 A. 7. — τῇ γνώμῃ der Gesinnung.

C. 21. § 1. καί τινα hatten sie auch. Denn mit Hl. auch dies noch als Vordersatz zu nehmen und erst nach προελθών als Nachsatz ξύνταξον zu ergänzen wäre doch sprachwidrig. — Πλειστοάνακτα. zu 1, 114, 2. — ὅτε (wie quum) nach μεμνῆσθαι und ähnlichen Verben ist nicht selten: sich der Zeit erinnernd wo Bl. Gr. 56, 7 A. 12. Selten jedoch wird das Subject des Satzes mit ὅτε proleptisch (Gr. 61, 6 A. 2) dem vorhergehenden angefügt. Aehnlich, aber Xen. Hell. 6, 5, 46: τῶν ὑμετέρων προγόνων καλὸν λέγεται ὅτε τοὺς Ἀργείων τελευτήσαντας ἐπὶ τῇ Καδμείᾳ οὐκ εἶασαν ἀτάφους γενέσθαι. — πεισθῆναι τὴν ἀ. unsgewöhnlich, aber analog den Beispielen Gr. 53, 4 A. 8. vgl. Hermann zu Eur. Or. 275. Wenn nicht τὴν ἀναχώρησιν aus dem Sch. eingefälscht ist. Dieser und Va. scheinen es nicht gelesen zu haben.

§ 2. ὡς εἰκός wie natürlich ziehe ich zu γῆς τεμνομένης. vgl. Kr. zu Xen. An. 1, 6, 7; Kistemaker zu δεινὸν ἐφαίνετο, wovon es zu entfernt ist. — γῆς τεμνομένης da ihnen Land verwüstet wurde, ohne Artikel auch 2, 54, 1. 74, 1. (Kr.) — τὰ Μηδικά im Perser-

τε ἄλλοις καὶ μάλιστα τῇ νεότητι ἐπεξιέναι καὶ μὴ περιορᾶν, κατὰ ξυστάσεις τε γιγνόμενοι ἐν πολλῇ ἔριδι ἦσαν, οἱ μὲν
3 κελεύοντες ἐξιέναι, οἱ δέ τινες οὐκ ἐῶντες. χρησμολόγοι τε ἦδον χρησμοὺς παντοίους, ὧν ἀκροᾶσθαι ὡς ἕκαστος ὥρητο. οἵ τε Ἀχαρνῆς οἰόμενοι παρὰ σφίσιν αὐτοῖς οὐκ ἐλαχίστην μοῖραν εἶναι Ἀθηναίων, ὡς αὐτῶν ἡ γῆ ἐτέμνετο, ἐνῆγον τὴν ἔξοδον μάλιστα. παντί τε τρόπῳ ἀνηρέθιστο ἡ πόλις καὶ τὸν Περικλέα ἐν ὀργῇ εἶχον, καὶ ὧν παρῆνεσε πρότερον ἐμέμνηντο οὐδέν, ἀλλ' ἐκάκιζον ὅτι στρατηγὸς ὢν οὐκ ἐπεξάγοι, αἴτιόν τε σφίσιν ἐνόμιζον πάντων ὧν ἔπασχον.
22 Περικλῆς δὲ ὁρῶν μὲν αὐτοὺς πρὸς τὸ παρὸν χαλεπαίνοντας καὶ οὐ τὰ ἄριστα φρονοῦντας, πιστεύων δὲ ὀρθῶς γιγνώσκειν περὶ τοῦ μὴ ἐπεξιέναι, ἐκκλησίαν τε οὐκ ἐποίει αὐτῶν οὐδὲ ξύλλογον οὐδένα τοῦ μὴ ὀργῇ τι μᾶλλον ἢ γνώμῃ ξυνελθόντας ἐξαμαρτεῖν, τήν τε πόλιν ἐφύλασσε καὶ δι' ἡσυ-
2 χίας μάλιστα ὅσον ἐδύνατο εἶχεν. ἱππέας μέντοι ἐξέπεμπεν ἀεὶ τοῦ μὴ προδρόμους ἀπὸ τῆς στρατιᾶς ἐσπίπτοντας ἐς τοὺς ἀγροὺς τοὺς ἐγγὺς τῆς πόλεως κακουργεῖν· καὶ ἱππομαχία τις ἐνεγένετο βραχεῖα ἐν Φρυγίοις τῶν τε Ἀθηναίων

---

ferkriege iſt Ac. — *ξύστασις* von aufrühreriſchen Zuſammenkünften. Dem. 45, 67: *τὰς αὐτῶν συστάσεις κυριωτέρας τῶν νόμων ἀξιοῦν εἶναι.* vgl. Pflugk Herakl. 416. — *γενόμενοι κατά* zuſammenkommend in einzelne, wie 3, 27.

§ 3. *ὥρητο* für *ὥρμητο* die beſten Hſn. Das Activ des ſeltenen Wortes 4, 108, 4. 8, 2, 2. Bekker Anecd. p. 7: *ἀκοῦσαι ὀργῶ σημαίνει τὸ πάνυ ἐπαίρομαι πρὸς τὸ πρᾶξαί τι ἢ ἀκοῦσαι.* (Pp.) vgl. Aeſch. Cho. 447, Ar. Bö. 462, Lyſ. 1113 u. Her. 4, 199. Ein leidenſchaftliches Streben ſcheint, nur geſteigert, auch im Medium zu liegen. Das *ὥρητο* für *ὥρμητο* iſt dem *ἕκαστος* angefügt, wie 2, 48, 2. — *παρά* zu 1, 33, 1. — *ἐκάκιζον*, beſ. Kleon. Plut. Per. 33. (Gb.).

C. 22. § 1. *τὰ ἄριστα* das Erſprießlichſte, Heilſamſte. — *πρός* in Bezug auf. vgl. 2, 59, 2. (Pp.) — *τε οὐκ* zu 1, 5, 2; *τέ* entſpricht dem *τέ* in *τήν τε πόλιν*. — *ξύλλογος*, ein weiterer Begriff als *ἐκκλησία*, bezeichnet jede Art von Verſammlung. (Bd.) Plat. Gorg. 456, c: *ἐν ἐκκλησίᾳ ἢ ἐν ἄλλῳ τινὶ συλλόγῳ.* (Arn.) — *τοῦ.* zu 1, 4. — *δι' ἡσυχίας εἶχεν* hielt ſie in Ruhe, wie in *διὰ φυλακῆς ἔχειν* 7, 8, 3. (Pp.) — *μάλιστα.* zu 1, 17, 1.

§ 2. *πρόδρομοι* Leichtbewaffnete. vgl. 3, 1 (Gb.) zum Recognosciren, Fouragiren u. dgl. vorausgeſchickt. Eine regelmäßigere Truppe

τέλει ἐνὶ τῶν ἱππέων καὶ Θεσσαλοῖς μετ' αὐτῶν πρὸς τοὺς Βοιωτῶν ἱππέας, ἐν ᾗ οὐκ ἔλασσον ἔσχον οἱ Ἀθηναῖοι καὶ Θεσσαλοί, μέχρι οὗ προσβοηθησάντων τοῖς Βοιωτοῖς τῶν ὁπλιτῶν τροπὴ ἐγένετο αὐτῶν καὶ ἀπέθανον τῶν Θεσσαλῶν καὶ Ἀθηναίων οὐ πολλοί· ἀνεῖλοντο μέντοι αὐτοὺς αὐθημερὸν ἀσπόνδους. καὶ οἱ Πελοποννήσιοι τροπαῖον τῇ ὑστεραίᾳ ἔστησαν. ἡ δὲ βοήθεια αὕτη τῶν Θεσσαλῶν κατὰ τὸ 3
παλαιὸν ξυμμαχικὸν ἐγένετο τοῖς Ἀθηναίοις, καὶ ἀφίκοντο παρ' αὐτοὺς Λαρισαῖοι, Φαρσάλιοι, Παράσιοι, Κρανώνιοι, Πυράσιοι, Γυρτώνιοι, Φεραῖοι, ἡγοῦντο δὲ αὐτῶν ἐκ μὲν Λαρίσης Πολυμήδης καὶ Ἀριστόνους, ἀπὸ τῆς στάσεως ἑκάτερος, ἐκ δὲ Φαρσάλου Μένων· ἦσαν δὲ καὶ τῶν ἄλλων κατὰ πόλεις ἄρχοντες.

Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ οὐκ ἐπεξήεσαν αὐτοῖς οἱ 23
Ἀθηναῖοι ἐς μάχην, ἄραντες ἐκ τῶν Ἀχαρνῶν ἐδήουν τῶν δήμων τινὰς ἄλλους τῶν μεταξὺ Πάρνηθος καὶ Βριλήσσου ὄρους. ὄντων δὲ αὐτῶν ἐν τῇ γῇ οἱ Ἀθηναῖοι ἀπέστειλαν τὰς ἑκατὸν ναῦς περὶ Πελοπόννησον ἅσπερ παρεσκευάζοντο καὶ χιλίους ὁπλίτας ἐπ' αὐτῶν καὶ τοξότας τετρακοσίους· ἐστρατήγει δὲ Καρκίνος τε ὁ Ξενοτίμου καὶ Πρωτέας ὁ Ἐπικλέους καὶ Σωκράτης ὁ Ἀντιγένους. καὶ οἱ μὲν ἄραντες τῇ 2
παρασκευῇ ταύτῃ περιέπλεον, οἱ δὲ Πελοποννήσιοι χρόνον ἐμμείναντες ἐν τῇ Ἀττικῇ ὅσου εἶχον τὰ ἐπιτήδεια ἀνεχώρη-

---

bezeichnet das Wort bei Arrian. — *τέλει*, *τάγματι*. (Sch.) vgl. Weſſ. zu Her. 1, 103 (Kr.) Wie groß ein Geſchwader geweſen iſt unbekannt. — *ἀσπόνδους*, mithin ohne ſich für beſiegt zu erklären. vgl. zu 1, 63, 3.

§ 3. *ξυμμαχικόν*. zu 1, 107, 4. — *Παράσιοι*. *Πειράσιοι* Bl. aus Steph. B.; tilgen will es Pp. als aus einer verſchiedenen Schreibart für *Πυράσιοι* entſtanden. — *Πυράσιοι* für *Πειράσιοι* zwei gute Hſn. vgl. Strabo 9 p. 435. (Pp.) — *τῆς στάσεως*. Der Artikel iſt wohl mit Ba. poſſeſſiv zu nehmen: von ſeiner Faction, Einer von der demokratiſchen, Einer von der oligarchiſchen. Nur weil letzteres auffallend, ſcheint Th. den Zuſatz gemacht zu haben.

C. 23. § 1. *ἄραντες*. *αἴρειν* intranſitiv aufbrechen iſt bei andern Attikern nicht häufig. vgl. Gr. 53, 2 A. 1, bei Th. ſehr gewöhnlich, z. B. a) von Landtruppen 2, 98, 1. 3, 96, 1. 4, 11, 1, mit ἐξ 4, 103, 1, ἀπό 2, 56, 3. 3, 95, 1; b) von Schiffen 2, 22, 3. 25, 3, mit ἐξ 3, 32, 1. 91, 2. 106, 1. 4, 45, 1 ꝛc. — *παρεσκευάζοντο* aus gerüſtet hatten 2, 17, 3. vgl. 8, 26, 2. (Kr.) Gr. 53, 2 A. 8. — *χιλίους*. Ueber die geringe Anzahl Sintenis zu Plut. Them. 14.

§ 2. *περιέπλεον*, *τὴν Πελοπόννησον*. (Hl. u. Pp.) — *ὅσου*

σαν διὰ Βοιωτῶν, οὐχ ἥπερ ἐσέβαλον· παριόντες δὲ Ὠρωπὸν τὴν γῆν τὴν Πειραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι, Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν. ἀφικόμενοι δὲ ἐς Πελοπόννησον διελύθησαν κατὰ πόλεις ἕκαστοι.

24 Ἀναχωρησάντων δὲ αὐτῶν οἱ Ἀθηναῖοι φυλακὰς κατεστήσαντο καιὰ γῆν καὶ κατὰ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν· καὶ χίλια τάλαντα ἀπὸ τῶν ἐν τῇ ἀκροπόλει χρημάτων ἔδοξεν αὐτοῖς ἐξαιρετα ποιησαμένοις χωρὶς θέσθαι καὶ μὴ ἀναλοῦν, ἀλλ' ἀπὸ τῶν ἄλ-
2 λων πολεμεῖν· ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα ἐς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν ἐπέθεντο. τριήρεις τε μετ' αὐτῶν ἑκατὸν ἐξαιρέτους ἐποιήσαντο καιὰ τὸν ἐνιαυτὸν ἕκαστον τὰς βελτίστας καὶ τριηράρχους αὐταῖς, ὧν μὴ χρῆσθαι μηδεμιᾷ ἐς ἄλλο τι ἢ μετὰ τῶν χρημάτων περὶ τοῦ αὐτοῦ κινδύνου, ἢν δέῃ.

25 Οἱ δ' ἐν ταῖς ἑκατὸν ναυσὶ περὶ Πελοπόννησον Ἀθηναῖοι καὶ Κερκυραῖοι μετ' αὐτῶν, πεντήκοντα ναυσὶ προσβεβοηθηκότες, καὶ ἄλλοι τινὲς τῶν ἐκεῖ ξυμμάχων ἄλλα τε ἐκάκουν περιπλέοντες καὶ ἐς Μεθώνην τῆς Λακωνικῆς ἀποβάντες τῷ τείχει προσέβαλον, ὄντι ἀσθενεῖ καὶ ἀνθρώπων οὐκ ἐνόν-

---

für ὅσον die beſten Hſn. vgl. 3, 1, 2. (Bk.) vgl. zu 1, 48, 1. 143, 2 — Πειραϊκην. Γραικήν (Γραϊκήν) Steph. Byz.

C. 24. § 1. χίλια τάλαντα. 8, 15, 1. vgl. Böckh Staatsh. 1 S. 311 u. Inscr. p. 903. (Py.).

§ 2. εἰπεῖν iſt der feſte Ausdruck von Geſetzvorſchlägen u. dgl. — ἢν μή findet ſich ähnlich nach μὴ πρότερον in einigen Hſn. 7, 63, 1. — νηΐτης στρατός auch 4, 85, 4, nachgeahmt von Spätern, wie Arr. An. 7, 7, 7: νηΐτης στόλος. — θάνατον in dieſer Verbindung in der Regel ohne Artikel, der jedoch bei ζημία öfter ſteht: als die gebührende Strafe. — ἐπέθεντο ungewöhnliches Medium, da ſonſt ζημίαν, δίκην ἐπιτιθέναι üblich iſt. (Py.) Vor ſchwebte wohl die Analogie von νόμον τίθεσθαι. — κατὰ — βελτίστας. Es iſt anzunehmen daß für die hundert Schiffe jährlich hundert andere ſubſtituirt wurden. Anſprechend iſt was eine Hſ. für dieſe Worte hat μετὰ τῶν ναυτῶν τὰς βελτίστας. Kr. z. Dion. p. 310. — χρῆσθαι hängt noch von ἔδοξεν ab. vgl. 5, 63, 3. (Py.).

C. 25. § 1. ἐκεῖ ſ. 2, 9, 3. — ἄλλα andre Gegenden (Hl.) — τῆς Λακωνικῆς, wozu damals auch Meſſene gerechnet wurde. Kr. zum Clinton p. 402. — ὄντι καὶ ἐνόντων. Gr. 56, 14 A. 2. — ἀνθρώπων, λείπει πολλῶν. (Sch.) vgl. § 2. Py. verſteht Soldaten.

ιων. ἔτυχε δὲ περὶ τοὺς χώρους τούτους Βρασίδας ὁ Τέλ- 2
λιδος, ἀνὴρ Σπαρτιάτης, φρουρὰν ἔχων καὶ αἰσθόμενος ἐβοή-
θει τοῖς ἐν τῷ χωρίῳ μετὰ ὁπλιτῶν ἑκατόν. διαδραμὼν δὲ
τὸ τῶν Ἀθηναίων στρατόπεδον, ἐσκεδασμένον κατὰ τὴν χώραν
καὶ πρὸς τὸ τεῖχος τετραμμένον, ἐσπίπτει ἐς τὴν Μεθώνην,
καὶ ὀλίγους τινὰς ἐν τῇ ἐσδρομῇ ἀπολέσας τῶν μεθ' ἑαυτοῦ
τήν τε πόλιν περιεποίησε καὶ ἀπὸ τούτου τοῦ τολμήματος
πρῶτος τῶν κατα τὸν πόλεμον ἐπῃνέθη ἐν Σπάρτῃ. οἱ δὲ 3
Ἀθηναῖοι ἄραντες παρέπλεον καὶ σχόντες τῆς Ἠλείας ἐς
Φειὰν ἐδῄουν τὴν γῆν ἐπὶ δύο ἡμέρας, καὶ προσβοηθήσαντας
τῶν ἐκ τῆς κοίλης Ἤλιδος τριακοσίους λογάδας καὶ τῶν αὐ-
τόθεν ἐκ τῆς περιοικίδος Ἠλείων μάχῃ ἐκράτησαν. ἀνέμου
δὲ κατιόντος μεγάλου χειμαζόμενοι ἐν ἀλιμένῳ χωρίῳ οἱ
μὲν πολλοὶ ἐπέβησαν ἐπὶ τὰς ναῦς καὶ περιέπλεον τὸν Ἰχθῦν
καλούμενον τὴν ἄκραν ἐς τὸν ἐν τῇ Φειᾷ λιμένα, οἱ δὲ Μεσ- 4
σήνιοι ἐν τούτῳ καὶ ἄλλοι τινὲς οἱ οὐ δυνάμενοι ἐπιβῆναι
κατὰ γῆν χωρήσαντες τὴν Φειὰν αἱροῦσιν. καὶ ὕστερον αἵ τε
νῆες περιπλεύσασαι ἀναλαμβάνουσιν αὐτοὺς καὶ ἐξανάγονται
ἐκλιπόντες Φειάν, καὶ τῶν Ἠλείων ἡ πολλὴ ἤδη στρατιὰ
προσεβεβοηθήκει. παραπλεύσαντες δὲ οἱ Ἀθηναῖοι ἐπὶ ἄλλα
χωρία ἐδῄουν.

Ὑπὸ δὲ τὸν αὐτὸν χρόνον τοῦτον οἱ Ἀθηναῖοι τριάκοντα 26
ναῦς ἐξέπεμψαν περὶ τὴν Λοκρίδα καὶ Εὐβοίας ἅμα φυλα-
κήν· ἐστρατήγει δὲ αὐτῶν Κλεόπομπος ὁ Κλεινίου. καὶ ἀπο-
βάσεις ποιησάμενος τῆς τε παραθαλασσίου ἔστιν ἃ ἐδῄωσε
καὶ Θρόνιον εἷλεν, ὁμήρους τε ἔλαβεν αὐτῶν καὶ ἐν Ἀλόπῃ
τοὺς βοηθήσαντας Λοκρῶν μάχῃ ἐκράτησεν.

---

§ 2. περιεποίησε rettete, Correlat zu περισῶναι bei Her. 3, 36. vgl. unten 3, 102, 2. 4, 105, 1. 6, 104, 2.

§ 3. σχόντες. zu 1, 110, 2. — τῶν κατὰ τὸν πόλεμον unter den in diesem Kriege Beschäftigten. (Ba.) — κατιέναι ist der eigentliche Ausdruck von einem irgend woher wehenden Winde. So 2, 84, 2. 6, 2, 4. Arr. An. 6, 18, 5: τὸ πνεῦμα κατῄει μέγα ἀπὸ τῆς ἕω θαλάσσης. vgl. Sintenis zu Plut. Per. 33. — Ἰχθῦν für Ἰχθύν die Grammatiker. Göttling Accentl. S. 260. — ἐν τῇ Φειᾷ bei Pheia vgl. 1, 52, 1. 4, 25, 4. (Pp.).

§ 4. καί vor τῶν ist fast so viel als γάρ. (Pp.)

C. 26. περὶ τὴν Λ. καὶ φυλακήν. Gr. 59, 2 A. 2.

σαν διὰ Βοιωτῶν, οὐχ ἥπερ ἐσέβαλον· παριόντες δὲ Ὠρωπὸν τὴν γῆν τὴν Πειραϊκὴν καλουμένην, ἣν νέμονται Ὠρώπιοι, Ἀθηναίων ὑπήκοοι, ἐδῄωσαν. ἀφικόμενοι δὲ ἐς Πελοπόννησον διελύθησαν κατὰ πόλεις ἕκαστοι.

55 Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ ἔτεμον τὸ πεδίον, παρῆλθον ἐς τὴν Πάραλον γῆν καλουμένην μέχρι Λαυρίου, οὗ τὰ ἀργύρεια μέταλλά ἐστιν Ἀθηναίοις. καὶ πρῶτον μὲν ἔτεμον ταύτην ᾗ πρὸς Πελοπόννησον ὁρᾷ, ἔπειτα δὲ τὴν πρὸς Εὔβοιάν τε καὶ Ἄνδρον τετραμμένην. Περικλῆς δὲ στρατηγὸς
56 ὢν καὶ τότε περὶ μὲν τοῦ μὴ ἐπεξιέναι τοὺς Ἀθηναίους τὴν αὐτὴν γνώμην εἶχεν ὥσπερ καὶ ἐν τῇ προτέρᾳ ἐσβολῇ· ἔτι δ' αὐτῶν ἐν τῷ πεδίῳ ὄντων, πρὶν ἐς τὴν παραλίαν γῆν ἐλθεῖν, ἑκατὸν νεῶν ἐπίπλουν τῇ Πελοποννήσῳ παρεσκευάζετο, καὶ ἐπειδὴ ἑτοῖμα ἦν, ἀνήγετο. ἦγε δ' ἐπὶ τῶν νεῶν ὁπλίτας Ἀθη-
2 ναίων τετρακισχιλίους καὶ ἱππέας ἐν ναυσὶν ἱππαγωγοῖς πρῶτον τότε ἐκ τῶν παλαιῶν νεῶν ποιηθείσαις· ξυνεστρατεύοντο δὲ καὶ Χῖοι καὶ Λέσβιοι πεντήκοντα ναυσίν. ὅτε δὲ ἀνήγετο ἡ στρατιὰ αὕτη Ἀθηναίων, Πελοποννησίους κατέλιπον τῆς Ἀττικῆς ὄντας ἐν τῇ παραλίᾳ. ἀφικόμενοι δὲ ἐς Ἐπίδαυρον τῆς Πελοποννήσου ἔτεμον τῆς γῆς τὴν πολλήν, καὶ πρὸς τὴν πόλιν προσβαλόντες ἐς ἐλπίδα μὲν ἦλθον τοῦ ἑλεῖν, οὐ μέν-
3 τοι προεχώρησέ γε. ἀναγαγόμενοι δὲ ἐκ τῆς Ἐπιδαύρου

---

§ 4. *δέ. δ' οὖν*? Gr. 69, 52 A. 2. Oder die Erklärung iſt in der Stellung zu ſuchen: nach dem Einfalle der P. fing die Seuche ſogleich an. — *ἐς μὲν Π.* vgl. Pauſ. 8, 41, 5. (Siebelis zu 2, 32, 5.) — *ὅ τι ἄξιον καὶ εἰπεῖν* zwar einigermaßen, doch nicht ſo viel daß es auch der Rede werth wäre. — *ἐπινέμεσθαι* uneigentlich wie vom zehrenden Feuer, ſo von Seuchen. Liban. 4 p. 780, 7: *μὴ τὸ νόσημα ὅλην ἐπινέμοιτο τὴν ἀγέλην.* (Jacobs.) — *ταῦτα μέν* ohne *ἦν*, wie 7, 87, 6. (Py.)

C. **55**. *Πάραλον.* Schöm. de com. p. 342 s. — *ᾗ* für *ᾗ* einige Hſn., wie nothwendig iſt, wenn man nicht *ταύτης* beſſern will. — *ὁρᾷ*, wie 2, 93, 3. 6, 75, 1. 97, 4. 7, 37, 1; *βλέπειν* braucht Th. in dieſem Sinne nicht. — *ὧν. τινὲς εἰς τὸ ὧν, τινὲς εἰς τὸ καὶ τότε στίζουσιν.* (Sch.) — *ὥσπερ.* Gr. 69, 64 A. 1.

C. **56**. § 1. *ἑτοῖμα.* zu 2, 3, 3. — *πρῶτον τότε*, nämlich von den Athenern; denn z. B. bei den Perſern finden wir ſie ſchon Her. 6, 48. 7, 97. vgl. unten 4, 42, 1. 6, 43, 2. (Dſ. u. Py.) Ar. Ri 599.

§ 2. *τῆς Π.* Der Name Argolis kommt bei Th. nicht vor. (Py.) — *προεχώρησε.* zu 1, 74, 4.

ἕτεμον τήν τε Τροιζηνίδα γῆν καὶ τὴν Ἁλιάδα καὶ τὴν Ἑρμιονίδα· ἔστι δὲ πάντα ταῦτα ἐπιθαλάσσια τῆς Πελοποννήσου. ὁρμηθέντες δὲ ἀπ' αὐτῶν ἀφίκοντο ἐς Πρασιὰς τῆς Λακωνικῆς, πόλισμα ἐπιθαλάσσιον, καὶ τῆς τε γῆς ἕτεμον καὶ αὐτὸ τὸ πόλισμα εἷλον καὶ ἐπόρθησαν. ταῦτα δὲ ποιήσαντες ἐπ' οἶκου ἀνεχώρησαν. τοὺς δὲ Πελοποννησίους οὐκέτι κατέλαβον ἐν τῇ Ἀττικῇ ὄντας ἀλλ' ἀναχεχωρηκότας. ὅσον δὲ χρόνον 57
οἱ τε Πελοποννήσιοι ἦσαν ἐν τῇ γῇ τῇ Ἀθηναίων καὶ οἱ Ἀθηναῖοι ἐστράτευον ἐπὶ τῶν νεῶν ἡ νόσος ἔν τε τῇ στρατιᾷ τοὺς Ἀθηναίους ἔφθειρε καὶ ἐν τῇ πόλει, ὥστε καὶ ἐλέχθη τοὺς Πελοποννησίους δείσαντας τὸ νόσημα, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων ὅτι ἐν τῇ πόλει εἴη καὶ θάπτοντας ἅμα ἠσθάνοντο, θᾶσσον ἐκ τῆς γῆς ἐξελθεῖν. τῇ δ' ἐσβολῇ ταύτῃ πλεῖστόν τε χρόνον ἐνέμειναν καὶ τὴν γῆν πᾶσαν ἔτεμον· ἡμέρας γὰρ τεσσαράκοντα μάλιστα ἐν τῇ γῇ τῇ Ἀττικῇ ἐγένοντο.

Τοῦ δ' αὐτοῦ θέρους Ἄγνων ὁ Νικίου καὶ Κλεόπομπος 58
ὁ Κλεινίου, ξυστράτηγοι ὄντες Περικλέους, λαβόντες τὴν στρατιὰν ἣπερ ἐκεῖνος ἐχρήσατο ἐστράτευσαν εὐθὺς ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Ποτίδαιαν ἔτι πολιορκουμένην, ἀφικόμενοι δὲ μηχανάς τε τῇ Ποτιδαίᾳ προσέφερον καὶ παντὶ τρόπῳ ἐπειρῶντο ἑλεῖν. προυχώρει δὲ αὐτοῖς οὔτε ἡ αἵρεσις 2
τῆς πόλεως οὔτε τἆλλα τῆς παρασκευῆς ἀξίως· ἐπιγενομένη γὰρ ἡ νόσος ἐνταῦθα δὴ πάνυ ἐπίεσε τοὺς Ἀθηναίους, φθείρουσα τὴν στρατιάν, ὥστε καὶ τοὺς προτέρους στρατιώτας νοσῆσαι τῶν Ἀθηναίων ἀπὸ τῆς ξὺν Ἄγνωνι στρατιᾶς, ἐν τῷ πρὸ τοῦ χρόνῳ ὑγιαίνοντας. Φορμίων δὲ καὶ οἱ ἑξακόσιοι καὶ χίλιοι οὐκέτι ἦσαν περὶ Χαλκιδέας. ὁ μὲν οὖν Ἄγνων ταῖς ναυσὶν ἀνεχώρησεν ἐς τὰς Ἀθήνας, ἀπὸ τετρακισχιλίων ὁπλιτῶν χιλίους καὶ πεντήκοντα τῇ νόσῳ ἀπολέσας ἐν τεσσαράκοντα μάλιστα ἡμέραις· οἱ δὲ πρότεροι στρατιῶται κατὰ χώραν μένοντες ἐπολιόρκουν τὴν Ποτίδαιαν.

C. 57. ἐσβολῇ. Gr. 48, 2 A. 9. — πλεῖστον, länger als bei einem der andern Einfälle. vgl. zu 2, 13, 3. — ἐνέμειναν, im Lande. (Bs.) Einige Hſn. ἔμειναν.

C. 58. § 1. ἔτι πολιορκουμένην. vgl. 1, 64, 2. — προσέφερον. Gewöhnlicher προσῆγον. (Bp.)

§ 2. ἐνταῦθα δή. zu 1, 91, 3. — νοσῆσαι krank wurden.

59 Μετὰ δὲ τὴν δευτέραν ἐσβολὴν τῶν Πελοποννησίων οἱ Ἀθηναῖοι, ὡς ἥ τε γῆ αὐτῶν ἐτέτμητο τὸ δεύτερον καὶ ἡ νόσος ἐπέκειτο ἅμα καὶ ὁ πόλεμος, ἠλλοίωντο τὰς γνώμας, καὶ τὸν μὲν Περικλέα ἐν αἰτίᾳ εἶχον ὡς πείσαντα σφᾶς πολεμεῖν καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες, πρὸς δὲ τοὺς Λακεδαιμονίους ὥρμηντο ξυγχωρεῖν. καὶ πρέσβεις 2 τινὰς πέμψαντες ὡς αὐτοὺς ἄπρακτοι ἐγένοντο. πανταχόθεν τε τῇ γνώμῃ ἄποροι καθεστῶτες ἐνέκειντο τῷ Περικλεῖ. ὁ δὲ ὁρῶν αὐτοὺς πρὸς τὰ παρόντα χαλεπαίνοντας καὶ πάντα ποιοῦντας ἅπερ αὐτὸς ἤλπιζεν, ξύλλογον ποιήσας, ἔτι δ' ἐστρατήγει, ἐβούλετο θαρσῦναί τε καὶ ἀπαγαγὼν τὸ ὀργιζόμενον τῆς γνώμης πρὸς τὸ ἠπιώτερον καὶ ἀδεέστερον καταστῆσαι. παρελθὼν δὲ ἔλεξε τοιάδε.

60 "Καὶ προσδεχομένῳ μοι τὰ τῆς ὀργῆς ὑμῶν ἐς ἐμὲ γεγένηται, αἰσθάνομαι γὰρ τὰς αἰτίας, καὶ ἐκκλησίαν τούτου ἕνεκα ξυνήγαγον, ὅπως ὑπομνήσω καὶ μέμψωμαι εἴ τι μὴ 2 ὀρθῶς ἢ ἐμοὶ χαλεπαίνετε ἢ ταῖς ξυμφοραῖς εἴκετε. ἐγὼ γὰρ ἡγοῦμαι πόλιν πλείω ξύμπασαν ὀρθουμένην ὠφελεῖν τοὺς ἰδιώτας ἢ καθ' ἕκαστον τῶν πολιτῶν εὐπραγοῦσαν, ἀθρόαν δὲ σφαλλομένην. καλῶς μὲν γὰρ φερόμενος ἀνὴρ τὸ καθ' ἑαυτὸν διαφθειρομένης τῆς πατρίδος οὐδὲν ἧσσον ξυναπόλλυται, κακοτυχῶν δὲ ἐν εὐτυχούσῃ πολλῷ μᾶλλον

C. 59. § 1. ἠλλοίωντο, μετεβλήθησαν. (Sch.) 4, 106, 1: ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας. — ξυγχωρεῖν, ἐνδιδόναι. (Sch.) nachgeben auch 2, 66. 3, 27; ſchlechtweg einen Vertrag ſchließen ſcheint es auch 3, 96, 2 nicht zu heißen; „mit πρὸς wie hier 3, 27." (Gb.) Nicht nöthig alſo iſt es dies mit ὥρμηντο zu verbinden und nach Gr. 61, 6 A. 9 zu erklären. (Pp.)

§ 2. πανταχόθεν durch von allen Seiten ſie bedrängende Widerwärtigkeiten. — ἤλπιζε. zu 1, 1, 1. — ἀπάγειν ablenken, wie 2, 65, 1. (Pp.)

C. 60. §. 1. καί ſteht mit dem folgenden καί in Bezug. (Pp.) vgl. zu 1, 80, 1. — τὰ τῆς die Aeußerungen des. Gr. 47, 5 A. 10. — μέμψωμαι faſt alle Hſn., μέμψομαι Bk.

§ 2. πλείω ὠφελεῖν. Gr. 46, 5 A. 5. — ὀρθουμένην. vgl. 3, 30, 2. 37, 5. 42, 4. 4, 18, 3. 5, 9, 3. 111, 5. — καλῶς φερόμενος dem es wohl ergeht. vgl. 5, 15, 2. 16, 2. (Dr.) Xen. Oek. 5, 17: εὖ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι. Ueber die Sache Kr. z. Dion. p. 189 s. — μᾶλλον als der Glückliche im unglücklichen Staate. Plat. Geſ. 875, a: ξυμφέρει τῷ κοινῷ τε καὶ τῷ ἰδίῳ τοῖν ἀμφοῖν ἢν τὸ κοινὸν εὖ πρᾶττειν καλῶς μᾶλλον ἢ τὸ ἴδιον.

διασώζεται. ὁπότε οὖν πόλις μὲν τὰς ἰδίας ξυμφορὰς νῦν 3
τε φέρειν, εἷς δ' ἕκαστος τὰς ἐκείνης ἀδύνατος, πῶς οὐ χρὴ
πάντας ἀμύνειν αὐτῇ, καὶ μὴ ὃ νῦν ὑμεῖς ὁρᾶτε, ταῖς
καὶ εἶκον κακοπραγίαις ἐκπεπληγμένοι τοῦ κοινοῦ τῆς σω-
τηρίας ἀφίεσθε, καὶ ἐμέ τε τὸν παραινέσαντα πολεμεῖν καὶ
ὑμᾶς αὐτούς, οἳ ξυνέγνωτε, δι' αἰτίας ἔχετε. καίτοι ἐμοί τοι- 4
αύτῳ ἀνδρὶ ὀργίζεσθε ὃς οὐδενὸς οἶομαι ἧσσων εἶναι γνῶναί
τε τὰ δέοντα καὶ ἑρμηνεῦσαι ταῦτα, φιλόπολις τε καὶ χρη-
μάτων κρείσσων. ὅ τε γὰρ γνοὺς καὶ μὴ σαφῶς διδάξας ἴσον
ἴσῳ καὶ εἰ μὴ ἐνεθυμήθη· ὅ τ' ἔχων ἀμφότερα, τῇ δὲ πόλει
ὀύσνους, οὐκ ἂν ὁμοίως τι οἰκείως φράζοι· προσόντος δὲ
καὶ τοῦδε, χρήμασι δὲ νικωμένου, τὰ ξύμπαντα τούτου ἑνὸς
ἂν πωλοῖτο. ὥστ' εἴ μοι καὶ μέσως ἡγούμενοι μᾶλλον ἑτέ-
ρων προσεῖναι αὐτὰ πολεμεῖν ἐπείσθητε, οὐκ ἂν εἰκότως νῦν
τοῦ γε ἀδικεῖν αἰτίαν φεροίμην. καὶ γὰρ οἷς μὲν αἵρεσις 61

---

§ 3. ὁπότε da. Kr. zu Xen. An. 3, 2, 2. — τὰς ἰδίας die der Einzelnen. (Sch.) Wenn nicht ἰδίᾳ zu leſen iſt, wie vielleicht auch 2, 37, 1. vgl. 1, 68, 2. 95, 3. — φέρειν übertragen. — καὶ μή erg. ὁρᾶν. Herm. z. Vig. 194, c. — ἀφίεσθε, ſchlechte Hſſ. ἀφεῖσθαι, iſt epexegetiſcher Satz zu ὁρᾶτε. vgl. 6, 11, 4. 36, 2. (Pp.). Gr. 59, 1 A. 5 u. 6 u. Pflugk zu Eur. Her. 178. — συνέγνωτε mit beſchloſſet. vgl. 7, 73, 2. ξυνδιέγνωτε 2, 64, 1 (Pp.), zugleich den Begriff des Durchgängigen enthaltend. — δι' αἰτίας ἔχειν. δι' ὀργῆς ἔχειν 5, 29, 3. 46, 5. vgl. 7, 8, 3.

§ 4. οὐδενὸς ἧσσων nicht unfähiger als irgend Jemand. vgl. 8, 68, 2 u. Gr. 47, 27 A. 3. — γνῶναι von der Einſicht dem ἐνθυμηθῆναι ſynonym 8, 68, 2. (Pp.) vgl. 1, 70, 2. — ἑρμηνεῦσαι vom redneriſchen Vortrage auch Ant. 3, β, 1, Xen. Oek. 11, 23 u. Mem. 1, 2, 52: ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα καὶ ἑρμηνεῦσαι δυναμένους. — χρημάτων κρείσσων nicht gewinnſüchtig. vgl. Sintenis zu Plut. Them. 6. — ἐν ἴσῳ erg. ἐστὶν iſt in eben der Lage, kann nicht mehr wirken. — καὶ εἰ als wenn. Gr. 69, 32 A. 5. — ὁμοίως als wenn er φιλόπολις wäre. (Dſ.) — οἰκείως vortheilhaft für den Staat. (Ba.) — τοῦδε, τοῦ ἔν-νου τῇ πόλει aus τῇ πόλει ὀύσνου zu entnehmen. (Kr.) — νικωμένου erg. αὐτοῦ, wohl als Masc. zu denken. Gr. 47, 4 A. 3. — πωλοῖτο iſt paſſiv zu nehmen. (Ba.) — τούτου, χρημάτων. (Ba.) — μοι, nicht ἐμοί, weil hier der Gegenſatz noch nicht gedacht wird. Kr. zu Xen. An. 3, 4, 41. — καί. Gr. 69, 32 A. 19. — μέσως, μετρίως. (Sch.) — ἑτέρων. zu 1, 85, 2. — αὐτά, jene Eigenſchaften.

C. 61. §. 1. καὶ γάρ. Der Zuſammenhang: ich bin unſchuldig; denn auch die Verhältniſſe nöthigten uns den Krieg zu wählen. — οἷς für die welchen. — αἵρεσις γεγένηται die Wahl freigeſtellt iſt zwiſchen Krieg und Frieden. (Pp.) Auch hier will der Sch.

γεγένηται τἆλλα εὐτυχοῦσι, πολλὴ ἄνοια πολεμῆσαι· εἰ
δ' ἀναγκαῖον ἦν ἢ εἴξαντας εὐθὺς τοῖς πέλας ὑπακοῦσαι ἢ
κινδυνεύσαντας περιγενέσθαι, ὁ φυγὼν τὸν κίνδυνον τοῦ ὑπο-
2 στάντος μεμπτότερος. καὶ ἐγὼ μὲν ὁ αὐτός εἰμι καὶ οὐκ
ἐξίσταμαι· ὑμεῖς δὲ μεταβάλλεσθε, ἐπειδὴ ξυνέβη ὑμῖν πει-
σθῆναι μὲν ἀκεραίοις, μεταμέλειν δὲ κακουμένοις, καὶ τὸν
ἐμὸν λόγον ἐν τῷ ὑμετέρῳ ἀσθενεῖ τῆς γνώμης μὴ ὀρθὸν
φαίνεσθαι, διότι τὸ μὲν λυποῦν ἔχει ἤδη τὴν αἴσθησιν ἑκά-
στῳ, τῆς δὲ ὠφελίας ἄπεστιν ἔτι ἡ δήλωσις ἅπασιν, καὶ με-
ταβολῆς μεγάλης, καὶ ταύτης ἐξ ὀλίγου, ἐμπεσούσης ταπεινὴ
3 ὑμῶν ἡ διάνοια ἐγκαρτερεῖν ἃ ἔγνωτε. δουλοῖ γὰρ φρόνημα
τὸ αἰφνίδιον καὶ ἀπροσδόκητον καὶ τὸ πλείστῳ παραλόγῳ
ξυμβαῖνον· ὃ ὑμῖν πρὸς τοῖς ἄλλοις οὐχ ἥκιστα καὶ κακὰ
τὴν νόσον γεγένηται. ὅμως δὲ πόλιν μεγάλην οἰκοῦντας καὶ

πολεμῆσαι hinzugedenken. — τἆλλα εὐτυχοῦσι während ſie glücklich ſind in Bezug auf die übrigen Verhältniſſe außer denen die zum Kriege drängen. Doch ſind dieſe Worte vielleicht mit dem Folgenden zu verbinden. — εἰ δ' ἀναγκαῖον ἦν wenn es aber nothwendig war: Uebergang vom Allgemeinen zum vorliegenden Falle. vgl. zu 1, 71, 1. Ueber die Sache 1, 141, 1. — κινδυνεύσαντας nachdem wir die Gefahr übernommen, der Aoriſt vom Eintreten der Handlung. Gr. 53, 5 A. 1. — μεμπτότερος. Gr. 49, 7 A. 2.

§ 2. ὁ αὐτός εἰμι, τῇ γνώμῃ wird 3, 38, 1 hinzugefügt. — οὐκ ἐξίσταμαι ὧν παρῆνεσα. (Sch.) Soph. Ant. 564: οὐ μένει νοῦς τοῖς κακῶς πράσσουσιν, ἀλλ' ἐξίσταται. — μεταβάλλεσθε ändert euch, eure Geſinnung. Gr. 52, 2 A. 7. Iſokr. 4, 125: τοσοῦτον μεταβεβλήκασιν ὥστε ταῖς πολιτείαις πολεμοῦσι. vgl. Plat. Rep. 564, a, Geſ. 904 u. 948. — ὑμέτερος iſt nach ziemlich feſtem Sprachgebrauche dem regierenden Worte accommodirt. vgl. 6, 16, 2. Lobeck zu Soph. Aj. p. 74. Gr. 51, 4 A. 7. — γνώμης Geſinnung. Man muß ſehr modern ſein um den Ausdruck beleidigend zu finden. — τὸ λυποῦν das Beläſtigende. Men. 148: ἀεὶ τὸ λυποῦν ἀποδίωκε τοῦ βίου. — ἔχει. zu 2, 41, 2. — καὶ ταύτης. Gr. 51, 7 A. 13. — ἐξ ὀλίγου. zu 2, 11, 3. — ταπεινή zu niedrig, nicht hochſinnig genug, um. vgl. zu 1, 50, 5. — ἅ für τούτοις ἅ und ohne Aſſimilation (οἷς). Xen. Hipp. 8, 22: δυνήσονται ἃ ἂν γνῶσιν ἐγκαρτερεῖν. (Bl.) Doch ſagt man auch ἐγκαρτερεῖν π. Pflugk zu Eur. Herk. 1351. (Pp.) vgl. Gr. 51, 13.

§ 3. δουλοῖ beugt nieder mit Bezug auf die ταπεινὴ διάνοια, die hier erklärt und entſchuldigt wird. „Eur. Hipp. 424: δουλοῖ γὰρ ἄνδρα, κἂν θρασύστολος τις ᾖ, παρὸς κακά." (Bl.) vgl. zu 4, 34, 1. — φρόνημα. zu 2, 62, 5. — πλείστῳ. πλείστῳ τῷ? Gr. 50, 11 A. 1. — πρὸς τοῖς ἄλλοις außer in den andern Dingen, der Einſchlie-

ἐν ἤθεσιν ἀντιπάλοις αὐτῇ τεθραμμένους χρεὼν καὶ ξυμφοραῖς ταῖς μεγίσταις ἐθέλειν ὑφίστασθαι καὶ τὴν ἀξίωσιν μὴ ἀφανίζειν — ἐν ἴσῳ γὰρ οἱ ἄνθρωποι δικαιοῦσι τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι ὅστις μαλακίᾳ ἐλλείπει καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀρεγόμενον — ἀπαλγήσαντας δὲ τὰ ἴδια τοῦ κοινοῦ τῆς σωτηρίας ἀντιλαμβάνεσθαι."

"Τὸν δὲ πόνον τὸν κατὰ τὸν πόλεμον, μὴ γένηταί τε 62
πολὺς καὶ οὐδὲν μᾶλλον περιγενώμεθα, ἀρκείτω μὲν ὑμῖν καὶ ἐκεῖνα ἐν οἷς ἄλλοτε πολλάκις γε δὴ ἀπέδειξα οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον· δηλώσω δὲ καὶ τόδε, ὃ μοι δοκεῖτε οὔτ' αὐτοὶ πώποτε ἐνθυμηθῆναι ὑπάρχον ὑμῖν μεγέθους πέρι ἐς τὴν ἀρχὴν οὔτ' ἐγὼ ἐν τοῖς πρὶν λόγοις· οὐδ' ἂν 2
νῦν ἐχρησάμην κομπωδεστέραν ἔχοντι τὴν προσποίησιν, εἰ μη

ßung, der Verwüſtung des Landes. — ἀντιπάλοις, ἴσως καὶ παραπλησίους τῷ μεγέθει τῆς πόλεως. (Sch.) entſprechende. — ξυμφορὰς τὰς μεγίστας ſchlechte Hſn. κινδύνους ὑφίστασθαι 4, 59, 2. (Dr.) So mit dem Ac. 3, 57, 3. 4, 28, 3, Eur. Herk. 1350. — ἀξίωσιν. zu 1, 69, 2. — ἐν ἴσῳ, ὁμοίως, zu αἰτιᾶσθαι gehörig. (Sch.) — δόξης hängt von ἐλλείπει ab: wer hinter dem vorhandenen Rufe aus Schwäche zurückbleibt, ſich deſſen nicht würdig beweiſt. — ἀπαλγεῖν verſch merzen (Gb.), παυσαμένους ἀλγεῖν, ὥσπερ τὸ ἀπολοφυράμενοι. (Sch.) — ἀντιλαμβάνεσθαι hängt noch von χρεών ab. (Sch.) Plat. Geſ. 875, a: πολιτικῇ καὶ ἀληθεῖ τέχνῃ οὐ τὸ ἴδιον ἀλλὰ τὸ κοινὸν ἀνάγκη μέλειν· τὸ μὲν γὰρ κοινὸν ξυνδεῖ, τὸ δὲ ἴδιον διασπᾷ τὰς πόλεις.

C. 62. § 1. τὸν πόνον iſt an ἀπέδειξα ὑποπτευόμενον anzuſchließen (Abr.), geſetzt als ob ἀρκείτω ἐν οἷς nicht dazwiſchen treten ſollte: ich habe oft gezeigt daß nicht mit Recht die Sorge gehegt werde daß die Anſtrengung im Kriege bedeutend werden und wir nichts deſto weniger nicht obſiegen dürften. — μή iſt an ὑποπτευόμενον anzuſchließen. vgl. zu 2, 13, 1. — ἐν οἷς worin, wodurch. — ἀπέδειξα mit dem Particip, wie Lyſ. 30, 9. 31, 4. vgl. §7, δείξω Thuk. 5, 9, 7 und ſinnverwandte Begriffe häufig. Gr. 56, 7 A. 2. — αὐτόν erneuert den Begriff τὸν πόνον. vgl. Gr. 61, 6 A. 6. — ὑποπτεύεται ὁ πόνος μή, weil man im Activ auch ſagen könnte ὑποπτεύω τὸν πόνον μή. vgl. Gr. 61, 6 A. 3. — ὅ μοι — ἀρχήν ihr ſcheint mir nie erwogen zu haben daß ihr rückſichtlich der Extenſion, des Umfanges eurer Macht, dieſes, dieſen Vorzug, zum Behuf eurer Herrſchaft beſitzet. Ueber das Particip zu 1, 120, 4. — οὔτ' ἐγώ erg. ἐνεθυμήθην, woraus aber hier mehr ein ἐμνήσθην vorſchwebt. Gr. 62, 4 A. 1.

§ 2. ἂν ἐχρησάμην würde mich dieſes Momentes, der Erwähnung dieſer Sache, bedienen. — προσποίησιν Anſpruch. (Abr.)

καταπεπληγμένους ὑμᾶς παρὰ τὸ εἰκὸς ἑώρων. οἴεσθε μὲν γὰρ τῶν ξυμμάχων μόνον ἄρχειν, ἐγὼ δὲ ἀποφαίνω δύο μερῶν τῶν ἐς χρῆσιν φανερῶν, γῆς καὶ θαλάσσης, τοῦ ἑτέρου ὑμᾶς παντὸς κυριωτάτους ὄντας, ἐφ' ὅσον τε νῦν νέμεσθε 3 καὶ ἦν ἐπὶ πλέον βουληθῆτε· καὶ οὐκ ἔστιν ὅστις τῇ ὑπαρχούσῃ παρασκευῇ τοῦ ναυτικοῦ πλέοντας ὑμᾶς οὔτε βασιλεὺς κωλύσει οὔτε ἄλλο οὐδὲν ἔθνος τῶν ἐν τῷ παρόντι· ὥστε οὐ κατὰ τὴν τῶν οἰκιῶν καὶ τῆς γῆς χρείαν, ὧν μεγά- 4 λων νομίζετε ἐστερῆσθαι, αὕτη ἡ δύναμις φαίνεται· οὐδ' εἰκὸς χαλεπῶς φέρειν αὐτῶν μᾶλλον ἢ οὐ κηπίον καὶ ἐγκαλλώπισμα πλούτου πρὸς ταύτην νομίσαντας ὀλιγωρῆσαι, καὶ γνῶναι ἐλευθερίαν μέν, ἣν ἀντιλαμβανόμενοι αὐτῆς διασώσωμεν, ῥᾳδίως ταῦτα ἀναληψομένην, ἄλλων δ' ὑπακούσασι καὶ τὰ προκεκτημένα φιλεῖν ἐλασσοῦσθαι, τῶν τε πατέρων μὴ χείρους κατ' ἀμφότερα φανῆναι, οἳ μετὰ πόνων καὶ οὐ παρ' ἄλλων δεξάμενοι κατέσχον τε καὶ προσέτι διασώσαντες 5 παρέδοσαν ἡμῖν αὐτά — αἴσχιον δὲ ἔχοντας ἀφαιρεθῆναι ἢ

---

vgl. 6, 16, 5. (Py.) — γάρ nämlich mit Bezug auf τόδε § 1. — δύο μερῶν hängt von τοῦ ἑτέρου ab. (Ba.) μέρος eben ſo 8, 46, 3. (Py.) — τῶν φανερῶν iſt Attribut zu μερῶν, nicht von dieſem getrennter Ge. (Ba.) — χρῆσιν. Man möchte πτῆσιν erwarten: von den beiden zum Beſitz vorliegenden Dingen. Allein unbedingter Gebrauch ſchließt den Beſitz ein. — κυριωτάτους. Gr. 49, 7 A. 1. — νέμεσθε. zu 1, 2, 1.

§ 3. βασιλεύς — ἔθνος ſtehen appoſitiv: Niemand, weder ein (der) König noch ein Volk. — κατά im Vergleich (Sch.): dieſe Macht iſt ſo bedeutend daß der Gebrauch der Häuſer und des Landes dagegen offenbar nicht in Anſchlag kommt. vgl. Gr. 56, 4 A. 6. — μεγάλων iſt Prädicat: in denen ihr wichtiger Beſitzthümer beraubt zu ſein glaubet. Gr. 57, 3 A. 3.

§ 4. αὐτῶν wegen derſelben. Gr. 47, 21. — ἢ οὐ, ἀντὶ τοῦ ἀλλά. (Sch.) Gr. 49, 2 A. 4. vgl. 3, 36, 3. — κηπίον Gärtchen; nach andern eine Art von Haarputz. — ἐγκαλλώπισμα Prunkſtück, ein erſt von Spätern aufgenommenes Wort. (Bl.) — διασώσωμεν. Gr. 60, 5 A. 2. — προκεκτημένα wenn auch wenig beglaubigt ſcheint das richtige zu ſein; was die meiſten Hſn. haben προσκεκτημένα oder προσεκτημένα erklärte Py.: πρὸς τῇ ἐλευθερίᾳ κεκτημένα. Eher möchte es auf Erweiterung zu beziehen ſein, wie 6, 18, 2. vgl. προσκατέλιπον 2, 36, 2. Paſſiv ſteht κεκτῆσθαι öfter, wie 7, 70, 8 u. Arr. An. 5, 26, 6. vgl. Gr. 40 unter κάομαι. — κατ' ἀμφότερα, κατὰ τὸ κατασχεῖν καὶ διασώσαντας παραδιδόναι. (Hk.) — κατέσχον. Gr. 53, 5 A. 1.

§ 5. αἴσχιον. So auch Xen. An. 7, 7, 28. — κεκτημένους

πωμένους ἀτυχῆσαι — lέναι δὲ τοῖς ἐχθροῖς ὁμόσε μὴ φρονήματι μόνον ἀλλὰ καὶ καταφρονήματι. αὔχημα μὲν γὰρ καὶ ἐπὸ ἀμαθίας εὐτυχοῦς καὶ δειλῷ τινὶ ἐγγίγνεται, καταφρόνησις δὲ ὃς ἂν καὶ γνώμῃ πιστεύῃ τῶν ἐναντίων προέχειν, ὃ ἡμῖν ὑπάρχει. καὶ τὴν τόλμαν ἀπὸ τῆς ὁμοίας τύχης ἡ ξύνεσις ἐκ τοῦ ὑπέρφρονος ἐχυρωτέραν παρέχεται, ἐλπίδι τε ἧσσον πιστεύει, ἧς ἐν τῷ ἀπόρῳ ἡ ἰσχύς, γνώμῃ δὲ ἀπὸ τῶν ὑπαρχόντων, ἧς βεβαιοτέρα ἡ πρόνοια."

"Τῆς τε πόλεως ὑμᾶς εἰκὸς τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρ- 63
χειν, ὥσπερ ἅπαντες ἀγάλλεσθε, βοηθεῖν, καὶ μὴ φεύγειν τοὺς πόνους ἢ μηδὲ τὰς τιμὰς διώκειν· μηδὲ νομίσαι περὶ ἑνὸς μόνου, δουλείας ἀντ' ἐλευθερίας, ἀγωνίζεσθαι, ἀλλὰ καὶ ἀρχῆς στερήσεως καὶ κινδύνου ὧν ἐν τῇ ἀρχῇ ἀπήχθεσθε.

---

beim Verſuche zu erwerben. (Ba.) vgl. zu 2, 2, 4. — lέναι hängt noch von εἰκός § 4 ab. — φρονήματι mit muthvoller Zuverſicht, Unerſchrockenheit. vgl. 2, 61, 3. im Gegenſatze zu φόβος Xen. Cyr. 5, 2, 33: οἱ πολλοὶ ἄνθρωποι, ὅταν θαρσῶσιν, ἀνυπόστατον τὸ φρόνημα παρέχονται. — καταφρονήματι. Xen. Hell. 3, 4, 19: ἡγούμενος καὶ τὸ καταφρονεῖν τῶν πολεμίων δώμην τινὰ ἐμβάλλειν πρὸς τὸ μάχεσθαι. — αὔχημα prahleriſche Keckheit. vgl. 7, 66, 3. — καταφρόνησις δέ. λείπει ἐκείνῳ. (Sch.) Doch kann man auch erklären: Geringſchätzung aber iſt es wenn man. Gr. 51, 13 A. 11. (Kr.) — ἀπὸ τῆς ὁμοίας τύχης bei der Gleichmäßigkeit des Glückes, mag auch das Glück, deſſen Gunſt am meiſten Zuverſicht zu erzeugen pflegt, uns nicht günſtiger ſein als den Gegnern. (Kr.) Ueber ἀπό zu 1, 91, 4. — ἡ ξύνεσις entſpricht der γνώμῃ. (Gb.) — ἐκ τοῦ ὑπέρφρονος wenn eine hochherzige, die Gegner gering ſchätzende Geſinnung vorhanden iſt, mit Bezug auf καταφρόνησις (Kr.); über ἐκ Gr. 68, 17 A. 9. vgl. 2, 89, 4. 7, 13, 1. (Pp.) — ἐχυρωτέραν ſicherer, eben in ſofern der Unternehmungsgeiſt ſich auf Einſicht und Berechnung gründet. — ἐν τῷ ἀπόρῳ in der Noth, Verlegenheit vgl. 3, 22, 4, wo die Menſchen von andern Mitteln entblößt von der Hoffnung Hülfe erwarten. vgl. 5, 103, 1. (Kr.) — γνώμῃ ἀπὸ τῶν ὑ. der Einſicht von den vorhandenen Mitteln aus, d. h. die auf dieſe Mittel ihre Berechnungen gründet. (Kr.) — πρόνοια Vorſicht, Vorſorge. (Kr.)

C. 63. § 1. τῆς πόλεως hängt von τῷ τιμωμένῳ ab. vgl. zu 1, 90, 2. — τῷ τιμωμένῳ ἀπὸ τοῦ ἄρχειν der aus der Herrſchaft entſpringenden Ehre. (Ba.) vgl. zu 1, 142, 4. — ὥσπερ ἅπαντες. ὦ ὑπὲρ ἅπαντας einige gute Hſn. u. Dion. ſehr paſſend. (Kr.) — δουλείας. Gr. 57, 10 A. 4. Gemeint iſt bloß die Abhängigkeit von Sparta. vgl. zu 1, 98, 2. — ὧν, τούτων ἃ Gefahr vor Beſtrafung deſſen was ihr euch an Haß zugezogen. (Kr.)

ἧς οὐδ' ἐκσῆναι ἔτι ὑμῖν ἔστιν, εἴ τις καὶ τόδε ἐν τῷ πα-
2 ρόντι δεδιὼς ἀπραγμοσύνῃ ἀνδραγαθίζεται· ὡς τυραννίδα
γὰρ ἤδη ἔχετε αὐτήν, ἣν λαβεῖν μὲν ἄδικον δοκεῖ εἶναι,
ἀφεῖναι δ' ἐπικίνδυνον. τάχισθ' ἂν τε πόλιν οἱ τοιοῦτοι ἑτέ-
ρους τε πείσαντες ἀπολέσειαν καὶ εἴ που ἐπὶ σφῶν αὐτῶν
αὐτόνομοι οἰκήσειαν· τὸ γὰρ ἄπραγμον οὐ σώζεται μὴ μετα
τοῦ δραστηρίου τεταγμένον, οὐδὲ ἐν ἀρχούσῃ πόλει ξυμφέρει
64 ἀλλ' ἐν ὑπηκόῳ ἀσφαλῶς δουλεύειν. ὑμεῖς δὲ μήτε ὑπὸ
τῶν τοιῶνδε πολιτῶν παράγεσθε μήτε ἐμὲ δι' ὀργῆς ἔχετε,
ᾧ καὶ αὐτοὶ ξυνδιέγνωτε πολεμεῖν, εἰ καὶ ἐπελθόντες οἱ
ἐναντίοι ἔδρασαν ἅπερ εἰκὸς ἦν μὴ ἐθελησάντων ὑμῶν ὑπα-
κούειν. ἐπιγεγένηταί τε πέρα ὧν προσεδεχόμεθα ἡ νόσος

Ueber ἀπεχθάνεσθαί τι Wunder zu Soph. Oed. K. 259. (Pp.) — εἴ τις — ἀνδραγαθίζεται wofern Jemand auch dies, Aufgebung der Herrschaft, unter den jetzigen Umständen furchtsam, als Rechtliches aus Scheu vor Thätigkeit thun möchte, aus angeblicher Rechtlichkeit sich dazu verstehen möchte; ἀνδραγαθίζεσθαι die Rolle des Biedermannes spielen auch 3, 40, 4. (Kr.) Ueber den Ac. 46, 5 A. 4 u. 7.

§ 2. ὡς will Dobree tilgen. vgl. 3, 37, 2. Doch geziemte es dem Perikles milder als Kleon zu sprechen. (Pp.) Gr. 57, 3 A. 2. — τάχιστ' ἄν τε. zu 1, 81, 1. Für τέ einige Hss. ποτέ. — οἱ τοιοῦτοι, οἱ τὰ τοιαῦτα ἀνδραγαθιζόμενοι. — εἴ που — οἰκήσειαν wenn sie wo gesondert von Andern selbstständig und nach eigenem Ermessen lebend einen Staat gebildet. Πόλιν ἂν ἀπολέσειαν gehört auch zu diesem Satze. (Ps.) — τὸ ἄπραγμον Unthätigkeit (Va.), factisches Nichteingreifen bei veranlassenden Vorkommnissen. vgl. 1, 70, 5. 2, 64, 4. 6, 18, 8. (Kr) — οὐ σώζεται erhält sich nicht, die Menschen welche sich jener Eigenschaft hingeben müssen politisch untergehen. — δραστηρίου der Rüstigkeit zum Handeln. vgl. 4, 81, 1 u. Cur. Alex. 15. — τεταγμένον uneigentlich, wie oft. Amersfoordt z. Dem. 1 p. 798 Schäfer. Hier ist wohl an eine gleichsam militärische Stellung zu denken. — ξυμφέρει nützt. Als Subject denken Hobbes u. Ds. τὸ ἄπραγμον und erklären ἀσφαλῶς δουλεύειν um in einer sicheren, nicht durch Plackereien erschwerten, Knechtschaft zu leben. Hart und nicht nöthig. Denn allerdings nützt in einem abhängigen Staate vorsichtige, Gefahr meidende, Unterthänigkeit. Ueber ἀσφαλής zu 1, 69, 4. vgl. 2, 65, 3. — δουλεύειν. Dem. 18, 203: οὐκ ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι τοὺς ἰσχύοντα μέν, μὴ δίκαια δὲ πράττοντα προσθεμένην ἀσφαλῶς δουλεύειν. (Gb.)

C. 64. § 1. τῶν τοιῶνδε, wie wohl Kleon, der ἐπεφύετο ἤδη, διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν. Plut. Per. 33. — παράγεσθε, ἀπατᾶσθε. (Sch.) — ξυνδιέγνωτε. zu 2, 60, 3. — ἅπερ erg. ὁρᾶν. — ἐπιγεγένηταί τε

ἥδε, πρᾶγμα μόνον δὴ τῶν πάντων ἐλπίδος κρεῖσσον γεγε-
ημένον· καὶ δι' αὐτὴν οἶδ' ὅτι μέρος τι μᾶλλον ἔτι μισοῦ- 2
μαι, οὐ δικαίως, εἰ μὴ καὶ ὅταν παρὰ λόγον τι εὖ πράξητε
ἐμοὶ ἀναθήσετε· φέρειν τε χρὴ τά τε δαιμόνια ἀναγ-
καίως τά τε ἀπὸ τῶν πολεμίων ἀνδρείως· ταῦτα γὰρ
ἐν ἕξει τῇδε τῇ πόλει πρότερόν τε ἦν νῦν τε μὴ ἐν ὑμῖν
κωλυθῇ. γνῶτε δὲ ὄνομα μέγιστον αὐτὴν ἔχουσαν ἐν πᾶσιν 3
ἀνθρώποις διὰ τὸ ταῖς ξυμφοραῖς μὴ εἴκειν, πλεῖστα δὲ
σώματα καὶ πόνους ἀναλωκέναι πολέμῳ, καὶ δύναμιν μεγί-
στην δὴ μέχρι τοῦδε κεκτημένην, ἧς ἐς ἀίδιον τοῖς ἐπιγιγνο-
μένοις, ἢν καὶ νῦν ὑπενδῶμέν ποτε, πάντα γὰρ πέφυκε καὶ
ἐλασσοῦσθαι, μνήμη καταλελείψεται, Ἑλλήνων τε ὅτι Ἕλλη-
νες πλείστων δὴ ἤρξαμεν καὶ πολέμοις μεγίστοις ἀντέσχομεν
πρός τε ξύμπαντας καὶ καθ' ἑκάστους, πόλιν τε τοῖς πᾶσιν
εὐπορωτάτην καὶ μεγίστην ᾠκήσαμεν. καίτοι ταῦτα ὁ μὲν 4
ἀπράγμων μέμψαιτ' ἄν, ὁ δὲ δρᾶν τι βουλόμενος καὶ αὐτὸς

---

schließen Ba. u. Py. an εἰ καί an. Hätte Th. dies gewollt, so würde er wohl καί für τέ gesetzt haben. — ἐλπίδος. Gr. 47, 27 A. 2 u. Herm. z. Vig. 53.

§ 2. μέρος würde nach dem gew. Gebrauche zu tilgen sein. Gr. 48, 15 A. 11. — μᾶλλον als wegen der Verwüstung Attikas. (Py.) — ἀναθήσετε zuschreiben wollet. (Ba.) vgl. 8, 51, 2. (Py.) u. Lennep. z. Phal. 56. — φέρειν τε. τέ nicht δέ weil dies nur ein neues Glied der § 1 angefangenen Ermahnung ist. (Hf.) — ἀναγκαίως nothgedrungen, als etwas Unvermeidliches. (Py.) Soph. Phil. 1316: ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν. (Bl.) — ἐν ἕξει. Aehnlich ἐν τούτῳ τῷ τρόπῳ ὄντες I, 8, 3. vgl. Matth. Gr. 577 p. 1342. — ἐν ὑμῖν an Euch, sofern es bei euch steht. zu 1, 74, 1. — κωλυθῇ, erg. ἐν ἕξει εἶναι. Gr. 55, 4 A. 11. Ba. vermuthete κολυθῇ oder κολυσθῇ, Bk. καταλυθῇ, dissolvantur Ba. [Dem.] 10, 73: τὴν πατρῴαν δόξαν αἰσχρὸν ἐστιν ἐν σοὶ καταλῦσαι.

§ 3. δέ. τε? Denn sonst erwarte ich gestellt σώματα δὲ πλεῖστα. — ἀναλωκέναι. ἀπὸ κοινοῦ τὸ γνῶτε. (Sch.) Es hängt wohl auch von διά ab. — μέχρι. Vielleicht τῶν μέχρι. (Kr.) vgl. 5, 60, 3. — ἧς hängt von μνήμη ab. (Sch.) — ἐς ἀίδιον auch 4, 63, 2. (Py.) Selten. — ὑπενδῶμεν, ὑποχαλάσωμεν καὶ παίσωμεν. (Sch.) — καὶ ἐλασσοῦσθαι auch abzunehmen, wie es gewachsen ist. — καταλελείψεται wird übrig sein, bleiben. — τε ὅτι daß wir nämlich nicht nur. (Ps.) Py. will ὅτι τε noch mit γνῶτε verbinden. — καὶ καθ' ἑκάστους und Einzelne. Gr. 60, 8 A. 4. — τοῖς πᾶσιν εὐπορωτάτην mit allen Dingen am reichlichsten ausgestattet. (Ps.)

§ 4. καίτοι steht mit Bezug auf den Gegensatz: und doch wird, während der Unthätige ꝛc.; mit Py. nun aber, atqui

ζηλώσει· εἰ δέ τις μὴ κέκτηται, φθονήσει. τὸ δὲ μισεῖσθαι καὶ λυπηροὺς εἶναι ἐν τῷ παρόντι πᾶσι μὲν ὑπῆρξε δὴ ὅσοι ἕτεροι ἑτέρων ἠξίωσαν ἄρχειν· ὅστις δ' ἐπὶ μεγίστοις τὸ ἐπίφθονον λαμβάνει, ὀρθῶς βουλεύεται. μῖσος μὲν γὰρ οὐκ ἐπὶ πολὺ ἀντέχει, ἡ δὲ παραυτίκα τε λαμπρότης καὶ ἐς τὸ ἔπειτα δόξα ἀείμνηστος καταλείπεται. ὑμεῖς δὲ ἔς τε τὸ μέλλον καλὸν προγόνους ἔς τε τὸ αὐτίκα μὴ αἰσχρὸν τῷ ἤδη προθύμῳ ἀμφότερα κτήσασθε, καὶ Λακεδαιμονίοις μήτε ἐπικηρυκεύεσθε μήτε ἔνδηλοι ἔστε τοῖς παροῦσι πόνοις βαρυνόμενοι, ὡς οἵτινες πρὸς τὰς ξυμφορὰς γνώμῃ μὲν ἥκιστα λυποῦνται, ἔργῳ δὲ μάλιστα ἀντέχουσιν, οὗτοι καὶ πόλεων καὶ ἰδιωτῶν κράτιστοί εἰσιν."

Τοιαῦτα ὁ Περικλῆς λέγων ἐπειρᾶτο τοὺς Ἀθηναίους τῆς τε ἐς αὐτὸν ὀργῆς παραλύειν καὶ ἀπὸ τῶν παρόντων δεινῶν ἀπάγειν τὴν γνώμην. οἱ δὲ δημοσίᾳ μὲν τοῖς λόγοις ἀνεπείθοντο καὶ οὔτε πρὸς τοὺς Λακεδαιμονίους ἔτι ἔπεμπον ἔς τε τὸν πόλεμον μᾶλλον ὥρμηντο, ἰδίᾳ δὲ τοῖς παθήμασιν ἐλυποῦντο, ὁ μὲν δῆμος ὅτι ἀπ' ἐλασσόνων ὁρμώμενος ἐστέρητο καὶ τούτων, οἱ δὲ δυνατοὶ καλὰ κτήματα κατὰ τὴν χώ-

---

zu erklären ist nicht nöthig. — τὸ δὲ μισεῖσθαι —, vgl. 6, 16, 5. (Bl.) — δή. Gr. 69, 17 A. 2. — ἕτεροι zur Bezeichnung des für sich Bestehenden hinzugefügt. — ὅστις — λαμβάνει. Plut. Vgl. des Nik. mit Crassus 2: δεῖ ἐπὶ μεγίστοις οὐ τὸ ἐπίφθονον ἀλλὰ τὸ λαμπρὸν ἐν πολιτείᾳ λαμβάνειν, μεγέθει δυνάμεως ἐξαμαυροῦντα τὸν φθόνον. vgl. dort Schäfer. — ἀντέχει, διαλύεται γὰρ ἢ θανάτῳ ἢ ἄλλῳ τινί. (Sch.) — τε fehlt in einer schlechten Hsn., wobei der Sinn wäre: der gegenwärtige Glanz bleibt auch für die Folgezeit als unvergänglicher Ruhm.

§ 5. ἔς τε τὸ — αἰσχρόν mit Rücksicht auf das künftighin Ehrenvolle, τὴν δόξαν, und für die Gegenwart nicht Schimpfliche, τὴν λαμπρότητα, vorbedacht. (Hudf. u. Ds.) Der Ausdruck ist ungewöhnlich; ähnlich jedoch 2, 65, 3: ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον. — ὡς, ἐπεί. (Sch.)

C. 65. § 1. ἐς für ἐπ' mehrere, wenn auch schlechtere Hsn. vgl. 1, 130, 2. 2, 60, 1. 3, 44, 3. ἐπί findet sich in einer solchen Verbindung weder bei Th. noch wohl auch sonst bei Attikern. — αὐτόν. αὐτόν! Doch können als Gedankensubject die Athener vorschweben. — ὀργῆς παραλύειν ist sehr selten, nur von Dio Cassius nachgeahmt. (Bl.) — ἀπ' ἐλασσόνων ὁρμώμενος von geringeren Mitteln aus, bei geringerem Vermögen als die δυνατοί die Mächtigen,

ραν οἰκοδομίαις τε καὶ πολυτελέσι κατασκευαῖς ἀπαλωλεκότες, τὸ δὲ μέγιστον, πόλεμον ἀντ' εἰρήνης ἔχοντες. οὐ μέντοι 2
πρότερόν γε οἱ ξύμπαντες ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες αὐτὸν πρὶν ἔζημίωσαν χρήμασιν. ὕστερον δ' αὖθις οὐ πολλῷ, ὅπερ φιλεῖ ὅμιλος ποιεῖν, στρατηγὸν εἵλοντο καὶ πάντα τὰ πράγματα ἐπέτρεψαν, ὧν μὲν περὶ τὰ οἰκεῖα ἕκαστος ἤλγει ἀμβλύτερον ἤδη ὄντες, ὧν δὲ ξύμπασα ἡ πόλις προσεδεῖτο, πλείστου ἄξιον νομίζοντες εἶναι. ὅσον τε γὰρ χρόνον προῦ- 3
στη τῆς πόλεως, ἐν τῇ εἰρήνῃ μετρίως ἐξηγεῖτο καὶ ἀσφαλῶς διεφύλαξεν αὐτήν, καὶ ἐγένετο ἐπ' ἐκείνου μεγίστη· ἐπεί τε ὁ πόλεμος κατέστη, ὁ δὲ φαίνεται καὶ ἐν τούτῳ προγνοὺς τὴν δύναμιν. ἐπεβίω δὲ δύο ἔτη καὶ μῆνας ἕξ· καὶ ἐπειδὴ ἀπέθανεν, ἐπὶ πλέον ἔτι ἐγνώσθη ἡ πρόνοια αὐτοῦ ἢ ἐς τὸν πόλεμον. ὃ μὲν γὰρ ἡσυχάζοντάς τε καὶ τὸ ναυτικὸν θερα- 4
πεύοντας καὶ ἀρχὴν μὴ ἐπικτωμένους ἐν τῷ πολέμῳ μηδὲ

Reichen. — *οἰκοδομίαις* iſt wohl mit Gail an *καλά* anzuſchließen. — *κατασκευαῖς.* zu 2, 16. — *τὸ δὲ μέγιστον.* zu 1, 142, 1.

§ 2. *χρήμασιν* mit einer Geldbuße (vgl. 4, 65, 3 u. Gr. 48, 15 A. 9) von funfzehn oder gar achtzig Talenten. Plut. Per. 35. Diod. 12, 45, [Dem.] 26, 6 u. Suidas in *τάλαντα.* Wäre er auch abgeſetzt worden (Plut. u. Diod.), ſo würde Th. eine ſo auffallende Strafe gewiß angemerkt haben. — *ὅπερ* mit Bezug auf die Folgewidrigkeit. Aehnlich notirt Th. die Weiſe des Volkes 4, 28, 3. 6, 63, 2. 8, 1, 5. (Kr.) — *ἐπέτρεψαν, ἀνέθεσαν* 8, 82. Er war demnach *ἡγεμὼν αὐτοκράτωρ* Xen. Hell. 1, 4, 20. vgl. Pol. 3, 86, 7. 87, 8, Paus. 4, 15, 2 u. Schöm. de com. p. 314. (Kr.) — *ὧν, τούτων ἅ,* der Ge. von *ἀμβλύτερον* regiert, wie *τῆς γνώμης ἀμβλύνεσθαι* 2, 87, 2. (Py.) rückſichtlich deſſen ſchon milder geſtimmt. Doch ſind beide Stellen etwas verſchieden. Hier iſt vielleicht *πέρι* zu leſen. — *ὧν δέ,* (*κατὰ*) *ταῦτα ὧν.* Gr. 51, 13 A. 7. vgl. 47, 26 A. 13.

§ 3. *ἐν τῇ εἰρήνῃ* wird gewöhnlich falſch mit dem Vorhergehenden verbunden; richtig Ba. u. Hl. — *μετρίως.* Ariſtid. 2 p. 126: *τοῦτο δ' ἐστὶν ἐναντίον τῷ βιαίως καὶ πλεονεκτικῶς.* (Py.) vgl. 4, 19, 2. — *ἀσφαλῶς* mit ſichernder Berechnung. zu 2, 63, 2. — *ὁ δέ.* wie 3, 98, 1. Doch iſt dieſer Sprachgebrauch mehr ioniſch als attiſch, von Spätern, wie Arrian, wieder aufgenommen. vgl. auch zu 2, 46. — *τὴν δύναμιν, τῆς πόλεως.* vgl. Kr. zu Xen. An. 1, 6, 7. — *ἐπεβίω* erlebte nach dem frühern Leben, wie 5, 26, 4. Iſä. 2, 15: *ἐπεβίω μετὰ τὴν ποίησιν ἐνιαυτόν.* vgl. § 45. — *ἡ πρόνοια αὐτοῦ ἡ ἐς τὸν πόλεμον* ſeine vorausſichtige Berechnung in Bezug auf den Krieg, den Gang deſſelben. Das zweite *ἡ* fehlt in den beſten Hſn.

§ 4. *θεραπεύειν* findet ſich ſelten ſo (Bl.), iſt aber ſehr bezeichnend, gleichſam hegen und pflegen. — *ἐν τῷ πολέμῳ, ἅμα*

τῇ πόλει κινδυνεύοντας ἔφη περιέσεσθαι· οἱ δὲ ταῦτά τε πάντα ἐς τοὐναντίον ἔπραξαν καὶ ἄλλα ἔξω τοῦ πολέμου δοκοῦντα εἶναι κατὰ τὰς ἰδίας φιλοτιμίας καὶ ἴδια κέρδη κακῶς ἔς τε σφᾶς αὐτοὺς καὶ τοὺς ξυμμάχους ἐπολίτευσαν, ἃ κατορθούμενα μὲν τοῖς ἰδιώταις τιμὴ καὶ ὠφελία μᾶλλον ἦν, σφαλέντα δὲ τῇ πόλει ἐς τὸν πόλεμον βλάβη καθίστατο. αἴτιον δ' ἦν ὅτι ἐκεῖνος μὲν δυνατὸς ὢν τῷ τε ἀξιώματι καὶ τῇ γνώμῃ, χρημάτων τε διαφανῶς ἀδωρότατος γενόμενος κατεῖχε τὸ πλῆθος ἐλευθέρως καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ ἢ αὐτὸς ἦγεν, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δυναμιν πρὸς ἡδονήν [τι] λέγειν, ἀλλ' ἔχων ἐπ' ἀξιώσει καὶ πρὸς ὀργήν τι ἀντειπεῖν. ὁπότε γοῦν αἴσθοιτό τι αὐτοὺς παρὰ καιρὸν ὕβρει θαρσοῦντας, λέγων κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι, καὶ δεδιότας αὖ ἀλόγως ἀντικαθίστη πάλιν ἐπὶ τὸ θαρσεῖν. ἐγίγνετό τε λόγῳ μὲν δημοκρατία, ἔργῳ δὲ ὑπὸ τοῦ πρώτου ἀνδρὸς ἀρχή. οἱ δὲ ὕστερον ἴσοι αὐτοὶ μᾶλλον

πολεμοῦντες 1, 144, 1. — τῇ πόλει mit der Stadt, sie aufs Spiel setzend. vgl. 6, 10, 3. 47, 2 u. Her. 2, 120. (Py.) Eb. 7, 209: κινδυνεύειν τῇ ψυχῇ. Th. 6, 9, 3: μὴ τοῖς ἑτοίμοις περὶ τῶν μελλόντων καὶ ἀγανῶν κινδυνεύειν. vgl. Dem. 9, 18. — ἔξω τοῦ πολέμου dem Kriege Fremdartiges. Dem. 57, 33: τούτῳ ἔξεστιν ἔξω τοῦ πράγματος βλασφημεῖν. (Bl.) — δοκοῦντα εἶναι verband schon Ba. mit dem Vorhergehenden. — κατὰ τὰς ἰδίας φιλοτιμίας gemäß den ehrgeizigen Bestrebungen Einzelner, worauf sich später τοῖς ἰδιώταις τιμὴ wie ὠφελία auf κέρδη bezieht. — ἰδιώταις Individuen, besonders Staatsmännern oder Feldherren, im Gegensatze zum Staate. — μᾶλλον mehr als dem Staate.

§ 5. χρημάτων. Gr. 47, 26 A. 10. — ἄδωρος für ἀδωροδόκητος, wie sonst die Attiker sagen. — ἐλευθέρως unabhängig, nicht den Wünschen des Volkes fröhnend. — ἤγετο — ἦγε. Derselbe Gegensatz vom Geiste Plat. Phäd 94, e. vgl. Dion. π. δειν. 10. — μή gehört auch zum Particip. zu 1, 12, 1. — πρὸς ἡδονὴν nach Gefallen, wie es ihnen gefiel. So πρὸς ἡδονὴν λέγειν Soph. El. 921 vgl. unten 6, 17, 3, δημηγορεῖν Isokr. 8, 9, συμβουλεύειν 8, 10, ποιεῖν u. Dem. 19, 118, ἀκούειν 8, 34, εἶναι 18, 4, δέχεσθαι Eur. Med. 773. — τι, von Aristides 2 p. 121 ausgelassen und in dieser Verbindung in der Regel nicht zugefügt, verdächtigt Dind. — ἐπ' ἀξιώσει vermöge seines Ansehens. (Hl.) — πρὸς ὀργήν mit Heftigkeit, Hitze. (Hl.) Eben so Ar. Frösche 844. 856. (Bl.) vgl. 998 und unten 3, 43, 4.

§ 6. κατέπλησσεν ἐπὶ τὸ φοβεῖσθαι schreckte, stimmte er sie zur Besorgtheit herab. — ἐγίγνετο. Gr. 61, 5 A. 6. vgl. 1, 95, 3. — ὑπό. zu 1, 130, 1. — αὐτοί steht hier ähnlich wie

πρὸς ἀλλήλους ὄντες καὶ ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι ἐτράποντο καθ' ἡδονὰς τῷ δήμῳ καὶ τὰ πράγματα ἐνδιδόναι. ἐξ ὧν ἄλλα τε πολλά, ὡς ἐν μεγάλῃ πό- 7
λει καὶ ἀρχὴν ἐχούσῃ, ἡμαρτήθη καὶ ὁ ἐς Σικελίαν πλοῦς, οὐ τοσοῦτον γνώμης ἁμάρτημα ἦν πρὸς οὓς ἐπῆσαν, ὅσαν οἱ ἐκπέμψαντες οὐ τὰ πρόσφορα τοῖς οἰχομένοις ἐπιγιγνώσκοντες, ἀλλὰ κατὰ τὰς ἰδίας διαβολὰς περὶ τῆς τοῦ δήμου προστασίας τά τε ἐν τῷ στρατοπέδῳ ἀμβλύτερα ἐποίουν καὶ τὰ περὶ τὴν πόλιν πρῶτον ἐν ἀλλήλοις ἐταράχθησαν. σφα- 8
λέντες δ' ἐν Σικελίᾳ ἄλλῃ τε παρασκευῇ καὶ τοῦ ναυτικοῦ τῷ πλείονι μορίῳ καὶ κατὰ τὴν πόλιν ἤδη ἐν στάσει ὄντες ὅμως τρία μὲν ἔτη ἀντεῖχον τοῖς τε πρότερον ὑπάρχουσι πολεμίοις καὶ τοῖς ἀπὸ Σικελίας μετ' αὐτῶν καὶ τῶν ξυμμάχων ἔτι τοῖς πλείοσιν ἀφεστηκόσι, Κύρῳ τε ὕστερον βασι-

---

in αὐτοὶ ἑαυτούς. Gr. 51, 2 A. 12. — καθ' ἡδονήν nach Gelüſt, wie es dem Volke angenehm war. (Bd.) Soph El. 1503: μὴ καθ' ἡδονὴν θάνῃς· φυλάξαι δεῖ με τοῦτό σοι πικρόν. vgl. Aeſch. Prom. 261. — καί nicht bloß zu ſprechen, ſondern ſogar. (Arn.) — τὰ πράγματα ἐνδιδόναι die Staatsverwaltung in die Hände zu geben. vgl. 5, 62, 2. 7, 48, 3. Ungewöhnlich iſt der Infinitiv bei ἐτράποντο. Gr. 55, 3 A. 11.

§ 7. ὡς bezieht ſich auf πολλά: Vieles, wie der Art dort Vieles vorkommen mußte. — ὅς verdächtigt Bk., vielleicht weil πλοῦς ἡμαρτήθη ihm anſtößig ſchien. Pp. vergleicht ἁμαρτανόμενα ἔργα 3, 67, 5, ἡ ἐξαμαρτανομένη πρᾶξις Plat. Prot. 357, e, τὰς ἡμαρτημένας αἰτίας Nic. Greg. p. 754. — πρὸς οὕς, τούτων πρὸς οὕς ein Mißgriff der Einſicht rückſichtlich derer gegen die, „eine falſche Anſicht und Beurtheilung derer gegen die ſie zogen." (Bd.) vgl. Gr. 51, 13 A. 4, Kr. de auth. An. p. 26 u. Her. 2, 118: οὐκ ἂν δικαίως δίκην ὑπέχειν (erg. ἐκείνων) ἃ Πρωτεὺς ἔχει. Ueber πρός zu 1, 86, 3. — οἰκουμένοις, πορευθεῖσιν εἰς Σικελίαν. (Sch.) — ἐπιγιγνώσκοντες. ἐπι — gleichſam als Zuſchuß zu dem Frühern. zu 1, 70, 2. — ἀλλά erg. ἐπιγιγνώσκοντες. (Pp.) Geht nicht füglich; es wird nach Gr. 59, 2 A. 3 zu erklären ſein. — διαβολάς für διαφοράς nach den beſten Hſn. kann nicht Kabalen ſchlechtweg heißen, ſondern eigentlich Verläumdungen, falſche Beſchuldigungen, wie gegen Alkibiades. — ἀμβλύτερα ἐποίουν machten ſtumpfer, entkräfteten. (Pp.) — τά vor περί iſt der Ac. an ἐταράχθησαν anzuſchließen. (Ba.) — πρῶτον im Gegenſatze dazu daß ſpäter Ol. 92, 1 ſelbſt im Heere politiſche Zerrüttungen eintraten.

§ 8. σφαλέντες παρασκευῇ. vgl. 6, 10, 1. (Pp.) — τρία. ſ. Kr. zu Clinton Fasti Hell. p. 84. Die dagegen gemachten Einwendungen ſind flüchtig und zum Theil ſprachwidrig. vgl. Kr. in der Zeitſchr. für AW. 1840 S. 439 ff. — Κύρῳ τε entſpricht dem τρία μέν; ὅς

λέως παιδὶ προσγενομένῳ, ὃς παρεῖχε χρήματα Πελοποννη-
9 σίοις ἐς τὸ ναυτικόν· καὶ οὐ πρότερον ἐνέδοσαν ἢ αὐτοὶ ἐν
σφίσι κατὰ τὰς ἰδίας διαφορὰς περιπεσόντες ἐσφάλησαν.
τοσοῦτον τῷ Περικλεῖ ἐπερίσσευσε τότε ἀφ' ὧν αὐτὸς προ-
έγνω καὶ πάνυ ἂν ῥᾳδίως περιγενέσθαι τῶν Πελοποννησίων
αὐτῶν τῷ πολέμῳ.

66 Οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι τοῦ αὐτοῦ θέ-
ρους ἐστράτευσαν ναυσὶν ἑκατὸν ἐς Ζάκυνθον τὴν νῆσον, ἣ
κεῖται ἀντιπέρας Ἤλιδος· εἰσὶ δὲ Ἀχαιῶν τῶν ἐκ Πελοπον-
νήσου ἄποικοι καὶ Ἀθηναίοις ξυνεμάχουν. ἐπέπλεον δὲ Λα-
κεδαιμονίων χίλιοι ὁπλῖται καὶ Κνῆμος Σπαρτιάτης, ναύαρ-
χος. ἀποβάντες δὲ ἐς τὴν γῆν ἐδήωσαν τὰ πολλά. καὶ
ἐπειδὴ οὐ ξυνεχώρουν, ἀπέπλευσαν ἐπ' οἶκον.

67 Καὶ τοῦ αὐτοῦ θέρους τελευτῶντος Ἀριστεὺς Κορινθιος
καὶ Λακεδαιμονίων πρέσβεις Ἀνήριστος καὶ Νικόλαος καὶ
Στρατόδημος καὶ Τεγεάτης Τιμαγόρας καὶ Ἀργεῖος ἰδίᾳ
Πόλλις, πορευόμενοι ἐς τὴν Ἀσίαν ὡς βασιλέα, εἴ πως πεί-
σειαν αὐτὸν χρήματά τε παρέχειν καὶ ξυμπολεμεῖν, ἀφικνοῦν-
ται ὡς Σιτάλκην πρῶτον τὸν Τήρεω ἐς Θρᾴκην, βουλόμενοι
πεῖσαί τε αὐτόν, εἰ δύναιντο, μεταστάντα τῆς Ἀθηναίων ξυμ-
μαχίας στρατεῦσαι ἐπὶ τὴν Ποτίδαιαν, οὗ ἦν στράτευμα τῶν

---

hätte hier nicht ſtehen können. — προσγενομένῳ der zu den übrigen Feinden hinzugekommen.

§ 9. ἐν. Soph. Aj. 1137: ἐν τοῖς δικασταῖς, οὐκ ἐμοὶ τόδ' ἐσφάλη. (Pp.) — σφίσιν. So bezieht Th. dies Pronomen ohne αὐτῶν ꝛc. auf das nächſte Subject auch 2, 76, 1. 4, 8, 1. 103, 3. 5, 14, 1. 34, 3. 73, 1. 6, 76, 4. 7, 5, 1. 8, 10, 2. 90, 2. (105, 2.) (Arndt.) Ein eigentlich ioniſcher Gebrauch. — τὰς ἰδίας διαφορά́ς. τὰ ἴδια διαφοραῖς? Ein Da. iſt hier nöthig. vgl. 1, 43, 1. 2, 54, 1. 59, 1. 5, 14, 2. 111, 3; ihn aus διαφορά́ς zu ergänzen (Pp.) mehr als hart. — τοσοῦτον — τότε ſo viel war dem Perikles damals gleichſam als Ueberſchuß über ſeine Berechnung, die eigentlich nur den glücklichen Ausgang garantirte wenn man auf ausheimiſche Unternehmungen verzichtete. — ἀφ' ὧν, ἀπὸ τούτων ἀφ' ὧν Ueberſchuß von dem womit ausgerüſtet ſie, wie er berechnete, ſehr leicht über die Peloponneſier allein obſiegen könnten.

C. 66. εἰσί. erg. Ζακύνθιοι. Gr. 58, 4 A. 2.

C. 67. § 1. Ἀνήριστος. vgl. Her. 7, 137. (Gb.) — ἰδίᾳ aus perſönlichem, Privatantriebe, da der Staat Argos den Athenern befreundet war. (Sch.) — μεταστάντα τῆς. So μεταστῆναι κακῶν Eur. Hel. 856 u. 1442, μετέστημεν φόβου Rheſ. 295. — ἐπὶ

Ἀθηναίων πολιορκοῦν, καὶ ἧπερ ὥρμηντο, δι' ἐκείνου πορευθῆναι πέραν τοῦ Ἑλλησπόντου ὡς Φαρνάκην τὸν Φαρναβάζου, ὃς αὐτοὺς ἔμελλεν ὡς βασιλέα ἀναπέμψειν. παραγενόμενοι δὲ Ἀθηναίων πρέσβεις Λέαρχος Καλλιμάχου καὶ Ἀμεινιάδης Φιλήμονος παρὰ τῷ Σιτάλκῃ πείθουσι τὸν Σάδοκον τὸν γεγενημένον Ἀθηναῖον, Σιτάλκου υἱόν, τοὺς ἄνδρας ἐγχειρίσαι σφίσιν, ὅπως μὴ διαβάντες ὡς βασιλέα τὴν ἐκείνου πόλιν τὸ μέρος βλάψωσιν. ὁ δὲ πεισθεὶς πορευομένους αὐτοὺς διὰ τῆς Θρᾴκης ἐπὶ τὸ πλοῖον ᾧ ἔμελλον τὸν Ἑλλήσποντον περαιώσειν, πρὶν ἐσβαίνειν ξυλλαμβάνει, ἄλλους ξυμπέμψας μετὰ τοῦ Λεάρχου καὶ Ἀμεινιάδου, καὶ ἐκέλευσεν ἐκείνοις παραδοῦναι· οἱ δὲ λαβόντες ἐκόμισαν ἐς τὰς Ἀθήνας. ἀφικομένων δὲ αὐτῶν δείσαντες οἱ Ἀθηναῖοι τὸν Ἀριστέα μὴ αὖθις σφᾶς ἔτι πλείω κακουργῇ διαφυγών, ὅτι καὶ πρὸ τούτων τὰ τῆς Ποτιδαίας καὶ τῶν ἐπὶ Θρᾴκης πάντ' ἐφαίνετο πράξας, ἀρίστους καὶ βουλομένους ἔστιν ἃ εἰκῆν αὐθημερὸν ἀπέκτειναν πάντας καὶ ἐς φάραγγας ἐσέβαλον, δικαιοῦντες τοῖς αὐτοῖς ἀμύνεσθαι οἵσπερ καὶ οἱ Λακεδαιμόνιοι ὑπῆρξαν, τοὺς ἐμπόρους οὓς ἔλαβον Ἀθηναίων καὶ τῶν ξυμμάχων ἐν ὁλκάσι περὶ Πελοπόννησον πλέοντας ἀποκτείναντες καὶ ἐς φάραγγας ἐσβαλόντες. πάντας γὰρ δὴ κατ' ἀρχὰς τοῦ πολέμου οἱ Λακεδαιμόνιοι ὅσους

---

nach, um die Belagerung aufzuheben. (Ba.) vgl. 1, 64. — ἧπερ ὥρμηντο wie sie vor hatten. — πέραν. wie in διαπλεῖν πέραν 1, 111, 2. (Pp.)

§ 2. γεγενημένον der gemacht war, das Bürgerrecht erhalten hatte. vgl. zu 2, 29, 4. — τὸ μέρος so weit sie es könnten. vgl. zu 1, 127. (Hf.) Andere wollen diesen Ausdruck zu πόλιν ziehen. erg. οὖσαν.

§ 3. περαιοῦν für περαιοῦσθαι bemerkt als Eigenthümlichkeit des Thuk. Thomas M. p. 705, wo Sallier verschiedene Stellen Späterer vergleicht. Doch vermuthet Pp. ὃ ἔμελλε und das ὅ hat eine Hs.

§ 4. φάραγγας. Daß nicht das βάραθρον gemeint sei scheint aus dem Fehlen des Artikels hervorzugehen. (Pp.) — τοῖς αὐτοῖς mit demselben Verfahren. — ἀμύνεσθαι das Vergeltungsrecht üben, ohne daß αὐτούς zu ergänzen wäre. vgl. 1, 96, 1. 3, 38, 1. 40, 4. — οἵσπερ durch Assimilation für ἅπερ. So εὐεργεσία ἦν, ἥνπερ ὑπῆρξαν Isokr. 14, 57, Dem. 19, 280 u. Aesch. 2, 26. vgl. jedoch Gr. 47, 13 A. 8. — Ἀθηναίων. Gr. 47, 9 A. 5.

λάβοιεν ἐν τῇ θαλάσσῃ ὡς πολεμίους διέφθειρον, καὶ τοὺς μετὰ Ἀθηναίων ξυμπολεμοῦντας καὶ τοὺς μηδὲ μεθ' ἑτέρων.
68 Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ θέρους τελευτῶντος, καὶ Ἀμπρακιῶται αὐτοί τε καὶ τῶν βαρβάρων πολλοὺς ἀναστήσαντες ἐστράτευσαν ἐπ' Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ τὴν ἄλλην Ἀμφιλοχίαν. ἔχθρα δὲ πρὸς τοὺς Ἀργείους ἀπὸ
2 τοῦδε αὐτοῖς ἤρξατο πρῶτον γενέσθαι. Ἄργος τὸ Ἀμφιλοχικὸν καὶ Ἀμφιλοχίαν τὴν ἄλλην ἔκτισε μετὰ τὰ Τρωϊκὰ οἰκιστὴς ἀναχωρήσας καὶ οὐκ ἀρεσκόμενος τῇ ἐν Ἄργει κατασάσει Ἀμφίλοχος ὁ Ἀμφιάρεω ἐν τῷ Ἀμπρακικῷ κόλπῳ, ὁμώνυμον τῇ ἑαυτοῦ πατρίδι Ἄργος ὀνομάσας. καὶ ἦν ἡ πόλις αὕτη μεγίστη τῆς Ἀμφιλοχίας καὶ τοὺς δυνατω-
3 τάτους εἶχεν οἰκήτορας. ὑπὸ ξυμφορῶν δὲ πολλαῖς γενεαῖς ὕστερον πιεζόμενοι Ἀμπρακιῶται ὁμόρους ὄντας τῇ Ἀμφιλοχικῇ ξυνοίκους ἐπηγάγοντο, καὶ ἠλληνίσθησαν τὴν νῦν γλῶσσαν τότε πρῶτον ἀπὸ τῶν Ἀμπρακιωτῶν ξυνοικησάντων· οἱ
4 δὲ ἄλλοι Ἀμφίλοχοι βάρβαροί εἰσιν. ἐκβάλλουσιν οὖν τοὺς Ἀργείους οἱ Ἀμπρακιῶται χρόνῳ καὶ αὐτοὶ ἴσχουσι τὴν πόλιν. οἱ δ' Ἀμφίλοχοι γενομένου τούτου διδόασιν ἑαυτοὺς Ἀκαρνᾶσι, καὶ προσπαρακαλέσαντες ἀμφότεροι Ἀθηναίους, οἳ αὐτοῖς Φορμίωνά τε στρατηγὸν ἔπεμψαν καὶ ναῦς τριάκοντα, ἀφικομένου [δὲ] τοῦ Φορμίωνος αἱροῦσι κατὰ κράτος Ἄργος καὶ τοὺς Ἀμπρακιώτας ἠνδραπόδισαν, κοινῇ τε ᾤκησαν

---

§ 5. μηδὲ μεθ' ἑτέρων neutrale, wie 2, 72, 2, u. Dem. 52, 2, οὐδὲ μεθ' ἑτέρων Th. 6, 44, 4 u. 7, 33, 2, οὐδὲ ὑφ' ἑτέρων 5, 48; μετ' οὐδετέρων ꝛc. war wohl nicht üblich. Gr. 24, 2 A. 2.

C. 68. § 1. αὐτοί τε καὶ ἀναστήσαντες. Gr. 59, 2 A. 4. — ἀνιστάναι aufbieten zum Feldzuge, wie 96, 1. 3. 3, 7, 2. 4, 77, 2. 90, 1. (Pp. u. Bl.) — ἀπὸ τοῦδε aus folgender Veranlaſſung, ἀπὸ τοῦ ἀνδραποδισμοῦ § 5.

§ 2. ἀρεσκόμενος. zu 1, 35, 1. vgl. 8, 84, 4.

§ 3. ἠλληνίσθησαν wird mit Lobeck zum Phryn. p. 380 zu beſſern ſein. Die Abſchreiber an Ἕλλην ꝛc. gewöhnt verwiſchten das Augment leicht einſtimmig. Die Conſtruction iſt ungewöhnlich, indem man ſich als entſprechendes Activ denken muß ἑλληνίζω τινὶ γλῶσσαν in dem Sinne: ich helleniſire Jemanden eine Sprache an.

§ 4. τοὺς Ἀργείους, τοὺς Ἀμφιλοχικούς, τοὺς δεξαμένους. (Sch.) — καί vor προσπαρακαλέσαντες verbindet διδόασιν und αἱροῦσι, indem nach τριάκοντα ein Komma zu ſetzen iſt. (Herm.) — προσπαρακαλέσαντες — ἀφικομένου δέ. Gr. 56, 14 A. 2. Doch bleibt δέ mir anſtößig. — ᾤκησαν. zu 1, 8, 1.

αὐτὸ Ἀμφίλοχοι καὶ Ἀκαρνᾶνες. μετὰ δὲ τοῦτο ἡ ξυμ- 5
μαχία ἐγένετο πρῶτον Ἀθηναίοις καὶ Ἀκαρνᾶσιν. οἱ δὲ
Ἀμπρακιῶται τὴν μὲν ἔχθραν ἐς τοὺς Ἀργείους ἀπὸ τοῦ
ἀνδραποδισμοῦ σφῶν αὐτῶν πρῶτον ἐποιήσαντο, ὕστερον δὲ
ἐν τῷ πολέμῳ τήνδε τὴν στρατείαν ποιοῦνται αὐτῶν τε καὶ
Χαόνων καὶ ἄλλων τινῶν τῶν πλησιοχώρων βαρβάρων· ἐλ-
θόντες τε πρὸς τὸ Ἄργος τῆς μὲν χώρας ἐκράτουν, τὴν δὲ
πόλιν ὡς οὐκ ἐδύναντο ἑλεῖν προσβαλόντες, ἀπεχώρησαν
ἐπ' οἴκου καὶ διελύθησαν κατὰ ἔθνη. τοσαῦτα μὲν ἐν τῷ
θέρει ἐγένετο.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀθηναῖοι ναῦς ἔστει- 69
λαν εἴκοσι μὲν περὶ Πελοπόννησον καὶ Φορμίωνα στρατηγόν,
ὃς ὁρμώμενος ἐκ Ναυπάκτου φυλακὴν εἶχε μήτ' ἐκπλεῖν ἐκ
Κορίνθου καὶ τοῦ Κρισαίου κόλπου μηδένα μήτ' ἐσπλεῖν,
ἑτέρας δὲ ἔξ ἐπὶ Καρίας καὶ Λυκίας καὶ Μελήσανδρον στρα-
τηγόν, ὅπως ταῦτά τε ἀργυρολογῶσι καὶ τὸ ληστικὸν τῶν
Πελοποννησίων μὴ ἐῶσιν αὐτόθεν ὁρμώμενον βλάπτειν τὸν
πλοῦν τῶν ὁλκάδων τῶν ἀπὸ Φασήλιδος καὶ Φοινίκης καὶ
τῆς ἐκεῖθεν ἠπείρου. ἀναβὰς δὲ στρατιᾷ Ἀθηναίων τε τῶν
ἀπὸ τῶν νεῶν καὶ τῶν ξυμμάχων ἐς. τὴν Λυκίαν ὁ Μελή-
σανδρος ἀποθνήσκει καὶ τῆς στρατιᾶς μέρος τι διέφθειρε
νικηθεὶς μάχῃ.

Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Ποτιδαιᾶται ἐπειδὴ οὐκέτι 70
ἐδύναντο πολιορκούμενοι ἀντέχειν, ἀλλ' αἵ τε ἐς τὴν Ἀττι-
κὴν ἐσβολαὶ Πελοποννησίων οὐδὲν μᾶλλον ἀπανίστασαν τοὺς

---

§. 5. ἡ die 2, 9, 3 erwähnte. — ἐς τοὺς, κατὰ τῶν. (Sch.) πρὸς τοὺς § 1. vgl. zu 2, 65, 1. — σφῶν αὐτῶν findet ſich ſelten ſo, nie, ſo viel ich weiß, unmittelbar nach dem Artikel. Lyſ. 13, 72: τὰ ὀνόματα διαπράττονται σφῶν αὐτῶν προσγραφῆναι. Andok. 2, 2: νομίζουσι τῆς πόλεως εὖ πραττούσης καὶ τὰ ἴδια σφῶν αὐτῶν ἄμεινον ἂν φέρεσθαι. (Arndt.) vgl. zu 1, 25, 2. — τῷ πολέμῳ, τῷ Πελοποννησιακῷ δηλονότι. (Sch.) — αὐτῶν hängt eigentlich von einem ohne Artikel zu wiederholenden στρατιᾶν (οὖσαν) ab. vgl. 3, 82, 4.

C. 69. ἀργυρολογεῖν mit dem Ac. auch 3, 19. 8, 3, 1, Aeſch. 3, 159 u. Pol. 3, 13, 7. Eben ſo δασμολογεῖν Iſokr. 4, 132. 8, 125. vgl. Gr. 46, 6 A. 6. — ταῦτα dieſe Gegenden. — αὐτόθεν, aus Karien und Lykien. (Dſiander.) — τῶν ἀπό. Gr. 50, 8 A. 16. — τῆς ἐκεῖθεν. Gr. 50, 8 A. 17. — διέφθειρε richtete zu Grunde, verlor. vgl. 1, 141, 6. 8, 47, 1. Das Paſſiv 3, 7, 3.

C. 70. § 1. ἀπανίστασαν abzogen, die Belagerung aufzu-

Ἀθηναίους, ὅ τε σῖτος ἐπελελοίπει, καὶ ἄλλα τε πολλὰ ἐπεγεγένητο αὐτόθι ἤδη βρώσεως πέρι ἀναγκαίας καί τινες καὶ ἀλλήλων ἐγέγευντο, οὕτω δὴ λόγους προσφέρουσι περὶ ξυμβάσεως τοῖς στρατηγοῖς τῶν Ἀθηναίων τοῖς ἐπὶ σφισι τεταγμένοις, Ξενοφῶντί τε τῷ Εὐριπίδου καὶ Ἑστιοδώρῳ τῷ
2 Ἀριστοκλείδου καὶ Φανομάχῳ τῷ Καλλιμάχου. οἱ δὲ προσεδέξαντο, ὁρῶντες μὲν τῆς στρατιᾶς τὴν ταλαιπωρίαν ἐν χωρίῳ χειμερινῷ, ἀναλωκυίας τε ἤδη τῆς πόλεως δισχίλια τάλαντα ἐς πολιορκίαν. ἐπὶ τοῖσδε οὖν ξυνέβησαν, ἐξελθεῖν αὐτοὺς καὶ παῖδας καὶ γυναῖκας καὶ τοὺς ἐπικούρους ξὺν ἑνὶ ἱματίῳ, γυναῖκας δὲ ξὺν δυοῖν καὶ ἀργύριόν τι ῥητὸν ἔχοντας ἐφόδιον. καὶ οἱ μὲν ὑπόσπονδοι ἐξῆλθον ἐπὶ τὴν Χαλ-
3 κιδικὴν καὶ ἕκαστος ᾗ ἐδύνατο· Ἀθηναῖοι δὲ τούς τε στρατηγοὺς ἐπηρτιάσαντο ὅτι ἄνευ αὐτῶν ξυνέβησαν, ἐνόμιζον γὰρ ἂν κρατῆσαι τῆς πόλεως ᾗ ἐβούλοντο, καὶ ὕστερον ἐποίκους ἑαυτῶν ἔπεμψαν ἐς τὴν Ποτίδαιαν καὶ κατῴκισαν. ταῦτα μὲν ἐν τῷ χειμῶνι ἐγένετο, καὶ [τὸ] δεύτερον ἔτος ἐτελεύτα τῷ πολέμῳ τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

71 Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐς μὲν τὴν Ἀττικὴν οὐκ ἐσέβαλον, ἐστράτευσαν δ' ἐπὶ Πλάταιαν· ἦγεῖτο δὲ Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς. καὶ καθίσας τὸν στρατὸν ἔμελλε δῃώσειν τὴν γῆν· οἱ δὲ Πλαταιῆς εὐθὺς πρέσβεις πέμψαντες πρὸς αὐτὸν ἔλεγον τοιάδε.

---

heben veranlaßten; ähnlich Her. 6, 133. 9, 86. — βρώσεως πέρι ἀναγκαίας in Beʒug auf Dinge welche die Noth ʒu genießen ʒwang. — ἐπί mit dem Dativ in ſofern die Erreichung eines Zweckes, Unterwerfung, erzielt wurde.

§ 2. προσεδέξαντο, τοὺς λόγους. (Ba.) — ἐν χωρίῳ χειμερινῷ in einer winterlichen, rauhen, kalten Gegend. (Bd.) — δισχίλια καὶ τετρακόσια überhaupt Iſokr. 15, 113. vgl. unten 3, 17, 2. — ἐς πολιορκίαν ohne Artikel die beſten Hſn. — ἐπὶ τοῖσδε ὥστε 3, 114, 3. vgl. Gr. 68, 41 A. 8. — ἱματίῳ. Gr. 44, 1 A. 7. vgl. 4, 4, 2. 6, 44, 2. 58. (Pp.) — καὶ ἔχοντας. Gr. 59, 2 A. 3. — ᾗ ἐδύνατο wie er konnte, nämlich in Beʒug auf einen ʒu findenden Wohnplatʒ. (Bl.) — ἕκαστος ᾗ. ᾗ ἕκαστος einige Hſn., gut.

§ 3. ἄνευ. ʒu 1, 128, 2. — αὐτῶν für αὐτῶν Bk. — τό verdächtigt Pp., weil Th. ſonſt bei dieſen Zahlangaben den Artikel nicht ʒufügt. vgl. 2. 47, 1. 103 ꝛc.

"Ἀρχίδαμε καὶ Λακεδαιμόνιοι, οὐ δίκαια ποιεῖτε 2
οὐδ' ἄξια οὔτε ὑμῶν οὔτε πατέρων ὧν ἐστέ, ἐς γῆν τὴν
Πλαταιέων στρατεύοντες. Παυσανίας γὰρ ὁ Κλεομβρότου,
Λακεδαιμόνιος, ἐλευθερώσας τὴν Ἑλλάδα ἀπὸ τῶν Μήδων
μετὰ Ἑλλήνων τῶν ἐθελησάντων ξυνάρασθαι τὸν κίνδυνον
τῆς μάχης ἦ παρ' ἡμῖν ἐγένετο θύσας ἐν τῇ Πλαταιέων
ἀγορᾷ Διὶ ἐλευθερίῳ ἱερὰ καὶ ξυγκαλέσας πάντας τοὺς ξυμ-
μάχους ἀπεδίδου Πλαταιεῦσι γῆν καὶ πόλιν τὴν σφετέραν
ἔχοντας αὐτονόμους οἰκεῖν, στρατεῦσαί τε μηδένα ποτὲ ἀδί-
κως ἐπ' αὐτοὺς μηδ' ἐπὶ δουλείᾳ, εἰ δὲ μή, ἀμύνειν τοὺς
παρόντας ξυμμάχους κατὰ δύναμιν. τάδε μὲν ἡμῖν πατέρες 3
οἱ ὑμέτεροι ἔδοσαν ἀρετῆς ἕνεκα καὶ προθυμίας τῆς ἐν ἐκεί-
νοις τοῖς κινδύνοις γενομένης, ὑμεῖς δὲ ταὐναντία δρᾶτε· μετὰ
γὰρ Θηβαίων τῶν ἡμῖν ἐχθίστων ἐπὶ δουλείᾳ τῇ ἡμετέρᾳ
ἥκετε. μάρτυρας δὲ θεοὺς τούς τε ὁρκίους τότε γενομένους
ποιούμενοι καὶ τοὺς ὑμετέρους πατρῴους καὶ ἡμετέρους
ἐγχωρίους, λέγομεν ὑμῖν τὴν γῆν τὴν Πλαταιίδα μὴ ἀδικεῖν
μηδὲ παραβαίνειν τοὺς ὅρκους, ἐᾶν δὲ οἰκεῖν αὐτονόμους,
καθάπερ Παυσανίας ἐδικαίωσεν."

Τοσαῦτα εἰπόντων Πλαταιῶν Ἀρχίδαμος ὑπολαβὼν εἶπε. 72
"δίκαια λέγετε, ὦ ἄνδρες Πλαταιῆς, ἢν ποιῆτε ὁμοῖα τοῖς λό-
γοις, καθάπερ γὰρ Παυσανίας ὑμῖν παρέδωκεν, αὐτοί τε
αὐτονομεῖσθε καὶ τοὺς ἄλλους ξυνελευθεροῦτε, ὅσοι μετα-
σχόντες τῶν τότε κινδύνων ὑμῖν τε ξυνώμοσαν καὶ εἰσὶ νῦν
ὑπ' Ἀθηναίοις, παρασκευή τε τοσήδε καὶ πόλεμος γεγένηται

C. 71. §. 2. ὑμῶν. Gr. 51, 2 A. 2. — ὧν. Gr. 47, 6 A. 5. — Πλαταιέων. Πλαταιῶν Bk. — ξυνάρασθαι mit dem Ac. ist selten. Gnr. Dr. 757: συνηράμην φόνον σοι μητρός. (Bl.) Mit dem Ge. 4, 10, 1. 5, 28, 3. (Pp.) τὸν κινδυνον könnte fehlen, — ἱερά, vgl. Diod. 11, 29, Plut. Ar. 19, Strabo 9, 2 p. 412 u. Paus. 9, 2, 4. (Kr.) Aristid. 1 p. 148. (Pp.) — στρατεῦσαι erg. ἐδίδου. (Pp.) Gr. 62, 4 A. 1. §. 2. ὁρκίους. zu 1, 71, 4. — Πλαταιίδα. Gr. 41, 11 A. 11 u. Lobeck z. Phryn. p. 41.

C. 72. § 1. ὁμοῖα. Her. 8, 107: ποιέειν τοῖσι λόγοισι τὰ ἔργα πειρώμενον ὁμοῖα. 3, 157: τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὁμοῖα. nachgeahmt von Dion. Arch. 7, 33 p. 1384, 11. 11, 38 p. 2254, 14, 43 p. 2269, 10. 9, 10 p. 1764, 11: εἰς ἴσον καταστῆσαι τὰ ἔργα τοῖς λόγοις. Plut. Timol. 9: κομίζοντες λόγους τοῖς πραττομένοις ὁμοίους. — γάρ nämlich, mit Bezug auf αὐτονομεῖσθε. vgl. 71, 2. — παρασκευή τε schließt sich an den relativen Satz an mit einem Uebergange zum demonstrativen in αὐτῶν: wie auch zu ihrer und der übrigen

2 αὐτῶν ἕνεκα καὶ τῶν ἄλλων ἐλευθερώσεως. ἧς μάλιστα μὲν μετασχόντες καὶ αὐτοὶ ἐμμείνατε τοῖς ὅρκοις· εἰ δὲ μή, ἄπερ καὶ τὸ πρότερον ἤδη προὐκαλεσάμεθα, ἡσυχίαν ἄγετε νεμόμενοι τὰ ὑμέτερα αὐτῶν καὶ ἔστε μηδὲ μεθ' ἑτέρων, δέχεσθε δὲ ἀμφοτέρους φίλους, ἐπὶ πολέμῳ δὲ μηδετέρους. καὶ τάδε ἡμῖν ἀρκέσει.“

3 Ὁ μὲν Ἀρχίδαμος τοσαῦτα εἶπεν· οἱ δὲ Πλαταιῶν πρέσβεις ἀκούσαντες ταῦτα ἐσῆλθον ἐς τὴν πόλιν, καὶ τῷ πλήθει τὰ ῥηθέντα κοινώσαντες ἀπεκρίναντο αὐτῷ ὅτι ἀδύνατα σφίσιν εἴη ποιεῖν ἃ προκαλεῖται ἄνευ Ἀθηναίων· παῖδες γὰρ σφῶν καὶ γυναῖκες παρ' ἐκείνοις εἶησαν· δεδιέναι δὲ καὶ περὶ τῇ πάσῃ πόλει μὴ ἐκείνων ἀποχωρησάντων Ἀθηναῖοι ἐλθόντες σφίσιν οὐκ ἐπιτρέπωσιν, ἢ Θηβαῖοι, ὡς ἔνορκοι ὄντες κατὰ τὸ ἀμφοτέρους δέχεσθαι, αὖθις σφῶν τὴν πόλιν
4 πειράσωσι καταλαβεῖν. ὁ δὲ θαρσύνων αὐτοὺς πρὸς ταῦτα ἔφη· “ὑμεῖς δὲ πόλιν μὲν καὶ οἰκίας ἡμῖν παράδοτε τοῖς Λακεδαιμονίοις καὶ γῆς ὅρους ἀποδείξατε καὶ δένδρα ἀριθμῷ τὰ ὑμέτερα καὶ ἄλλο εἴ τι δυνατὸν ἐς ἀριθμὸν ἐλθεῖν· αὐτοὶ δὲ μεταχωρήσατε ὅποι βουλεσθε, ἕως ἂν ὁ πόλεμος ᾖ· ἐπειδὰν δὲ παρέλθῃ, ἀποδώσομεν ὑμῖν ἃ ἂν παραλάβωμεν. μέχρι δὲ τοῦδε ἕξομεν παρακαταθήκην, ἐργαζόμενοι καὶ φορὰν φέροντες ἣ ἂν ὑμῖν μέλλῃ ἱκανὴ ἔσεσθαι.“

Befreiung eine so große Rüstung und ein so großer Krieg erfolgt ist. Gr. 59, 2 A. 6. (Ba.) — αὐτῶν, τῶν ξυνομοσάντων. (Gö.) — τῶν ἄλλων, ὅσοι οὐ ξυνώμοσαν. (Gö.) Ueber die Sache Kr. hist. philol. Stud. S. 197 ff.

§ 2. ἧς beziehe ich auf παρασκευή als Hauptbegriff. — μάλιστα μέν. zu 1, 32, 1. — μετασχόντες nachdem ihr euch angeschlossen. — τὸ πρότερον wann? hat Thuk. nicht erzählt. (Ds.)

§ 3. εἶησαν. Gr. 54, 6 A. 4. Ueber die Sache 2, 6, 3. — οὐκ ἐπιτρέπωσιν, οὐ δώσουσιν ἄδειαν τοῖς Πλαταιεῦσιν ἐμμένειν τοῖς δόξασιν. (Sch.) — ὡς ἔνορκοι — unter dem Vorwande daß rücksichtlich des Punctes wegen der Aufnahme beider Theile auch sie in den beeidigten Vertrag eingeschlossen seien. (Ps. u. Hl.)

§ 4. πόλιν. Der Artikel kann wohl nur fehlen weil zwei Begriffe verbunden sind: Stadt und Land. — ἡμῖν τοῖς Δ. Gr. 50, 8 A. 2. — ἀριθμῷ. Gr. 46, 4 A. 2. — ἄλλο εἴ τι. ἄλλα ὅσα 2, 96, 3. Gr. 51, 10 A. 10. — ἐργαζόμενοι, τὴν γῆν. (Sch.) — ἱκανή, ὡς τροφήν. (Sch.)

Οἱ δ' ἀκούσαντες ἐσῆλθον αὖθις ἐς τὴν πόλιν, καὶ βου- 73
λευσάμενοι μετὰ τοῦ πλήθους ἔλεξαν ὅτι βούλονται ἃ προ-
καλεῖται Ἀθηναίοις κοινῶσαι πρῶτον καὶ ἢν πείθωσιν αὐ-
τούς, ποιεῖν ταῦτα· μέχρι δὲ τούτου σπείσασθαι σφίσιν ἐκέ-
λευον καὶ τὴν γῆν μὴ δῃοῦν. ὁ δὲ ἡμέρας τε ἐσπείσατο ἐν 2
αἷς εἰκὸς ἦν κομισθῆναι καὶ τὴν γῆν οὐκ ἔτεμνεν. ἐλθόντες
δὲ οἱ Πλαταιῆς πρέσβεις ὡς τοὺς Ἀθηναίους καὶ βουλευ-
σάμενοι μετ' αὐτῶν πάλιν ἦλθον ἀπαγγέλλοντες τοῖς ἐν τῇ
πόλει τοιάδε· "οὔτ' ἐν τῷ πρὸ τοῦ χρόνῳ, ὦ ἄνδρες Πλα- 3
ταιῆς, ἀφ' οὗ ξύμμαχοι ἐγενόμεθα Ἀθηναῖοι φασιν ἐν
οὐδενὶ ἡμᾶς προέσθαι ἀδικουμένους, οὔτε νῦν περιόψεσθαι,
βοηθήσειν δὲ κατὰ δύναμιν. ἐπισκήπτουσί τε ὑμῖν πρὸς τῶν
ὅρκων οὓς οἱ πατέρες ὤμοσαν μηδὲν νεωτερίζειν περὶ τὴν
ξυμμαχίαν."

Τοιαῦτα τῶν πρέσβεων ἀπαγγειλάντων οἱ Πλαταιῆς 74
ἐβουλεύσαντο Ἀθηναίους μὴ προδιδόναι, ἀλλ' ἀνέχεσθαι καὶ
γῆν τεμνομένην, εἰ δεῖ, ὁρῶντας καὶ ἄλλο πάσχοντας ὅ τι ἂν
ξυμβαίνῃ· ἐξελθεῖν τε μηδένα ἔτι, ἀλλ' ἀπὸ τοῦ τείχους
ἀποκρίνασθαι ὅτι ἀδύνατα σφίσι ποιεῖν ἐστιν ἃ Λακεδαιμό-
νιοι προκαλοῦνται. ὡς δὲ ἀπεκρίναντο, ἐντεῦθεν δὴ πρῶτον
μὲν ἐς ἐπιμαρτυρίαν καὶ θεῶν καὶ ἡρώων τῶν ἐγχωρίων

C. 73. § 2. εἰκὸς ἦν κομισθῆναι sich berechnen ließ daß die nach Athen gesandten Platäer zurückgekehrt seien, sein könnten. (Hl.) vgl. 5, 5, 2. 6, 29 3. 8, 56, 5,

§ 3. ἀφ' οὗ. s. 3, 68, 3. (Ds.) — ἐν οὐδενί in keiner Sache, vielleicht des Wohlklanges wegen dem οὐδ' ἐν ἑνί (Gr. 24, 2 A. 2) vorgezogen, wie auch Dem. 18, 165. 244, Xen. Hell. 7, 1, 26, Plat. Pol. 294, Phil. 17, Parm. 156; doch eb. μηδ' ἐν ἑνί. — ὑμᾶς für ἡμᾶς gute Hss.; jenes aufzunehmen kann ἐγενόμεθα nicht hindern, da dies sich auf beide, die Athener und Platäer, zu beziehen scheint. (Kr.) — περιόψεσθαι erg. ἀδικουμένους. Gr. 56, 16 A. — ἐπισκήπτουσι, παραχελεύονται. (Sch.) vgl. 3, 59, 4 u. Solan. zu Luc. Kat. 8. — πρός. Gr. 68, 37 A. 2.

C. 74. § 1. ἐβουλεύσαντο entschlossen sich. Kr. zu Xen. An. 3, 2, 8. — ὁρῶντες würde man erwarten; allein das δεῖ des Zwischensatzes wirkt ein. vgl. Lob zum Phryn. p. 755. — ἐντεῦθεν analog dem ἐκ τούτου wird sich nicht oft so finden. Ant. 1, 17: ἐπειδὴ αὐτῷ ἐτέθυτο τὰ ἱερά, ἐντεῦθεν ἐβουλεύετο. — μέν. Der Gegensatz 75, 1 ist anders gewendet. — ἐπιμαρτυρία das Anrufen zu Zeu-

2 Ἀρχίδαμος ὁ βασιλεὺς κατέστη, λέγων ὧδε. "Θεοὶ ὅσοι γῆν τὴν Πλαταιΐδα ἔχετε καὶ ἥρωες, ξυνίστορές ἐστε ὅτι οὔτε τὴν ἀρχὴν ἀδίκως, ἐκλιπόντων δὲ τῶνδε πρότερον τὸ ξυνώμοτον ἐπὶ γῆν τήνδε ἦλθομεν, ἐν ᾗ οἱ πατέρες ἡμῶν εὐξάμενοι ὑμῖν Μήδων ἐκράτησαν καὶ παρέσχετε αὐτὴν εὐμενῆ ἐναγωνίσασθαι τοῖς Ἕλλησιν, οὔτε νῦν, ἢν τι ποιῶμεν, ἀδικήσομεν· προκαλεσάμενοι γὰρ πολλὰ καὶ εἰκότα οὐ τυγχάνομεν. ξυγγνώμονες δὲ ἔστε τῆς μὲν ἀδικίας κολάζεσθαι τοῖς ὑπάρχουσι πρότερον, τῆς δὲ τιμωρίας τυγχάνειν τοῖς ἐπιφέρουσι νομίμως."

75 Τοσαῦτα ἐπιθειάσας καθίστη ἐς πόλεμον τὸν στρατόν, καὶ πρῶτον μὲν περιεσταύρωσεν αὐτοὺς τοῖς δένδρεσιν ἃ ἔκοψαν, τοῦ μηδένα ἔτι ἐξιέναι, ἔπειτα χῶμα ἔχουν πρὸς

---

gen, ein ſeltenes Subſtantiv, noch bei Dio Caſſ. 914, 51. (Bl.) — ὁ fehlt in den beſten Hſn. — κατέστη wendete ſich.

§ 2. ἔχετε inne habet und ſomit beſchützet, οἰκήτορες καὶ κηδεμόνες bei Xen. Cyr. 3, 3, 21. vgl. die Erkl. zu u. St. λελόγχασι Her. 7, 53, Dion. Arch. 4, 83 p. 837, 1, εἰλήχασι Din. 1, 64. — ξυνίστορές ἐστε habe ich wieder hergeſtellt, da der Ausdruck bedeutet ihr ſeid Zeugen, wiſſet. vgl. Herm. zu Soph. Phil. 1277 und der Imperativ ἔστε hier alſo nicht, wie bei ξυγγνώμονες, paſſend iſt. — τὴν ἀρχήν hier im Anfange, dem οὔτε νῦν entgegengeſetzt. — δὲ war nach mehreren Hſn. aufzunehmen. (Kr.) — ξυνώμοτον beſchworner Bund. vgl. zu 1, 71, 4. — ἐπὶ γῆν τήνδε gegen dieſes als ein Land, „hier in ein Land." (Blume.) Gr. 50, 11 A. 22. — καὶ αὐτήν für καὶ ἥν. Gr. 60, 6 A. 2. — εὐμενής eig. von den Göttern wird hier auf das Land übertragen: günſtig bewirktet ihr daß es uns glückbringend war. vgl. Eur. Phön. 938. Verſchieden iſt Xen. An. 4, 6, 12, wo εὐμενὴς γῆ von günſtiger Oertlichkeit, die ja die Götter bei Platäa nicht erſt ſchufen, παρέσχον. — ἐναγωνίσασθαι. zu 2, 20, 2. — ἤν τι ποιῶμεν euphemiſtiſch vom Böſen. (Reiske.) — ξυγγνώμονες ἔστε gewährt. (Ba.) — τῆς ἀδικίας wegen des Unrechtes. Gr. 47, 21. vgl. 6, 38, 3 u. Xen. An. 7, 1, 25. Doch iſt es mit auf ὑπάρχουσι zu beziehen, von dem es auch regiert ſein könnte. — τοῖς ὑπάρχουσι wegen ξυγγνώμονες, wiewohl man nach der Bedeutung die daſſelbe hier hat τοὺς ὑπάρχοντας erwarten möchte. — πρότεροις iſt Prädicat: den zuerſt anfangenden. Gr. 57, 5 A. 3. Nicht nach τοῖς ſteht es, weil ὑπάρχουσι hervorzuheben war. Gr. 50, 12 A. 4. — ἐπιφέρουσι, τὴν τιμωρίαν. (Ba.)

C. 75. § 1. ἐπιθειάσας als er religiöſe Vorkehrungen getroffen, die Götter angerufen. vgl. 8, 53, 2 u. Jacobs z. Achill. Tat. p. 914. — καθίστη ſtellte, verwendete. — ἔκοψαν. Uebergang vom Feldherren zu ſeinen Untergebenen. vgl. 4, 90, 2. — πρὸς

τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν στρατεύματος τοσούτου ἐργαζομένου. ξύλα μὲν οὖν τέμνοντες ἐκ 2
τοῦ Κιθαιρῶνος παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν ἀντὶ τοίχων τιθέντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα· ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ γῆν καὶ εἴ τι ἄλλο ἀνήσειν μέλλοι ἐπιβαλλόμενον. ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διῃρημένοι κατ' ἀναπαύλας, ὥστε τοὺς μὲν φέρειν τοὺς δὲ ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι· Λακεδαιμονίων τε οἱ ξεναγοὶ ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον ἐς τὸ ἔργον. οἱ δὲ Πλαταιῆς ὁρῶντες τὸ χῶμα 3
αἰρόμενον, ξύλινον τεῖχος ξυνθέντες καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ἦ προσεχοῦτο ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους ἐκ τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες. ξύνδεσμος δ' ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ ὑψηλὸν γιγνόμενον ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα. καὶ προκαλύμματα εἶχε δέρρεις καὶ διφθέρας, 4
ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις οἱστοῖς βάλλεσθαι ἐν ἀσφαλείᾳ τε εἶναι. ἤρετο δὲ τὸ ὕψος τοῦ

τὴν πόλιν nach der Stadt zu; προσεχοῦτο § 3, πρόσχωσις 77, 2. — αὐτῶν, τῶν Πλαταιέων mit Bezug auf πόλιν. (Pp.)

§ 2. ἐκ, wie 3, 70, 3. (Pp.) Brachylogisch für fällten auf und heften von. — ἑκατέρωθεν an beiden Seiten des Sturmwalles. (Pp.) — φορμηδόν, ψιαθηδόν· φορμὸς γὰρ ψιάθος, ὅστις ἐναλλὰξ ἔχων τὸ πλέγμα ἐστίν. (Sch.) vgl. 4, 48, 3. (Pp.) Um nicht an beiden Seiten eine Abdachung, zu der viel Erde erforderlich gewesen wäre, zu geben, stellte man von kreuzweis (φορμηδόν) durch einander gebogenem Holzwerk Wehre als Wände (ἀντὶ τοίχων) an den Seiten des Walles auf. (So etwa Bd.) — ὕλην Holzwerk, Reisig, Faschinen. vgl. 2, 77, 2. 4, 69, 2. (Bl.) — ἀνήσειν fördern. — διῃρημένοι ist wohl das Med. erg. τὸ χοῦν. vgl. 2, 78, 1. (Pp.) — κατ' ἀναπαύλας rastweise, so daß einzelne Abtheilungen sich in Rast und Arbeit ablösten. — ὕπνον αἱρεῖσθαι auch 3, 49, 2. — ξεναγοί hießen die Spartiaten welche die Truppenabtheilungen der Bundesgenossen befehligten. (Bd.) ξένων στρατιαρχοι Xen. St. d. L. 13, 4. vgl. Xen. Hell. 5, 2, 7: ἔπεμπον αὐτοῖς κατὰ κώμην ἑκάστην ξεναγόν. — ξυνεφεστῶτες zugleich mit den eignen Führern vorstehend. (Kist.)

§ 3. ἐξοικοδομεῖν scheint sonst nirgends vorzukommen. (Pp.) ἐνοικοδομεῖν 3, 51, 1. 8, 4, 1. (u. 16, 3?) — ξύνδεσμος Bindemittel. (Pp.) Einfassung?

§ 4. προκαλύμματα Schutzvorhänge. — δέρρεις. δέρεις eine Hs., wohl richtig. vgl. Poll. 2, 235. (Pp.) Dies scheinen unbearbeitete, διφθέραι bearbeitete Häute zu sein. — ἀσφαλεῖ eine schlechte Hs., wenn gleich es der gewöhnlichere Ausdruck wäre. Doch ἐν

τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανῄει αὐτῷ, καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσιν· διελόντες τοῦ τεί-
76 χους ᾗ προσέπιπτε τὸ χῶμα ἐσεφόρουν τὴν γῆν. οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐν ταρσοῖς καλάμου πηλὸν ἐνειλλοντες ἐσέβαλλον ἐς τὸ διῃρημένον, ὅπως μὴ διαχεόμενον ὥσπερ ἡ γῆ φοροῖτο. οἱ δὲ ταύτῃ ἀποκληόμενοι τοῦτο μὲν ἐπέσχον, ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα ὑφεῖλκον αὖθις πρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντας ἦσσον
2 ἀνύτειν ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος καὶ ἰζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες δὲ μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν προσῳκο-

---

ἀσφαλείᾳ καθεστάναι Xen. Hiero. 2, 10. (Pp.) — μέγα. Gr. 57, 4 A. 2. — διελόντες — machten in der Mauer wo der Wall daran ſtieß eine Lücke. (Hl.) Gr. 47, 10 A. 4. — ἐσεφόρουν, ἐς τὴν πόλιν. (Pp.)

C. 76. §. 1. ἐν τ. iſt wohl mit ἐσέβαλον zu verbinden. (Pp.) — ἐν ταρσοῖς καλάμων, ἐν πλέγμασιν ἀπὸ καλάμου πεποιημένοις. (Sch.) Derſelbe Ausdruck bei Her. 1, 179. vgl. Gr. 47, 8. — ἐνειλλοντες, ἐμβάλλοντες. (Zon.) einfaſſend. (Gb.) — διαχεόμενον. Das Neutrum, weil nicht bloß πηλός ſondern auch ταρσοί mitbefaßt werden. (Kiſt.) διαχεόμενος vermuthete Pp. — τοῦτο. 5, 46, 1. 63, 3. vgl. 7, 33, 2. (Pp.) Es iſt in ſolchen Fällen eig. tranſitiv hemmen. vgl. Plat. Geſ. 932, e. Dagegen intranſitiv τούτου ἐπέσχεν 8, 31, 1 ꝛc. — ξυντεκμηράμενοι ſchätzten ab; in ξύν liegt die Verbindung von Einzelnheiten zu einem Ergebniſſe. Xen. Symp. 2, 8: συντεκμαιρομένῳ ὅσον ἔδει ῥιπτεῖν ὕψος. vgl. zu 3, 20, 2. — ὑπὸ τὸ χῶμα unter dem Walle hin (vgl. Kr. zu Xen. An. 7, 4, 5) gehört mehr zu ὀρύξαντες als zu ξυντεκμηράμενοι. Aehnliche διὰ μέσου bei Pflugk zu Eur. Herakl. 309 u. Hek. 605. — ἰζάνοντος ſich ſenkte. App. Mithr. 36: τὸ χῶμα ὑφίζανεν ἄφνω. „Das Wort findet ſich nicht erſt ſeit Ariſtoteles. vgl. Aeſchyl. Sieben 678, Eur. Phön. 1391 (?) Iſokr. 1, 52." (Pp.) vgl. Aeſch. Pro. 276, Eum 29.

§ 2. ὀλίγοι πρὸς πολλούς. vgl. 5, 80, 3. — προσεπεξεῦρον. πρός noch dazu, ἐπί zu dem vorliegenden Zwecke. — τὸ μέγα οἰκ. 75, 3. (Pp.) — ἔνθεν καὶ ἔνθεν von beiden Seiten. Kr. zu Xen. An. 4, 3, 28. — αὐτοῦ, τοῦ χώματος. — βραχέος der niedrigen (Ba.) vgl. 7, 29, 2, im Gegenſatze zu dem hölzernen Aufbau 2, 75, 3. — ἐκ τοῦ ἐντός von innen, ἔσωθεν Arr. An. 1, 21, 4, ἔνδοθεν App. Mithr. 37. vgl. Polyb. 16, 30, 6. An wel-

δόμουν, ὅπως εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν καὶ προχωροῦντας εἴσω διπλάσιόν τε πόνον ἔχειν καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον 3
τῇ πόλει οἱ Πελοποννήσιοι, μίαν μὲν ἢ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα ἐπὶ μέγα τε κατέσεισε καὶ τοὺς Πλαταιέας ἐφόβησεν, ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους ἀνελκύσαντες ἐγχαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανή, ἀφίεσαν τὴν δο-

---

chen Stellen bei wirklichen Breschen halbmondförmig aufgeführte Reservemauern vorkommen, wie hier für den Fall der Erstürmung des bedrohten Mauertheils. — ἐν ἀμφιβόλῳ in einer von mehrern Seiten durch Geschosse bestrichenen Lage. vgl. zu 4, 32, 3; eben weil die Gestalt der Reservemauer halbkreisförmig war. — μᾶλλον mehr als bei der ersten Mauer.

§ 3. τοῦ μεγάλου 75, 3. — οἰκοδομήματος hängt von ἐπὶ μέγα ab: einen großen Theil des Werkes. (Py.) vgl. 4, 100, 2 u. Gr. 60, 8 A. 3. — κατέσεισε erschütterte. Arr. An. 1, 19, 2: τὰ μὲν καταβαλὼν ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολύ. (Py.) — βρόχους, σχοινία. (Sch.) Dies war bei den Alten die gewöhnliche Weise die Stöße des Widders zu vereiteln. vgl. Lipf. Poliorc. 5, 8. (Dr.) u. die Erkl. z. Liv. 36, 23. (Py.) — ἀνέκλων in die Höhe zogen, wie bei App. Mithr. 74; ἀνεῖλκον Dio Caff. 66, 4. (Lipf.) vgl. 7, 25, 4. Dadurch konnte doch wohl nicht ein Abbrechen sondern nur ein Brechen der Kraft erreicht werden. — καὶ verbindet ἀνέκλων und ἀφίεσαν, wiewohl der Sache nach erst ἀπεκαύλιζε der gegensätzliche Hauptbegriff iſt. — ἀπὸ τῆς τομῆς, ἀπὸ τοῦ ἰσχάτου δὴ τῶν δοκῶν. (Gl.) So noch Joseph. Jüd. Kr. 7, 3, 3. (Bl.) Alſo die Balken hingen herab an eiſernen Ketten die an jedem Ende (ἑκατέρωθεν) jedes Balkens befeſtigt waren. — ἀπὸ κεραιῶν mit ἀνελκύσαντες zu verbinden (mit Py.) wäre wohl weder der Sprache recht gemäß noch dem Sinne; alſo mit ἀρτήσαντες: ſie hingen an zwei über die Mauer gelegte und über die Mauer hinausragende Balken. Arr. An. 2, 19, 2: ἀπὸ ταύτης (τῆς κεραίας) ἐξήρτησαν. — ὑπερτεινουσῶν intranſitiv, wie παρατείνειν 4, 8, 4. vgl. Liv. 24, 34: tollenones super murum eminentes. (Py.) — ἀνελκύσαντες. Dies Particip, an das ſich ἀρτήσαντες anſchließt, gehört zu ἀφίεσαν. Gr. 56, 15 A. 2. — ἐγχαρσίας prädicativ: ſchräge nach der Mauer zu zogen ſie ſie hinauf. Gr. 57, 4 A. 2. „Veget. de re mil. 4, 23: laqueis captos arietes in obliquum trahunt.“ (Arn.) — χαλαραῖς ταῖς ἁλύσεσι an lockeren, nicht angezogenen, Ketten; über den Artikel Gr. 50, 11 A.

κὸν χαλαραῖς ταῖς ἅλύσεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες, ἡ δὲ ῥύμη ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς.

77 Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἱ τε μηχαναὶ οὐδὲν ὠφέλουν καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο πνεύματος γενομέ-
2 νου ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην· πᾶσιν γὰρ ἤ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη. φορυῦντες δὲ ὕλης φακέλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως, ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν ἐπιπαρέντησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ με-

---

1. — διὰ χειρὸς ἔχοντες mit den Händen sie haltend; über den Singular Kr. zu Xen. An. 5, 2, 14. — ἡ ῥύμη die Gewalt des Sturzes, τὸ ἐπιφερόμενον ἄχθος. (Suid. in ἐμβολή.) — ἀπεκαύλιζε, ἀπέτεμε. (Sch.) — τὸ προέχον τῆς ἐμβολῆς den Kopf des Sturmbalkens. (Hl.) Doch wird ἐμβολή wohl der Kopf des Widders sein, wie die Erklärung der Grammatiker und der sonstige Gebrauch des Wortes anzunehmen erfordert. vgl. Prokop. p. 198, Steph. Thes. III p. 818 u. Lips. Poliorc. 3, 1. (Pp.)

C. 77. § 1. τὸ ἀντιτείχισμα, τὸ μηνοειδὲς τεῖχος 76, 2 (Pp.) wohl auch τὸ οἰκοδόμημα 75, 3. — ἀπὸ τῶν παρόντων vermittelst der vorhandenen Schrecks, Zwangsmittel Pp. u. Andre, wohl richtiger als Ba.: bei den vorhandenen Schwierigkeiten, wenn nicht δεινῶν zu tilgen (Kr.) oder dafür ein andres Wort zu lesen ist. — πολιορκία längere Belagerung. (Hdf.)

§ 2. φακέλους mit Einem λ wenige Hsn., die Grammatiker u. Eur. Kykl. 2421. (Hdf.) vgl. Her. 4, 62. 67. (Wa.) — παρέβαλον warfen neben einander (Arn.) Wohl vielmehr neben der Stadt, vgl. ἐπιπαρέντησαν. — γενομένου erg. τοῦ μεταξύ. — φορτία, δεσμούς. (Sch.) — προσχώσεως. zu 75, 1; πρόσχωμα Aesch. Prom. 849. Seltene Wörter. (Bl.) — ἐπιπαρέντησαν. ἐπὶ — außer dem bei der πρόσχωσις Angehäuften; παρα — neben der Mauer. — πόλεως hängt von πλεῖστον ab: so viel sie irgend auch von der übrigen Stadt (d. h. Stadtmauer Hk.) bereichen konnten. Ueber ἐπέχειν zu 1, 48, 2. — ἀπὸ τοῦ μετεώρου von der Höhe der πρόσχωσις. Denn an andern Orten würden die Geschosse der Belagerten sie bestrichen haben. Mit Hl. u. Andern anzunehmen daß diese Holzmassen in die Stadt geworfen scheint nicht zulässig. Denn das war theils nicht wohl bewirkbar, theils würden die Belagerten den Brennstoff fortgeschafft haben oder wenn sie dies nicht gekonnt hätten, so würde den Begünstigungen der Natur zum Trotz der Brand der Stadt wohl nicht ausgeblieben sein.

τειώρου πλεῖστον ἐπισχεῖν, ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ 3
πίσσῃ ἦψαν τὴν ὕλην. καὶ ἐγένετο φλὸξ τοσαύτη ὅσην οὐ-
δεὶς πω ἕς γ' ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν· ἤδη
γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν ἀπὸ
ταὐτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκεν. τοῦτο δὲ
μέγα τε ἦν καὶ τοὺς Πλαταιέας τἆλλα διαφυγόντας ἐλαχί-
στου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πό- 4
λεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον,
ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. νῦν δὲ καὶ
τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς
γενομένας σβέσαι τὴν φλόγα καὶ οὕτω παυθῆναι τὸν κίν-
δυνον.

Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ καὶ τούτου διήμαρτον, μέ- 78
ρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου, τὸ δὲ πλέον ἀφέν-

Denn ἐγένετο φλὸξ τοσαύτη κ. τ. λ. Eine ſolche Flamme mußte ſchon nahe vor der Mauer ſich erhebend die Stadt mit der höchſten Gefahr bedrohen.

§ 3. ἤδη ſteht häufig ſo bei Erfahrungsſätzen: es iſt ſchon vorgekommen daß. Soph. El. 415: πολλά τοι σμικροὶ λόγοι ἐσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς. vgl. zu 2, 89, 5 u. Gr. 53, 10 A. 2. — τριφθεῖσα. τριφθῆναι auch Antiphanes bei Athen. 12 p. 553, διατριβῆναι 1, 125. 8, 78, 2, διατριφθῆναι Iſokr. 4, 14. 5, 84, Dem. 19, 164, Dio Caſſ. 47, 38. (Pp.) — ἐδέησε. τοῦτο iſt auch hier Subject. (Pp.) Gr. 47, 16 A. 2.

§ 4. αὐτῇ, τῇ φλογί. (Sch.) vgl. 3, 74, 2. — ἐπίφορον. ἐπίφορος ἄνεμος 3, 74, 2, Dion. Arch. 10, 16 p. 2028, venti ferentes Plin. Paneg. 31. — ὕδωρ ἐξ οὐρανοῦ. Gr. 61, 4 A. 4. — σβέσαι ſteht exegetiſch zu τόδε ξυμβῆναι. Plat. Rep. 360, a: καὶ αὐτῷ ἀεὶ οὕτω ξυμβαίνειν, στρέφοντι εἴσω τὴν σφενδόνην ἀδήλῳ γίγνεσθαι. Mener. 235, b: ἐκεῖνοι ταὐτὰ ταῦτα δοκοῦσι μοι πάσχειν καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν πόλιν, θαυμασιωτέραν αὐτὴν ἡγεῖσθαι ἢ πρότερον. Gr. 57, 10 A. 8.

C. 78. § 1. τὸ δὲ λοιπὸν ἀφέντες fehlen in guten Hſn. Allein die Gründe durch welche Pp. die Worte verdächtigt wollen nicht viel ſagen. Schon die Schwierigkeit der Verpflegung konnte veranlaſſen einen Theil des ſehr großen Heeres ſchon jetzt in die Heimath zu entlaſſen. Ein Angriff von den durch die Seuche heimgeſuchten Athenern war nicht leicht zu beſorgen, da man gewiß einen bedeutenden Theil des Heeres zurückbehielt und andere böotiſche Städte zur Hülfe entbieten konnte. Daß wenn ein Theil des Heeres entlaſſen worden, § 2 nicht τῷ στρατῷ ſondern τῷ καταλειφθέντι μέρει zu ſchreiben war iſt eine nichtige Behauptung: was von dem Heere dort geblieben konnte doch nun wohl das Heer ſchlechtweg genannt werden. Endlich würde bei Tilgung der Worte das μέν ſchwierig ſein. Dadurch angedeutet zu glauben daß man den fortge-

τες περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλιν-
2 θεύσαντο. καὶ ἐπειδὴ πᾶν ἐξείργαστο, περὶ ἀρκτούρου ἐπιτολάς, καταλιπόντες φυλακας τοῦ ἡμίσεος τείχους — τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον — ἀνεχώρησαν τῷ στρατῷ καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἄχρεῖον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας,
3 αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. τοσοῦτοι ἦσαν οἱ ξύμπαντες ἄτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει οὔτε δοῦλος οὔτ' ἐλεύθερος. τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

79 Τοῦ δ' αὐτοῦ θέρους καὶ ἅμα τῇ τῶν Πλαταιῶν ἐπιστρατείᾳ Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θράκης καὶ Βοττιαίους ἀκμάζοντος τοῦ σίτου· ἐστρατήγει δὲ Ξενοφῶν ὁ
2 Εὐριπίδου τρίτος αὐτός. ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν τὸν σῖτον διέφθειραν. ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. προσπεμψάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν· ἧς ἐπεξελθούσης ἐκ τῆς

---

schickten Theil den böotischen Städten zum Zehren eingelegt, hätte man auszusprechen Anstand nehmen sollen. — κατὰ πόλεις, wie 5, 114.

§ 2. ἐπιτολάς nämlich τὰς ἑῴας um den Anfang des Herbstes. (Bb.) vgl. Ideler Chron. 1 S. 53 und über ἐπιτολή Lobeck z. Phryn. p. 124 f. (Py.) — ἄχρηστον für ἀχρεῖον die besten Hss. Xen. An. 3, 4, 26: ἄχρηστοι ἦσαν ἐν τῷ ὄχλῳ ὄντες. Cunap. p. 50: ἡ ἀχρηστος ἡλικία. (Pp.) über das gewöhnlichere ἀχρεῖος zu 1, 93, 4.

§ 3. κατεσκευάσθη wurde zu s (nicht vor s) bereitet. vgl. 2, 85, 1 und κατασκευὴ τοῦ πολέμου 8, 5, 1.

C. 79. § 1. Πλαταιῶν gegen die Bl. Gr. 47, 7 A. 5. — τρίτος. vgl. 2, 70, 1. Doch wird als Einer Kalliades genannt bei Plut. Nik. 6, wohl irrig.

§ 2. ὑπὸ Σπάρτωλον unter die Mauern von S. So ὑπὸ τὴν Βῶλον Polyän. 4, 6. (Bl.) ὑπὸ τὴν σκιὰν καθέζεσθαι Andoc. 1, 36. — ὑπό τινων durch Vermittelung Einiger. vgl. Gr. 53, 3 A. 3. — ἔνδοθεν. Gr. 50, 8 A. 16. — οὐ ταῦτα. Kr. zu Xen. An. 1, 4, 5. — καὶ στρατιά und was sonst noch ein Heer bildet, z. B. Leichtbewaffnete. (Bl.)

Σπαρτώλου ἐς μάχην καθίστανται οἱ Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων καὶ ἐπίκουροί 3
τινες μετ' αὐτῶν νικῶνται ὑπὸ τῶν Ἀθηναίων καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον, οἱ δὲ ἵππῆς τῶν Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων ἱππέας καὶ ψιλούς· εἶχον δέ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης. ἄρτι δὲ τῆς μάχης γεγενημένης ἐπιβοηθοῦσιν ἄλλοι 4
πελτασταὶ ἐκ τῆς Ὀλύνθου. καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοὶ ὡς εἶδον, θαρσήσαντες τοῖς τε προσγιγνομένοις καὶ ὅτι πρότερον οὐχ ἥσσωντο, ἐπιτίθενται αὖθις μετὰ τῶν Χαλκιδέων ἱππέων καὶ τῶν προσβοηθησάντων τοῖς Ἀθηναίοις· καὶ ἀνα- 5
χωροῦσι πρὸς τὰς δύο τάξεις ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν ἐπίοιεν οἱ Ἀθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι δ' ἐνέκειντο καὶ ἐσηκόντιζον. οἵ τε ἱππῆς τῶν Χαλκιδέων προσιππεύοντες ᾗ δοκοῖ προσέβαλλον, καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Ἀθηναίους καὶ ἐπεδίωξαν ἐπὶ πολύ. καὶ οἱ μὲν Ἀθηναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύ- 6
γουσιν, καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι ἐς τὰς Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ· ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι καὶ οἱ στρατηγοὶ πάντες. οἱ δὲ Χαλκιδῆς καὶ οἱ Βοττιαῖοι τροπαῖόν τε ἔστησαν καὶ τοὺς νεκροὺς τοὺς αὐτῶν ἀνελόμενοι διελύθησαν κατὰ πόλεις.

Τοῦ δ' αὐτοῦ θέρους, οὐ πολλῷ ὕστερον τούτων, Ἀμ- 80
πρακιῶται καὶ Χάονες βουλόμενοι Ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Ἀθηναίων ἀποστῆσαι πείθουσι Λακεδαιμονίους ναυτικόν τε παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ἀκαρνανίαν, λέγοντες ὅτι ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων

---

§ 3. εἶχον, οἱ Χαλκιδεῖς, nicht οἱ Ἀθηναῖοι. Denn diesen Peltasten stehen offenbar ἄλλοι πελτασταί § 4 entgegen. (Pp.)

§ 4. ἀναχωροῦσι, οἱ Ἀθηναῖοι. (Sch.) vgl. Kr. zu Xen. An. 1, 4, 5. — ἐνεδίδοσαν οἱ Χαλκιδεῖς δηλονότι καὶ οἱ Σπαρτώλιοι. (Sch.) — δοκοῖ auch 2, 100, 3. 3, 16, 1, προσχωροῖ 4, 105, 1; δοκοίη 4, 11, 3, προχωροίη 2, 5, 1, ὑποχωροίη 4, 10, 5. (Pp.) — προσέβαλον die besten Hss. für ἐσέβαλον, das doch 2, 100, 3 eben so steht; προς — könnte wohl aus προσιππεύοντες entstanden sein.

C. 80. § 1. ἅμα zieht Pp. zum Vorhergehenden; dieselbe Stel-

ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων ῥᾳδίως ἂν Ἀκαρνανίαν σχόντες καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατήσουσι καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις ὁμοίως περὶ Πελοπόννησον· ἐλπίδα δ' εἶναι καὶ Ναύπακτον
2 λαβεῖν. οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες Κνῆμον μέν, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσιν, τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς τάχιστα πλεῖν ἐς Λευκάδα. ἦσαν δὲ Κορίνθιοι ξυμπροθυμούμενοι μάλιστα τοῖς Ἀμπρακιώταις ἀποίκοις οὖσι. καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων ἐν παρασκευῇ ἦν, τὸ δ' ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρακίας πρότερον ἀφικόμενον ἐν Λευ-
3 κάδι περιέμενεν. Κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται ἐπειδὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα, ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν αἳ περὶ Ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν. καὶ αὐτῷ παρῆσαν Ἑλλήνων μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οὓς αὐτὸς ἔχων ἦλθε χίλιοι Πελοποννησίων, βάρβαροι δὲ Χάονες χίλιοι ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ τοῦ ἀρχικοῦ γένους Φώτυος καὶ Νικάνωρ.
4 ἐστρατεύοντο δὲ μετὰ Χάονων καὶ Θεσπρωτοὶ ἀβασίλευτοι. Μολοσσοὺς δὲ ἦγε καὶ Ἀντιτᾶνας Σαβύλινθος, ἐπίτροπος ὢν Θάρυπος τοῦ βασιλέως, ἔτι παιδὸς ὄντος, καὶ Παραυαίους

---

lung 7, 30, 3: ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ. — τῶν ἀπό. Gr. 50, 8 A. 14. — ἂν κρατήσουσι. Gr. 64, 3 A. 3. — ὁμοίως für ὅμοιος eine Hſ. und Ba. „itidem ut antea."

§ 2. ἐπὶ ναυσίν. vgl. 4, 10, 3 u. Eur. Hel. 1135: ἦρον Δαναῶν νεφέλαν ἐπὶ ναυσὶν ἄγων. Elmsley zu Eur. Herakl. 893. Gr. 68, 41 A. 1. — περιήγγειλαν πλεῖν. zu 1, 116, 1. — παρασκευασαμένῳ. Lobeck zu Soph. Aj. 1006. — ἐν παρασκευῇ ἦν war in der Rüſtung begriffen. Aeſchin. 2, 103: τὴν στρατείαν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. vgl. zu 2, 17, 3.

§ 3. τῶν εἴκοσι zurückweiſend auf 2, 69, 1. (Hk.) — ἐπ' ἐτησίῳ haben vermuthlich alle Hſn.; erklärbar unter der Bedingung jährlichen Vorſtandes, auf dieſe Zeit beſchränkt; ἐπετησίῳ wollte St., ein ſchon von Homer gebrauchtes und von Dio Caſſ. wieder hervorgeſuchtes Wort, wenn nur der bloße Dativ nicht anſtößig wäre. — προστασία auch 2, 65, 7; 6, 89, 3 προστατεία nur einige ſchlechte Hſn. vgl. Lobeck zum Phryn. p. 529. (Pp.) — ἀρχικοῦ das zu höhern Staatsämtern berechtigt war. (Bs.)

Ὀροιδος, βασιλεὺς ὤν. Ὀρέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίοχος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ Ἀντιόχου ἐπιτρέψαντος. ἔπεμψε δὲ καὶ Περδίκκας κρύφα τῶν Ἀθηναίων χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον.

Τούτῳ τῷ στρατῷ ἐπορεύετο Κνῆμος, εὖ περιμείνας τὸ 5
ἀπὸ Κορίνθου ναυτικόν· καὶ διὰ τῆς Ἀργείας ἰόντες Λιμναίαν, κώμην ἀτείχιστον, ἐπόρθησαν. ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας, νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προσχωρήσειν. Ἀκαρνᾶνες δὲ αἰσθόμενοι κατά τε γῆν πολλὴν στρατιὰν 81
ἐσβεβληκυῖαν ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν ἐφύλασσόν τε τὰ αὐτῶν ἕκαστοι, παρά τε Φορμίωνα ἔπεμπον κελεύοντες ἀμύνειν· ὁ δὲ ἀδύνατος ἔφη εἶναι ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν Ναύπακτον ἐρήμην ἀπολιπεῖν. οἱ δὲ Πελοποννήσιοι 2
καὶ οἱ ξύμμαχοι τρία τέλη ποιήσαντες σφῶν αὐτῶν ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πείθοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους. καὶ μέσον μὲν ἔχοντες προσῄεσαν Χάονες καὶ οἱ ἄλλοι βάρβαροι, ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οἱ μετὰ τούτων, ἐν ἀριστερᾷ δὲ Κνῆμος καὶ οἱ Πελοποννήσιοι καὶ Ἀμπρακιῶται· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων καὶ 3
ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῄεσαν καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ Χάονες σφίσι τε αὐτοῖς πιστεύοντες καὶ ἀξιούμενοι [ὑπὸ] τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι

---

§ 4. *Περδίκκας.* vgl. 2, 29, 5. — *ὕστερον* zu ſpät, wie 7, 27, 1 u. Aeſch. Ag. 1656. Eben ſo *ὑστερεῖν.* (Bl.) vgl. Ar. Eccl. 382, Lyſ. 69. 326.

§ 5. *Ἀργείας, τῆς Ἀμφιλοχικῆς.* (Sch.) — *Στράτον πόλιν.* Gr. 50, 7 A. 3? — *ἂν προσχωρήσειν.* vgl. 5, 82, 4. 6, 66, 1. 8, 25, 4. 71, 1. (Pp.) Kr. zu Xen. An. 2, 3, 18.

C. 81. § 1. *Φορμίωνα.* vgl. 2, 69, 1. (Pp.)

§ 2. *τρία τέλη, οὐκ ἐπὶ μῆκος ἀλλ' ἐπὶ πλάτος.* (Sch.) vgl. zu 1, 48, 2. — *πειρῷντο.* Regelmäßiger wäre *πειρῶεν.* vgl. 1, 61, 3 u. Mehlhorn in Jahns Jahrb. 1, 1 S. 40. (Pp.) — *μέσον* ohne Artikel die beſten Hſn. Gr. 50, 2 A. 13.

§ 3. *διὰ φυλακῆς ἔχοντες* ſich mit Vorſicht verhaltend. — *ἐπιτηδείῳ.* Gr. 43, 4 A. 2. — *ἀξιούμενοι, ἄξιοι κρινόμενοι.*

οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν, χωρήσαντές τε ὁμῇ μετὰ τῶν ἄλλων βαρβάρων ἐνόμισαν αὐτοβοεὶ ἂν τὴν
4 πόλιν ἑλεῖν καὶ αὐτῶν τὸ ἔργον γενέσθαι. γνόντες δ' αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις, καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν προσπίπτουσιν. καὶ ἐς φόβον καταστάντων διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων, καὶ οἱ ἄλλοι βάρβαροι ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι ὑπέμειναν ἀλλ' ἐς
5 φυγὴν κατέστησαν. τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ἧσσον ἐθέλησε τῆς μάχης διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. ἐπὶ δ' ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς καὶ ξυναγαγόντες τὰ στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν, ἐς χεῖρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων διὰ τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων καὶ ἐς ἀπορίαν καθιστάντων· οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες κράτιστοι εἶναι

(Sch.) — ὑπό mir verdächtig hat Ba. nicht überſetzt. — τὸ στρατόπεδον. τὸ τό περιπὸν κεῖται. (Sch.) So 6, 65, 4: ὡς τὸ στρατόπεδον καταληψόμενοι, wo die beſten Hſn. den Artikel geben und Xen. An. 3, 4, 36: οὐκ ἐδόκει λυσιτελεῖν αὐτοῖς νυκτὸς κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον. Der Artikel ſcheint mir jetzt in dieſen Stellen die δεῖξις zu anticipiren oder den Begriff des Erforderlichen zu haben. Der Sinn der Worte: ſie hielten ſich nicht ein Lager aufzuſchlagen, non sustinuerunt castris deligere locum. (Ba.) — ὁμῇ. ὁμῇ irrig die beſten und die meiſten Hſn. — αὐτοβοεί. Bekkers Anecd. p. 214 u. 465: ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. οὕτω Θουκυδίδης, παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος. vgl. 3, 74, 2. 113, 4. 5, 3, 2. 8, 23, 2. Bei Attikern findet es ſich weiter nicht; erſt Spätere haben es wieder hervorgeſucht. Pierſon z. Moris p. 48. — αὐτῶν für αὐτῶν Bekker: daß die That die ihrige werden dürfte, ſie allein ſich das Verdienſt der Eroberung aneignen könnten. Gr. 47. 6 A. 9.

§ 4. προλοχίζειν. vgl. 3, 110. 112, 4. ein ſeltenes Wort, bei Spätern öfter wiederkehrend. S. Bl. u. Jacobs zum Achill. Tat. p. 547. λοχίζειν 3, 107, 3, λοχᾶν τὴν ἐν Πηδάσῳ ὁδόν Her. 5, 121. Der Sinn: beſetzen zur Auflauer die Umgebungen der Stadt mit Hinterhaltspoſten.

§ 5. αὐτούς, τοὺς Χάονας. (Sch.) — διὰ τὸ οἰηθῆναι weil die helleniſchen Heere glaubten. (Ba.) — ἐνέκειντο auf die Hellenen heranbrängten, ungewöhnlich von Fliehenden. (Pp.) — ἀνελάμβανον αὐτούς, οἱ Ἕλληνες τοὺς Χάονας. (Sch.) — ἄνευ ὅπλων

τοῦτο ποιεῖν. ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ Κνῆμος 82
τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἄναπον ποταμόν, ὃς ἀπέχει
σταδίους ὀγδοήκοντα Στράτου, τούς τε νεκροὺς κομίζεται τῇ
ὑστεραίᾳ· ὑποσπόνδους καὶ Οἰνιαδῶν ξυμπαραγενομένων
κατὰ φυλίαν ἀναχωρεῖ παρ' αὐτοὺς πρὶν τὴν ξυμβοήθειαν
ἐλθεῖν. κἀκεῖθεν ἐπ' οἴκου ἀπῆλθον ἕκαστοι. οἱ δὲ Στρά-
τιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

Τὸ δ' ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν 83
ἐκ τοῦ Κρισαίου κόλπου ναυτικόν, ὃ ἔδει παραγενέσθαι τῷ
Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρ-
νᾶνες, οὐ παραγίγνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς
ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα
καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων αἳ ἐφρούρουν ἐν Ναυ-
πάκτῳ. ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλ- 2
που ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ
Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς ἐπὶ ναυμα-
χίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι ἐς τὴν Ἀκαρ-
νανίαν καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα
ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς
ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέ- 3
οντάς τε ἑώρων αὐτοὺς παρὰ γῆν σφῶν κομιζομένων, καὶ ἐκ

---

ohne Rüſtung. (Hl.) — κινηθῆναι ſich zu bewegen, etwa um Lebensmittel, Futter, Holz zu holen. (Pp.) — τοῦτο, τὸ σφενδονᾶν. (Pp.)

C. 82. τὴν ξυμβοήθειαν 2, 80, 1. 81, 1. — μάχης. Gr. 47, 7 A. 3. vgl. 4, 12, 2. 6, 98, 4. 7, 24, 1. 41, 2. 54.

C. 83. § 1. τὸ ἐκ τῆς K. 2, 80, 2. — ἄνω nach dem Binnenlande, gen Stratos, richtig mit ξυμβοηθῶσι verbunden von Pp. u. Kiſt. — ἡμέρας τῆς. Kr. zu Xen. An. 6, 2, 9. Pol. 3, 45, 6: τῇ κατὰ πόδας ἡμέρᾳ τῆς ἐκκλησίας. 9, 5, 7: μετὰ τὴν πέμπτην ἡμέραν τῆς παρουσίας.

§ 2. ἔξω heißt auch nach außen hin, zu: wenn ſie an der Küſte nach der Gegend außerhalb des Buſens zu ſchifften, ſchiffen wollten, wie διαβαλλόντων § 3. Xen. An. 5, 7, 7: ὁ βορέας ἔξω τοῦ Πόντου εἰς τὴν Ἑλλάδα φέρει. § 15: διενενόητο ἀποπλέων οἴχεσθαι ἔξω τοῦ Πόντου. Pp. verdächtigt die Worte ἔξω τοῦ κόλπου. — εὐρυχωρία offene See; wie 2, 86, 3. 90, 4. 91, 1. 4, 13, 3. 7, 36, 6. 49, 3. — βουλόμενος. warum? 89, 5 f. (Pp.) vgl. 86, 3. — στρατιωτικώτερον mehr zum Behuf der Landexpedition. (Hl.) ἐπὶ στρατείαν μᾶλλον 87, 1.

§ 3. σφῶν, τῶν Κορινθίων. (Sch.) Gr. 47, 4 A. 2. — δια-

Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπ' Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυ-
4 μαχεῖν κατὰ μέσον τὸν πορθμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων οἳ παρεσκευάζοντο, Κορινθίων δὲ Μαχάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τ' ἦσαν μὴ διδόντες διέκπλουν, τὰς πρῴρας μὲν ἔξω, εἴσω δὲ τὰς
84 πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα ἃ ξυνέπλει ἐντὸς ποιοῦνται καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν ὁπῃ βραχέος παραγιγνόμενος, εἴ πῃ προσπίπτοιεν οἱ ἐναντίοι. οἱ δ' Ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν· προείρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν ὥσπερ ἐν γῇ πεζήν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς νεῶς καὶ τὰ πλοῖα παραχὴ

βαλλόντων, weil κομιζομένων vorherging, wiewohl ſonſt hier διαβάλλοντες natürlicher wäre. vgl. 3, 13, 6. — ἔλαθον, οἱ Πελοποννήσιοι. (Hl.) — οὕτω δή. zu 1, 131, 1. — τὸν πορθμόν. τὸν Κρισαῖον φησὶ δὲ καὶ πορθμὸς ἀμφίγυως θάλασσα. (Sch.) τοῦ Κρισαίου κόλπου σύμμ. 86, 2. Richtiger Bl. und Andere mitten auf ihrer Fahrt (Hl.), weil die Peloponneſier ſich außerhalb des kriſäiſchen Buſens in dem von Paträ befanden, was eben Phormion wünſchte § 2 u. 86, 3. Ueber πορθμός vgl. 6, 2, 4. (Pp.) Doch könnte man es hier wohl Meerbuſen erklären.

§ 4. οἳ παρεσκευάζοντο die zu der Ausrüſtung dieſer Flotte einen Beitrag geliefert. (Hl.) Ueber das Impf. zu 2, 23, 1. — ἐτάξαντο κύκλον τῶν νεῶν ſtellten ihre Schiffe im Kreiſe auf. (Pſ. u. Arn.) vgl. 3, 78, 1. — διέκπλουν. zu 1, 49, 2. — πρῴρας. Ueber das ῳ Hermann zu Soph. Phil. 480. — λεπτά, μικρά. (Suid.) vgl. 7, 40, 5. (Dr.) — ἐντὸς ποιοῦνται bringen in die Mitte, τὸν κύκλον. (Ba.) vgl. 6, 67, 2. (Pp.) 6, 75, 1 u. Kr. zu Xen. An. 1, 10, 9. — διὰ βραχέος aus geringer Entfernung. (Ba.) vgl. 4, 14, 1. — παραγιγνόμενοι. zu 1, 110, 2. — προσπίπτοιεν. προσπλέοιεν die beſten Hſn.

C. 84. § 1. κατὰ μίαν ν. τ. nur Eine Linie formirend. (Hl.) vgl. 2, 90, 4. Bei der Umſchiffung unſtreitig ein Schiff hinter dem Andern. (Sch.) — ξυνῆγον ἐς ὀλίγον drängten ſie auf einen geringen Raum zuſammen. (Ba.) — ἐν χρῷ, πλησίον. (Sch.) Die feindlichen Schiffe faſt ſtreifend. (Ba.) — παρέπλεον.

παρέξειν· εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε περιέπλει καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑ- 2
αυτῷ τε ἐνόμιζεν εἶναι, ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλευσουμένων, καὶ τότε καλλίστην γίγνεσθαι. ὡς δὲ τό τε πνεῦμα κατήει καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου τῶν τε πλοίων, ἅμα προσκειμένων ἐταράσσοντο καὶ ναῦς τε νηῒ προσέπιπτε καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλακῇ τε καὶ λοιδορίᾳ οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν κελευστῶν, καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει, καὶ οἱ Ἀθηναῖοι προσπεσόντες πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας ἠ χωρήσειαν διέφθειρον, καὶ κατέστησαν ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας καὶ Λύμην τῆς Ἀχαΐας. οἱ δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ 3
ναῦς δώδεκα λαβόντες τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι ἐς Μολύχρειον ἀπέπλεον καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ καὶ ναῦν ἀναθέντες τῷ Ποσειδῶνι ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Λύμης

παρέχειν die beſten Hſn. — εἴ τ' und wenn für εἰτ' ſchon Reiske. vgl. zu 1, 35, 2. — ἐπί. περί ſchlechtere Hſn. Arr. An. 3, 18, 7: ἔλαθεν ἐπὶ τὴν ἕω ἐπιπεσών. (Pp.)

§ 2. ἐφ' ἑαυτῷ. ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ. (Sch.) vgl. 4, 29, 4. 7, 12, 3. Gr. 68, 41 A. 9. — καλλίστην. κάλλιστ' ἄν? (Kr.) praecipue Ba. — διωθοῦντο ſich von einander ſtießen. (Am.) Des Augments entbehren ὠθεῖν und ὠνεῖσθαι öfter; beim Th. jedoch ſonſt nirgends. S. Pp. — ἀντιφυλακῇ gegenſeitiges in Acht nehmen. (Ba.) — κλυδωνίῳ, κλύδωνι Suid. u. Phot. — ἀναφέρειν referre Ba., aufheben Pſ. u. Hl. Cronow zu Arr. An. 6, 18, 5. — ἀπειθεστέρας wenig lenkſam. — τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον. zu 1, 58, 1. — διέφθειρον. zu 1, 29, 3. — ἐς ἀλκήν zum Widerſtande, bei den Attikern nicht weiter üblich, bei Herodotos und Späteren nicht ſelten; ἐς ἀλκὴν ὁπομεῖναι 3, 108, 1. — — τρέπεσθαι. zu 1, 140, 6.

§ 3. ἀνελόμενοι nahmen ſie auf ihre Schiffe. (Pſ.) — Μολύχρειον. Μολύχριον vermuthet Pp., wie 3, 102, 1 die beſten Hſn.

τείχους μέγα, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανῄει αὐτῇ, καὶ οἱ Πλαταιῆς τοιόνδε τι ἐπινοοῦσιν· διελόντες τοῦ τεί-
76 χους ᾗ προσέπιπτε τὸ χῶμα ἐσεφόρουν τὴν γῆν. οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐν ταρσοῖς καλάμου πηλὸν ἐνειλλοντες ἐσέβαλλον ἐς τὸ διῃρημένον, ὅπως μὴ διαχεόμενον ὥσπερ ἡ γῆ φοροῖτο. οἱ δὲ ταύτῃ ἀποκληόμενοι τοῦτο μὲν ἐπέσχον, ὑπόνομον δ' ἐκ τῆς πόλεως ὀρύξαντες καὶ ξυντεκμηράμενοι ὑπὸ τὸ χῶμα ὑφεῖλκον αὖθις πρὰ σφᾶς τὸν χοῦν· καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστ' ἐπιβάλλοντες ἤσσων ἀνύτειν ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος καὶ ἰζά-
2 νοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. δεδιότες δὲ μὴ οὐδ' οὕτω δύνωνται ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι ἀπὸ τοῦ βραχέος τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν προσῳκο-

---

ἀσφαλείᾳ καθεστάναι Xen. Hiero. 2, 10. (Pp.) — μέγα. Gr. 57, 4 A. 2. — διελόντες — machten in der Mauer wo der Wall daran ſtieß eine Lücke. (Hl.) Gr. 47, 10 A. 4. — ἐσεφόρουν, ἐς τὴν πόλιν. (Kſ.)

C. 76. §. 1. ἐν τ. iſt wohl mit ἐσέβαλον zu verbinden. (Pp.) — ἐν ταρσοῖς καλάμων, ἐν πλέγμασιν ἀπὸ καλάμου πεποιημένοις. (Sch.) Derſelbe Ausdruck bei Her. 1, 179. vgl. Gr. 47, 8. — ἐνειλλοντες, ἐμβάλλοντες. (Zon.) einfaſſend. (Gb.) — διαχεόμενον. Das Neutrum, weil nicht bloß πηλός ſondern auch ταρσοί mitbefaßt werden. (Kiſt.) διαχεόμενος vermuthete Pp. — τοῦτο. 5, 46, 1. 63, 3. vgl. 7, 33, 2. (Pp.) Es iſt in ſolchen Fällen eig. tranſitiv hemmen. vgl. Plat. Geſ. 932, e. Dagegen intranſitiv τούτου ἐπέσχεν 8, 31, 1 ꝛc. — ξυντεκμηράμενοι ſchätzten ab; in ξύν liegt die Verbindung von Einzelnheiten zu einem Ergebniſſe. Xen. Symp. 2, 8: συντεκμαιρομένη ὅσαν ἔδει ῥιπτεῖν ὕψος. vgl. zu 3, 20, 2. — ὑπὸ τὸ χῶμα unter dem Walle hin (vgl. Kr. zu Xen. An. 7, 4, 5) gehört mehr zu ὀρύξαντες als zu ξυντεκμηράμενοι. Aehnliche διὰ μέσου bei Pflugk zu Eur. Herakl. 309 u. Hek. 605. — ἰζάνοντος ſich ſenkte. App. Mithr. 36: τὸ χῶμα ὑγίζανεν ἄφνω. „Das Wort findet ſich nicht erſt ſeit Ariſtoteles. vgl. Aeſchyl. Sieben 678, Eur. Phön. 1391 (?) Iſokr. 1, 52." (Pp.) vgl. Aeſch. Pro. 276, Eum 29.

§ 2. ὀλίγοι πρὸς πολλούς. vgl. 5, 80, 3. — προσεπεξεῦρον. πρός noch dazu, ἐπί zu dem vorliegenden Zwecke. — τὸ μέγα οἰκ. 75, 3. (Pp.) — ἔνθεν καὶ ἔνθεν von beiden Seiten. Kr. zu Xen. An. 4, 3, 28. — αὐτοῦ, τοῦ χώματος. — βραχέος der niedrigen (Ba.) vgl. 7, 29, 2, im Gegenſatze zu dem hölzernen Aufbau 2, 75, 3. — ἐκ τοῦ ἐντός von innen, ἔσωθεν An. An. 1, 21, 4, ἐνδοθεν App. Mithr. 37. vgl. Polyb. 16, 30, 6. An wel-

δόμουν, ὅπως εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτ' ἀντέχοι καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν καὶ προχωροῦντας εἴσω διπλάσιόν τε πόνον ἔχειν καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον 3
τῇ πόλει οἱ Πελοποννήσιοι, μίαν μὲν ἢ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα ἐπὶ μέγα τε κατέσεισε καὶ τοὺς Πλαταιέας ἐφόβησεν, ἄλλας δὲ ἄλλῃ τοῦ τείχους, ἃς βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ Πλαταιῆς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαί πῃ μέλλοι ἡ μηχανή, ἀφίεσαν τὴν δο-

---

chen Stellen bei wirklichen Breschen halbmondförmig aufgeführte Reservemauern vorkommen, wie hier für den Fall der Erstürmung des bedrohten Mauertheils. — ἐν ἀμφιβόλῳ in einer von mehrern Seiten durch Geschosse bestrichenen Lage. vgl. zu 4, 32, 3; eben weil die Gestalt der Reservemauer halbkreisförmig war. — μᾶλλον mehr als bei der ersten Mauer.

§ 3. τοῦ μεγάλου 75, 3. — οἰκοδομήματος hängt von ἐπὶ μέγα ab: einen großen Theil des Werkes. (Pp.) vgl. 4, 100, 2 u. Gr. 60, 8 A. 3. — κατέσεισε erschütterte. Arr. An. 1, 19, 2: τὰ μὲν καταβαλὼν δι' ὀλίγου τῶν τειχῶν, τὰ δὲ κατασείσας ἐπὶ πολύ. (Pp.) — βρόχους, σχοινία. (Sch.) Dies war bei den Alten die gewöhnliche Weise die Stöße des Widders zu vereiteln. vgl. Lipſ. Poliorc. 5, 8. (Dr.) u. die Erkl. z. Liv. 36, 23. (Pp.) — ἀνέκλων in die Höhe zogen, wie bei App. Mithr. 74; ἀνεῖλκον Dio Caſſ. 66, 4. (Lipſ.) vgl. 7, 25, 4. Dadurch konnte doch wohl nicht ein Abbrechen ſondern nur ein Brechen der Kraft erreicht werden. — καὶ verbindet ἀνέκλων und ἀφίεσαν, wiewohl der Sache nach erſt ἀπεκαύλιζε der gegenſätzliche Hauptbegriff iſt. — ἀπὸ τῆς τομῆς, ἀπὸ τοῦ ἰσχάτου δὴ τῶν δοκῶν. (Gl.) So noch Joſeph. Jüd. Kr. 7, 3, 3. (Bl.) Alſo die Balken hingen herab an eiſernen Ketten die an jedem Ende (ἑκατέρωθεν) jedes Balkens befeſtigt waren. — ἀπὸ κεραιῶν mit ἀνελκύσαντες zu verbinden (mit Pp.) wäre wohl weder der Sprache recht gemäß noch dem Sinne; alſo mit ἀρτήσαντες: ſie hingen an zwei über die Mauer gelegte und über die Mauer hinausragende Balken. Arr. An. 2, 19, 2: ἀπὸ ταύτης (τῆς κεραίας) ἐξήρτησαν. — ὑπερτεινουσῶν intranſitiv, wie παρατείνειν 4, 8, 4. vgl. Liv. 24, 34: tollenones super murum eminentes. (Pp.) — ἀνελκύσαντες. Dies Particip, an das ſich ἀρτήσαντες anſchließt, gehört zu ἀφίεσαν. Gr. 56, 15 A. 2. — ἐγκαρσίας prädicativ: ſchräge nach der Mauer zu zogen ſie ſie hinauf. Gr. 57, 4 A. 2. „Veget. de re mil. 4, 23: laqueis captos arietes in obliquum trahunt.“ (Arn.) — χαλαραῖς ταῖς ἁλύσεσι an lockeren, nicht angezogenen, Ketten; über den Artikel Gr. 50, 11 A.

κὸν χαλαραῖς ταῖς ἁλύσεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες, ἡ δὲ ῥύμη ἐμπίπτουσα ἀπεκαύλιξε τὸ προέχον τῆς ἐμβολῆς.

77 Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἱ τε μηχαναὶ οὐδὲν ὠφέλουν καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο. πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι, εἰ δύναιντο πνεύματος γενομέ-
2 νου ἐπιφλέξαι τὴν πόλιν, οὖσαν οὐ μεγάλην· πᾶσιν γὰρ δὴ ἰδέαν ἐπενόουν, εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη. φοροῦντες δὲ ὕλης φακέλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως, ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν ἐπιπαρέντησαν καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ με-

---

1. — διὰ χειρὸς ἔχοντες mit den Händen ſie haltend; über den Singular Kr. zu Xen. An. 5, 2, 14. — ἡ ῥύμη die Gewalt des Sturzes, τὸ ἐπιφερόμενον ἄχθος. (Suid. in ἐμβολή.) — ἀπεκαύλιξε, ἀπέτεμε. (Sch) — τὸ προέχον τῆς ἐμβολῆς den Kopf des Sturmbalkens. (Hſ.) Doch wird ἐμβολή wohl der Kopf des Widders ſein, wie die Erklärung der Grammatiker und der ſonſtige Gebrauch des Wortes anzunehmen erfordert. vgl. Prokop. p. 198, Steph. Theſ. III p. 818 u. Lips. Poliorc. 3, 1. (Pp.)

C. 77. § 1. τὸ ἀντιτείχισμα, τὸ μηνοειδὲς τεῖχος 76, 2 (Pp.) wohl auch τὸ οἰκοδόμημα 75, 3. — ἀπὸ τῶν παρόντων vermittelſt der vorhandenen Schreckſ, Zwangsmittel Pp. u. Andre, wohl richtiger als Ba.: bei den vorhandenen Schwierigkeiten, wenn nicht δεινῶν zu tilgen (Kr.) oder dafür ein andres Wort zu leſen iſt. — πολιορκία längere Belagerung. (Hudſ.)

§ 2. φακέλους mit Einem λ wenige Hſn., die Grammatiker u. Eur. Kykl. 2421. (Hudſ.) vgl. Her. 4, 62. 67. (Wa.) — παρέβαλον warfen neben einander (Arn.) Wohl vielmehr neben der Stadt, vgl. ἐπιπαρέντησαν. — γενομένου erg. τοῦ μεταξύ. — φορτία, δεσμούς. (Sch.) — προσχώσεως. zu 75, 1; πρόσχωμα Aeſch. Prom. 849. Seltene Wörter. (Bl.) — ἐπιπαρέντησαν. ἐπὶ — außer dem bei der πρόσχωσις Angehäuften; παρα — neben der Mauer. — πόλεως hängt von πλεῖστον ab: ſo viel ſie irgend auch von der übrigen Stadt (d. h. Stadtmauer Hſ.) bereichen konnten. Ueber ἐπέχειν zu 1, 48, 2. — ἀπὸ τοῦ μετεώρου von der Höhe der πρόσχωσις. Denn an andern Orten würden die Geſchoſſe der Belagerten ſie beſtrichen haben. Mit Hſ. u. Andern anzunehmen daß dieſe Holzmaſſen in die Stadt geworfen ſcheint nicht zuläſſig. Denn das war theils nicht wohl bewirkbar, theils würden die Belagerten den Brennſtoff fortgeſchafft haben oder wenn ſie dies nicht gekonnt hätten, ſo würde den Begünſtigungen der Natur zum Trotz der Brand der Stadt wohl nicht ausgeblieben ſein.

τεώρου πλεῖστον ἐπισχεῖν, ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ 3
πίσσῃ ἦψαν τὴν ὕλην. καὶ ἐγένετο φλὸξ τοσαύτη ὅσην οὐ-
δείς πω ἐς γ' ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν· ἤδη
γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν ἀπὸ
ταὐτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκεν. τοῦτο δὲ
μέγα τε ἦν καὶ τοὺς Πλαταιέας τἆλλα διαφυγόντας ἐλαχί-
στου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πό- 4
λεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον,
ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. νῦν δὲ καὶ
τόδε λέγεται ξυμβῆναι, ὕδωρ ἐξ οὐρανοῦ πολὺ καὶ βροντὰς
γενομένας σβέσαι τὴν φλόγα καὶ οὕτω παυθῆναι τὸν κίν-
δυνον.

Οἱ δὲ Πελοποννήσιοι ἐπειδὴ καὶ τούτου διήμαρτον, μέ- 78
ρος μέν τι καταλιπόντες τοῦ στρατοπέδου, τὸ δὲ πλέον ἀφέν-

Denn ἐγένετο φλὸξ τοσαύτη κ. τ. λ. Eine ſolche Flamme mußte ſchon nahe vor der Mauer ſich erhebend die Stadt mit der höchſten Gefahr bedrohen.

§ 3. ἤδη ſteht häufig ſo bei Erfahrungsſätzen: es iſt ſchon vorgekommen daß. Soph. El. 415: πολλά τοι σμικροὶ λόγοι ἐσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς. vgl. zu 2, 89, 5 u. Gr. 53, 10 A. 2. — τριφθεῖσα. τριφθῆναι auch Antiphanes bei Athen. 12 p. 553, διατριβῆναι 1, 125. 8, 78, 2, διατριφθῆναι Iſokr. 4, 14. 5, 84, Dem. 19, 164, Dio Caſſ. 47, 38. (Pp.) — ἐδέησε. τοῦτο iſt auch hier Subject. (Pp.) Gr. 47, 16 A. 2.

§ 4. αὐτῇ, τῇ φλογί. (Sch.) vgl. 3, 74, 2. — ἐπίφορον. ἐπίφορος ἄνεμος 3, 74, 2, Dion. Arch. 10, 16 p. 2028, venti ferentes Plin. Paneg. 31. — ὕδωρ ἐξ οὐρανοῦ. Gr. 61, 4 A. 4. — σβέσαι ſteht eperegetiſch zu τόδε ξυμβῆναι. Plat. Rep. 360, a: καὶ αὐτῷ ἀεὶ οὕτω ξυμβαίνειν, στρέφοντι εἴσω τὴν σφενδόνην ἀδήλῳ γίγνεσθαι. Menex. 235, b: ἐκείνοις ταῦτα ταῦτα δοκοῦσι μοι πάσχειν καὶ πρὸς ἐμὲ καὶ πρὸς τὴν πόλιν, θαυμασιωτέραν αὐτὴν ἡγεῖσθαι ἢ πρότερον. Gr. 57, 10 A. 8.

C. 78. § 1. τὸ δὲ λοιπὸν ἀφέντες fehlen in guten Hſſ. Allein die Gründe durch welche Py. die Worte verdächtigt wollen nicht viel ſagen. Schon die Schwierigkeit der Verpflegung konnte veranlaſſen einen Theil des ſehr großen Heeres ſchon jetzt in die Heimath zu entlaſſen. Ein Angriff von den durch die Seuche heimgeſuchten Athenern war nicht leicht zu beſorgen, da man gewiß einen bedeutenden Theil des Heeres zurückbehielt und andere böotiſche Städte zur Hülfe entbieten konnte. Daß wenn ein Theil des Heeres entlaſſen worden, § 2 nicht τῷ στρατῷ ſondern τῷ καταλειφθέντι μέρει zu ſchreiben war iſt eine nichtige Behauptung: was von dem Heere dort geblieben konnte doch nun wohl das Heer ſchlechtweg genannt werden. Endlich würde bei Tilgung der Worte das μέν ſchwierig ſein. Dadurch angedeutet zu glauben daß man den fortge-

τες περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. καὶ ἐπειδὴ πᾶν ἐξείργαστο, περὶ ἀρκτούρου ἐπιτολάς, καταλιπόντες φυλακας τοῦ ἡμίσεος τείχους — τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον — ἀνεχώρησαν τῷ στρατῷ καὶ διελύθησαν κατὰ πόλεις. Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἄχρεῖον τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας, αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. τοσοῦτοι ἦσαν οἱ ξύμπαντες ἅτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει οὔτε δοῦλος οὔτ' ἐλεύθερος. τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

79 Τοῦ δ' αὐτοῦ θέρους καὶ ἅμα τῇ τῶν Πλαταιῶν ἐκστρατείᾳ Ἀθηναῖοι δισχιλίοις ὁπλίταις ἑαυτῶν καὶ ἱππεῦσι διακοσίοις ἐστράτευσαν ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης καὶ Βοττιαίους ἀκμάζοντος τοῦ σίτου· ἐστρατήγει δὲ Ξενοφῶν ὁ Εὐριπίδου τρίτος αὐτός. ἐλθόντες δὲ ὑπὸ Σπάρτωλον τὴν Βοττικὴν τὸν σῖτον διέφθειραν. ἐδόκει δὲ καὶ προσχωρήσειν ἡ πόλις ὑπό τινων ἔνδοθεν πρασσόντων. προσπεμφάντων δὲ ἐς Ὄλυνθον τῶν οὐ ταῦτα βουλομένων ὁπλῖταί τε ἦλθον καὶ στρατιὰ ἐς φυλακήν· ἧς ἐπεξελθούσης ἐκ τῆς

---

schickten Theil den böotischen Städten zum Zehren eingelegt, hätte man auszusprechen Anstand nehmen sollen. — κατὰ πόλεις, wie 5, 114.

§ 2. ἐπιτολάς nämlich τὰς ἑῴας um den Anfang des Herbstes. (Bb.) vgl. Ideler Chron. 1 S. 53 und über ἐπιτολή Lobeck z. Phryn. p. 124 f. (Py.) — ἄχρηστον für ἀχρεῖον die besten Hss. Xen. An. 3, 4, 26: ἄχρηστοι ἦσαν ἐν τῷ ὄχλῳ ὄντες. Cunap. p. 50: ἡ ἄχρηστος ἡλικία. (Py.) über das gewöhnlichere ἀχρεῖος zu 1, 93, 4.

§ 3. κατεσκευάσθη wurde zu= (nicht vor=) bereitet. vgl. 2, 85, 1 und κατασκευὴ τοῦ πολέμου 8, 5, 1.

C. 79. § 1. Πλαταιῶν gegen die Pl. Gr. 47, 7 A. 5. — τρίτος. vgl. 2, 70, 1. Doch wird als Einer Kalliades genannt bei Plut. Nik. 6, wohl irrig.

§ 2. ὑπὸ Σπάρτωλον unter die Mauern von S. So ὑπὸ τὴν Βῶλον Polyän. 4, 6. (Bl.) ὑπὸ τὴν σκιὰν καθέζεσθαι Andok. 1, 33. — ὑπό τινων durch Vermittelung Einiger. vgl. Gr. 52, 3 A. 3. — ἔνδοθεν. Gr. 50, 8 A. 16. — οὐ ταῦτα. Kr. zu Xen. An. 1, 4, 5. — καὶ στρατιά und was sonst noch ein Heer bildet, z. B. Leichtbewaffnete. (Bl.)

Σπαρτώλου ἐς μάχην καθίστανται οἱ Ἀθηναῖοι πρὸς αὐτῇ τῇ πόλει. καὶ οἱ μὲν ὁπλῖται τῶν Χαλκιδέων καὶ ἐπίκουροί 3
τινες μετ' αὐτῶν νικῶνται ὑπὸ τῶν Ἀθηναίων καὶ ἀναχωροῦσιν ἐς τὴν Σπάρτωλον, οἱ δὲ ἱππῆς τῶν Χαλκιδέων καὶ ψιλοὶ νικῶσι τοὺς τῶν Ἀθηναίων ἱππέας καὶ ψιλούς· εἶχον δέ τινας οὐ πολλοὺς πελταστὰς ἐκ τῆς Κρουσίδος γῆς καλουμένης. ἄρτι δὲ τῆς μάχης γεγενημένης ἐπιβοηθοῦσιν ἄλλοι 4
πελτασταὶ ἐκ τῆς Ὀλύνθου. καὶ οἱ ἐκ τῆς Σπαρτώλου ψιλοὶ ὡς εἶδον, θαρσήσαντες τοῖς τε προσγιγνομένοις καὶ ὅτι πρότερον οὐχ ἡσσῶντο, ἐπιτίθενται αὖθις μετὰ τῶν Χαλκιδέων ἱππέων καὶ τῶν προσβοηθησάντων τοῖς Ἀθηναίοις· καὶ ἀνα- 5
χωροῦσι πρὸς τὰς δύο τάξεις ἃς κατέλιπον παρὰ τοῖς σκευοφόροις. καὶ ὁπότε μὲν ἔπλεον οἱ Ἀθηναῖοι, ἐνεδίδοσαν, ἀποχωροῦσι δ' ἐνέκειντο καὶ ἐσηκόντιζον. οἵ τε ἱππῆς τῶν Χαλκιδέων προσιππεύοντες ἤ δοκοῖ προσέβαλλον, καὶ οὐχ ἥκιστα φοβήσαντες ἔτρεψαν τοὺς Ἀθηναίους καὶ ἐπεδίωξαν ἐπὶ πολύ. καὶ οἱ μὲν Ἀθηναῖοι ἐς τὴν Ποτίδαιαν καταφεύ- 6
γουσιν, καὶ ὕστερον τοὺς νεκροὺς ὑποσπόνδους κομισάμενοι ἐς τὰς Ἀθήνας ἀναχωροῦσι τῷ περιόντι τοῦ στρατοῦ· ἀπέθανον δὲ αὐτῶν τριάκοντα καὶ τετρακόσιοι καὶ οἱ στρατηγοὶ πάντες. οἱ δὲ Χαλκιδῆς καὶ οἱ Βοττιαῖοι τροπαῖόν τε ἔστησαν καὶ τοὺς νεκροὺς τοὺς αὐτῶν ἀνελόμενοι διελύθησαν κατὰ πόλεις.

Τοῦ δ' αὐτοῦ θέρους, οὐ πολλῷ ὕστερον τούτων, Ἀμ- 80
πρακιῶται καὶ Χάονες βουλόμενοι Ἀκαρνανίαν πᾶσαν καταστρέψασθαι καὶ Ἀθηναίων ἀποστῆσαι πεισθοῦσι Λακεδαιμονίους ναυτικόν τε παρασκευάσασθαι ἐκ τῆς ξυμμαχίδος καὶ ὁπλίτας χιλίους πέμψαι ἐς Ἀκαρνανίαν, λέγοντες ὅτι ἢν ναυσὶ καὶ πεζῷ ἅμα μετὰ σφῶν ἔλθωσιν, ἀδυνάτων ὄντων

---

§ 3. εἶχον, οἱ Χαλκιδεῖς, nicht οἱ Ἀθηναῖοι. Denn diesen Peltasten stehen offenbar ἄλλοι πελτασταί § 4 entgegen. (Py.)

§ 4. ἀναχωροῦσι, οἱ Ἀθηναῖοι. (Sch.) vgl. Kr. zu Xen. An. 1, 4, 5. — ἐνεδίδοσαν οἱ Χαλκιδεῖς δηλονότι καὶ οἱ Σπαρτώλιοι. (Sch.) — δοκοῖ auch 2, 100, 3. 3, 16, 1, προσχωροῖ 4, 105, 1; δοκοίη 4, 11, 3, προχωροίη 2, 5, 1, ὑποχωροίη 4, 10, 5. (Py.) — προσέβαλον die besten Hss. für ἐσέβαλον, das doch 2, 100, 3 eben so steht; προς — könnte wohl aus προσιππεύοντες entstanden sein.

C. 80. § 1. ἅμα zieht Ps. zum Vorhergehenden; dieselbe Stel-

ξυμβοηθεῖν τῶν ἀπὸ θαλάσσης Ἀκαρνάνων ῥᾳδίως ἂν Ἀκαρνανίαν σχόντες καὶ τῆς Ζακύνθου καὶ Κεφαλληνίας κρατήσουσι καὶ ὁ περίπλους οὐκέτι ἔσοιτο Ἀθηναίοις ὁμοίως περὶ Πελοπόννησον· ἐλπίδα δ' εἶναι καὶ Ναύπακτον
2 λαβεῖν. οἱ δὲ Λακεδαιμόνιοι πεισθέντες Κνῆμον μέν, ναύαρχον ἔτι ὄντα, καὶ τοὺς ὁπλίτας ἐπὶ ναυσὶν ὀλίγαις εὐθὺς πέμπουσιν, τῷ δὲ ναυτικῷ περιήγγειλαν παρασκευασαμένῳ ὡς τάχιστα πλεῖν ἐς Λευκάδα. ἦσαν δὲ Κορίνθιοι ξυμπροθυμούμενοι μάλιστα τοῖς Ἀμπρακιώταις ἀποίκοις οὖσι. καὶ τὸ μὲν ναυτικὸν ἔκ τε Κορίνθου καὶ Σικυῶνος καὶ τῶν ταύτῃ χωρίων ἐν παρασκευῇ ἦν, τὸ δ' ἐκ Λευκάδος καὶ Ἀνακτορίου καὶ Ἀμπρακίας πρότερον ἀφικόμενον ἐν Λευ-
3 κάδι περιέμενεν. Κνῆμος δὲ καὶ οἱ μετ' αὐτοῦ χίλιοι ὁπλῖται ἐπειδὴ ἐπεραιώθησαν λαθόντες Φορμίωνα, ὃς ἦρχε τῶν εἴκοσι νεῶν τῶν Ἀττικῶν αἳ περὶ Ναύπακτον ἐφρούρουν, εὐθὺς παρεσκευάζοντο τὴν κατὰ γῆν στρατείαν. καὶ αὐτῷ παρῆσαν Ἑλλήνων μὲν Ἀμπρακιῶται καὶ Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οὓς αὐτὸς ἔχων ἦλθε χίλιοι Πελοποννησίων, βάρβαροι δὲ Χάονες χίλιοι ἀβασίλευτοι, ὧν ἡγοῦντο ἐπ' ἐτησίῳ προστασίᾳ ἐκ τοῦ ἀρχικοῦ γένους Φώτυος καὶ Νικάνωρ.
4 ἐστρατεύοντο δὲ μετὰ Χαόνων καὶ Θεσπρωτοὶ ἀβασίλευτοι. Μολοσσοὺς δὲ ἦγε καὶ Ἀντιτάνας Σαβύλινθος, ἐπίτροπος ὢν Θάρυπος τοῦ βασιλέως, ἔτι παιδὸς ὄντος, καὶ Παραυαίους

---

lung 7, 30, 3: ἐς εἴκοσι μάλιστα ἱππέας τε καὶ ὁπλίτας ὁμοῦ. — τῶν ἀπό. Gr. 50, 8 A. 14. — ἂν κρατήσουσι. Gr. 64, 3 A. 3. — ὁμοίως für ὅμοιος eine Hſ. und Ba. „itidem ut antea."

§ 2. ἐπὶ ναυσίν. vgl. 4, 10, 3 u. Eur. Hel. 1135: χρὴ Δαναῶν νεφέλαν ἐπὶ ναυσὶν ἄγων. Elmsley zu Eur. Herakl. 893. Gr. 68, 41 A. 1. — περιήγγειλαν πλεῖν. zu 1, 116, 1. — παρασκευασαμένῳ. Lobeck zu Soph. Aj. 1006. — ἐν παρασκευῇ ἦν war in der Rüſtung begriffen. Aeſchin. 2, 103: τὴν στρατείαν ὁρᾶτε οὖσαν ἐν παρασκευῇ. vgl. zu 2, 17, 3.

§ 3. τῶν εἴκοσι zurückweiſend auf 2, 69, 1. (Hk.) — ἐπ' ἐτησίῳ haben vermuthlich alle Hſn.; erklärbar unter der Bedingung jährlichen Vorſtandes, auf dieſe Zeit beſchränkt; ἐπετησίῳ wollte St., ein ſchon von Homer gebrauchtes und von Dio Caſſ. wieder hervorgeſuchtes Wort, wenn nur der bloße Dativ nicht anſtößig wäre. — προστασία auch 2, 65, 7; 6, 89, 3 προστατεία nur einige ſchlechte Hſn. vgl. Lobeck zum Phryn. p. 529. (Pp.) — ἀρχικοῦ das zu höhern Staatsämtern berechtigt war. (Pſ.)

Ὀροιδος, βασιλεὺς ὤν. Ὀρέσται δὲ χίλιοι, ὧν ἐβασίλευεν Ἀντίοχος, μετὰ Παραυαίων ξυνεστρατεύοντο Ὀροίδῳ Ἀντιόχου ἐπιτρέψαντος. ἔπεμψε δὲ καὶ Περδίκκας κρύφα τῶν Ἀθηναίων χιλίους Μακεδόνων, οἳ ὕστερον ἦλθον.

Τούτῳ τῷ στρατῷ ἐπορεύετο Κνῆμος, οὐ περιμείνας τὸ ἀπὸ Κορίνθου ναυτικόν· καὶ διὰ τῆς Ἀργείας ἰόντες Λιμναίαν, κώμην ἀτείχιστον, ἐπόρθησαν. ἀφικνοῦνταί τε ἐπὶ Στράτον, πόλιν μεγίστην τῆς Ἀκαρνανίας, νομίζοντες, εἰ ταύτην πρώτην λάβοιεν, ῥᾳδίως ἂν σφίσι τἆλλα προσχωρήσειν. Ἀκαρνᾶνες δὲ αἰσθόμενοι κατά τε γῆν πολλὴν στρατιὰν 81
ἐσβεβληκυῖαν ἔκ τε θαλάσσης ναυσὶν ἅμα τοὺς πολεμίους παρεσομένους, οὔτε ξυνεβοήθουν ἐφύλασσόν τε τὰ αὑτῶν ἕκαστοι, παρά τε Φορμίωνα ἔπεμπον κελεύοντες ἀμύνειν· ὃ δὲ ἀδύνατος ἔφη εἶναι ναυτικοῦ ἐκ Κορίνθου μέλλοντος ἐκπλεῖν Ναύπακτον ἐρήμην ἀπολιπεῖν. οἱ δὲ Πελοποννήσιοι 2
καὶ οἱ ξύμμαχοι τρία τέλη ποιήσαντες σφῶν αὐτῶν ἐχώρουν πρὸς τὴν τῶν Στρατίων πόλιν, ὅπως ἐγγὺς στρατοπεδευσάμενοι, εἰ μὴ λόγοις πείθοιεν, ἔργῳ πειρῷντο τοῦ τείχους. καὶ μέσον μὲν ἔχοντες προσῄεσαν Χάονες καὶ οἱ ἄλλοι βάρβαροι, ἐκ δεξιᾶς δ' αὐτῶν Λευκάδιοι καὶ Ἀνακτόριοι καὶ οἱ μετὰ τούτων, ἐν ἀριστερᾷ δὲ Κνῆμος καὶ οἱ Πελοποννήσιοι καὶ Ἀμπρακιῶται· διεῖχον δὲ πολὺ ἀπ' ἀλλήλων καὶ 3
ἔστιν ὅτε οὐδὲ ἑωρῶντο. καὶ οἱ μὲν Ἕλληνες τεταγμένοι τε προσῄεσαν καὶ διὰ φυλακῆς ἔχοντες, ἕως ἐστρατοπεδεύσαντο ἐν ἐπιτηδείῳ· οἱ δὲ Χάονες σφίσι τε αὐτοῖς πιστεύοντες καὶ ἀξιούμενοι [ὑπὸ] τῶν ἐκείνῃ ἠπειρωτῶν μαχιμώτατοι εἶναι

---

§ 4. *Περδίκκας.* vgl. 2, 29, 5. — *ὕστερον* zu ſpät, wie 7, 27, 1 u. Aeſch. Ag. 1656. Eben ſo *ὑστερεῖν.* (Bl.) vgl. Ar. Eccl. 382, Lyſ. 69. 326.

§ 5. *Ἀργείας, τῆς Ἀμφιλοχικῆς.* (Sch.) — *Στράτον πόλιν.* Gr. 50, 7 A. 3? — *ἂν προσχωρήσειν.* vgl. 5, 82, 4. 6, 66, 1. 8, 25, 4. 71, 1. (Pp.) Kr. zu Xen. An. 2, 3, 18.

C. 81. § 1. *Φορμίωνα.* vgl. 2, 69, 1. (Pp.)

§ 2. *τρία τέλη, οὐκ ἐπὶ μῆκος ἀλλ' ἐπὶ πλάτος.* (Sch.) vgl. zu 1, 48, 2. — *πειρῷντο.* Regelmäßiger wäre *πειρῶεν.* vgl. 1, 61, 3 u. Mehlhorn in Jahns Jahrb. 1, 1 S. 40. (Pp.) — *μέσον* ohne Artikel die beſten Hſn. Gr. 50, 2 A. 13.

§ 3. *διὰ φυλακῆς ἔχοντες* ſich mit Vorſicht verhaltend. — *ἐπιτηδείῳ.* Gr. 43, 4 A. 2. — *ἀξιούμενοι, ἄξιοι κρινόμενοι.*

οὔτ' ἐπέσχον τὸ στρατόπεδον καταλαβεῖν, χωρήσαντές τε ῥύμῃ μετὰ τῶν ἄλλων βαρβάρων ἐνόμισαν αὐτοβοεὶ ἂν τὴν
4 πόλιν ἑλεῖν καὶ αὐτῶν τὸ ἔργον γενέσθαι. γνόντες δ' αὐτοὺς οἱ Στράτιοι ἔτι προσιόντας καὶ ἡγησάμενοι, μεμονωμένων εἰ κρατήσειαν, οὐκ ἂν ἔτι σφίσι τοὺς Ἕλληνας ὁμοίως προσελθεῖν, προλοχίζουσι τὰ περὶ τὴν πόλιν ἐνέδραις, καὶ ἐπειδὴ ἐγγὺς ἦσαν, ἔκ τε τῆς πόλεως ὁμόσε χωρήσαντες καὶ ἐκ τῶν ἐνεδρῶν προσπίπτουσιν. καὶ ἐς φόβον καταστάντων διαφθείρονταί τε πολλοὶ τῶν Χαόνων, καὶ οἱ ἄλλοι βάρβαροι ὡς εἶδον αὐτοὺς ἐνδόντας, οὐκέτι ὑπέμειναν ἀλλ' ἐς
5 φυγὴν κατέστησαν. τῶν δὲ Ἑλληνικῶν στρατοπέδων οὐδέτερον ἧσθετο τῆς μάχης διὰ τὸ πολὺ προελθεῖν αὐτοὺς καὶ στρατόπεδον οἰηθῆναι καταληψομένους ἐπείγεσθαι. ἐπὶ δ' ἐνέκειντο φεύγοντες οἱ βάρβαροι, ἀνελάμβανόν τε αὐτοὺς καὶ ξυναγαγόντες τὰ στρατόπεδα ἡσύχαζον αὐτοῦ τὴν ἡμέραν, ἐς χεῖρας μὲν οὐκ ἰόντων σφίσι τῶν Στρατίων διὰ τὸ μήπω τοὺς ἄλλους Ἀκαρνᾶνας ξυμβεβοηθηκέναι, ἄποθεν δὲ σφενδονώντων καὶ ἐς ἀπορίαν καθιστάντων· οὐ γὰρ ἦν ἄνευ ὅπλων κινηθῆναι. δοκοῦσι δ' οἱ Ἀκαρνᾶνες κράτιστοι εἶναι

(Sch.) — ὑπό mir verdächtig hat Ba. nicht übersetzt. — τὸ στρατόπεδον. τὸ τό περιτὸν κεῖται. (Sch.) So 6, 65, 4: ὡς τὸ στρατόπεδον καταληψόμενοι, wo die besten Hss. den Artikel geben und Xen. An. 3, 4, 36: οὐκ ἐδόκει ἀναπαύεσθαι αὐτοῖς νυκτὸς κατάγεσθαι ἐπὶ τὸ στρατόπεδον. Der Artikel scheint mir jetzt in diesen Stellen die δεῖξις zu anticipiren oder den Begriff des Erforderlichen zu haben. Der Sinn der Worte: sie hielten sich nicht ein Lager aufzuschlagen, non sustinuerunt castris deligere locum. (Ba.) — ῥύμῃ. ῥώμῃ irrig die besten und die meisten Hss. — αὐτοβοεί. Bekkers Anecd. p. 214 u. 465: ταχέως καὶ ἅμα τῷ πολεμικῷ ἀλαλαγμῷ. οὕτω Θουκυδίδης, παρὰ Θεοπόμπῳ δὲ ἀντὶ τοῦ κατὰ κράτος. vgl. 3, 74, 2. 113, 4. 5, 3, 2. 8, 23, 2. Bei Attikern findet es sich weiter nicht; erst Spätere haben es wieder hervorgesucht. Pierson z. Moris p. 48. — αὐτῶν für αὐτῶν Bekker: daß die That die ihrige werden dürfte, sie allein sich das Verdienst der Eroberung aneignen könnten. Gr. 47. 6 A. 9.

§ 4. προλοχίζειν. vgl. 3, 110. 112, 4. ein seltenes Wort, bei Spätern öfter wiederkehrend. S. Bl. u. Jacobs zum Achill. Tat. p. 547. λοχίζειν 3, 107, 3, λοχᾶν τὴν ἐν Πηδάσῳ ὁδόν Her. 5, 121. Der Sinn: besetzen zur Auflauer die Umgebungen der Stadt mit Hinterhaltsposten.

§ 5. αὐτούς, τοὺς Χάονας. (Sch.) — διὰ τὸ οἰηθῆναι weil die hellenischen Heere glaubten. (Ba.) — ἐνέκειντο auf die Hellenen heraudrängten, ungewöhnlich von Fliehenden. (Pp.) — ἀνελάμβανον αὐτούς, οἱ Ἕλληνες τοὺς Χάονας. (Sch.) — ἄνευ ὅπλων

τοῦτο ποιεῖν. ἐπειδὴ δὲ νὺξ ἐγένετο, ἀναχωρήσας ὁ Κνῆμος 82
τῇ στρατιᾷ κατὰ τάχος ἐπὶ τὸν Ἄναπον ποταμόν, ὃς ἀπέχει
σταδίους ὀγδοήκοντα Στράτου, τούς τε νεκροὺς κομίζεται τῇ
ὑστεραίᾳ· ὑποσπόνδους καὶ Οἰνιαδῶν ξυμπαραγενομένων
κατὰ φιλίαν ἀναχωρεῖ παρ' αὐτοὺς πρὶν τὴν ξυμβοήθειαν
ἐλθεῖν. κἀκεῖθεν ἐπ' οἶκον ἀπῆλθον ἕκαστοι. οἱ δὲ Στρά-
τιοι τροπαῖον ἔστησαν τῆς μάχης τῆς πρὸς τοὺς βαρβάρους.

Τὸ δ' ἐκ τῆς Κορίνθου καὶ τῶν ἄλλων ξυμμάχων τῶν 83
ἐκ τοῦ Κρισαίου κόλπου ναυτικόν, ὃ ἔδει παραγενέσθαι τῷ
Κνήμῳ, ὅπως μὴ ξυμβοηθῶσιν οἱ ἀπὸ θαλάσσης ἄνω Ἀκαρ-
νᾶνες, οὐ παραγίγνεται, ἀλλ' ἠναγκάσθησαν περὶ τὰς αὐτὰς
ἡμέρας τῆς ἐν Στράτῳ μάχης ναυμαχῆσαι πρὸς Φορμίωνα
καὶ τὰς εἴκοσι ναῦς τῶν Ἀθηναίων αἳ ἐφρούρουν ἐν Ναυ-
πάκτῳ. ὁ γὰρ Φορμίων παραπλέοντας αὐτοὺς ἔξω τοῦ κόλ- 2
που ἐτήρει, βουλόμενος ἐν τῇ εὐρυχωρίᾳ ἐπιθέσθαι. οἱ δὲ
Κορίνθιοι καὶ οἱ ξύμμαχοι ἔπλεον μὲν οὐχ ὡς ἐπὶ ναυμα-
χίαν, ἀλλὰ στρατιωτικώτερον παρεσκευασμένοι ἐς τὴν Ἀκαρ-
νανίαν καὶ οὐκ ἂν οἰόμενοι πρὸς ἑπτὰ καὶ τεσσαράκοντα
ναῦς τὰς σφετέρας τολμῆσαι τοὺς Ἀθηναίους εἴκοσι ταῖς
ἑαυτῶν ναυμαχίαν ποιήσασθαι· ἐπειδὴ μέντοι ἀντιπαραπλέ- 3
οντάς τε ἑώρων αὐτοὺς παρὰ γῆν σφῶν κομιζομένων, καὶ ἐκ

---

ohne Rüſtung. (Hl.) — κινηθῆναι ſich zu bewegen, etwa um Lebensmittel, Futter, Holz zu holen. (Pp.) — τοῦτο, τὸ σφενδονᾶν. (Pp.)

C. 82. τὴν ξυμβοήθειαν 2, 80, 1. 81, 1. — μάχης. Gr. 47, 7 A. 3. vgl. 4, 12, 2. 6, 98, 4. 7, 24, 1. 41, 2. 54.

C. 83. § 1. τὸ ἐκ τῆς K. 2, 80, 2. — ἄνω nach dem Binnenlande, gen Stratos, richtig mit ξυμβοηθῶσι verbunden von Ps. u. Kiſt. — ἡμέρας τῆς. Kr. zu Xen. An. 6, 2, 9. Pol. 3, 45, 6: τῇ κατὰ πόδας ἡμέρᾳ τῆς ἐκκλησίας. 9, 5, 7: μετὰ τὴν πέμπτην ἡμέραν τῆς παρουσίας.

§ 2. ἔξω heißt auch nach außen hin, zu: wenn ſie an der Küſte nach der Gegend außerhalb des Buſens zu ſchifften, ſchiffen wollten, wie διαβαλλόντων § 3. Xen. An. 5, 7, 7: ὁ βορέας ἔξω τοῦ Πόντου εἰς τὴν Ἑλλάδα φέρει. § 15: διενενόητο ἀποπλέων οἴχεσθαι ἔξω τοῦ Πόντου. Pp. verdächtigt die Worte ἔξω τοῦ κόλπου. — εὐρυχωρία offene See, wie 2, 86, 3. 90, 4. 91, 1. 4, 13, 3. 7, 36, 6. 49, 3. — βουλόμενος. warum? 89, 5 f. (Pp.) vgl. 86, 3. — στρατιωτικώτερον mehr zum Behuf der Landexpedition. (Hl.) ἐπὶ στρατείαν μᾶλλον 87, 1.

§ 3. σφῶν, τῶν Κορινθίων. (Sch.) Gr. 47, 4 A. 2. — διὰ-

Πατρῶν τῆς Ἀχαΐας πρὸς τὴν ἀντιπέρας ἤπειρον διαβαλλόντων ἐπ' Ἀκαρνανίας κατεῖδον τοὺς Ἀθηναίους ἀπὸ τῆς Χαλκίδος καὶ τοῦ Εὐήνου ποταμοῦ προσπλέοντας σφίσι καὶ οὐκ ἔλαθον νυκτὸς ὑφορμισάμενοι, οὕτω δὴ ἀναγκάζονται ναυ-
4 μαχεῖν κατὰ μέσον τὸν πορθμόν. στρατηγοὶ δὲ ἦσαν μὲν καὶ κατὰ πόλεις ἑκάστων οἳ παρεσκευάζοντο, Κορινθίων δὲ Μαχάων καὶ Ἰσοκράτης καὶ Ἀγαθαρχίδας. καὶ οἱ μὲν Πελοποννήσιοι ἐτάξαντο κύκλον τῶν νεῶν ὡς μέγιστον οἷοί τ' ἦσαν μὴ διδόντες διέκπλουν, τὰς πρῴρας μὲν ἔξω, εἴσω δὲ τὰς πρύμνας, καὶ τά τε λεπτὰ πλοῖα ἃ ξυνέπλει ἐντὸς ποιοῦνται καὶ πέντε ναῦς τὰς ἄριστα πλεούσας, ὅπως ἐκπλέοιεν διὰ
84 βραχέος παραγιγνόμενοι, εἴ πῃ προσπίπτοιεν οἱ ἐναντίοι. οἱ δ' Ἀθηναῖοι κατὰ μίαν ναῦν τεταγμένοι περιέπλεον αὐτοὺς κύκλῳ καὶ ξυνῆγον ἐς ὀλίγον, ἐν χρῷ ἀεὶ παραπλέοντες καὶ δόκησιν παρέχοντες αὐτίκα ἐμβαλεῖν· προειρητο δ' αὐτοῖς ὑπὸ Φορμίωνος μὴ ἐπιχειρεῖν πρὶν ἂν αὐτὸς σημήνῃ. ἤλπιζε γὰρ αὐτῶν οὐ μενεῖν τὴν τάξιν ὥσπερ ἐν γῇ πεζήν, ἀλλὰ ξυμπεσεῖσθαι πρὸς ἀλλήλας τὰς ναῦς καὶ τὰ πλοῖα ταραχὴν

βαλλόντων, weil κομιζομένων vorhergiug, wiewohl ſonſt hier διαβάλλοντες natürlicher wäre. vgl. 3, 13, 6. — ἔλαθον, οἱ Πελοποννήσιοι. (Hl.) — οὕτω δή. zu 1, 131, 1. — τὸν πορθμόν. τὸν Κρισαῖον φησ' ἴσα δὲ πορθμὸς ἀμφίγυος θάλασσα. (Sch.) τοῦ Κρισαίου κόλπου σώμα 86, 2. Richtiger Bl. und Andere mitten auf ihrer Fahrt (Hl.), weil die Peloponneſier ſich außerhalb des kriſäiſchen Buſens in dem von Paträ befanden, was eben Phormion wünſchte § 2 u. 86, 3. Ueber πορθμός vgl. 6, 2, 4. (Pp.) Doch könnte man es hier wohl Meerbuſen erklären.

§ 4. οἳ παρεσκευάζοντο die zu der Ausrüſtung dieſer Flotte einen Beitrag geliefert. (Hl.) Ueber das Impf. zu 2, 23, 1. — ἐτάξαντο κύκλον τῶν νεῶν ſtellten ihre Schiffe im Kreiſe auf. (Pe. u. Arn.) vgl. 3, 78, 1. — διέκπλουν. zu 1, 49, 2. — πρῴρας. Ueber das ι Hermann zu Soph. Phil. 480. — λεπτά, μικρά. (Suid.) vgl. 7, 40, 5. (Dr.) — ἐντὸς ποιοῦνται bringen in die Mitte, τὸν κύκλον. (Ba.) vgl. 6, 67, 2. (Pp.) 6, 75, 1 u. Kr. zu Xen. An. 1, 10, 9. — διὰ βραχέος aus geringer Entfernung. (Ba.) vgl. 4, 14, 1. — παραγιγνόμενοι. zu 1, 110, 2. — προσπίπτοιεν. προσπλέοιεν die beſten Hſn.

E. 84. § 1. κατὰ μίαν ν. τ. nur Eine Linie formirend. (Hl.) vgl. 2, 90, 4. Bei der Umſchiffung unſtreitig ein Schiff hinter dem Andern. (Sch.) — ξυνῆγον ἐς ὀλίγον drängten ſie auf einen geringen Raum zuſammen. (Ba.) — ἐν χρῷ, πλησίον. (Sch.) Die feindlichen Schiffe faſt ſtreifend. (Ba.) — παρέξειν.

παρέξειν· εἴ τ' ἐκπνεύσαι ἐκ τοῦ κόλπου τὸ πνεῦμα, ὅπερ ἀναμένων τε περιέπλει καὶ εἰώθει γίγνεσθαι ἐπὶ τὴν ἕω, οὐδένα χρόνον ἡσυχάσειν αὐτούς· καὶ τὴν ἐπιχείρησιν ἐφ' ἑ- 2
αυτῷ τε ἐνόμιζεν εἶναι, ὁπόταν βούληται, τῶν νεῶν ἄμεινον πλευσουμένων, καὶ τότε καλλίστην γίγνεσθαι. ὡς δὲ τό τε πνεῦμα κατῆει καὶ αἱ νῆες ἐν ὀλίγῳ ἤδη οὖσαι ὑπ' ἀμφοτέρων, τοῦ τε ἀνέμου τῶν τε πλοίων, ἅμα προσκειμένων ἐταράσσοντο καὶ ναῦς τε νηῒ προσέπιπτε καὶ τοῖς κοντοῖς διωθοῦντο, βοῇ τε χρώμενοι καὶ πρὸς ἀλλήλους ἀντιφυλαχῇ τε καὶ λοιδορίᾳ οὐδὲν κατήκουον οὔτε τῶν παραγγελλομένων οὔτε τῶν κελευστῶν, καὶ τὰς κώπας ἀδύνατοι ὄντες ἐν κλυδωνίῳ ἀναφέρειν ἄνθρωποι ἄπειροι τοῖς κυβερνήταις ἀπειθεστέρας τὰς ναῦς παρεῖχον, τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον σημαίνει, καὶ οἱ Ἀθηναῖοι προσπεσόντες πρῶτον μὲν καταδύουσι τῶν στρατηγίδων νεῶν μίαν, ἔπειτα δὲ καὶ πάσας ᾗ χωρήσειαν διέφθειρον, καὶ κατέστησαν ἐς ἀλκὴν μὲν μηδένα τρέπεσθαι αὐτῶν ὑπὸ τῆς ταραχῆς, φεύγειν δ' ἐς Πάτρας καὶ Δύμην τῆς Ἀχαΐας. οἱ δὲ Ἀθηναῖοι καταδιώξαντες καὶ 3
ναῦς δώδεκα λαβόντες τούς τε ἄνδρας ἐξ αὐτῶν τοὺς πλείστους ἀνελόμενοι ἐς Μολύκρειον ἀπέπλεον καὶ τροπαῖον στήσαντες ἐπὶ τῷ Ῥίῳ καὶ νεῶν ἀναθέντες τῷ Ποσειδῶνι ἀνεχώρησαν ἐς Ναύπακτον. παρέπλευσαν δὲ καὶ οἱ Πελοποννήσιοι εὐθὺς ταῖς περιλοίποις τῶν νεῶν ἐκ τῆς Δύμης

παρέχειν die beſten Hſn. — εἴ τ' und wenn für εἰτ' ſchon Reiske. vgl. zu 1, 35, 2. — ἐπί. περί ſchlechtere Hſn. Arr. An. 3, 18, 7: ἔκαθεν ἐπὶ τὴν ἕω ἐπιπεσών. (Pp.)

§ 2. ἐφ' ἑαυτῷ. ἐπὶ τῇ ἐξουσίᾳ αὐτοῦ. (Sch.) vgl. 4, 29, 4. 7, 12, 3. Gr. 68, 41 A. 9. — καλλίστην. κάλλιστ' ἂν? (Kr.) praecipue Ba. — διωθοῦντο ſich von einander ſtießen. (Arn.) Des Augments entbehren ὠθεῖν und ὠνεῖσθαι öfter; beim Th. jedoch ſonſt nirgends. S. Pp. — ἀντιφυλαχῇ gegenſeitiges in Acht nehmen. (Ba.) — κλυδωνίῳ, κλύδωνι Suid. u. Phot. — ἀναφέρειν referre Ba., aufheben Ps. u. Hl. Cronow zu Arr. An. 6, 18, 5. — ἀπειθεστέρας wenig lenkſam. — τότε δὴ κατὰ τὸν καιρὸν τοῦτον. zu 1, 58, 1. — διέφθειρον. zu 1, 29, 3. — ἐς ἀλκήν zum Widerſtande, bei den Attikern nicht weiter üblich, bei Herodotos und Späteren nicht ſelten; ἐς ἀλκὴν ὑπομεῖναι 3, 108, 1. — τρέπεσθαι. zu 1, 140, 6.

§ 3. ἀνελόμενοι nahmen ſie auf ihre Schiffe. (Ps.) — Μολύκρειον. Μολύκριον vermuthet Pp., wie 3, 102, 1 die beſten Hſn.

καὶ Πατρῶν ἐς Κυλλήνην τὸ Ἠλείων ἐπίνειον· καὶ ἀπὸ Λευκάδος Κνῆμος καὶ αἱ ἐκεῖθεν νῆες, ἃς ἔδει ταύταις ξυμμῖξαι, ἀφικνοῦνται μετὰ τὴν ἐν Στράτῳ μάχην ἐς τὴς Κυλλήνην.

85 Πέμπουσι δὲ καὶ οἱ Λακεδαιμόνιοι τῷ Κνήμῳ ξυμβούλους ἐπὶ τὰς ναῦς Τιμοκράτην καὶ Βρασίδαν καὶ Λυκόφρονα, κελεύοντες ἄλλην ναυμαχίαν βελτίω κατασκευάζεσθαι καὶ μὴ ὑπ' ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης. ἐδόκει γὰρ αὐτοῖς, ἄλλως τε καὶ πρῶτον ναυμαχίας πειρασαμένοις,
2 πολὺς ὁ παράλογος εἶναι, καὶ οὐ τοσούτῳ ᾤοντο σφῶν τὸ ναυτικὸν λείπεσθαι, γεγενῆσθαι δέ τινα μαλακίαν, οὐκ ἀντιτιθέντες τὴν Ἀθηναίων ἐκ πολλοῦ ἐμπειρίαν τῆς σφετέρας δι' ὀλίγου μελέτης. ὀργῇ οὖν ἀπέστελλον. οἱ δὲ ἀφικόμενοι μετὰ Κνήμου ναῦς τε περιήγγελλον κατὰ πόλεις καὶ τὰς
3 προϋπαρχούσας ἐξηρτύοντο ὡς ἐπὶ ναυμαχίαν. πέμπει δὲ καὶ ὁ Φορμίων ἐς τὰς Ἀθήνας τήν τε παρασκευὴν αὐτῶν ἀγγελοῦντας καὶ περὶ τῆς ναυμαχίας ἣν ἐνίκησαν φράσοντας, καὶ κελεύων αὐτῷ ναῦς ὅτι πλείστας διὰ τάχους ἀποστεῖλαι, ὡς καθ' ἡμέραν ἑκάστην ἐλπίδος οὔσης ἀεὶ ναυμαχήσειν. οἱ δὲ ἀποπέμπουσιν εἴκοσι ναῦς αὐτῷ, τῷ δὲ κομίζοντι αὐτὰς
4 προσεπέστειλαν ἐς Κρήτην πρῶτον ἀφικέσθαι. Νικίας γὰρ Κρὴς Γορτύνιος, πρόξενος ὤν, πείθει αὐτοὺς ἐπὶ Κυδωνίαν πλεῦσαι, φάσκων προσποιήσειν αὐτήν, οὖσαν πολεμίαν· ἔπῃγε δὲ Πολιχνίταις χαριζόμενος, ὁμόροις τῶν Κυδωνιατῶν. καὶ ὁ μὲν λαβὼν τὰς ναῦς ᾤχετο ἐς Κρήτην καὶ μετὰ τῶν Πο-

---

haben. vgl. 2, 86, 1. — Κνῆμος. 2, 82. Nach Leukas muß er von Denïadä gegangen ſein. (Pp.) — αἱ ἐκεῖθεν νῆες. zu 1, 61, 3. Ueber die Sache 2, 80, 2.

C. 85. § 1. δὲ καὶ. Das καὶ gehört zum ganzen Satze: auch ſchicken die L. — κατασκευάζεσθαι zu arrangiren. vgl. zu 2, 78, 3. — συμβούλους. Kr. z. Dion. p. 280. 304. — πρῶτον. in dieſem Kriege zuerſt. (Sch.) τὸ πρῶτον?

§ 2. λείπεσθαι untüchtiger geweſen ſei. vgl. 2, 87, 3. — τῆς μελέτης. vgl. 3, 56, 3 u. Eur. Iph. T. 358: τὴν ἐνθάδ' Αὐλὶν ἀνταθεῖσα τῆς ἐκεῖ. (Gb. u. Bl.) — δι' ὀλίγου. zu 1, 124, 2. — ναῦς Sendung von Schiffen. 7, 18, 5: αἴσηρον περιήγγελλον. vgl. zu 1, 116, 1.

§ 3. ἀγγελοῦντας. Kr. zu Xen. An. 1, 3, 14. — αὐτῷ für αὐτῷ Bk. — καθ' ἡ. ἑ. ἀεί. vgl. Wunder zu Soph. Phi. 780 u. Schäfer z. Dem. 3 p. 265. (Pp.) 4, 66, 1: ἀεὶ κατ' ἔτος ἕκαστον.

§ 4. προσποιήσειν den Athenern. (Pe.) — ὑπό fehlt in ſchlech-

λιχνιτῶν ἔδῄου τὴν γῆν τῶν Κυδωνιατῶν καὶ ὑπ' ἀνέμων καὶ ὑπὸ ἀπλοίας ἐνδιέτριψεν οὐκ ὀλίγον χρόνον· οἱ δ' ἐν 86
τῇ Κυλλήνῃ Πελοποννήσιοι, ἐν τούτῳ ἐν ᾧ οἱ Ἀθηναῖοι περὶ Κρήτην κατείχοντο παρεσκευασμένοι ὡς ἐπὶ ναυμαχίαν παρέπλευσαν ἐς Πάνορμον τὸν Ἀχαϊκόν, οὗπερ αὐτοῖς ὁ κατὰ γῆν στρατὸς τῶν Πελοποννησίων προσβεβοηθήκει. παρέπλευσε δὲ καὶ ὁ Φορμίων ἐπὶ τὸ Ῥίον τὸ Μολυκρικόν, καὶ ὡρμίσατο ἔξω αὐτοῦ ναυσὶν εἴκοσιν, αἷσπερ καὶ ἐναυμάχησεν. ἦν δὲ τοῦτο μὲν τὸ Ῥίον φίλιον τοῖς Ἀθηναίοις, τὸ 2
δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας τὸ ἐν τῇ Πελοποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς θαλάσσης, τοῦ δὲ Κρισαίου κόλπου στόμα τοῦτό ἐστιν. ἐπὶ οὖν τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ οἱ Πελοποννήσιοι, ἀπέχοντι οὐ πολὺ τοῦ Πανόρμου, ἐν ᾧ αὐτοῖς ὁ πεζὸς ἦν, ὡρμίσαντο καὶ αὐτοὶ ναυσὶν ἑπτὰ καὶ ἑβδομήκοντα, ἐπειδὴ καὶ τοὺς Ἀθηναίους εἶδον. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ ἡμέρας ἀνθώρμουν ἀλλήλοις, 3
μελετῶντές τε καὶ παρασκευαζόμενοι τὴν ναυμαχίαν, γνώμην ἔχοντες οἱ μὲν μὴ ἐκπλεῖν ἔξω τῶν Ῥίων ἐς τὴν εὐρυχωρίαν, φοβούμενοι τὸ πρότερον πάθος, οἱ δὲ μὴ ἐσπλεῖν ἐς τὰ στενά, νομίζοντες πρὸς ἐκείνων εἶναι τὴν ἐν ὀλίγῳ ναυμαχίαν. ἔπειτα ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι τῶν 4
Πελοποννησίων στρατηγοί, βουλόμενοι ἐν τάχει τὴν ναυμαχίαν ποιῆσαι πρίν τι καὶ ἀπὸ τῶν Ἀθηναίων ἐπιβοηθῆσαι, ξυνε-

---

tem Hſn. — ἄπλοια iſt hier wohl Windſtille. (Py.) Wenn nicht καὶ ὑπ' ἀνέμων ein Gloſſem iſt. vgl. 4, 4, 1. 6, 22, 2. 8, 99, 3.

C. 86. § 1. ἐν τούτῳ ἐν ᾧ auch Ant. 2, α, 1, ἐν ἐκείνῳ ἐν ᾧ Platon Parm. p. 162. So ἔν in andern Verbindungen Lyſ. 13, 93. 18, 5. 22, 15. 26, 13, Iſokr. 6, 45. 7, 48, Plat. Rep. 538, a, Gorg. 484, Geſ. 777, e. vgl. zu 1, 41, 3 u. 5, 42, 1. — οὗπερ προσβεβοηθήκει ſo v. a. οὗπερ ἦν προσβεβοηθηκώς. vgl. zu 1, 134, 3.

§ 2. διέχετον für διεῖχετον Benedict; διειχέτην wäre auch ſprachgemäß. zu 1, 63, 2. — τῆς θαλάσσης, wie τέτταρες παρασάγγαι τῆς ὁδοῦ Xen. An. 1, 10, 1 und dort Kr. Dafür μέτρον τῆς θαλάσσης unten 6, 1 und 8, 95, 2. — εἶδον erg. ὁρμισαμένους, hier wegen καί zu ergänzen nothwendig. vgl. zu 1, 78, 3.

§ 3. γνώμην ἔχοντες ſ. 89, 5 f. (Py.) — οἱ μέν, οἱ Πελοποννήσιοι, οἱ δέ, οἱ Ἀθηναῖοι. (Sch.) — πρὸς ἐκείνων jenen vortheilhaft. vgl. 7, 81, 6. 8, 36, 2. (Py.)

§ 4. ποιῆσαι bewirken, veranſtalten. vgl. 4, 91, 2. 5, 59, 5. vgl. 5, 80, 3. — τι ein Geſchwader. Gr. 43, 4 A. 17. — ἀπὸ τῶν Ἀθηναίων eben ſo 2, 92, 4. 7, 18, 1. 42, 1, wo Bekker überall Ἀθηνῶν will.

κάλεσαν τοὺς στρατιώτας πρῶτον, καὶ ὁρῶντες αὐτῶν τοὺς πολλοὺς διὰ τὴν προτέραν ἧσσαν φοβουμένους καὶ οὐ προθύμους ὄντας παρεκελεύσαντο καὶ ἔλεξαν τοιάδε.

87 "Ἡ μὲν γενομένη ναυμαχία, ὦ ἄνδρες Πελοποννήσιοι, εἴ τις ἄρα δι' αὐτὴν ὑμῶν φοβεῖται τὴν μέλλουσαν, οὐχὶ δικαίαν ἔχει τέκμαρσιν τὸ ἐκφοβῆσαι. τῇ τε γὰρ παρασκευῇ ἐνδεὴς ἐγένετο, ὥσπερ ἴστε, καὶ οὐχὶ ἐς ναυμαχίαν μᾶλλον ἢ ἐπὶ στρατείαν ἐπλέομεν· ξυνέβη δὲ καὶ τὰ ἀπὸ τῆς τύχης οὐκ ὀλίγα ἐναντιωθῆναι, καί πού τι καὶ ἡ ἀπειρία πρῶτον
2 ναυμαχοῦντας ἔσφηλεν. ὥστε οὐ κατὰ τὴν ἡμετέραν ναυίαν τὸ ἡσσᾶσθαι προσεγένετο, οὐδὲ δίκαιον τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθέν, ἔχον δέ τινα ἐν αὑτῷ ἀντιλογίαν, τῆς γε ξυμφορᾶς τῷ ἀποβάντι ἀμβλύνεσθαι, νομίσαι δὲ ταῖς μὲν τύχαις ἐνδέχεσθαι σφάλλεσθαι τοὺς ἀνθρώπους, ταῖς δὲ γνώμαις τοὺς αὐτοὺς ἀεὶ ἀνδρείους ὀρθῶς εἶναι καὶ μὴ ἀπειρίαν τοῦ ἀνδρείου παρόντος προβαλλομένους εἰκότως ἂν
3 ἔν τινι κακοὺς γενέσθαι. ὑμῶν δ' οὐδ' ἡ ἀπειρία τοσοῦτον λείπεται ὅσον τόλμῃ προέχετε· τῶνδε δὲ ἡ ἐπιστήμη, ἣν μάλιστα φοβεῖσθε, ἀνδρίαν μὲν ἔχουσα καὶ μνήμην ἕξει ἐν τῷ δεινῷ ἐπιτελεῖν ἃ ἔμαθεν, ἄνευ δὲ εὐψυχίας οὐδεμία τέχνη

C. 87. § 1. τέκμαρσις sonſt ungebräuchlich (Lobeck z. Phryn. p. 351), erſt von Spätern an einigen Stellen wieder gebraucht. (Bl.) — τὸ ἐκφοβῆσαι nimmt Reiske für den Ac. des Objects, τέκμαρσαν für den Prädicatsaccuſativ: hat, nimmt die eingeſagte Furcht nicht zu gebührender Ermeſſung des uns Bevorſtehenden. Natürlicher faßt man wohl τὸ ἐκφοβῆσαι reſultativ: hat nicht als gebührende Ermeſſung die Einſchüchterung rückſichtlich des bevorſtehenden Kampfes. Vielleicht iſt τέκμαρσίν τῳ zu leſen. vgl. Gr. 50, 6 A. 6. — ἔσφηλεν, wie 6, 11, 5.

§ 2. τῆς γνώμης τὸ μὴ κατὰ κράτος νικηθέν von der Geſinnung das nicht durch Gewalt, Tapferkeit der Feinde, Beſiegte d. h. die Geſinnung, den Muth, in ſofern er nicht — gebrochen iſt. Der Accuſativ iſt zu denken wie in τὴν γνώμην ἀμβλύνομαι. — ἐν αὑτῷ ἀντιλογίαν Gegengründe in ſich ſelbſt (Ba.), um ſich darüber zu beruhigen daß man beſiegt worden, indem nicht Feigheit obgewaltet. — τῆς ξ. τῷ ἀποβάντι, τῇ ἀποβάσῃ συμφορᾷ. (Sch.) vgl. 5, 75, 2. (Pp.) — ὀρθῶς faſt ſo v. a. ὀρθῶς ἔχει (Ds.), gebührender Weiſe — καὶ μή, καὶ δίκαιον νομίσαι μή. Das μή gehört zu γενέσθαι. (St.) — προβαλλομένους vorſchützend, um ſich damit zu entſchuldigen.

§ 3. ἐπιτελεῖν mit μνήμην ἕξει ähnlich verbunden wie μεμνήσθω

πρὸς τοὺς κινδύνους ἰσχύει. φόβος γὰρ μνήμην ἐκπλήσσει, τέχνη δὲ ἄνευ ἀλκῆς οὐδὲν ὠφελεῖ. πρὸς μὲν οὖν τὸ ἐμπειρότερον αὐτῶν τὸ τολμηρότερον ἀντιτάξασθε, πρὸς δὲ τὸ διὰ τὴν ἧσσαν δεδιέναι τὸ ἀπαράσκευοι τότε τυχεῖν. περιγίγνεται 4
δὲ ὑμῖν πλῆθός τε νεῶν καὶ πρὸς τῇ γῇ, οἰκεία οὖσῃ, ὁπλιτῶν παρόντων ναυμαχεῖν· τὰ δὲ πολλὰ τῶν πλειόνων καὶ ἄμεινον παρεσκευασμένων τὸ κράτος ἐστίν. ὥστε οὐδὲ καθ' ἓν εὑρίσκομεν εἰκότως ἂν ἡμᾶς σφαλλομένους. καὶ ὅσα ἡμάρτομεν πρότερον, νῦν αὐτὰ ταῦτα προσγενόμενα διδασκαλίαν παρέξει. θαρσοῦντες οὖν καὶ κυβερνῆται καὶ ναῦται τὸ 5
καθ' ἑαυτὸν ἕκαστος ἕπεσθε, χώραν μὴ προλείποντες ᾗ ἄν τις προσταχθῇ. τῶν δὲ πρότερον ἡγεμόνων εὖ χεῖρον τὴν ἐπιχείρησιν ἡμεῖς παρασκευάσομεν καὶ οὐκ ἐνδώσομεν πρόφασιν οὐδενὶ κακῷ γενέσθαι· ἢν δέ τις ἄρα καὶ βουληθῇ, κολασθήσεται τῇ πρεπούσῃ ζημίᾳ, οἱ δὲ ἀγαθοὶ τιμήσονται τοῖς προσήκουσιν ἄθλοις τῆς ἀρετῆς."

Τοιαῦτα μὲν τοῖς Πελοποννησίοις οἱ ἄρχοντες παρεκε- 88
λεύσαντο. ὁ δὲ Φορμίων δεδιὼς καὶ αὐτὸς τὴν τῶν στρατιωτῶν ὀρρωδίαν, καὶ αἰσθόμενος ὅτι τὸ πλῆθος τῶν νεῶν κατὰ σφᾶς αὐτοὺς ξυνιστάμενοι ἐφοβοῦντο, ἐβούλετο ξυγκαλέσας θαρσῦναί τε καὶ παραινέσειν ἐν τῷ παρόντι ποιήσασθαι.

ἀνὴρ ἀγαθὸς εἶναι Xen. An. 3, 2, 39. vgl. bort Kr. — φόβος. Xen. Cyr. 3, 1, 25: πάντων τῶν δεινῶν ὁ φόβος μάλιστα καταπλήττει τὰς ψυχάς. — ἐμπειρότερον größere Erfahrung. (Ba.) — τυχεῖν. zu 1, 32, 2.

§ 4. περιγίγνεται ὑμῖν ihr habt als Vorzug. (Hl.) — τὰ πολλά. zu 1, 13, 1. vgl. 78, 2. 2, 11, 3. 6, 89, 4. 7, 67, 1. ὡς τὰ πολλά 6, 65, 3. — αὐτὰ ταῦτα, die Erkenntniß und Verbeſſerung dieſer Fehler. — προσγενόμενα hinzugekommen zu unſern anderweitigen Vortheilen. — διδασκαλίαν. Sprüchwort τὰ παθήματα μαθήματα. (Arn.)

§ 5. τὸ καθ' ἑαυτόν ſo weit es ihn betrifft. — προλείπειν fortgehend verlaſſen, nicht häufig. vgl. 1, 74, 2. 7, 75, 3. — πρόφασιν Vorwand, daß er eigne Feigheit unſern Maaßregeln aufbürden könne. — τιμήσονται. τιμηθήσονται 6, 80, 4 u. Dem. 19, 223. Doch iſt τιμήσομαι viel gewöhnlicher Soph. Ant. 210, Eur. h. Lyk. 100 v. 49, Xen. An. 1, 4, 14, Hier. 9, 9, Dek. 9, 11, Plat. Rep. 426, c, Hipp. M. 284, b.

C. 88. § 1. ξυνιστάμενοι, κατὰ ξυστάσεις γιγνόμενοι 2, 21, 2. (Hl.) — ἐν τῷ παρόντι unter den gegenwärtigen Um-

πρότερον μὲν γὰρ ἀεὶ αὐτοῖς ἔλεγε καὶ προπαρεσκεύαζε τὰς γνώμας ὡς οὐδὲν αὐτοῖς πλῆθος νεῶν τοσοῦτον, ἢν ἐπιπλέῃ,
2 ὃ τι οὐχ ὑπομενετέον αὐτοῖς ἐστίν· καὶ οἱ στρατιῶται ἐκ πολλοῦ ἐν σφίσιν αὐτοῖς τὴν ἀξίωσιν ταύτην εἰλήφεσαν μηδένα ὄχλον, Ἀθηναῖοι ὄντες, Πελοποννησίων νεῶν ὑποχωρεῖν. τότε δὲ πρὸς τὴν παροῦσαν ὄψιν ὁρῶν αὐτοὺς ἀθυμοῦντας ἐβούλετο ὑπόμνησιν ποιήσασθαι τοῦ θαρσεῖν καὶ ξυγκαλέσας τοὺς Ἀθηναίους ἔλεξε τοιάδε.

89 "Ὁρῶν ὑμᾶς, ὦ ἄνδρες στρατιῶται, πεφοβημένους τὸ πλῆθος τῶν ἐναντίων ξυνεκάλεσα, οὐκ ἀξιῶν τὰ μὴ δεινὰ ἐν ὀρρωδίᾳ ἔχειν. οὗτοι γὰρ πρῶτον μὲν διὰ τὸ προνενικῆσθαι καὶ μηδ' αὐτοὶ οἴεσθαι ὁμοίοι ἡμῖν εἶναι τὸ πλῆθος
2 τῶν νεῶν καὶ οὐκ ἀπὸ τοῦ ἴσου παρεσκευάσαντο· ἔπειτα ᾧ μάλιστα πιστεύοντες προσέρχοντται, ὡς προσῆκον σφίσιν ἀνδρείοις εἶναι, οὐ δι' ἄλλο τι θαρσοῦσιν ἢ διὰ τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν τὰ πλείω κατορθοῦντες καὶ οἴονται σφίσι καὶ ἐν τῷ ναυτικῷ ποιήσειν τὸ αὐτό. τὸ δ' ἐκ τοῦ δικαίου ἡμῖν μᾶλλον νῦν περιέσται, εἴπερ καὶ τούτοις ἐν ἐκείνῳ, ἐπεὶ εὐψυχίᾳ γε οὐδὲν προφέρουσιν, τῷ δὲ ἑκάτεροί τι ἐμ-

---

ſtänden mit Bezug auf πρότερον. — ἔλεγε hatte er geſagt. Gr. 53, 2 A. 8. — ὡς könnte bloß an ἔλεγε angeſchloſſen und καὶ προπ. τὰς γνώμας als ein διὰ μέσου genommen werden; doch kann es auch mit auf προπαρεσκεύαζε bezogen werden. — αὐτοῖς (das erſte) für ſie, ihnen gegenüber.

§ 2. ὄχλον ὑποχωρεῖν. 4, 28, 3: ἐξανεχώρει τὰ εἰρημένα. Luc. Tox. 36: ὑποχωροῦμεν ἐπιόντας. vgl. Pflugk zu Eur. Hek. 812. (Pp.) — ὑπόμνησιν τοῦ Ermahnung zum, wie 4, 17, 2. vgl. zu 1, 137, 4.

C. 89. § 1. τὸ πλῆθος die vor uns ſtehende Menge. Zu dieſem Ac. heißt παρεσκευάσαντο ſie rüſteten für oder von ſich aus; ſie rüſteten ſich zu οὐκ ἀπὸ τοῦ ἴσου nicht mit gleichen Streitmitteln. Dieſe Erklärung darf weniger hart ſcheinen als: et non ad parem numerum compararunt.

§ 2. ᾧ kann ſich auf ein vor οὐ δι' ἄλλο zu denkendes τοῦτο beziehen. — ποιήσειν. Subject iſt τὴν ἐν τῷ πεζῷ ἐμπειρίαν: daß dieſe ihnen daſſelbe leiſten werde. (Gail.) Vielmehr iſt wohl auch hier jenes (τοῦτο) ᾧ Subject. (Arn.) — τὸ δ', τὸ κατορθοῦν aus τὸ αὐτό. (Bl.) — ἐκ τοῦ δικαίου nach Gebühr. (Pp.) — περιέσται wird ſich ergeben, reſultiren. vgl. zu 1, 144, 4. — ἐν ἐκείνῳ, im Landkriege. (Sch.) erg. περιεστι, περιγίγνεται. — προφέρουσιν. zu 1, 93, 2. 123, 1. vgl. 7, 64, 2. 77, 2. — τῷ δὲ —

πειρότεροι εἶναι θρασύτεροί ἐσμεν. Λακεδαιμόνιοί τε ἡγού- 3
μενοι τῶν ξυμμάχων διὰ τὴν σφετέραν δόξαν ἄκοντας προ-
σάγουσι τοὺς πολλοὺς ἐς τὸν κίνδυνον, ἐπεὶ οὐκ ἄν ποτε
ἐπεχείρησαν ἡσσηθέντες παρὰ πολὺ αὖθις ναυμαχεῖν. μὴ δὴ
αὐτῶν τὴν τόλμαν δείσητε. πολὺ δὲ ὑμεῖς ἐκείνοις πλέω
φόβον παρέχετε καὶ πιστότερον κατά τε τὸ προνενικηκέναι
καὶ ὅτι οὐκ ἄν ἡγοῦνται μὴ μέλλοντάς τι ἄξιον τοῦ παρὰ
πολὺ πράξειν ἀνθίστασθαι ὑμᾶς. ἀντίπαλοι μὲν γὰρ οἱ 4
πλείους, ὥσπερ οὗτοι, τῇ δυνάμει τὸ πλέον πίσυνοι ἢ τῇ
γνώμῃ ἐπέρχονται· οἳ δ' ἐκ πολλῷ ὑποδεεστέρων καὶ ἅμα
οὐκ ἀναγκαζόμενοι, μέγα τι τῆς διανοίας τὸ βέβαιον ἔχοντες
ἀντιτολμῶσιν. ἃ λογιζόμενοι οὗτοι τῷ οὐκ εἰκότι πλέον
πεφόβηνται ἡμᾶς ἢ τῇ κατὰ λόγον παρασκευῇ. πολλὰ δὲ καὶ 5

ἐσμέν sondern darum weil wir beide etwas erfahrener ſind, die Einen im See-, die Andern im Landkriege, ſind wir beide zuverſichtsvoller. (Ba.) Das τι fehlt in den beſten Hſn.; gewöhnlich iſt es freilich nur bei Comparativen von Adverbien. Gr. 48, 15 A. 11.

§ 3. διὰ τὴν σφετέραν δόξαν ihres Ruhmes halber, mit προσάγουσι zu verbinden. (Ba.) — ἐπεχείρησαν, οἱ πολλοί. — ἐπεί denn ſonſt. Gr. 54, 12 A. 9. — τοῦ παρὰ πολύ des bei Weitem, wobei man aus dem Vorigen ein νενικηκέναι oder etwas Aehnliches denken mag. So τὸ παρ' ἐλπίδα 4, 62, 2. 7, 66, 3, τὸ ἐς τὴν Χίον 8, 41, 1. (Kr.) Gr. 50, 5 A. 12. Der Sinn: ſie glauben nicht daß ihr ihnen entgegenrücken würdet, wenn ihr nicht etwas des entſchiedenen Sieges Würdiges (vgl. § 7 E.) zu leiſten entſchloſſen wäret. — ὑμᾶς. ἡμᾶς viele und z. Th. gute Hſn.

§ 4. ἀντίπαλοι heißt bei Thuk. nie Feinde: denn den Gegnern gewachſen, ſo wie dieſe, pflegen die Meiſten, mehr auf ihre Macht als auf ihren Muth vertrauend anzugreifen. (Hl.) vgl. zu 1, 122, 2. — πίσυνος auch 5, 14, 2 iſt in der attiſchen Proſa ſonſt nicht üblich; doch hat es Ar. Wo. 949. — ὥσπερ οὗτοι iſt zum Folgenden zu ziehen. (Pp.) — οἳ habe ich als Relativ bezeichnet, ἐπέρχονται ergänzend: Gegenſatz zu ἀντίπαλοι. — ἐκ πολλῷ ὑποδεεστέρων bei um Vieles geringern Streitmitteln angreifen, wie wir. — ἀναγκαζόμενοι, wie Spartas Verbündete. (Ds.) — τῆς διανοίας τὸ βέβαιον Zuverſicht. vgl. 1, 70, 2. — τῷ οὐκ εἰκότι wegen des Außerordentlichen, Unerwarteten, rückſichtlich unſrer geringen Streitkräfte. (Hl.) — τῇ κατὰ λόγον παρασκευῇ als wenn wir ihnen mit verhältnißmäßiger Macht entgegen gingen. (Hl.) Dawider iſt der Artikel; auch würde man noch ein Verbum vermiſſen. Der Sinn iſt wohl: wegen der ihrer Berechnung vorliegenden Streitkräfte. vgl. 3, 39, 4. ἡ ἀπὸ τοῦ ἀληθοῦς δύναμις 6, 34, 8. Ba. las τῇ κατ' ὀλίγον π. tantulum navium apparatum.

στρατόπεδα ἤδη ἔπεσεν ὑπ' ἐλασσόνων τῇ ἀπειρίᾳ, ἔστι δὲ ἃ καὶ τῇ ἀτολμίᾳ· ὧν οὐδετέρου ἡμεῖς νῦν μετέχομεν. τὸν δὲ ἀγῶνα οὐκ ἐν τῷ κόλπῳ ἐκὼν εἶναι ποιήσομαι οὐδ' ἐσπλεύσομαι ἐς αὐτόν. ὁρῶ γὰρ ὅτι πρὸς πολλὰς ναῦς ἀνεπιστήμονας ὀλίγαις ναυσὶν ἐμπείροις καὶ ἄμεινον πλεούσας ἡ 6 στενοχωρία οὐ ξυμφέρει. οὔτε γὰρ ἂν ἐπιπλεύσειέ τις ὡς χρὴ ἐς ἐμβολὴν μὴ ἔχων τὴν πρόσοψιν τῶν πολεμίων ἐκ πολλοῦ, οὔτ' ἂν ἀποχωρήσειεν ἐν δέοντι πιεζόμενος· διέκπλοί τε οὐκ εἰσὶν οὐδ' ἀναστροφαί, ἅπερ νεῶν ἄμεινον πλεουσῶν ἔργα ἐστίν, ἀλλ' ἀνάγκη ἂν εἴη τὴν ναυμαχίαν πεζομαχίαν καθίστασθαι, καὶ ἐν τούτῳ αἱ πλείους νῆες κρείσσους γίγνονται. τούτων μὲν οὖν ἐγὼ ἕξω τὴν πρόνοιαν κατὰ τὸ δυ- 7 νατόν· ὑμεῖς δὲ εὐτακτοι [παρὰ] ταῖς ναυσὶ μένοντες τά τε παραγγελλόμενα ὀξέως δέχεσθε, ἄλλως τε καὶ ὀλίγου τῆς ἐφορμήσεως οὔσης, καὶ ἐν τῷ ἔργῳ κόσμον καὶ σιγὴν περὶ πλείστου ἡγεῖσθε, ἃ ἕξ τε τὰ πολλὰ τῶν πολεμικῶν ξυμφέ-

---

§ 5. ἤδη. zu 2, 77, 3. Plat. Rep. 469: πολλὰ ἤδη στρατόπεδα διὰ τὴν τοιαύτην ἁρπαγὴν ἀπώλετο. — ἔπεσεν. ἔπταισεν Haase, wobei doch ὑπό anſtößig wäre. Jenes kann, wie von einer Macht (7, 77, 7), ſo ja wohl auch von einem Heere geſagt werden, auch wenn man, wie bei Sh. ſo oft, ganz gleiche Stellen zu finden verzichten müßte. Mit dem Folgenden hängt dieſer Satz ſo zuſammen: Wir dürfen aber auf Sieg hoffen, da ſchon vielfach ſtärkere Heere ſchwächern erlagen theils aus Unerfahrenheit, theils aus Muthloſigkeit, beides Eigenſchaften die wir bei den Peloponneſiern vorfinden. — ἑκὼν εἶναι. Gr. 55, 1 A. 1.

§ 6. ἐμβολή Angriff mit dem Schiffsſchnabel (ἔμβολον). vgl. 7, 34, 4. 36, 2. 3. 70, 4. (Py.) Aeſch. Per. 407: ἐμβολαῖς χαλκοστόμοις πατάσσονται. vgl. 328. 401. 554. — πρόσοψιν. πρόσοψιν Bekker, auch 4, 29, 4, wohl mit Recht; vgl. 5, 8, 2. prospectu Va. — ἐκ πολλοῦ aus weiter Diſtanz. vgl. 4, 32, 4. 100, 2. — ἐν δέοντι erforderlichen Falles, wenn es nöthig, angemeſſen wäre. Gr. 43, 4 A. 5. Dem. 4, 40: τούτων οὐδενὶ πώποτε ἐν δέοντι κέχρησθε. vgl. Ind. Eur. u. δέω oder Monk z. Hipp. 927. Der Rückzug war nicht möglich, wenn man hart an der Küſte ſtand. — διέκπλοι. zu 1, 49, 2. — ἀναστροφαί, αἱ εἰς τοὐπίσω ὑποχωρήσεις. (Sch.) ἀνακαίμψεις ein a. Sch. Arr. An. 5, 15, 5: τὰς ἐφόδους τε καὶ ἀναχωρήσεις τῶν ἵππων. — ἐν τούτῳ, ἐν τῷ πεζομαχεῖν. (Sch.) — τὴν πρόνοιαν die erforderlichen Vorkehrungen.

§ 7. παρά iſt ſinnlos und ſprachwidrig. Gr. 68, 35. Eine Hſ. περὶ — ταῖς. ταῖς π fünf gute Hſn. — ὀξέως, σπουδαίως. (Sch.) zu 2, 11, 6. — ὀλίγου in geringem Zwiſchenraume. vgl. 3, 21, 2. 7, 36, 4. 71, 2. — σιγήν. Arr. Takt. p. 72: οὐδὲν ὠφελοῦσιν ἀγαθὸν ἐν τε πορείαις καὶ ἐν μάχαις ὡς σιγή. — οὕτω γὰρ οἱ μὲν ἡγεμόνες ἀξίως

ρει καὶ ναυμαχίᾳ οὐχ ἥκιστα, ἀμύνασθε δὲ τούσδε ἀξίως
τῶν προειργασμένων. ὁ δὲ ἀγὼν μέγας ὑμῖν ἢ καταλῦσαι 8
Πελοποννησίων τὴν ἐλπίδα τοῦ ναυτικοῦ ἢ ἐγγυτέρω κατα-
στῆσαι Ἀθηναίοις τὸν φόβον περὶ τῆς θαλάσσης. ἀναμι-
μήσκω δ' αὖ ὑμᾶς ὅτι νενικήκατε αὐτῶν τοὺς πολλούς· ἡσ-
σημένων δὲ ἀνδρῶν οὐκ ἐθέλουσιν αἱ γνῶμαι πρὸς τοὺς
αὐτοὺς κινδύνους ὁμοῖαι εἶναι."

Τοιαῦτα δὲ καὶ ὁ Φορμίων παρεκελεύετο. οἱ δὲ Πελο- 90
ποννήσιοι, ἐπειδὴ αὐτοῖς οἱ Ἀθηναῖοι οὐκ ἐπέπλεον ἐς τὸν
κόλπον καὶ τὰ στενά, βουλόμενοι ἄκοντας ἔσω προαγαγεῖν
αὐτοὺς ἀναγόμενοι ἅμα ἕῳ ἔπλεον, ἐπὶ τεσσάρων ταξάμενοι
τὰς ναῦς, ἐπὶ τὴν ἑαυτῶν γῆν ἔσω [ἐπὶ] τοῦ κόλπου δεξιῷ
κέρᾳ ἡγουμένῳ, ὥσπερ καὶ ὥρμουν· ἐπὶ δ' αὐτῷ εἴκοσι 2
ἔταξαν τὰς ἄριστα πλεούσας, ὅπως εἰ ἄρα νομίσας ἐπὶ τὴν
Ναύπακτον αὐτοὺς πλεῖν ὁ Φορμίων καὶ αὐτὸς ἐπιβοηθῶν
ταύτῃ παραπλέοι, μὴ διαφύγοιεν πλέοντες τὸν ἐπίπλουν σφῶν
οἱ Ἀθηναῖοι ἔξω τοῦ ἑαυτῶν κέρως, ἀλλ' αὗται αἱ νῆες πε-

παραγγελοῦσιν αὐτά, ἡ δὲ στρατιὰ ὀξέως δέξεται τὰ ἐνδιδόμενα. vgl. Arr. An. 1, 6, 1. — ἐφορμήσεως Anlauf Ba. u. Hl., der Stand-ort der Feinde Pf. vgl. 3, 33, 3. 6, 48, 2. 8, 15, 2. 3. — ὅ ἐς τε für ὥστε St. — ξυμφέρει ἐς, wie 4, 26, 3; mit einem unperſönlichen Da. auch 1, 123, 1. (2, 44, 2?), letzteres ſonſt nicht gewöhnlich. Xen. Hell. 6, 2, 19: μισοῦντες αὐτὸν ξυνεξῆλθον πάντες, ὅπερ ἥκιστα εἰς μάχην ξυμφέρει. Unerträglich iſt das vor ξυμφέρει von guten Hſn. zugefügte καί.

§ 8. ὁ ἀγών die Kampfaufgabe, mit der Nebenidee des Ergebniſſes, mit Bezug auf das die Infinitive folgen. Gr. 55, 3 A. 16. — ἐλπίδα τοῦ Hoffnung auf die. vgl. 6, 31, 6 u. 8, 81, 2. — τὸν φόβον περί. Gr. 50, 9 A. 9. — αὖ ſteht mit Bezug auf ὁ ἀγὼν μέγας: ſo bedeutend auch der Kampf iſt, ſo erinnere ich euch doch andererſeits. — ἐθέλουσιν mögen. — ὁμοῖαι gleich tapfer wie ſonſt. (Ba.)

C. 90. § 1. δέ für μέν einige Hſn. zu 1, 43, 2. — καὶ ὁ Φ. auch Ph., wie K. 87 Knemos gethan. — ἐπὶ τεσσάρων vier Schiffe neben einander. Gr. 68, 40 A. 6. — ἐπὶ τήν, ἀνὰ τοῦ παρὰ τήν. (Sch.) gen und neben. (Arn.) Einige Hſn. haben παρά; ἐπί kann aus dem vorhergehenden oder folgenden ἐπί entſtanden ſein: ein häufiger Anlaß zu Fälſchungen. Pp. vermuthet ἐπὶ τῇ ἑ. γῇ. — ἑαυτῶν, αὐτῶν, der Athener, will Bl., wogegen die Stellung; vielleicht Ναυπακτίων vgl. § 2: ſie ſchifften nach dem Lande der N. zu in den Meerbuſen hinein. — ἐπί nach ἔσω würd' ich gern entbehren.

§ 2. πλέοντες für πλέοντα Kr. und Dobree. — διαφύγοιεν — κέρως. Eine ähnliche Kürze § 4. vgl. Kr. zu Xen. An. 1, 2, 24.

3 ρικλῆσειαν. ὁ δέ, ὅπερ ἐκεῖνοι προσεδέχοντο, φοβηθεὶς περὶ τῷ χωρίῳ, ἐρήμῳ ὄντι, ὡς εἶδε ἀναγομένους αὐτούς, ἄνω καὶ κατὰ σπουδὴν ἐμβιβάσας ἔπλει παρὰ τὴν γῆν· καὶ ὁ πεζὸς ἅμα τῶν Μεσσηνίων παρεβοήθει. ἰδόντες δὲ οἱ Πελοποννήσιοι κατὰ μίαν ἐπὶ κέρως παραπλέοντας καὶ ἤδη ὄντας ἐντὸς τοῦ κόλπου τε καὶ πρὸς τῇ γῇ, ὅπερ ἐβούλοντο μάλιστα, ἀπὸ σημείου ἑνὸς ἄφνω ἐπιστρέψαντες τὰς ναῦς μετωπηδὸν ἔπλεον ὡς εἶχε τάχους ἕκαστος ἐπὶ τοὺς Ἀθη-
4 ναίους καὶ ἤλπιζον πάσας τὰς ναῦς ἀπολήψεσθαι. τῶν δὲ ἐνδεκα μὲν αἵπερ ἡγοῦντο ὑπεκφεύγουσι τὸ κέρας τῶν Πελοποννησίων καὶ τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν· τὰς δὲ ἄλλας ἐπικαταλαβόντες ἐξέωσάν τε πρὸς τὴν γῆν ὑποφευγούσας καὶ διέφθειραν, ἄνδρας τε τῶν Ἀθηναίων ἀπέκτειναν ὅσοι μὴ ἐξένευσαν αὐτῶν. καὶ τῶν νεῶν τινὰς ἀναδούμενοι εἷλκον κενάς, μίαν δὲ αὐτοῖς ἀνδράσιν εἷλον· τὰς δέ τινας οἱ Μεσσήνιοι παραβοηθήσαντες καὶ ἐπεσβαίνοντες ξὺν τοῖς ὅπλοις ἐς τὴν θάλασσαν καὶ ἐπιβάντες ἀπὸ τῶν καταστρω-
91 μάτων μαχόμενοι ἀφείλοντο ἑλκομένας ἤδη. ταύτῃ μὲν οὖν οἱ Πελοποννήσιοι ἐκράτουν τε καὶ ἔφθειραν τὰς Ἀττικὰς ναῦς· αἱ δὲ εἴκοσι νῆες αὐτῶν αἱ ἀπὸ τοῦ δεξιοῦ κέρως ἐδίωκον τὰς ἑνδεκα ναῦς τῶν Ἀθηναίων αἵπερ ὑπεξέφυγον τὴν ἐπιστροφὴν ἐς τὴν εὐρυχωρίαν. καὶ φθάνουσιν αὐτοὺς

---

§ 3. κατὰ μίαν ist mehr als ἐπὶ κέρως zu betonen: in Einer von je Einem Schiffe gebildeten Linie. vgl. 2, 84, 1; über ἐπὶ κέρως 6, 32, 2 u. Kr. zu Xen. An. Ind. in κέρας gr. Aneg. — ἀπό, wie 3, 91, 2. vgl. 2, 92, 1. (Pp.) Kr. zu Xen. An. 2, 5, 32. — μετωπηδόν so daß die frühere Länge des Zuges jetzt die dem Feinde zugekehrte Fronte bildete. vgl. Schäfer zum Plut. 5 p. 111. — τάχους Gr. 47, 10 A. 5.

§ 4. τὸ κέρας, τὸ δεξιόν § 1 f. — τὴν ἐπιστροφήν bei Wendung dieses Flügels zur Abschneidung der Athener. vgl. Musgrave und Reisig zu Soph. Oed. K. 1045. (41.) C. 91, 1 haben die meisten und besten Hss. ὑποστροφήν. — ἐς τὴν εὐρυχωρίαν in die weitere Meergegend bei Naupaktos (Dc.), mit ὑπεκφεύγουσι zu verbinden. vgl. 91, 1 u. zu 90, 2. — ἐξέωσαν trieben sie, wie 7, 36, 4. 52, 2. 8, 104, 3. 105, 1. — ἤδη nach ἕλον, von zwei schlechten Hss. ausgelassen und wohl aus dem Ende des C. entstanden, ist mit Bk. getilgt. — τινάς. Gr. 50, 1 A. 9. — ἐπεσβαίνοντες. vgl. 4, 14, 2.

C. 91. § 1. ἔφθειραν. ἔφθειρον mehrere, zum Th. gute Hss. — αὐτούς bezieht sich auf ναῦς. vgl. zu 1, 110, 2. (Pp.) — ἴσχυε

πλὴν μιᾶς νεὼς προκαταφυγοῦσαι ἐς τὴν Ναύπακτον, καὶ ἴσχουσαι ἀντίπρωροι κατὰ τὸ Ἀπολλώνιον παρεσκευάζοντο ἀμυνούμενοι, ἢν ἐς τὴν γῆν ἐπὶ σφᾶς πλέωσιν. οἱ δὲ παραγενόμενοι ὕστερον ἐπαιώνιζόν τε ἅμα πλέοντες ὡς νενικηκότες, καὶ τὴν μίαν ναῦν τῶν Ἀθηναίων τὴν ὑπόλοιπον ἐδίωκε Λευκαδία ναῦς μία πολὺ πρὸ τῶν ἄλλων. ἔτυχε δὲ ὁλκὰς ὁρμοῦσα μετέωρος, περὶ ἣν ἡ Ἀττικὴ ναῦς φθάσασα τῇ Λευκαδίᾳ διωκούσῃ ἐμβάλλει μέσῃ καὶ καταδύει. τοῖς μὲν οὖν Πελοποννησίοις γενομένου τούτου ἀπροσδοκήτου τε καὶ παρὰ λόγον φόβος ἐμπίπτει· καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας ἐπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν, βουλόμενοι τὰς πλείους περιμεῖναι, αἱ δὲ καὶ ἐς βράχεα ἀπειρίᾳ χωρίων ὤκειλαν. τοὺς δ' Ἀθηναίους ἰδόντας ταῦτα γιγνόμενα θάρσος τε ἔλαβεν καὶ ἀπὸ ἑνὸς κελεύσματος ἐμβοήσαντες ἐπ' αὐτοὺς ὥρμησαν. οἱ δὲ διὰ τὰ ὑπάρχοντα ἁμαρτήματα καὶ τὴν παροῦσαν ἀταξίαν ὀλίγον

σαι. σχοῦσαι einige Hſn., gut aber nicht nothwendig. — ἀντίπρωροι das Vordertheil den Feinden zugekehrt. Weſſ. z. Diod. 12, 61. vgl. Th. 4, 8, 5. 14, 1. 7, 34, 4. 36, 2. 3. 4. 40, 4. 8, 53, 2 u. Her. 8, 11. — τό fehlt in den beſten Hſn. Allein ſolche τεμενικά haben ſonſt überall den Artikel. (Pp.)

§ 2. πολὺ πρό weit voraus vor. — περὶ ἣν iſt doch wohl mit ἐμβάλλει zu verbinden. vgl. 92, 2. Das dem φθάσασα folgende καὶ περιπλεύσασα iſt nach einigen Hſn. getilgt. „Oder φθάνειν περὶ τὴν ναῦν ſchneller um das Schiff herumeilen? Aehnlich φθάνειν εἴς τι Arr. An. 6, 7, 2 u. ἐπί τι App. Syr. 36." (Bl.)

§ 3. τε καί. Gr. 59, 2 A. 3. — διώκοντες. zu 1, 110, 2. — ἐπέστησαν iſt der zweite Aoriſt. — τοῦ πλοῦ. Gr. 47, 1 A. App. Bürg. 2, 35: ἔστη τοῦ δρόμου. — ἀξύμφορον Unvortheilhaftes, Nachtheiliges. vgl. 6, 33, 4. Dem. 1, 13: προέσθαι καθ' ἕκαστον ἀεί τι τῶν πραγμάτων ἀλυσιτελές. vgl. 14, 36 u. 23, 5. Nicht nöthig iſt τι. vgl. Gr. 43, 4 A. 10. — πρὸς τὴν ἐξ ὀλίγου ἀντεξόρμησιν in Anſehung des nahen Anlaufes den der Feind gegen ſie nehmen konnte. (Sch. u. Hl.). Ueber ἐξ ὀλίγου Kr. zu Xen. An. 1, 10, 11. — βράχεα Untiefen, zw. ob mit dieſem Accent. Einen Singular βράχος haben erſt die Spätern. Lobeck j. Phryn. p. 536 f. — ὤκειλαν intranſitiv; tranſitiv 4, 12, 1, wie ἐποκέλλειν 4, 26, 5. (Pp.)

C. 92. § 1. κελεύσματος iſt hier und auch ſonſt mehrfach begründeter als κελεύματος. vgl. Pp. u. Lobeck zu Soph. Aj. 704 p. 323.

μὲν χρόνον ὑπέμειναν, ἔπειτα δὲ ἐτράποντο ἐς τὸν Πάνορμον,
2 ὅθενπερ ἀνηγάγοντο. ἐπιδιώκοντες δὲ οἱ Ἀθηναῖοι τάς τε ἐγγὺς οὔσας μάλιστα ναῦς ἔλαβον ἐξ καὶ τὰς ἑαυτῶν ἀφείλοντο. ἃς ἐκεῖνοι πρὸς τῇ γῇ διαφθείραντες τὸ πρῶτον ἀνεθήσαντο, ἄνδρας τε τοὺς μὲν ἀπέκτειναν, τινὰς δὲ καὶ ἐζώγρησαν. ἐπὶ δὲ τῆς Λευκαδίας νεώς, ἣ περὶ τὴν ὀλκάδα κατέδυ, Τιμοκράτης ὁ Λακεδαιμόνιος πλέων, ὡς ἡ ναῦς διεφθείρετο, ἔσφαξεν ἑαυτὸν καὶ ἐξέπεσεν ἐς τὸν Ναυπακτίων
3 λιμένα. ἀναχωρήσαντες δὲ οἱ Ἀθηναῖοι τροπαῖον ἔστησαν ὅθεν ἀναγαγόμενοι ἐκράτησαν· καὶ τοὺς νεκροὺς καὶ τὰ ναυάγια ὅσα πρὸς τῇ ἑαυτῶν ἦν ἀνείλοντο καὶ τοῖς ἐναντίους τὰ ἐκείνων ὑπόσπονδα ἀπέδοσαν. ἔστησαν δὲ καὶ οἱ Πελοποννήσιοι τροπαῖον, ὡς νενικηκότες, τῆς τροπῆς ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν· καὶ ἣνπερ ἔλαβον ναῦν ἀνέθεσαν ἐπὶ
4 τὸ Ῥίον τὸ Ἀχαϊκὸν παρὰ τὸ τροπαῖον. μετὰ δὲ ταῦτα φοβούμενοι τὴν ἀπὸ τῶν Ἀθηναίων βοήθειαν ὑπὸ νύκτα ἐκέπλευσαν ἐς κόλπον τὸν Κρισαῖον καὶ Κόρινθον πάντες πλὴν Λευκαδίων. καὶ οἱ ἐκ τῆς Κρήτης Ἀθηναῖοι ταῖς εἴκοσι ναυσὶν αἷς ἔδει πρὸ τῆς ναυμαχίας τῷ Φορμίωνι παραγενέσθαι οὐ πολλῷ ὕστερον τῆς ἀναχωρήσεως τῶν νεῶν ἀφικνοῦνται ἐς τὴν Ναύπακτον. καὶ τὸ θέρος ἐτελεύτα.

93 Πρὶν δὲ διαλῦσαι τὸ ἐς Κόρινθόν τε καὶ τὸν Κρισαῖον κόλπον ἀναχωρῆσαν ναυτικόν, ὁ Κνῆμος καὶ ὁ Βρασίδας καὶ οἱ ἄλλοι ἄρχοντες τῶν Πελοποννησίων ἀρχομένου τοῦ χειμῶνος ἐβούλοντο διδαξάντων Μεγαρέων ἀποπειρᾶσαι τοῦ Πειραιῶς τοῦ λιμένος τῶν Ἀθηναίων· ἦν δὲ ἀφύλακτος καὶ ἄκλητος, εἰκότως, διὰ τὸ ἐπικρατεῖν πολὺ τῷ ναυτικῷ.

---

§. 2. ἐξέπεσεν, ἐξεβλήθη, ἐξηνέχθη. vgl. 7, 74, 3 u. 8, 34, 2. (Pp.)

§ 3. ὅθεν, ἐκεῖ ὅθεν. vgl. 91, 1. — ἀναγαγόμενοι für ἀναγόμενοι einige Hss. profecti Va. — τὰ ἐκείνων bezieht sich der Sache nach wohl vielmehr auf τοὺς νεκρούς, τὰ σώματα, als auf τὰ ναυάγια. — τῆς τροπῆς hängt von τροπαῖον ab. vgl. 7, 54 u. zu 2, 8[illegible] — ἃς ναῦς für τῶν νεῶν ἃς. (Va. u. St.) Gr. 51, 13 A. 4. — ἔλαβον 2, 90, 4. — ἀνέθεσαν, dem Poseidon, der dort einen Tempel hatte. Strabo 8, 2 p. 335. (Gb.) vgl. 2, 84, 3.

§ 4. Ἀθηναίων. zu 2, 86, 4. — οἱ ἐκ τῆς K. A. 2, 85, 3. 4. — αἷς für ἃς? vgl. 83, 1. Natürlicher: mit welchen, erg. αὐτοῖς. vgl. zu 1, 116, 1.

C. 93. § 1. ἀποπειρᾶσαι τοῦ Π. vgl. 7, 43. (Gb.) — τοῦ Gr. 50, 7 A. 1 u. 2. vgl. 2, 94, 2. — εἰκότως. zu 1, 77, 3.

ἐδόκει δὲ λαβόντα τῶν ναυτῶν ἕκαστον τὴν κώπην καὶ τὸ ὑπηρέσιον καὶ τὸν τροπωτῆρα πεζῇ ἰέναι ἐκ Κορίνθου ἐπὶ τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ ἀφικομένους κατὰ τάχος ἐς Μέγαρα καθελκύσαντας ἐκ Νισαίας τοῦ νεωρίου αὐτῶν τεσσαράκοντα ναῦς, αἳ ἔτυχον αὐτόθι οὖσαι, πλεῦσαι εὐθὺς ἐπὶ τὸν Πειραιᾶ· οὔτε γὰρ ναυτικὸν ἦν προφυλάσσον ἐν αὐτῷ οὐδὲν οὔτε προσδοκία οὐδεμία μὴ ἄν ποτε οἱ πολέμιοι ἐξαπιναίως οὕτως ἐπιπλεύσειαν, ἐπεὶ οὔτ' ἀπὸ τοῦ προφανοῦς τολμῆσαι ἂν καθ' ἡσυχίαν, οὐδὲ εἰ διενοοῦντο, μὴ οὐχ ἂν προαισθέσθαι. ὡς δὲ ἔδοξεν αὐτοῖς, καὶ ἐχώρουν εὐθύς· καὶ ἀφικόμενοι νυκτὸς καὶ καθελκύσαντες ἐκ τῆς Νισαίας τὰς ναῦς ἔπλεον ἐπὶ μὲν τὸν Πειραιᾶ οὐκέτι, ὥσπερ διενοοῦντο, καταδείσαντες τὸν κίνδυνον — καί τις καὶ ἄνεμος λέγεται αὐτοὺς κωλῦσαι — ἐπὶ δὲ τῆς Σαλαμῖνος τὸ ἀκρωτήριον τὸ πρὸς Μέγαρα ὁρῶν· καὶ φρούριον ἐπ' αὐτοῦ ἦν καὶ νεῶν τριῶν φυλακὴ τοῦ μὴ ἐσπλεῖν Μεγαρεῦσι μηθ' ἐκπλεῖν μηδέν. τῷ τε φρουρίῳ προσέβαλον καὶ τὰς

---

§ 2. τήν. Gr. 50, 2 A. 3. — ὑπηρέσιόν ἐστι τὸ πᾶσι ᾧ ἐπικάθηνται οἱ ἐρέσσοντες διὰ τὸ μὴ συντρίβεσθαι αὐτῶν τὰς πυγάς. (Sch.) — τροπωτῆρες οἱ ἱμάντες οἱ ἐν τοῖς πλοίοις ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται. Etym. M. p. 769, 19. — αὐτῶν, τῶν Μεγαρέων. — μή in ſofern προσδοκία Beſorgniß einſchließt. vgl. zu 2, 13, 1; über ἄν Kr. zu Xen. An. 5, 9, 28: ἐκεῖνο ἐνγοῶ μὴ λίαν ἂν ταχὺ σωφρονισθείην. — ἐπεὶ τολμῆσαι, indem noch προσδοκία ἦν vorſchwebt. Gr. 55, 4 A. 9, Xen. Mem. 1, 1, 13, Plat. Prot. 353, a, Rep. 487. 620. 621, Dem. 19, 306. 23, 117. 24, 212: λέγεται, ἐπειδὴ φῆσαι τοὺς δικαστὰς, εἰπεῖν. — οὔτε für οὐδέ und eben ſo vor εἰ Bk. Gr. 69, 53. Der Sinn iſt wohl: denn es ſei weder eine Beſorgniß daß ſie einen offenen Angriff in Ruhe (d. h. nicht geſtört von ihnen Pp.) unternehmen möchten, noch auch daß, wenn ſie darauf dächten, ſie, die Athener, es nicht vorher erfahren würden. — διενοοῦντο erg. bloß τολμῆσαι. (Pp.) — μὴ οὐ iſt hier wohl eben ſo beiſpiellos als Plat. Phil. 12: πῶς ἡδονὴ μὴ οὐχ ὁμοιότατον ἂν εἴη; wohl abgekürzt für πῶς ἂν δυνατὸν εἴη τὴν ἡδονὴν μὴ οὐχ ὁ. εἶναι. So wird auch wohl unſere Stelle zu erklären ſein: οὐδὲ ἂν εἶναι (es ſei wohl nicht möglich) μὴ οὐ προαισθέσθαι. vgl. Gr. 67, 12 A. 6. — προαισθεσθαι hat Bk. hier mit einigen Hſn. als Präſens betont; eben ſo 5, 26, 5 u. 7, 75, 1. (Pp.)

§ 3. καὶ ἐχώρουν. καί auch ſteht eben ſo 4, 8, 7. 7, 60, 3. 8, 1, 5. 8, 3. 27, 3. vgl. Kr. z. Dion. p. 291. — καὶ φρούριον. καί wo

τριήρεις ἀφείλκυσαν κενάς, τήν τε ἄλλην Σαλαμῖνα ἀπροσδο-
94 κήτοις ἐπιπεσόντες ἐπόρθουν. ἐς δὲ τὰς Ἀθήνας φρυκτοί τε ἤροντο πολέμιοι καὶ ἔκπληξις ἐγένετο οὐδεμιᾶς τῶν κατὰ τὸν πόλεμον ἐλάσσων. οἱ μὲν γὰρ ἐν τῷ ἄστει ἐς τὸν Πειραιᾶ ὤροντο τοὺς πολεμίους ἐσπεπλευκέναι ἤδη, οἱ δ' ἐν τῷ Πειραιεῖ τήν τε Σαλαμῖνα ἥρῆσθαι ἐνόμιζον καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν αὐτούς· ὅπερ ἄν, εἰ ἐβουλήθησαν μὴ κατοκνῆσαι, ῥᾳδίως ἂν ἐγένετο· καὶ οὐκ ἂν ἄνεμος ἐκώλυσεν.
2 βοηθήσαντες δὲ ἅμ' ἡμέρᾳ πανδημεὶ οἱ Ἀθηναῖοι ἐς τὸν Πειραιᾶ ναῦς τε καθεῖλκον καὶ ἐσβάντες κατὰ σπουδὴν καὶ πολλῷ θορύβῳ ταῖς μὲν ναυσὶν ἐπὶ τὴν Σαλαμῖνα ἔπλεον, τῷ πεζῷ δὲ φυλακὰς τοῦ Πειραιῶς καθίσταντο. οἱ δὲ Πελοποννήσιοι ὡς ἤσθοντο τὴν βοήθειαν, καταδραμόντες τῆς Σαλαμῖνος τὰ πολλὰ καὶ ἀνθρώπους καὶ λείαν λαβόντες καὶ τὰς τρεῖς ναῦς ἐκ τοῦ Βουδόρου τοῦ φρουρίου κατὰ τάχος
3 ἐπὶ τῆς Νισαίας ἔπλεον· ἔστι γὰρ ὅ τι καὶ αἱ νῆες αὐτοὺς διὰ χρόνου καθελκυσθεῖσαι καὶ οὐδὲν στέγουσαι ἐφόβουν. ἀφικόμενοι δὲ ἐς τὰ Μέγαρα πάλιν ἐπὶ τῆς Κορίνθου ἀπεχώρησαν πεζῇ. οἱ δ' Ἀθηναῖοι οὐκέτι καταλαβόντες πρὸς τῇ Σαλαμῖνι ἀπεπλευσαν καὶ αὐτοί, καὶ μετὰ τοῦτο φυλακὴν

---

wir eine relative Wendung erwarten würden. vgl. Kr. zu Xen. An. 1, 2, 6. — ἀπροσδοκήτοις, τοῖς Σαλαμινίοις.

C. 94. § 1. φρυκτοί telegraphiſche Feuerſignale, von den Dramatikern ſchon als altüblich erwähnt. Hauptſtellen Aeſch. Ag. Anf. und Polyb. 10, 43 ff. — πολέμιοι Ankunft von Feinden bezeichnende. zu 3, 22, 5. — οὐδεμιᾶς ἐλάσσων. zu 1, 91, 4. vgl. 7, 29, 4. 30, 3. 71, 6. 85, 3. (Hl. u. Pp.) — ὅσον οὐκ. Gr. 67, 14 A. 4. — ἄν — ἄν. zu 1, 76, 3. — καὶ οὐκ iſt nicht an den hypothetiſchen Satz anzuſchließen. (Dſiander.) Der Sinn: und der Wind würde ſie nicht gehindert haben, wenn ſie nur hätten entſchloſſen handeln mögen.

§ 2. τὰς τρεῖς, die drei 93, 3 erwähnten.

§ 3. ὅ τι für ὅτι Abr. — διὰ χρόνου nach geraumer Zwiſchenzeit. Plat. Hipp. 281, a: διὰ χρόνου ἡμῖν κατῆρας εἰς τὰς Ἀθήνας. — οὐδὲν στέγουσαις nichts, kein Waſſer, abhaltend, gar nicht waſſerdicht. Aeſch. Suppl. 128: ἄλα στέγων. Plut. Philop. 14: ναῦν παλαιὰν δὲ ἐτῶν τεσσαράκοντα κατασπάσας ἐπλήρωσεν, ὡσπερ μὴ στεγούσης κινδυνεῦσαι τοὺς πολίτας. Plat. Rep. 621, a: οὔ τι ὕδωρ ἀγγεῖον οὐδὲν στέγειν. vgl. Geſ. 714, a. — πεζῇ. Die meiſten u. alle beſten Hſn. πεζοί, was Th. nie ſo gebraucht. (Wa.) — ἤδη. Die beſten

ἅμα τοῦ Περσικοῦ μᾶλλον τὸ λοιπὸν ἐποιοῦντο λιμένων τε κλήσει καὶ τῇ ἄλλῃ ἐπιμελείᾳ.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους, τοῦ χειμῶνος τούτου ἀρ- 95
χομένου, Σιτάλκης ὁ Τήρεω, Ὀδρύσης, Θρᾳκῶν βασιλεύς, ἐστράτευσεν ἐπὶ Περδίκκαν τὸν Ἀλεξάνδρου, Μακεδονίας βασιλέα, καὶ ἐπὶ Χαλκιδέας τοὺς ἐπὶ Θρᾴκης, δύο ὑποσχέσεις τὴν μὲν βουλόμενος ἀναπρᾶξαι, τὴν δὲ αὐτὸς ἀποδοῦναι. ὅ τε γὰρ Περδίκκας αὐτῷ ὑποσχόμενος, εἰ Ἀθηναίοις 2
τε διαλλάξειεν ἑαυτόν, κατ' ἀρχὰς τῷ πολέμῳ πιεζόμενον, καὶ Φίλιππον τὸν ἀδελφὸν αὐτοῦ, πολέμιον ὄντα, μὴ καταγάγοι ἐπὶ βασιλείᾳ, ἃ ὑπεδέξατο οὐκ ἐπετέλει· τοῖς τε Ἀθηναίοις αὐτὸς ὡμολογήκει, ὅτε τὴν ξυμμαχίαν ἐποιεῖτο, τὸν ἐπὶ Θρᾴκης Χαλκιδικὸν πόλεμον καταλύσειν. ἀμφοτέρων οὖν ἕνεκα 3
τὴν ἔφοδον ἐποιεῖτο, καὶ τόν τε Φιλίππου υἱὸν Ἀμύνταν ὡς ἐπὶ βασιλείᾳ τῶν Μακεδόνων ἦγε καὶ τῶν Ἀθηναίων [πρέσβεις] οἳ ἔτυχον παρόντες τούτων ἕνεκα καὶ ἡγεμόνα Ἄγνωνα· ἔδει γὰρ καὶ τοὺς Ἀθηναίους ναυσί τε καὶ στρατιᾷ ὡς πλείστῃ ἐπὶ τοὺς Χαλκιδέας παραγενέσθαι. ἀνίστησιν οὖν ἐκ 96
τῶν Ὀδρυσῶν ὁρμώμενος πρῶτον μὲν τοὺς ἐντὸς τοῦ Αἵμου τε ὄρους καὶ τῆς Ῥοδόπης Θρᾷκας ὅσων ἦρχε μέχρι θαλάσσης ἐς τὸν Εὔξεινόν τε πόντον καὶ τὸν Ἑλλήσποντον, ἔπειτα τοὺς ὑπερβάντι Αἵμον Γέτας καὶ ὅσα ἄλλα μέρη ἐντὸς τοῦ

Hſn. ἅμα, kaum erklärlich. (Haaſe.) — κλήσει. Wie man dieſe beſeitigte zeigt Leake Athen S. 338 f. vgl. 4, 8, 5 u. 7, 59, 2. (Pp.)

C. 95. § 1. δύο ὁ. τὴν μέν. Gr. 47, 28 A. 3. — ἀναπρᾶξαι, ἐκπρᾶξαι, ἀπαιτῆσαι. (Sch.) vgl. 8, 107, 2. (Pp.)

§ 2. ὑποσχόμενος der Verſprechungen gethan. Gr. 52, 1 A. 2. — διαλλάξειεν. vgl. 2, 29, 5. — ἐπὶ βασιλείᾳ zum Zweck des Königthumes, als Prätendenten.

§ 3. πρέσβεις fehlt in einigen Hſn. — ἡγεμόνα des demnächſt erwähnten Heeres.

C. 96. § 1. μέχρι θαλάσσης [τῆς] von Va. nicht überſetzt iſt wohl aus einem Gloſſem zu ἐς entſtanden. Der Sch. jedoch ſcheint ἐς τὸν — Ἑλλήσποντον nicht geleſen zu haben, da er zu μέχρι θ. anmerkt: ἕως τοῦ Εὐξείνου πόντου καὶ τοῦ Ἑλλησπόντου. Indeß zieht Pp. dies Scholion zu ἐς τόν und ſetzt nach θαλάσσης ein Komma. — ὑπερβάντι. Gr. 48, 5 A. 2: die, wenn man über den Hämos gegangen, kommenden, wohnenden Geten. — μέρη, γένη, ἔθνῶν δηλονότι. (Sch.) Pp. will lieber γένη oder ἔθνη leſen. Eher

Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου
2 πόντου κατῴκητο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ, ὁμορροί τε
τοῖς Σκύθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται. παρεκάλει
δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ
μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι
οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυν-
3 ηκολούθουν. ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ
ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν ἦρχεν — καὶ ἔσχατοι τῆς ἀρ-
χῆς οὗτοι ἦσαν — μέχρι Γραικῶν Παιόνων καὶ τοῦ Στρυ-
μόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκομίου ὄρους διὰ Γραικῶν καὶ
Λαιαίων ῥεῖ, οὗ ὥριζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονό-
4 μους ἤδη. τὰ δὲ πρὸς Τριβαλλούς, καὶ τούτους αὐτονόμους,
Τρῆρες ὥριζον καὶ Τιλαταῖοι· οἰκοῦσι δ' οὗτοι πρὸς βο-
ρέαν τοῦ Σκομίου ὄρους καὶ παρήκουσι πρὸς ἥλιον δύσιν
μέχρι τοῦ Ὄσκιου ποταμοῦ. ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους ὅθεν
περ καὶ ὁ Νέστος καὶ ὁ Ἕβρος· ἔστι δὲ ἔρημον τὸ ὄρος καὶ
μέγα, ἐχόμενον τῆς Ῥοδόπης.

97 Ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος ἐπὶ μὲν θά-
λασσαν καθήκουσα ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον
πόντον τὸν μέχρι Ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ
γῆ τὰ ξυντομώτατα, ἢν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα,

---

würd' ich μέρη tilgen. — μᾶλλον als die erwähnten Geten. (Pp.) — κατῴκητο. zu 1, 120, 2.

§ 2. μαχαιροφόρων. vgl. 7, 27, 1.

τοὺς χώρους τούτους οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι καὶ Δρῶοι καὶ Λερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθη- 3
ναίων πολεμίους Ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. ὁ δὲ τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων ἔφθειρεν·

---

1. (Pp.) — ὅπῃ δοκοῖ wohin es ihnen beliebte, dem Folgenden anzufügen. — ἐσβάλλειν nur hier von einem Reiterangriffe. (Pp.) Auch 6, 70, 3. 101, 4 u. in manchen Hſn. auch 2, 79, 5.

§ 4. αὐτούς ſchon durch die Stellung auffällig wird zu tilgen und καθίσταν zu leſen ſein: ancipiti marte proeliabantur Ba. — τὸ πλέον die Ueberzahl.

C. 101. § 1. λόγους ἐποιεῖτο unterhandelte. (Hl.) — ταῖς ναυσίν 95, 3. (Pp.) — δέ für τε Pp. — ἔς τε. Dies τέ bezieht Pp. auf καί vor τειχήρεις. — τειχήρεις ποιεῖν ſie zwingen ſich hinter ihren Mauern zu halten, wie 4, 25, 5 u. Her. 1, 162; τειχήρεις ἐγενόμεθα And. 3, 21. vgl. Xen. Hell. 5, 3. 2. Das Wort iſt bei den Attikern ſelten.

§ 2. καὶ οἱ μέχρι. Gr. 68, 32 A. 2.

§ 3. λόγον ἐπί Gerede über — hin, Vermuthungen die ſich über — hin ausſprachen. — αὐτῶν, τῶν Ἀθηναίων. (Sch.) — κατὰ τὸ ξυμμαχικόν gehört zu χωρήσωσιν. — ἐπέχων überſchwem-

καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐσέβαλε καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χειμῶνος ἐταλαιπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδάκου, ἀδελφιδοῦ ὄντος καὶ μέγιστον μεθ' αὑτὸν δυναμένου, ὥστ' ἐν τάχει
4 ἀπελθεῖν. τὸν δὲ Σεύθην κρύφα Περδίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν καὶ χρήματα ἐπ' αὐτῇ προσποιεῖται, καὶ ὁ μὲν πεισθεὶς καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἶκον. Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ ὑπέσχετο. τὰ μὲν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

102 Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι τοῦδε τοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου ἐστράτευσαν, παραπλεύσαντες ἐπ' Ἀστάκου καὶ ἀποβάντες, ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας τετρακοσίους μὲν ὁπλίτας Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίους δὲ Μεσσηνίων, καὶ ἐκ τε Στράτου καὶ Κορόντων καὶ ἄλλων χωρίων ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν, καὶ Κύνητα τὸν Θεολύτου ἐκ Κόροντα καταγαγόντες ἀνεχώρησαν
2 πάλιν ἐπὶ τὰς ναῦς. ἐς γὰρ Οἰνιάδας, ἀεί ποτε πολεμίους ὄντας, μόνους Ἀκαρνάνων οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγραίων καὶ Ἀμφιλόχων καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν δὲ ἐξιεὶς παρ' Οἰνιάδας καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι

---

mend oder verweilend, nicht weiter ziehend? — μεθ' αὑτόν nächſt dem Seuthes. — ὥστ'. zu 2, 2, 4.

§ 4. ἐπ' αὐτῇ zur Mitgift für ſie. [Dem.] 59, 50: προῖκα ἐπ' αὐτῇ δίδωσι τριάκοντα μνᾶς. — στρατείαν. στρατιάν einige gute Hſn.

C. 102. § 1. Οἱ δέ — vgl. 2, 92, 3. 4. 93, 1. — ἐπ' Ἀστάκου nach, nicht gegen A. vgl. 2, 30, 1. (Dd.) — καὶ vor ἐκ τε, das die meiſten Hſn. haben, verbindet ἐξήλασαν mit ἐστράτευσαν.

§ 2. Ἀγραίων für Ἀγραῶν Pp. vgl. 3, 106, 2. 111, 3. 113, 1. 4, 77, 2. 101, 2. — ἄνωθεν für ἄνω auf die Mündung als Betrachtungspunct bezogen. — δ' ἐξιεὶς für διεξιὼς Pp. — περιλιμνάζων eben ſo wohl nur noch bei Arr. An. 6, 14, 5. (Bl.) Dort ſteht jetzt περιλιμνάζει.

στρατεύειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ 3
πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν
οὐδὲν ἀπέχουσαι, ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ
καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται, ἐλπὶς δὲ καὶ πάσας οὐκ
ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν· τό τε γὰρ ῥεῦμά
ἐστι μέγα καὶ πολὺ καὶ θολερόν, αἵ τε νῆσοι πυκναί, καὶ
ἀλλήλαις τῆς προσχώσεως τῷ μὴ σκεδάννυσθαι ξύνδεσμοι
γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχου-
σαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἐρῆμοι 4
δ' εἰσὶ καὶ οὐ μεγάλαι. λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμ-
φιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρός,
τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπεισπόντα οὐκ
εἶναι λύσιν τῶν δεινμάτων πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ
κατοικίσηται ἥτις ὅτε ἔκτεινε τὴν μητέρα μήπω ὑπὸ ἡλίου
ἑωρᾶτο μηδὲ γῆ ἦν, ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ 5
δ' ἀπορῶν, ὡς φασί, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην
τοῦ Ἀχελῴου, καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα
τῷ σώματι ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον
ἐπλανᾶτο. καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους
ἐδυνάστευσέ τε καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας

---

§ 3. τὸ ῥεῦμα, τοῦ Ἀχελώου. (Sch.) — τῆς προσχώσεως hängt ab von ξύνδεσμοι Verbindungsmittel zu der Anſchwemmung. — τῷ μὴ σκεδάννυσθαι, τὴν πρόσχωσιν δηλονότι. (Sch.) Der Dativ bezeichnet wohl den Grund: dadurch daß der Schlamm ſich nicht frei ausbreitet. — ξύνδεσμοι für σύνδεσμοι Pp. — παραλλάξ ſchräge gegen einander ſo daß dem Raume zwiſchen zweien eine andre Inſel gegenüber liegt. vgl. Lobeck zu Soph. Aj. 1087.

§ 4. ὅτε δή eben als, die Sache als notoriſch andeutend. „vgl. Ar. Lyſ. 523, Bröſche 1189 u. Ekkl. 195." (Bl.) — ἀλᾶσθαι. Gr. 55, 4 A. 9. — τῆς μητρός, τῆς Ἐριψύλης. (Sch.) vgl. Apollod. 3, 6, 2. 7, 2 u. 5. (Hk.) — ὑπεισπόντα. zu 1, 35, 4. — μήπω, nicht οὔπω, weil es ſich an πρὶν ἂν κατοικίσηται anſchließt. vgl. Gr. 67, 4 A. 3.

§ 5. ἂν κεχῶσθαι aus ἂν εἴη κεχωσμένη. Gr. 54, 6 A. 6. Pp. vergleicht, Lyſ. 27, 8. 9 u. Xen. Mem. 1, 2, 50. — δίαιτα Wohnplatz um dort zu leben. vgl. Ariſt. Eth. Nik. 1, 6 u. Philoſtr. L. des Her. p. 562: δίαιτα τῷ σώματι ἐπιτηδεία. (Arn.) — ἀφ' οὗπερ ſeit der Zeit wo. — ἐδυνάστευσε gründete ſich eine Herrſchaft. (Hl.) — παιδὸς ἑαυτοῦ kann ein Sohn von ihm,

τὴν ἐπωνυμίαν ἐγκατέλιπεν. τὰ μὲν περὶ Ἀλκμαίωνα τοι
αὖτα λεγόμενα παρελάβομεν.

103 Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων ἄραντες ἐκ τῆς Ἀκαρ
νανίας καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον ἅμα ἦρι κατέπλευ
σαν ἐς τὰς Ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχμαλώτω
ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν
καὶ τὰς ναῦς ἃς εἷλον. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, κα
τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυν
έγραψεν.

---

kann aber auch sein Sohn heißen, letzteres prädicativ genommen: ὃς
παῖς αὐτοῦ. — ἐπωνυμίαν. πρότερον γὰρ Κουρῆτις ἐκαλεῖτο. (Sch

C. 103. ἀνὴρ ἀντ' ἀνδρός, wie 5, 3, 4. vgl. 8, 93, 2.
ἐλύθησαν. Erstes Beispiel von Auswechselung Gefangener. (
Schwerlich.

Nachricht.

Marcellin ꝛc. nebst chronologischen Tabellen und einem
Nachworte mit den nöthigen Bemerkungen werden dem letzten
Hefte vorbehalten. Der Druck wird ohne Unterbrechung fort
gesetzt. Gr. bezeichnet Krügers griechische Grammatik.

Gedruckt bei C. Feister.

ΘΟΥΚΥΔΙΔΟΥ ΣΥΓΓΡΑΦΗ

Mit

erklärenden Anmerkungen

herausgegeben

von

K. W. Krüger.

Ersten Bandes zweites Heft, drittes und viertes Buch.

Berlin
bei K. W. Krüger
1846.

Ἴστρου ποταμοῦ πρὸς θάλασσαν μᾶλλον τὴν τοῦ Εὐξείνου
2 πόντου κατῴκητο· εἰσὶ δ' οἱ Γέται καὶ οἱ ταύτῃ, ὁμοροι τοῖς Σκύθαις καὶ ὁμόσκευοι, πάντες ἱπποτοξόται. παρεκάθη δὲ καὶ τῶν ὀρεινῶν Θρᾳκῶν πολλοὺς τῶν αὐτονόμων καὶ μαχαιροφόρων, οἳ Δῖοι καλοῦνται, τὴν Ῥοδόπην οἱ πλεῖστοι οἰκοῦντες· καὶ τοὺς μὲν μισθῷ ἔπειθεν, οἱ δ' ἐθελονταὶ ξυν-
3 ηκολούθουν. ἀνίστη δὲ καὶ Ἀγριᾶνας καὶ Λαιαίους καὶ ἄλλα ὅσα ἔθνη Παιονικά, ὧν ἦρχεν — καὶ ἔσχατοι τῆς ἀρχῆς οὗτοι ἦσαν — μέχρι Γραικῶν Παιόνων καὶ τοῦ Στρυμόνος ποταμοῦ, ὃς ἐκ τοῦ Σκομίου ὄρους διὰ Γραικῶν καὶ Λαιαίων ῥεῖ, οὗ ὥριζετο ἡ ἀρχὴ τὰ πρὸς Παίονας αὐτονό-
4 μους ἤδη. τὰ δὲ πρὸς Τριβαλλούς, καὶ τούτους αὐτονόμους, Τρῆρες ὥριζον καὶ Τιλαταῖοι· οἰκοῦσι δ' οὗτοι πρὸς βορέαν τοῦ Σκομίου ὄρους καὶ παρήκουσι πρὸς ἥλιον δύνοντα μέχρι τοῦ Ὄσκιου ποταμοῦ. ῥεῖ δ' οὗτος ἐκ τοῦ ὄρους οὗπερ καὶ ὁ Νέστος καὶ ὁ Ἕβρος· ἔστι δὲ ἐρῆμον τὸ ὄρος καὶ μέγα, ἐχόμενον τῆς Ῥοδόπης.

97 Ἐγένετο δὲ ἡ ἀρχὴ ἡ Ὀδρυσῶν μέγεθος ἐπὶ μὲν θάλασσαν καθήκουσα ἀπὸ Ἀβδήρων πόλεως ἐς τὸν Εὔξεινον πόντον τὸν μέχρι Ἴστρου ποταμοῦ· αὕτη περίπλους ἐστὶν ἡ γῆ τὰ ξυντομώτατα, ἢν ἀεὶ κατὰ πρύμναν ἱστῆται τὸ πνεῦμα,

---

würd' ich μέρη tilgen. — μᾶλλον als die erwähnten Geten. (Pp.) — κατῴκητο. ʒu 1, 120, 2.

§ 2. μαχαιροφόρων. vgl. 7, 27, 1.

§ 3. ἄλλα ὅσα. Gr. 51, 10 A. 10. — ὧν, die päoniſchen Völkerſchaften. — ἦρχε verbinde ich, ſtatt des Punkts einen Strich ſetzend, mit μέχρι Γραικῶν. — καὶ und ʒwar. — οὗτοι, die Graäer. — οὗ will Arn. tilgen und vorher nach mehreren Hſn. leſen: μέχρι γὰρ Γραικῶν καὶ Λαιαίων Παιόνων. — ὡρίζετο, τὸ τέλος εἶχεν. (Sch.) — τὰ πρός an der Seite nach — ʒu. (Pſ.) — ἤδη local, wie 8, 101, 2. vgl. 5, 67, 2. 7, 4, 3. Eur. Hipp. 1200: πρὸς πόντου ἤδη πεμένη Σαρωνικόν.

§ 4. καὶ τούτους. Gr. 51, 7 A. 12. — πρὸς βορέαν τοῦ Gr. 47, 10 A. 6 ʒweite Ausg. vgl. 3, 4, 4. 6, 1, Her. 1, 110. 174. 3, 97 u. öfter.

C. 97. § 1. περίπλους erklärt man mit dem Sch. umſchiffbar, adjectiviſch wie πρόπλους 6, 44, 4. 46, 1. Doch iſt es wegen der Genitive ſubſtantiviſch ʒu faſſen. Her. 2, 29: τὸ χωρίον τοῦτο ἔστι ἐπὶ ἡμέρας τέσσερας πλόος. vgl. Gr. 60, 2 A. 2. — κατὰ πρύμναν

νηΐ στρογγύλῃ τεσσάρων ἡμερῶν καὶ ἴσων νυκτῶν· ὁδῷ δὲ 2
τὰ ξυντομώτατα ἐξ Ἀβδήρων ἐς Ἴστρον ἀνὴρ εὔζωνος ἐνδε-
καταῖος τελεῖ. τὰ μὲν πρὸς θάλασσαν τοσαύτη ἦν, ἐς ἤπει-
ρον δὲ ἀπὸ Βυζαντίου ἐς Λαιαίους καὶ ἐπὶ τὸν Στρυμόνα,
ταύτῃ γὰρ διὰ πλείστου ἀπὸ θαλάσσης ἄνω ἐγίγνετο, ἡμε-
ρῶν ἀνδρὶ εὐζώνῳ τριῶν καὶ δέκα ἀνύσαι. φόρος τε ἐκ 3
πάσης τῆς βαρβάρου καὶ τῶν Ἑλληνίδων πόλεων, ὅσον προ-
σῆξαν ἐπὶ Σεύθου, ὃς ὕστερον Σιτάλκου βασιλεύσας πλεῖ-
στον δὴ ἐποίησεν, τετρακοσίων ταλάντων ἀργυρίου μάλιστα
δύναμις, ἃ χρυσὸς καὶ ἄργυρος εἴη· καὶ δῶρα οὐκ ἐλάσσω
τούτων χρυσοῦ τε καὶ ἀργύρου προσεφέρετο, χωρὶς δὲ
ὅσα ὑφαντά τε καὶ λεῖα καὶ ἡ ἄλλη κατασκευή, καὶ οὐ
μόνον αὐτῷ ἀλλὰ καὶ τοῖς παραδυναστεύουσί τε καὶ γενναίοις
Ὀδρυσῶν. κατεστήσαντο γὰρ τοὐναντίον τῆς Περσῶν βασι- 4
λείας τὸν νόμον, ὄντα μὲν καὶ τοῖς ἄλλοις Θρᾳξί, λαμβάνειν
μᾶλλον ἢ διδόναι, καὶ αἴσχιον ἦν αἰτηθέντα μὴ δοῦναι ἢ
αἰτήσαντα μὴ τυχεῖν· ὅμως δὲ κατὰ τὸ δύνασθαι ἐπὶ πλέον
αὐτῷ ἐχρήσαντο· οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν μὴ διδόντα δῶρα.

Soph. Phil. 1450: πλοῦς ὅδ' ἐπείγει κατὰ πρύμνην. — στρογγύλῃ, ἐμπορικῇ, διὰ τὰ πολεμικά, μακρότερα ὄντα. (Sch.)

§ 2. ὁδῷ zu Laude. vgl. 6, 49, 3. 97, 2; über den Da. Gr. 46, 5 A. 3. — εὔζωνος, εὐσταλὴς καὶ κοῦφος καὶ μηδὲν ἔχων τὸ ἐμποδίζον. (Sch.) vgl. Her. 1, 74. 103. 2, 34. Damals die gewöhnliche Weiſe Entfernungen zu beſtimmen; ein Tagemarſch 200 Stadien nach Her. 4, 101; 150 nach 5, 53. — τελεῖν zurücklegen, wie 4, 78, 5. Jacobitz zu Luc. Tox. 52. — διὰ πλείστου. zu 2, 29, 2. — ἐγίγνετο hat Bekker richtig zur Parentheſe gezogen. — ἀνύσαι. Gr. 61, 6 A. 8; über die Bedeutung die Erkl. zu Soph. Oed. K. 1551 u. Lobeck zu Soph. Aj. 606. (Pp.)

§ 3. προσῆξαν. über den ſeltenen Ao. 1 Lobeck z. Phryn. p. 287. Es entſpricht dem προσεφέρετο. (Pp.) Ein ungewöhnlicher Gebrauch. — δύναμις Betrag, Summe. vgl. zu 5, 20, 3. — εἴη ſein mag. Gr. 54, 3 A. 2. Einige Hſſ. ἦεν, wie ἰέναι für προσιέναι auch 1, 4. — λεῖα, λιτά, πρὸς ἀντιδιαστολὴν τῶν ὑφαντῶν καὶ πεποικιλμένων. (Sch.) — κατασκευή Geräthe mancherlei Art die zur häuslichen Einrichtung dienen. vgl. 2, 5, 2. 16. 6, 46, 2 u. Plut. Dion 15: τυραννικὴ πομπὴ καὶ κατασκευὴ περὶ τὴν διαιταν. — παραδυναστεύουσι Nebenherrſchern, Vaſallen, ſonſt wohl nicht vorkommend. Ueber die Sache Xen. An. 7, 3, 16 ff. Soph. b. Stob. 10, 25: φιλάργυρον μὲν πᾶν τὸ βαρβάρων γένος.

§. 4. τοὐναντίον τῆς Π. β. umgekehrt wie das Perſerreich, im Gegenſatz von deſſen Weiſe. (Ba.) — ὄντα μέν mit Bezug auf ὅμως δέ. — κατὰ τὸ δύνασθαι, διὰ τὴν δύναμιν. (Sch.) —

ὥστε ἐπὶ μέγα ἦλθεν ἡ βασιλεία ἰσχύος. τῶν γὰρ ἐν τῇ Εὐρώπῃ ὅσαι μεταξὺ τοῦ Ἰονίου κόλπου καὶ τοῦ Εὐξείνου πόντου μεγίστη ἐγένετο χρημάτων προσόδῳ καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, ἰσχύϊ δὲ μαχης καὶ στρατοῦ πλήθει πολὺ δευτέρα μετὰ τὴν Σκυθῶν. ταύτῃ δὲ ἀδύνατα ἐξισοῦσθαι οὐχ ὅτι τὰ ἐν τῇ Εὐρώπῃ, ἀλλ' οὐδ' ἐν τῇ Ἀσίᾳ ἔθνος ἓν πρὸς ἓν οὐκ ἔστιν ὅ τι δυνατὸν Σκύθαις ὁμογνωμονοῦσι πᾶσιν ἀντιστῆναι. οὐ μὴν οὐδ' ἐς τὴν ἄλλην εὐβουλίαν καὶ ξύνεσιν περὶ τῶν παρόντων ἐς τὸν βίον ἄλλοις ὁμοιοῦνται.

98 Σιτάλκης μὲν οὖν βασιλεύων χώρας τοσαύτης παρεσκευάζετο τὸν στρατόν. καὶ ἐπειδὴ αὐτῷ ἑτοῖμα ἦν, ἄρας ἐπορεύετο ἐπὶ τὴν Μακεδονίαν πρῶτον μὲν διὰ τῆς αὐτοῦ ἀρχῆς, ἔπειτα διὰ Κερκίνης, ἐρήμου ὄρους, ὃ ἔστι μεθόριον Σιντῶν καὶ Παιόνων· ἐπορεύετο δὲ δι' αὐτοῦ τῇ ὁδῷ ἣν πρότερον αὐτὸς ἐποιήσατο τεμὼν τὴν ὕλην, ὅτε ἐπὶ Παίονας ἐστράτευ-
2 σεν. τὸ δὲ ὄρος ἐξ Ὀδρυσῶν διιόντες ἐν δεξιᾷ μὲν εἶχον Παίονας, ἐν ἀριστερᾷ δὲ Σιντοὺς καὶ Μαίδους. διελθόντες δὲ αὐτὸ ἀφίκοντο ἐς Λόβηρον τὴν Παιονικήν. πορευομένῳ δὲ αὐτῷ ἀπεγίγνετο μὲν οὐδὲν τοῦ στρατοῦ εἰ μή τι νόσῳ,

---

ὥστε bezieht ſich auf die ganze vorhergehende Darſtellung der Einkünfte. (Py.) — ἐπὶ μέγα. zu 1, 118, 1. — ἦλθεν ἡ βασιλεία für ἡ βασιλεία ἦλθεν. Bk. mit mehrern guten Hſn.

§ 5. ἰσχύϊ μάχης an kriegeriſcher Kraft. — πολὺ δευτέρα ſchneidender Widerſpruch gegen Her. 5, 3. vgl. Iſokr. 4, 67. — οὐχ ὅτι. Gr. 67, 14 A. 3. — ἓν πρὸς ἕν. Her. 4, 150: ὕδωρ ἓν πρὸς ἓν συμβάλλειν. Plat. Geſ. 647, b: σωτηρίαν ἓν πρὸς οὐδὲν οὕτω σφόδρα ἡμῖν ἀπεργάζεται. vgl. 738. 753 833 u. Ariſtot. Pol. 1, 1, 5. — οὐκ erneuert hier die Negation. Aeſch. 3, 78: οὐδέ γε ὁ ἰδίᾳ πονηρὸς οὐκ ἄν ποτε γένοιτο δημοσίᾳ χρηστός. vgl dort Bremi und Gr. 67, 11 A. 3. — οὐ μὴν οὐδέ aber auch nicht. vgl. 1, 3, 4. 82, 1 u. 6, 55, 3. — ἄλλην. Gr. 50, 4 A. 11. — εὐβουλία beſonders mit Bezug auf öffentliche Verhältniſſe geſetzt. — περὶ τῶν παρόντων rückſichtlich der Vorkommniſſe. — ἐς τὸν βίον mit παρόντων verbunden wäre ein ſeltſamer Ausdruck; es gehört alſo wohl zu ὁμοιοῦνται. Doch iſt ἐς mir verdächtig. — ἄλλοις, nicht τοῖς ἄλλοις, ſo daß alſo keine Ueberlegenheit über Alle bezeichnet wird. — ὁμοιοῦνται, ἀλλ' ὑπερβάλλουσι meint der Sch.; wohl richtig, wenn auch Her. 4, 46 von ihnen ſagt τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι.

C. 98. § 1. ἑτοῖμα. zu 2, 3, 3. — τεμών vom Durchhauen.

§ 2. ἀπεγίγνετο, ἀπώλλυτο. (Sch.) von Verringerung.

προσεγίγνετο δέ· πολλοὶ γὰρ τῶν αὐτονόμων Θρᾳκῶν ἁπαράκλητοι ἐφ' ἁρπαγὴν ἠκολούθουν, ὥστε τὸ πᾶν πλῆθος λέγεται οὐκ ἔλασσον πεντεκαίδεκα μυριάδων γενέσθαι· καὶ 3
τούτου τὸ μὲν πλέον πεζὸν ἦν, τριτημόριον δὲ μάλιστα ἱππικόν. τοῦ δ' ἱππικοῦ τὸ πλεῖστον αὐτοὶ Ὀδρύσαι παρείχοντο καὶ μετ' αὐτοὺς Γέται. τοῦ δὲ πεζοῦ οἱ μαχαιροφόροι μαχιμώτατοι μὲν ἦσαν οἱ ἐκ τῆς Ῥοδόπης αὐτόνομοι καταβάντες, ὁ δὲ ἄλλος ὅμιλος ξύμμικτος πλήθει φοβερώτατος ἠκολούθει. ξυνηθροίζοντο οὖν ἐν τῇ Δοβήρῳ καὶ παρεσκευάζοντο, 99
ὅπως κατὰ κορυφὴν ἐσβαλοῦσιν ἐς τὴν κάτω Μακεδονίαν, ἧς ὁ Περδίκκας ἦρχεν. τῶν γὰρ Μακεδόνων εἰσὶ καὶ Λυγκησταὶ καὶ Ἐλιμιῶται καὶ ἄλλα ἔθνη ἐπάνωθεν, ἃ ξύμμαχα μέν ἐστι τούτοις καὶ ὑπήκοα, βασιλείας δ' ἔχει καθ' αὑτά. τὴν δὲ παρὰ θάλασσαν νῦν Μακεδονίαν Ἀλέξανδρος ὁ Περ- 2
δίκκου πατὴρ καὶ οἱ πρόγονοι αὐτοῦ, Τημενίδαι τὸ ἀρχαῖον ὄντες ἐξ Ἄργους, πρῶτον ἐκτήσαντο καὶ ἐβασίλευσαν ἀναστήσαντες μάχῃ ἐκ μὲν Πιερίας Πίερας, οἳ ὕστερον ὑπὸ τὸ Πάγγαιον πέραν Στρυμόνος ᾤκησαν Φάγρητα καὶ ἄλλα χωρία — καὶ ἔτι καὶ νῦν Πιερικὸς κόλπος καλεῖται ἡ ὑπὸ τῷ Παγγαίῳ πρὸς θάλασσαν γῆ — ἐκ δὲ τῆς Βοττίας καλουμέ- 3
νης Βοττιαίους, οἳ νῦν ὅμοροι Χαλκιδέων οἰκοῦσιν· τῆς δὲ Παιονίας παρὰ τὸν Ἄξιον ποταμὸν στενήν τινα καθήκουσαν ἄνωθεν μέχρι Πέλλης καὶ θαλάσσης ἐκτήσαντο, καὶ πέραν Ἀξίου μέχρι Στρυμόνος τὴν Μυγδονίαν καλουμένην Ἠδωνας

C. 99. § 1. ἔν. Die Verba des Verſammelns haben ſonſt ἐς bei ſich; vgl. jedoch Plut. Ar. 19: τὸ Ἑλληνικὸν ἐν Πλαταιαῖς ἀθροίζεται συνέδριον. (Pp.) Ἐς ſteht wohl wo die Richtung nach dem Sammelplatze, ἔν wo die Vereinigung auf oder in demſelben berückſichtigt wird. — κατὰ κορυφήν von der Höhe herab (Ba.) κορυφῆς vermuthet Pp. — ἐπάνωθεν für ἐπάνω weil eine Beziehung auf die Ebene vorſchwebt. Gr. 50, 8 A. 17.

§ 2. ἐβασίλευσαν wurden Könige. Gr. 53, 5 A. 1. Ueber die Sache Müller Maked. S. 22 ff. — ὑπό unter — hin. Kr. zu Xen. An. 7, 4, 5. — ᾤκησαν ſich anſiedelten. zu 1, 8, 1. — κόλπος Thalgrund. vgl. Bl. u. Paſſows Lex.

§ 3. Ἄξιον. Schlechte Hſn. betonen die letzte Sylbe. vgl. Göttling Acc. S. 173. — στενήν Enge; γῆν ergänzen will nicht Lob. parall. p. 360 f.

4 ἐξελάσαντες νέμονται. ἀνέστησαν δὲ καὶ ἐκ τῆς νῦν Ἐορδίας καλουμένης Ἐορδοὺς, ὧν οἱ μὲν πολλοὶ ἐφθάρησαν, βραχὺ δέ τι αὐτῶν περὶ Φύσκαν κατῴκηται, καὶ ἐξ Ἀλμωπίας Ἀλμώπας. ἐκράτησαν δὲ καὶ τῶν ἄλλων ἐθνῶν οἱ Μακεδόνες οὗτοι ἃ καὶ νῦν ἔτι ἔχουσι, τόν τε Ἀνθεμοῦντα καὶ Γρηστωνίαν καὶ Βισαλτίαν καὶ Μακεδόνων αὐτῶν πολλήν. τὸ δὲ ξύμπαν Μακεδονία καλεῖται καὶ Περδίκκας Ἀλεξάνδρου βασιλεὺς αὐτῶν ἦν ὅτε Σιτάλκης ἐπῄει.

100 Καὶ οἱ μὲν Μακεδόνες οὗτοι ἐπιόντος πολλοῦ στρατοῦ ἀδύνατοι ὄντες ἀμύνεσθαι ἔς τε τὰ παρτερὰ καὶ τὰ τείχη ὅσα ἦν ἐν τῇ χώρᾳ ἐσεκομίσθησαν. ἦν δὲ οὐ πολλά, ἀλλ' ὕστερον Ἀρχέλαος ὁ Περδίκκου υἱὸς βασιλεὺς γενόμενος τὰ νῦν ὄντα ἐν τῇ χώρᾳ ᾠκοδόμησε καὶ ὁδοὺς εὐθείας ἔτεμε καὶ τἆλλα διεκόσμησε τά [τε] κατὰ τὸν πόλεμον ἵπποις καὶ ὅπλοις καὶ τῇ ἄλλῃ παρασκευῇ κρείσσονι ἢ ξύμπαντες οἱ
2 ἄλλοι βασιλῆς ὀκτὼ οἱ πρὸ αὐτοῦ γενόμενοι. ὁ δὲ στρατὸς τῶν Θρᾳκῶν ἐκ τῆς Δοβήρου ἐσέβαλε πρῶτον μὲν ἐς τὴν Φιλίππου πρότερον οὖσαν ἀρχήν, καὶ εἶλεν Εἰδομένην μὲν κατὰ κράτος, Γορτυνίαν δὲ καὶ Ἀταλάντην καὶ ἄλλα ἄτια χωρία ὁμολογίᾳ διὰ τὴν Ἀμύντου φιλίαν προσχωροῦντα τοῦ Φιλίππου υἱέος, παρόντος· Εὐρωπὸν δὲ ἐπολιόρκησαν μέν,
3 ἑλεῖν δὲ οὐκ ἐδύναντο. ἔπειτα δὲ καὶ ἐς τὴν ἄλλην Μακεδονίαν προυχώρει τὴν ἐν ἀριστερᾷ Πέλλης καὶ Κύρρου. ἔσω δὲ τούτων ἐς τὴν Βοττιαίαν καὶ Πιερίαν οὐκ ἀφίκοντο, ἀλλὰ τήν τε Μυγδονίαν καὶ Γρηστωνίαν καὶ Ἀνθεμοῦντα ἐδῄουν. οἱ δὲ Μακεδόνες πεζῷ μὲν οὐδὲ διενοοῦντο ἀμύνεσθαι, ἵππους δὲ προσμεταπεμψάμενοι ἀπὸ τῶν ἄνω ξυμμάχων, ὅπῃ

---

§ 4. Ἐορδούς für Ἐόρδους ſchlechte Hſn. u. Herodian bei Steph. Byz. unter Ἐορδαῖα. — οὗτοι, die den Temeniden unterworfenen. (Sch.) — αὐτῶν im Gegenſatze der zunächſt genannten nicht makedoniſchen Völkerſchaften. (Py.)

C. 100. § 1. ἔτεμε der eigentliche Ausdruck vom Straßenbau. Weſſeling zu Her. 4, 136. (Gb.) — τε wird zu tilgen ſein. Denn der Ac. kann doch nicht mit dem Da. παρασκευῇ verbunden ſein. (Hſ.) — ὀκτώ verdächtigt Py., οἱ ἄλλοι βασιλῆς ὀκτώ Dobree. vgl. Kr. zu Xen. An. 1, 2, 3. — κρείσσονι. κρεῖσσον zwei Hſn. u. Ba.

§ 2. Ἀταλάντην. Ἀλλάντην Arn. vgl. Steph. Byz. unter d. W. u. Plin. H. N. 4, 10, 35.

§ 3. Κύρρου. Κύρου einige Hſn. vgl. Lobeck Parall. p. 443. — ἔσω τούτων dieſſeits dieſer Plätze. (Hſ.) — τῶν ἄνω ſ. 99,

δοκοῖ, ὀλίγοι πρὸς πολλοὺς ἐσέβαλλον ἐς τὸ στράτευμα τῶν Θρᾳκῶν. καὶ ἢ μὲν προσπέσοιεν οὐδεὶς ὑπέμενεν ἄνδρας 4
ἱππέας τε ἀγαθοὺς καὶ τεθωρακισμένους, ὑπὸ δὲ πλήθους περικληόμενοι αὐτοὺς πολλαπλασίῳ τῷ ὁμίλῳ ἐς κίνδυνον καθίστασαν, ὥστε τέλος ἡσυχίαν ἦγον, οὐ νομίζοντες ἱκανοὶ εἶναι πρὸς τὸ πλέον κινδυνεύειν. ὁ δὲ Σιτάλκης πρός τε τὸν 101
Περδίκκαν λόγους ἐποιεῖτο ὧν ἕνεκα ἐστράτευσεν καὶ ἐπειδὴ οἱ Ἀθηναῖοι οὐ παρῆσαν ταῖς ναυσίν, ἀπιστοῦντες αὐτὸν μὴ ἥξειν, δῶρα δὲ καὶ πρέσβεις ἔπεμψαν αὐτῷ, ἔς τε τοὺς Χαλκιδέας καὶ Βοττιαίους μέρος τι τοῦ στρατοῦ πέμπει καὶ τειχήρεις ποιήσας ἐδῄου τὴν γῆν. καθημένου δ' αὐτοῦ περὶ 2
τοὺς χώρους τούτους οἱ πρὸς νότον οἰκοῦντες Θεσσαλοὶ καὶ Μάγνητες καὶ οἱ ἄλλοι ὑπήκοοι Θεσσαλῶν καὶ οἱ μέχρι Θερμοπυλῶν Ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁ στρατὸς χωρήσῃ, καὶ ἐν παρασκευῇ ἦσαν. ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι καὶ Δρῶοι καὶ Λερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες. παρέσχε δὲ λόγον καὶ ἐπὶ τοὺς τῶν Ἀθη- 3
ναίων πολεμίους Ἕλληνας, μὴ ὑπ' αὐτῶν ἀγόμενοι κατὰ τὸ ξυμμαχικὸν καὶ ἐπὶ σφᾶς χωρήσωσιν. ὁ δὲ τήν τε Χαλκιδικὴν καὶ Βοττικὴν καὶ Μακεδονίαν ἅμα ἐπέχων ἔφθειρεν·

---

1. (Pp.) — ὅπῃ δοκοῖ wohin es ihnen beliebte, dem Folgenden anzufügen. — ἐσβάλλειν nur hier von einem Reiterangriffe. (Pp.) Auch 6, 70, 3. 101, 4 u. in manchen Hſn. auch 2, 79, 5.

§ 4. αὐτούς ſchon durch die Stellung anſtößig wird zu tilgen und καθέσταν zu leſen ſein: ancipiti marte proeliabantur Va. — τὸ πλέον die Ueberzahl.

C. 101. § 1. λόγους ἐποιεῖτο unterhandelte. (Hl.) — ταῖς ναυσίν 95, 3. (Pp.) — δέ für τε Pp. — ἔς τε. Dies τέ bezieht Pp. auf καί vor τειχήρεις. — τειχήρεις ποιεῖν ſie zwingen ſich hinter ihren Mauern zu halten, wie 4, 25, 5 u. Her. 1, 162; τειχήρεις ἐγενόμεθα And. 3, 21. vgl. Xen. Hell. 5, 3. 2. Das Wort iſt bei den Attikern ſelten.

§ 2. καὶ οἱ μέχρι. Gr. 68, 32 A. 2.

§ 3. λόγον ἐπί Gerede über — hin, Vermuthungen die ſich über — hin ausſprachen. — αὐτῶν, τῶν Ἀθηναίων. (Sch.) — κατὰ τὸ ξυμμαχικόν gehört zu χωρήσωσιν. — ἐπέχων überſchwem-

καὶ ἐπειδὴ αὐτῷ οὐδὲν ἐπράσσετο ὧν ἕνεκα ἐσέβαλε καὶ ἡ στρατιὰ σῖτόν τε οὐκ εἶχεν αὐτῷ καὶ ὑπὸ χειμῶνος ἐπιλαυπώρει, ἀναπείθεται ὑπὸ Σεύθου τοῦ Σπαρδάκου, ἀδελφιδοῦ ὄντος καὶ μέγιστον μεθ' αὑτὸν δυναμένου, ὥστ' ἐν τάχει
4 ἀπελθεῖν. τὸν δὲ Σεύθην κρύφα Περδίκκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν καὶ χρήματα ἐπ' αὐτῇ προσποιεῖται. καὶ ὁ μὲν πεισθεὶς καὶ μείνας τριάκοντα τὰς πάσας ἡμέρας, τούτων δὲ ὀκτὼ ἐν Χαλκιδεῦσιν, ἀνεχώρησε τῷ στρατῷ κατὰ τάχος ἐπ' οἶκον. Περδίκκας δὲ ὕστερον Στρατονίκην τὴν ἑαυτοῦ ἀδελφὴν δίδωσι Σεύθῃ, ὥσπερ ὑπέσχετο. τὰ μὲν κατὰ τὴν Σιτάλκου στρατείαν οὕτως ἐγένετο.

102 Οἱ δὲ ἐν Ναυπάκτῳ Ἀθηναῖοι τοῦδε τοῦ χειμῶνος, ἐπειδὴ τὸ τῶν Πελοποννησίων ναυτικὸν διελύθη, Φορμίωνος ἡγουμένου ἐστράτευσαν, παραπλεύσαντες ἐπ' Ἀστάκου καὶ ἀποβάντες, ἐς τὴν μεσόγειαν τῆς Ἀκαρνανίας τετρακοσίοις μὲν ὁπλίταις Ἀθηναίων τῶν ἀπὸ τῶν νεῶν, τετρακοσίοις δὲ Μεσσηνίοις, καὶ ἐκ τε Στράτου καὶ Κορόντων καὶ ἄλλων χωρίων ἄνδρας οὐ δοκοῦντας βεβαίους εἶναι ἐξήλασαν, καὶ Κύνητα τὸν Θεολύτου ἐς Κόροντα καταγαγόντες ἀνεχώρησαν
2 πάλιν ἐπὶ τὰς ναῦς. ἐς γὰρ Οἰνιάδας, ἀεί ποτε πολεμίους ὄντας, μόνους Ἀκαρνάνων οὐκ ἐδόκει δυνατὸν εἶναι χειμῶνος ὄντος στρατεύειν· ὁ γὰρ Ἀχελῷος ποταμὸς ῥέων ἐκ Πίνδου ὄρους διὰ Δολοπίας καὶ Ἀγραίων καὶ Ἀμφιλόχων καὶ διὰ τοῦ Ἀκαρνανικοῦ πεδίου ἄνωθεν μὲν παρὰ Στράτον πόλιν, ἐς θάλασσαν δὲ ἐξιεὶς παρ' Οἰνιάδας καὶ τὴν πόλιν αὐτοῖς περιλιμνάζων, ἄπορον ποιεῖ ὑπὸ τοῦ ὕδατος ἐν χειμῶνι

---

mend oder verweilend, nicht weiter ziehend? — μεθ' αὑτόν nächſt dem Seuthes. — ὥστ'. zu 2, 2, 4.

§ 4. ἐπ' αὐτῇ zur Mitgift für ſie. [Dem.] 59, 50: προῖκα ἐπ' αὐτῇ δίδωσι τριάκοντα μνᾶς. — στρατείαν. στρατιάν einige gute Hſn.

C. **102**. § 1. Οἱ δέ — vgl. 2, 92, 3. 4. 93, 1. — ἐπ' Ἀστάκου nach, nicht gegen A. vgl. 2, 30, 1. (Dſ.) — καὶ vor ἐκ τε, das die meiſten Hſn. haben, verbindet ἐξήλασαν mit ἐστράτευσαν.

§ 2. Ἀγραίων für Ἀγραῶν Pp. vgl. 3, 106, 2. 111, 3. 113, 1. 4, 77, 2. 101, 2. — ἄνωθεν für ἄνω auf die Mündung als Betrachtungspunct bezogen. — δ' ἐξιεὶς für διεξιεὶς Pp. — περιλιμνάζων eben ſo wohl nur noch bei Arr. An. 6, 14, 5. (Bl.) Dort ſteht jetzt περ λιμνάζει.

στρατεύειν. κεῖνται δὲ καὶ τῶν νήσων τῶν Ἐχινάδων αἱ 3
πολλαὶ καταντικρὺ Οἰνιαδῶν, τοῦ Ἀχελῴου τῶν ἐκβολῶν
οὐδὲν ἀπέχουσαι, ὥστε μέγας ὢν ὁ ποταμὸς προσχοῖ ἀεὶ
καὶ εἰσὶ τῶν νήσων αἳ ἠπείρωνται, ἐλπὶς δὲ καὶ πάσας οὐκ
ἐν πολλῷ τινι ἂν χρόνῳ τοῦτο παθεῖν· τό τε γὰρ ῥεῦμά
ἐστι μέγα καὶ πολὺ καὶ θολερόν, αἵ τε νῆσοι πυκναί, καὶ
ἀλλήλαις τῆς προσχώσεως τῷ μὴ σκεδάννυσθαι ξύνδεσμοι
γίγνονται, παραλλὰξ καὶ οὐ κατὰ στοῖχον κείμεναι, οὐδ' ἔχου-
σαι εὐθείας διόδους τοῦ ὕδατος ἐς τὸ πέλαγος. ἐρῆμοι 4
δ' εἰσὶ καὶ οὐ μεγάλαι. λέγεται δὲ καὶ Ἀλκμαίωνι τῷ Ἀμ-
φιάρεω, ὅτε δὴ ἀλᾶσθαι αὐτὸν μετὰ τὸν φόνον τῆς μητρός,
τὸν Ἀπόλλω ταύτην τὴν γῆν χρῆσαι οἰκεῖν, ὑπειπόντα οὐκ
εἶναι λύσιν τῶν δεινμάτων πρὶν ἂν εὑρὼν ἐν ταύτῃ τῇ χώρᾳ
κατοικίσηται ἥτις ὅτε ἔκτεινε τὴν μητέρα μήπω ὑπὸ ἡλίου
ἑωρᾶτο μηδὲ γῇ ἦν, ὡς τῆς γε ἄλλης αὐτῷ μεμιασμένης. ὁ 5
δ' ἀπορῶν, ὡς φασί, μόλις κατενόησε τὴν πρόσχωσιν ταύτην
τοῦ Ἀχελῴου, καὶ ἐδόκει αὐτῷ ἱκανὴ ἂν κεχῶσθαι δίαιτα
τῷ σώματι ἀφ' οὗπερ κτείνας τὴν μητέρα οὐκ ὀλίγον χρόνον
ἐπλανᾶτο. καὶ κατοικισθεὶς ἐς τοὺς περὶ Οἰνιάδας τόπους
ἐδυνάστευσέ τε καὶ ἀπὸ Ἀκαρνᾶνος παιδὸς ἑαυτοῦ τῆς χώρας

---

§ 3. τὸ ῥεῦμα, τοῦ Ἀχελώου. (Sch.) — τῆς προσχώσεως hängt ab von ξύνδεσμοι Verbindungsmittel zu der Anſchwemmung. — τῷ μὴ σκεδάννυσθαι, τὴν πρόσχωσιν δηλονότι. (Sch.) Der Dativ bezeichnet wohl den Grund: dadurch daß der Schlamm ſich nicht frei ausbreitet. — ξύνδεσμοι für σύνδεσμοι Pp. — παραλλάξ ſchräge gegen einander ſo daß dem Raume zwiſchen zweien eine andre Inſel gegenüber liegt. vgl. Lobeck zu Soph. Aj. 1087.

§ 4. ὅτε δή eben als, die Sache als notoriſch andeutend. „vgl. Ar. Lyſ. 523, Frösche 1189 u. Ekkl. 195." (Bl.) — ἀλᾶσθαι. Gr. 55, 4 A. 9. — τῆς μητρός, τῆς Ἐριψύλης. (Sch.) vgl. Apollod. 3, 6, 2. 7, 2 u. 5. (Hſ.) — ὑπειπόντα. zu 1, 35, 4. — μήπω, nicht οὔπω, weil es ſich an πρὶν ἂν κατοικίσηται anſchließt. vgl. Gr. 67, 4 A. 3.

§ 5. ἂν κεχῶσθαι aus ἂν εἴη κεχωσμένη. Gr. 54, 6 A. 6. Pp. vergleicht, Lyſ. 27, 8. 9 u. Xen. Mem. 1, 2, 50. — δίαιτα Wohnplatz um dort zu leben. vgl. Ariſt. Eth. Nik. 1, 6 u. Philoſtr. L. des Her. p. 562: δίαιτα τῷ σώματι ἐπιτηδεία. (Arn.) — ἀφ' οὗπερ ſeit der Zeit wo. — ἐδυνάστευσε gründete ſich eine Herrſchaft. (Hl.) — παιδὸς ἑαυτοῦ kann ein Sohn von ihm,

τὴν ἐπωνυμίαν ἐγκατέλιπεν. τὰ μὲν περὶ Ἀλκμαίωνα τοιαῦτα λεγόμενα παρελάβομεν.

103 Οἱ δὲ Ἀθηναῖοι καὶ ὁ Φορμίων ἄραντες ἐκ τῆς Ἀκαρνανίας καὶ ἀφικόμενοι ἐς τὴν Ναύπακτον ἅμα ἦρι κατέπλευσαν ἐς τὰς Ἀθήνας, τούς τε ἐλευθέρους τῶν αἰχμαλώτων ἐκ τῶν ναυμαχιῶν ἄγοντες, οἳ ἀνὴρ ἀντ' ἀνδρὸς ἐλύθησαν, καὶ τὰς ναῦς ἃς εἷλον. καὶ ὁ χειμὼν ἐτελεύτα οὗτος, καὶ τρίτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

---

kann aber auch ſein Sohn heißen, letzteres prädicativ genommen: ὃς ἦν παῖς αὐτοῦ. — ἐπωνυμίαν. πρότερον γὰρ Κουρῆτις ἐκαλεῖτο. (Sch.)

C. **103**. ἀνὴρ ἀντ' ἀνδρός, wie 5, 3, 4. vgl. 8, 93, 2. — ἐλύθησαν. Erſtes Beiſpiel von Auswechſelung Gefangener. (Bl.) Schwerlich.

Nachricht.

Marcellin ꝛc. nebſt chronologiſchen Tabellen und einem Nachworte mit den nöthigen Bemerkungen werden dem letzten Hefte vorbehalten. Der Druck wird ohne Unterbrechung fortgeſetzt. Gr. bezeichnet Krügers griechiſche Grammatik.

Gedruckt bei C. Feiſter.

ΘΟΥΚΥΔΙΔΟΥ ΣΥΓΓΡΑΦΗ

Mit

erklärenden Anmerkungen

herausgegeben

von

K. W. Krüger.

Erſten Bandes zweites Heft, drittes und viertes Buch.

Berlin
bei K. W. Krüger
1846.

Von allen rechtmäßigen Exemplaren dieſes Werkes führt jedes Heft hier den Stempel und die eigenhändige Namensſchrift des Verfaſſers. Preis dieſes Heftes Ein Rthlr.

ΘΟΥΚΥΔΙΔΟΥ

ΣΥΓΓΡΑΦΗΣ Γ.

Τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμ- 1
μαχοι ἅμα τῷ σίτῳ ἀκμάζοντι ἐστράτευσαν ἐς τὴν Ἀττικήν, ἡγεῖτο δὲ αὐτῶν Ἀρχίδαμος ὁ Ζευξιδάμου, Λακεδαιμονίων βασιλεύς, καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν· καὶ προσβολαί, ὥσπερ εἰώθεσαν, ἐγίγνοντο τῶν Ἀθηναίων ἱππέων ὅπῃ παρείκοι, καὶ τὸν πλεῖστον ὅμιλον τῶν ψιλῶν εἶργον τὸ μὴ προεξιόντας τῶν ὅπλων τὰ ἐγγὺς τῆς πόλεως κακουργεῖν. ἐμμείναντες δὲ χρόνον οὗ εἶχον τὰ σιτία ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.

Μετὰ δὲ τὴν ἐσβολὴν τῶν Πελοποννησίων εὐθὺς Λέσβος 2
πλὴν Μηθύμνης ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου, ἀλλ' οἱ Λακεδαιμόνιοι οὐ προσεδέξαντο, ἀναγκασθέντες δὲ καὶ ταύτην τὴν ἀπόστασιν πρότερον ἢ διενοοῦντο ποιήσασθαι. τῶν τε γὰρ λιμένων τὴν χῶσιν καὶ τειχῶν οἰκοδόμησιν καὶ νεῶν ποίησιν ἐπέμενον τελεσθῆ-

---

C. 1. παρείκοι, καιρὸς ἐπιτρέψειε Schol. Soph. Phil. 1048 u. dort Buttm. Persönlich Plat. Theät. 150, d: οἱόσπερ ἂν ὁ θεὸς παρείκῃ. — τὸ μὴ κακουργεῖν ist eigentlich von εἶργον regierter Accusativ: εἴργειν τινά τι. Ar. We. 333: τίς ἐσθ' ὁ ταῦτά σ' εἴργων. vgl. Gr. 46, 11 A. 2 u. 55, 1 A. 7; über μή eb. 67, 12 A. 4. — ὅπλων. zu 1, 111, 1. — οὗ. zu 1, 48, 1.

C. 2. § 1. βουληθέντες. Gr. 58, 4 A. 2. — τοῦ πολέμου, οὗ Πελοποννησιακοῦ. (Sch.) — ἀλλ' οἱ —. zu 2, 47, 2. — προεσδέξαντο, αὐτούς. (Pl.) — ταύτην den jetzigen. (Sch.) — γὰρ

ναι καὶ ὅσα ἐκ τοῦ Πόντου ἔδει ἀφικέσθαι, τοξότας τε καὶ
2 σῖτον [καὶ] ἃ μεταπεμπόμενοι ἦσαν. Τενέδιοι γάρ, ὄντες αὐ-
τοῖς διάφοροι, καὶ Μηθυμναῖοι καὶ αὐτῶν Μυτιληναίων
ἰδίᾳ ἄνδρες κατὰ στάσιν, πρόξενοι Ἀθηναίων, μηνυταὶ
γίγνονται τοῖς Ἀθηναίοις ὅτι ξυνοικίζουσί τε τὴν Λέσβον ἐς
τὴν Μυτιλήνην βίᾳ καὶ τὴν παράσκευὴν ἅπασαν μετὰ Λακε-
δαιμονίων καὶ Βοιωτῶν, ξυγγενῶν ὄντων, ἐπὶ ἀποστάσει ἐπεί-
γονται· καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερήσεσθαι αὐ-
3 τοὺς Λέσβου. οἱ δ' Ἀθηναῖοι — ἦσαν γὰρ τεταλαιπωρη-
μένοι ὑπό τε τῆς νόσου καὶ τοῦ πολέμου ἄρτι καθισταμένου
καὶ ἀκμάζοντος — μέγα μὲν ἔργον ἡγοῦντο εἶναι Λέσβον
προσπολεμώσασθαι, ναυτικὸν ἔχουσαν καὶ δύναμιν ἀκέραιον,
καὶ οὐκ ἀπεδέχοντο τὸ πρῶτον τὰς κατηγορίας, μεῖζον μέρος
2 νέμοντες τῷ μὴ βούλεσθαι ἀληθῆ εἶναι· ἐπειδὴ μέντοι καὶ
πέρψαντες πρέσβεις οὐκ ἔπειθον τοὺς Μυτιληναίους τήν τε
ξυνοίκισιν καὶ τὴν παρασκευὴν διαλύειν, δείσαντες προκατα-
λαβεῖν ἐβούλοντο. καὶ πέμπουσιν ἐξαπίναιος τεσσαράκοντα
ναῦς, αἳ ἔτυχον περὶ Πελοπόννησον παρεσκευασμέναι πλεῖν·

---

nämlich. — ὅσα — ἀφικέσθαι ist als Ac. zu fassen. Gr. 51, 13 A. 2. Wie hier ἐπέμενε so steht περιέμενε mit verschiedener Construction 7, 20, 3. (Haase.) — μεταπεμπόμενοι ἦσαν. zu 1, 38, 2.

§ 2. γάρ denn, gleichfalls auf ἀναγκασθέντες δέ bezüglich. Gr. 69, 14 A. 2. — κατὰ στάσιν eines Bürgerzwistes halber, mit μηνυταὶ γίγνονται zu verbinden. (Sch.) Ueber die Sache vgl. Aristot. Pol. 5, 3, 3. (Hudf.) — ξυνοικίζουσι. ἐβούλοντο γὰρ ἐκ μιᾶς πόλεως ὁρμώμενοι πολεμεῖν. (Sch.) — ξυγγενῶν gehört nur zu Βοιωτῶν. (Sch.) — αὐτούς, τοὺς Ἀθηναίους. (Sch.) — ἐπείγονται betreiben, beschleunigen. vgl. 4, 5. 6, 100, 1. 8, 9, 1. 82, 2. (Pp.) Gr. 46, 6 A. 3. Doch ist dieser Gebrauch bei ἐπείγεσθαι nicht allgemein üblich.

C. 3. § 1. ἄρτι καθισταμένου der eben im vollen Gange war. (Hl.) — προσπολεμώσασθαι ἀντὶ τοῦ πρὸς τοὺς οὐσι πολεμίους καὶ αὐτὴν πολεμίαν ποιῆσαι. (Sch.) — τό fehlt in guten Hss. — μεῖζον μέρος νέμοντες mehr darauf gebend, mehr sich dadurch bestimmend lassend. Cur. Suppl. 241: νέμοντες τῷ ᾠθόνῳ πλεῖον μέρος. Der Ausdruck ist mehr dichterisch. Ueber den Gedanken vgl. 4, 108, 3 u. Kr. z. Dion. p. 164. — ἀληθῆ, τὰ κατηγορημένα als κατηγορίας. (Ba.) vgl. Schömann z. Isä. p. 443. Oder überhaupt τὰ πράγματα.

§ 2. πρέσβεις ist wohl Glossem. Denn sonst würde καὶ πρέσβεις πέμψαντες gestellt sein.

Κλεϊππίδης δὲ ὁ Λεινίου τριτος αὐτὸς ἐστρατήγει. ἐσηγγέλθη 3
γὰρ αὐτοῖς ὡς εἴη Ἀπόλλωνος Μαλόεντος ἔξω τῆς πόλεως
ἑορτή, ἐν ᾗ παντημεὶ Μυτιληναῖοι ἑορτάζουσιν, καὶ ἐλπίδα
εἶναι ἐπειχθέντας ἐπιπεσεῖν ἄφνω, καὶ ἢν μὲν ξυμβῇ ἡ πεῖρα,
εἰ δὲ μή, Μυτιληναίοις εἰπεῖν ναῦς τε παραδοῦναι καὶ τεῖχη
καθελεῖν, μὴ πειθομένων δὲ πολεμεῖν. καὶ αἱ μὲν νῆες
ᾤχοντο· τὰς δὲ τῶν Μυτιληναίων δέκα τριήρεις αἳ ἔτυχον
βοηθοὶ παρὰ σφᾶς κατὰ τὸ ξυμμαχικὸν παροῦσαι κατέσχον
οἱ Ἀθηναῖοι καὶ τοὺς ἄνδρας ἐξ αὐτῶν ἐς φυλακὴν ἐποιη-
σαντο. τοῖς δὲ Μυτιληναίοις ἀνὴρ ἐκ τῶν Ἀθηνῶν διαβὰς 4
ἐς Εὔβοιαν καὶ πεζῇ ἐπὶ Γεραιστὸν ἐλθὼν ὑλκάδος ἀναγο-
μένης ἐπιτυχὼν πλῷ χρησάμενος καὶ τριταῖος ἐκ τῶν Ἀθη-
νῶν ἐς Μυτιλήνην ἀφικόμενος ἀγγέλλει τὸν ἐπίπλουν. οἱ δὲ
οὔτε ἐς τὸν Μαλόεντα ἐξῆλθον, τά τε ἄλλα τῶν τειχῶν καὶ
λιμένων περὶ τὰ ἡμιτέλεστα φραξάμενοι ἐφύλασσον. καὶ οἱ 4
Ἀθηναῖοι οὐ πολὺ ὕστερον καταπλεύσαντες ὡς ἑώρων, ἀπήγ-
γειλαν μὲν οἱ στρατηγοὶ τὰ ἐπεσταλμένα, οὐκ ἐσακουόντων

---

§ 3. *Μαλόεις*, angeblich ſo genannt, weil der Cultus von Malos, einem Enkel des Teireſias, gegründet. Plehn Lesb. p. 116. — *ἐπιπεσεῖν*. Ueber den Inf. Ao. nach *ἐλπίς* Elmsley zu Eur. Med. 750 u. zu 1, 81, 2. — *ξυμβῇ ἡ πεῖρα, εἰ καταρθωθῇ τὸ ἐλπιζόμενον καὶ τῇ πείρᾳ αὐτῇ καταλάβωσιν αὐτοὺς ἔξω, καλῶς ἂν ἔσται τοῖς Ἀθηναίοις τὰ πράγματα.* (Sch.) Doch iſt mir *ἡ πεῖρα* anſtößig. Ueber den fehlenden Nachſatz Gr. 54, 12 A. 12. vgl. 4, 13, 3. — *εἰπεῖν* von einem aus *ἐσηγγέλθη* zu denkenden *εἶπον* (οἱ Ἀθηναῖοι) ſie forderten ſie auf regiert. (Ba. u. Bs.) — *ναῦς*. Ueber den fehlenden Artikel zu 1, 101, 2. — *τάς* beſtimmt durch den relativen Satz. (Arn.) Gr. 50, 2 A. 7. — *παρὰ σφᾶς*. Her. 8, 140: *τὴν νῦν παρ' ἐμὲ ἐοῦσαν δύναμιν*. vgl. Kr. Ind. Xen. An. in *παρεῖναι*. — *ἐπενόησαντο* brachten. vgl. 8, 1, 4 u. zu 2, 83, 4.

§ 4. *ὁλκάδος ἐπιτυχών*. Gr. 47, 14 A. 2. vgl. 7, 25, 2, Plat. Phil. 61, d u. Ar. Plut. 245. Ueber die Participia Gr. 56, 15 A. 2. — *πλῷ*. zu 1, 137, 2. — *Μαλόεις* hieß auch der Ort. Steph. Byz. — *περί*. Eine Hſ. *παρά* Längs, Ba. übetſetzt die Präpoſition gar nicht. Hſ. u. Andre erklären: im Uebrigen hielten ſie bei den halbvollendeten Theilen der Mauer und Häfen Wache. Wachen aber waren nicht bloß hier nöthig. Ich überſetze: das Uebrige bewachten ſie, nachdem ſie um die halbvollendeten Arbeiten an den Häfen und Mauern Verſperrungen angebracht. — *φραξάμενοι* ohne Object wie 8, 35, 3. (Py.) Man verſperrte etwa mit Balken, Schiffen ꝛc. Arr. An. 2, 20, 8: *πριήρεσί βάζην τὸν ἔσπλουν φραξάμενοι ἐφύλασσον.*

C. 4. § 1. *ἀπήγγειλαν, τοῖς Μυτιληναίοις.* (Sch.) — *τὰ*

δὲ τῶν Μυτιληναίων ἐς πόλεμον καθίσταντο. ἀπαράσκευοι
δὲ οἱ Μυτιληναῖοι καὶ ἐξαίφνης ἀναγκασθέντες πολεμεῖν ἔκ-
πλουν μέν τινα ἐποιήσαντο τῶν νεῶν ὡς ἐπὶ ναυμαχίᾳ ὀλί-
2 γον πρὸ τοῦ λιμένος, ἔπειτα καταδιωχθέντες ὑπὸ τῶν Ἀττι-
κῶν νεῶν λόγους ἤδη προσέφερον τοῖς στρατηγοῖς, βουλόμε-
νοι τὰς ναῦς τὸ παραυτίκα, εἰ δύναιντο, ὁμολογίᾳ τινὶ ἐπι-
εικεῖ ἀποπέμψασθαι. καὶ οἱ στρατηγοὶ τῶν Ἀθηναίων
ἀπεδέξαντο, καὶ αὐτοὶ φοβούμενοι μὴ οὐχ ἱκανοὶ ὦσι Λέσβῳ
3 πάσῃ πολεμεῖν. καὶ ἀνακωχὴν ποιησάμενοι πέμπουσιν ἐς
τὰς Ἀθήνας οἱ Μυτιληναῖοι τῶν τε διαβαλλόντων ἕνα, ᾧ
μετέμελεν ἤδη, καὶ ἄλλους, εἴ πως πείσειαν τὰς ναῦς ἀπελ-
θεῖν ὡς σφῶν οὐδὲν νεωτεριούντων.

4 Ἐν τούτῳ δὲ ἀποστέλλουσι καὶ ἐς τὴν Λακεδαίμονα
πρέσβεις τριήρει, λαθόντες τὸ τῶν Ἀθηναίων ναυτικόν, οἳ
ὥρμουν ἐν τῇ Μαλέᾳ πρὸς βορέαν τῆς πόλεως· οὐ γὰρ
ἐπίστευον τοῖς ἀπὸ τῶν Ἀθηναίων προχωρήσειν. καὶ οἱ
μὲν ἐς τὴν Λακεδαίμονα ταλαιπώρως διὰ τοῦ πελάγους κο-
5 μισθέντες αὐτοῖς ἔπρασσον ὅπως τις βοήθεια ἥξει· οἱ δ' ἐκ
τῶν Ἀθηνῶν πρέσβεις ὡς οὐδὲν ἦλθον πράξαντες, ἐς πό-
λεμον καθίσταντο οἱ Μυτιληναῖοι καὶ ἡ ἄλλη Λέσβος πλὴν
Μηθύμνης· οὗτοι δὲ τοῖς Ἀθηναίοις ἐβεβοηθήκεσαν καὶ

ἐπεσταλμένα, τὰ προσταχθέντα. (Sch.) — ἀπαράσκευοι καὶ ἐξαίφνης. Gr. 59, 2 A. 3. vgl. 7, 32, 2. — τῶν νεῶν der Kriegsschiffe, doch nur hier so zugefügt.

§ 2. τὸ παραυτίκα fürs erste. (Hl.) bis sie besser vorbereitet wären. (Ds.) — ἐπιεικεῖ, φιλανθρώπῳ, ἔνιοι δὲ εὐπρεπεῖ. (Sch.) glimpflich. Aristot. Rhet. 1, 13: ἔστιν ἐπιεικὲς τὸ παρὰ τὸν γεγραμμένον νόμον δίκαιον. vgl. Th. 1, 76, 3 u. 3, 9, 2. — ἀποπέμψασθαι sich vom Halse schaffen. (Hl.) — διαβαλλόντων. Das Präsens weil noch welche vorhanden waren; διαβαλόντων Reiske. vgl. zu 2, 2, 4. — ἀπελθεῖν. Man würde ἀπαγαγεῖν oder vorher ποιήσειαν erwarten. vgl. jedoch 7, 25, 1 u. zu 3, 86, 2.

§ 3. βορέαν. νότον vermuthet Bl. Vielleicht ist Μαλέαν verfälscht. Denn kaum ist anzunehmen daß dort unter diesem Namen auch ein Ort existirte, was Thuk. gewiß würde angedeutet haben. — τοῖς ist Neutrum. (Sch.) vgl. 1, 127. (Haase.) — Ἀθηναίων. Ἀθηνῶν wünscht Bk. — προχωρήσειν. Gr. 61, 6 A. 8. vgl. 4, 92, 7. (Haase.) — αὐτοῖς für sie, die Lesbier. (Pp.) 8, 5, 4: τοῖς Λεσβίοις ἔπρασσον.

C. 5. § 1. οἱ ἐκ, wie 4, 16, 3. (Pp.) — οὗτοι, οἱ Μηθυμναῖοι. (Ba.) vgl. Gr. 58, 4 A. 2.

Ἴμβριοι καὶ Λήμνιοι καὶ τῶν ἄλλων ὀλίγοι τινὲς ξυμμάχων.
καὶ ἔξοδον μέν τινα πανδημεὶ ἐποιήσαντο οἱ Μυτιληναῖοι 2
ἐπὶ τὸ τῶν Ἀθηναίων στρατόπεδον καὶ μάχη ἐγένετο, ἐν ᾗ
οὐκ ἔλασσον ἔχοντες οἱ Μυτιληναῖοι οὔτε ἐπηυλίσαντο οὔτε
ἐπίστευσαν σφίσιν αὐτοῖς, ἀλλ' ἀνεχώρησαν· ἔπειτα οἱ μὲν
ἡσύχαζον, ἐκ Πελοποννήσου καὶ μετ' ἄλλης παρασκευῆς βου-
λόμενοι εἰ προσγένοιτό τι, κινδυνεύειν· — καὶ γὰρ αὐτοῖς
Μελέας Λάκων ἀφικνεῖται καὶ Ἑρμαιώνδας Θηβαῖος, οἳ
προαπεστάλησαν μὲν τῆς ἀποστάσεως, φθάσαι δὲ οὐ δυνά-
μενοι τὸν τῶν Ἀθηναίων ἐπίπλουν κρύφα μετὰ τὴν μάχην
ὕστερον ἐσπλέουσι τριήρει, καὶ παρῆνουν πέμπειν τριήρη
ἄλλην καὶ πρέσβεις μεθ' αὑτῶν· καὶ ἐκπέμπουσιν — οἱ δὲ 6
Ἀθηναῖοι πολὺ ἐπιρρωσθέντες διὰ τὴν τῶν Μυτιληναίων
ἡσυχίαν ξυμμάχους τε προσεκάλουν, οἳ πολὺ θᾶσσον παρῆσαν
ὁρῶντες οὐδὲν ἰσχυρὸν ἀπὸ τῶν Λεσβίων, καὶ περιορμισά-
μενοι τὸ πρὸς νότον τῆς πόλεως ἐτείχισαν στρατόπεδα δύο
ἑκατέρωθεν τῆς πόλεως, καὶ τοὺς ἐφόρμους ἐπ' ἀμφοτέροις
τοῖς λιμέσιν ἐποιοῦντο. καὶ τῆς μὲν θαλάσσης εἶργον μὴ 2
χρῆσθαι τοὺς Μυτιληναίους, τῆς δὲ γῆς τῆς μὲν ἄλλης ἐκρά-
τουν οἱ Μυτιληναῖοι καὶ οἱ ἄλλοι Λέσβιοι προσβεβοηθηκότες
ἤδη, τὸ δὲ περὶ τὰ στρατόπεδα οὐ πολὺ κατεῖχον οἱ Ἀθη-
ναῖοι, ναύσταθμον δὲ μᾶλλον ἦν αὐτοῖς πλοίων καὶ ἀγορᾶς
ἡ Μαλέα. καὶ τὰ μὲν περὶ Μυτιλήνην οὕτως ἐπολεμεῖτο.

---

§ 2. ἐπανλίσασθαι ἐστι τὸ πλησίον τῶν πολεμίων νυκτὸς αὐλίσασθαι. (Sch.) vgl. 4, 134, 2. (Bl.) — ἐκ — τι. Man ordne εἴ ἐκ Π. προσγένοιτό τι καὶ μετ' ἄλλης παρασκευῆς (εἰ προσγένοιτο). (Ps. u. Gö.) Die Härte würde beſeitigt, wenn man (nach Ba.) μετά tilgte, παρασκευῆς mit τι verbindend.

§ 3. μετὰ τὴν μάχην wäre nur dann unverdächtig, wenn eine genauere Beſtimmung wie οὐ πολλῷ ὕστερον 5, 24, 2 folgte. Verſchieden iſt doch auch πρὸ — πρότερον 1, 3, 1.

C. G. § 1. θᾶσσον ſchneller als wenn ſie ἰσχυρόν τι geſehen hätten. (Ba. u. Pp.) — ἰσχυρόν Zuverläſſiges, zureichende Macht, πολλὴν δύναμιν. Sch. zu 4, 27, 2. 8, 9, 3. — περιώρμισάμενοι τό legten ſich um das — vor Anker. 4, 23, 2: περιωρμουν πλὴν τὰ πρὸς τὸ πέλαγος. Pp. vermuthet π. ἐς τό. — ἐφόρμους, ναυτικὰς ἐφόδους. (Sch.) Schiffblokade. vgl. 4, 27, 1. 32, 1. Thukydideiſch.

§ 2. χρῆσθαι. Gr. 61, 6 A. 8 u. Pflugk zu Eur. Andr. 94. — μᾶλλον ἢ τὸ περὶ τὰ στρατόπεδα. — πλοίων. Gr. 47, 8. — ἀγορᾶς. ἀγορά? — καί (vor τά) ſteht ſo auch 3, 68, 3, fehlt 3, 50, 3 u. Her. 7, 167. 198. — τά iſt wohl hier wie 4, 23, 2 der Ac. vgl. 2, 96, 3. 4, 108, 1. 5, 52, 1 u. Pflugk zu Eur. Her. 1054.

7 Κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ θέρους τούτου Ἀθηναῖοι καὶ ἐς Πελοπόννησον ναῦς ἀπέστειλαν τριάκοντα καὶ Ἀσώπιον τὸν Φορμίωνος στρατηγόν, κελευσάντων Ἀκαρνάνων τῶν Φορμίωνός τινα σφίσι πέμψαι ἢ υἱὸν ἢ ξυγγενῆ ἄρχοντα. καὶ παραπλέουσαι αἱ νῆες τῆς Λακωνικῆς τὰ ἐπιθαλάσσια
2 χωρία ἐπόρθησαν. ἔπειτα τὰς μὲν πλείους ἀποπέμπει τῶν νεῶν πάλιν ἐπ' οἴκου ὁ Ἀσώπιος, αὐτὸς δ' ἔχων δώδεκα ἀφικνεῖται ἐς Ναύπακτον, καὶ ὕστερον Ἀκαρνᾶνας ἀναστήσας πανδημεὶ στρατεύει ἐπ' Οἰνιάδας, καὶ ταῖς τε ναυσὶ κατὰ τὸν Ἀχελῷον ἔπλευσε καὶ ὁ κατὰ γῆν στρατὸς ἐδῄου τὴν
3 χώραν. ὡς δ' οὐ προσεχώρουν, τὸν μὲν πεζὸν ἀφῆσιν, αὐτὸς δὲ πλεύσας ἐς Λευκάδα καὶ ἀπόβασιν ἐς Νήρικον ποιησάμενος ἀναχωρῶν διαφθείρεται αὐτός τε καὶ τῆς στρατιᾶς τι μέρος ὑπὸ τῶν αὐτόθεν τε ξυμβοηθησάντων καὶ φρουρῶν τινῶν ὀλίγων. καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι παρὰ τῶν Λευκαδίων ἐκομίσαντο.

8 Οἱ δὲ ἐπὶ τῆς πρώτης νεὼς ἐκπεμφθέντες Μυτιληναίων πρέσβεις, ὡς αὐτοῖς οἱ Λακεδαιμόνιοι εἶπον Ὀλυμπίαζε παρεῖναι, ὅπως καὶ οἱ ἄλλοι ξύμμαχοι ἀκούσαντες βουλεύσωνται, ἀφικνοῦνται ἐς τὴν Ὀλυμπίαν· ἦν δὲ Ὀλυμπιὰς ᾗ Λωριεὺς Ῥόδιος τὸ δεύτερον ἐνίκα. καὶ ἐπειδὴ μετὰ τὴν ἑορτὴν κατέστησαν ἐς λόγους, εἶπον τοιάδε.

9 "Τὸ μὲν καθεστὸς τοῖς Ἕλλησι νόμιμον, ὦ ἄνδρες Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἴσμεν· τοὺς γὰρ ἀφισταμένους ἐν τοῖς πολέμοις καὶ ξυμμαχίαν τὴν πρὶν ἀπολείποντας οἱ δεξάμενοι καθ' ὅσον μὲν ὠφελοῦνται ἐν ἡδονῇ ἔχουσιν, νομίζοντες δὲ εἶναι προδότας τῶν πρὸ τοῦ φίλων χείρους ἡγοῦν-

---

C. 7. § 1. τῶν von den Angehörigen. Gr. 47, 5 A. 2. § 2. ἀναστήσας. zu 2, 96, 1. — κατὰ τόν auf dem. (Ba.) vgl. 4, 25, 5. (Pp.)

§ 3. αὐτός iſt wiederholt, da das erſte dem πεζός, dieſes dem μέρος entgegenſteht. — τῶν αὐτόθεν den Bewohnern dieſer Gegend. (Ba.) vgl. 2, 25, 3. 4, 129, 2. 5, 52, 2. 6, 25, 3. 7, 34, 2. 8, 1, 3. 22, 2. — τινῶν. Gr. 51, 16 A. 4 — ἀποπλεύσαντες Nachdem ſie von der Küſte ſich entfernt hatten, ſchickten ſie wieder Herolde hin, wie 4, 44. (Pp.)

C. 8. Λωριεύς ſiegte Ol. 87, 88 und 89? (Dr.) — ἐνίκα. Gr. 53, 1 A. 4. vgl. 5, 49, 1. (Pp.)

C. 9. § 1. ἐν ἡδονῇ ἔχουσι. vgl. 1, 55, 2. — χείρους als ſie es ſonſt würden. (Reiske.) vgl. 4, 114, 3. (Pp.)

ται. καὶ οὐκ ἄδικος αὕτη ἡ ἀξίωσις ἐστιν, εἰ τύχοιεν πρὸς 2
ἀλλήλους οἵ τε ἀφιστάμενοι καὶ ἀφ' ὧν διακρίνοιντο ἴσοι
μὲν τῇ γνώμῃ ὄντες καὶ εὐνοίᾳ, ἀντίπαλοι δὲ τῇ παρασκευῇ
καὶ δυνάμει, πρόφασις τε ἐπιεικὴς μηδεμία ὑπάρχοι τῆς ἀπο-
στάσεως· ὃ ἡμῖν καὶ Ἀθηναίοις οὐκ ἦν. μηδέ τῳ χείρους
δόξωμεν εἶναι εἰ ἐν τῇ εἰρήνῃ τιμώμενοι ὑπ' αὐτῶν ἐν τοῖς
δεινοῖς ἀφιστάμεθα. περὶ γὰρ τοῦ δικαίου καὶ ἀρετῆς πρῶ- 10
τον, ἄλλως τε καὶ ξυμμαχίας δεόμενοι, τοὺς λόγους ποιησό-
μεθα, εἰδότες οὔτε φιλίαν ἰδιώταις βέβαιον γιγνομένην οὔτε
κοινωνίαν πόλεσιν ἐς οὐδέν, εἰ μὴ μετ' ἀρετῆς δοκούσης ἐς
ἀλλήλους γίγνοιντο καὶ τἆλλα ὁμοιότροποι εἶεν· ἐν γὰρ τῷ
διαλλάσσοντι τῆς γνώμης καὶ αἱ διαφοραὶ τῶν ἔργων καθί-
στανται. ἡμῖν δὲ καὶ Ἀθηναίοις ξυμμαχία ἐγένετο πρῶτον
ἀπολιπόντων μὲν ὑμῶν ἐκ τοῦ Μηδικοῦ πολέμου, παραμει-
νάντων δὲ ἐκείνων πρὸς τὰ ὑπόλοιπα τῶν ἔργων. ξύμμαχοι 2
μέντοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθη-
ναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησιν.
καὶ μέχρι μὲν ἀπὸ τοῦ ἴσου ἡγοῦντο, προθύμως εἱπόμεθα·
ἐπειδὴ δὲ ἑωρῶμεν αὐτοὺς τὴν μὲν τοῦ Μήδου ἔχθραν ἀνι-
έντας, τὴν δὲ τῶν ξυμμάχων δούλωσιν ἐπαγομένους, οὐκ

---

§ 2. ἀξίωσις, δόξα, κρίσις, λογισμός. (Sch.) vgl. 2, 88, 2. (Pp.) — εἰ τύχοιεν. Gr. 54, 12 A. 7. — διακρίνοιντο, ἀφίσταντο (Sch.), aber milderer Ausdruck. — ἀντίπαλοι, ἰσοσθενεῖς, ἴσοι. (Sch.) vgl. zu 2, 61, 3. — πρόφασις. zu 1, 23, 5. — ἐπιεικής billig. (Ba.) vgl. 4, 19, 2 u. zu 3, 4, 2.

C. 10. § 1. ἀρετῆς Rechtlichkeit. — δοκούσης, νομιζομένης ὄντως· οὐ γὰρ δὴ τὴν προσποιητὴν λέγει. (Sch.) — ἐς οὐδέν zu irgend einem Behufe. — γίγνοιντο erg. φιλία καὶ κοινωνία. (Hl.) — εἶεν die bezüglichen Menſchen. — ὁμοιότροποι gleichartig an Charakter. — τῷ διαλλάσσοντι der Verſchiedenartigkeit. Intranſitiv wie Her. 7, 70: διαλλάσσοντες εἶδος μὲν οὐδὲν τοῖς ἑτέροισι. — καθίστανται beruhen. — ἀπολιπόντων abtratet. Her. 7, 221: ὁ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπέλιπε? vgl. 5, 4, 3 u. Pflugk zu Eur. Herk. 133. — παραμεινάντων. zu 1, 75, 1.

§ 2. Ἀθηναίοις verbinde ich mit καταδουλώσει. 6, 76, 4: οἱ μὲν σφίσιν ἀλλὰ μὴ ἐκείνῳ καταδουλώσεως. — καταδούλωσις findet Poll. 9, 142 hart, ungeachtet er δούλωσις billigt 3, 75. — τοῖς Ἕλλησιν für die Hellenen ziehe ich zu ἐλευθερώσει. — ἐπαγομένους zu ihrem Vortheile herbeiführend. Soph. Ant. 361: Ἄιδα μόνον φεῦξιν οὐκ ἐπάξεται. Dem. 19, 259: ἀθάλρετον αὐτοῖς ἐπάγονται δουλείαν. (Funckhänel.) ἐπειγομένους Roß, auch Bekker, Haaſen und mir eingefallen: tendentes ad Ba. vgl. zu 3, 2, 2.

3 ἀδεεῖς ἔτι ἦμεν. ἀδύνατοι δὲ ὄντες καθ' ἓν γενόμενοι διὰ πολυψηφίαν ἀμύνασθαι οἱ ξύμμαχοι ἐδουλώθησαν πλὴν ἡμῶν καὶ Χίων· ἡμεῖς δὲ αὐτόνομοι δὴ ὄντες καὶ ἐλεύθεροι τῷ ὀνόματι ξυνεστρατεύσαμεν. καὶ πιστοὺς οὐκέτι εἴχομεν ἡγεμόνας Ἀθηναίους, παραδείγμασι τοῖς προγιγνομένοις χρώμενοι· οὐ γὰρ εἰκὸς ἦν αὐτοὺς οὓς μὲν μεθ' ἡμῶν ἐνσπόνδους ἐποιήσαντο καταστρέψασθαι, τοὺς δὲ ὑπολοίπους,
11 εἴ ποτε ἄρα ἐδυνήθησαν, μὴ δρᾶσαι τοῦτο. καὶ εἰ μὲν αὐτόνομοι ἔτι ἦμεν ἅπαντες, βεβαιότεροι ἂν ἡμῖν ἦσαν μηδὲν νεωτεριεῖν· ὑποχειρίους δὲ ἔχοντες τοὺς πλείους, ἡμῖν δὲ ἀπὸ τοῦ ἴσου ὁμιλοῦντες, χαλεπώτερον εἰκότως ἔμελλον οἴσειν καὶ πρὸς τὸ πλεῖον ἤδη εἶκον τοῦ ἡμετέρου ἔτι μόνου ἀντισουμένου, ἄλλως τε καὶ ὅσῳ δυνατώτεροι αὐτοὶ αὑτῶν ἐγίγνοντο καὶ ἡμεῖς ἐρημότεροι. τὸ δὲ ἀντίπαλον δέος μόνον πιστὸν ἐς ξυμμαχίαν· ὁ γὰρ παραβαίνειν τι βουλόμενος τῷ
2 μὴ προέχων ἂν ἐπελθεῖν ἀποτρέπεται. αὐτόνομοί τε ἐλείφθημεν οὐ δι' ἄλλο τι ἢ ὅσον αὐτοῖς ἐς τὴν ἀρχὴν εὐπρεπείᾳ τε λόγου καὶ γνώμης μᾶλλον ἐφόδῳ ἢ ἰσχύος τὰ πρά-

---

§ 3. *καθ' ἓν γενόμενοι* zur Einheit, Vereinigung gelangt. vgl. 11, 3. — *δή, δῆθεν.* (Sch.) andeutend was *ὀνόματι* ausspricht. Gr. 69, 17 A. 2 E. — *παραδείγμασι* ist Prädicat: als warnende Beispiele das früher Geschehene vor uns habend. vgl. 11, 3. Gr. 58, 3 A. 1. — *ἐδυνήθησαν. δυνηθεῖεν* Kr. vgl. zu 1, 38, 1. *δυνηθεῖεν* Dobree.

C. 11. § 1. *βεβαιότεροι* zuverlässiger. *ἤτοι ἐπιστεύομεν ἂν αὐτοῖς βεβαίως μηδὲν καινοτομήσειν εἰς ἡμᾶς.* (Sch.) — *καί* vor *πρός*, von Dobree verdächtigt, bezeichnet wohl sogar. — *πρός* drückt ein Verhältniß aus (Kf.): da sogar während die Mehrzahl sich schon unter sie fügt, unser Staat noch allein sich in einem Verhältnisse der Gleichheit erhält. — *τοῦ ἡμετέρου.* Gr. 44, 4 A. 26. — *ὅσῳ* bezieht sich auf *χαλεπώτερον*: unwilliger sein sowohl aus andern Gründen als auch je mehr ꝛc. — *αὐτῶν.* Gr. 49, 3.

§ 2. *ἀντίπαλον δέος* gleichgewichtliche Furcht, d. h. auf einem Gleichgewicht der beiderseitigen Macht beruhende, also auch gegenseitige. vgl. 4, 92, 3. — *πιστὸν ἐς* sichere Garantie für. — *τί* etwas, eine bundesgenossische Bestimmung, Pflicht. — *τῷ μὴ προέχων ἂν ἐπελθεῖν* dadurch, durch die Erwägung, daß er nicht überlegen angreifen würde. (Sch.) — *ὅσον* in wiefern. — *ἐς τὴν ἀρχήν* in Bezug auf die Herrschaft, an *τὰ πράγματα ἐφαίνετο καταληπτά* anzuschließen. (Pp.) Unanstößig wäre der Ausdruck mir nur wenn etwa *εὐπρεπείας τε λόγου ἕνεκα* folgte. — *εὐπρεπείᾳ.* vgl. 3, 82, 9 mit 38, 2. 44, 2 u. zu 1, 37, 3. — *γνώμης* Politik.

γματα ἐφαίνετο καταληπτά. ἅμα μὲν γὰρ μαρτυρίῳ ἔχρῶντο μὴ ἂν τούς γε ἴσοψήφους ἄκοντας, εἰ μή τι ἠδίκουν οἷς ἐπήεσαν, ξυστρατεύειν· ἐν τῷ αὐτῷ δὲ καὶ τὰ κράτιστα ἐπί τε τοὺς ὑποδεεστέρους πρώτους ξυνεπῆγον καὶ τὰ τελευταῖα λιπόντες τοῦ ἄλλου περιῃρημένου ἀσθενέστερα ἔμελλον ἕξειν. εἰ δὲ ἀφ' ἡμῶν ἤρξαντο, ἐχόντων ἔτι τῶν πάντων αὐτῶν τε 3
ἰσχὺν καὶ πρὸς ὅ τι χρὴ στῆναι, οὐκ ἂν ὁμοίως ἐχειρώσαντο. τό τε ναυτικὸν ἡμῶν παρεῖχέ τινα φόβον μή ποτε καθ' ἓν γενόμενον ἢ ὑμῖν ἢ ἄλλῳ τῳ προσθέμενον κίνδυνον σφίσι παράσχῃ. τὰ δὲ καὶ ἀπὸ θεραπείας τοῦ τε κοινοῦ αὐτῶν καὶ τῶν ἀεὶ προεστώτων περιεγιγνόμεθα. οὐ μέντοι ἐπὶ πολύ γ' ἂν ἐδοκοῦμεν δυνηθῆναι, εἰ μὴ ὁ πόλεμος ὅδε κατέσχη, παραδείγμασι χρώμενοι τοῖς ἐς τοὺς ἄλλους. τίς οὖν 12
αὕτη ἢ φιλία ἐγίγνετο ἢ ἐλευθερία πιστὴ ἐν ᾗ παρὰ γνώμην ἀλλήλους ὑπεδεχόμεθα καὶ οἱ μὲν ἡμᾶς ἐν τῷ πολέμῳ δε-

---

— τὰ πράγματα die Macht, Hegemonie. — καταληπτά ergriffbar. vgl. 30, 2. — ἅμα μέν. Dem entſpricht ἐν τῷ αὐτῷ δέ, wie 4, 73, 2. (Py.) — μαρτυρίῳ — ξυστρατεύειν uns, unſer Verhältniß, machten ſie als Zeugniß für ſich geltend, erklärend daß wenigſtens die gleiches Stimmrecht Beſitzenden, wenn auch Andre, wider ihren Willen nicht mit zu Felde ziehen würden, wenn die gegen die ſie auszögen ſich nicht irgendwie vergangen hätten; ihre freiwillige Theilnahme verbürge die Gerechtigkeit der Sache. (Ba. u. Hl.) — ἐν τῷ αὐτῷ damit zugleich, wie 13, 3. — τὰ κράτιστα, τοὺς κρατίστους ἡμᾶς. (Sch.) — ὑποδεεστέρους, ἀσθενεστέρους. (Sch.) — τά. τάδε Kr. Denn der Artikel beim Prädicat läßt ſich hier nicht füglich rechtfertigen; doch kann man ihn auch tilgen und τὰ κράτιστα als Object denken. — τοῦ ἄλλου, τῶν ἄλλων Ἑλλήνων. (Sch.) — περιῃρημένου, κεκρατημένου. (Sch.)

§ 3. αὐτῶν iſt nicht poſſeſſiver ſondern Subjectsgenitiv: εἰ πάντες αὐτοὶ ἰσχὺν εἶχον. Gr. 51, 6 A. 3. — πρὸς ὅ τι χρὴ στῆναι Staaten an die ſie ſich anſchließen konnten. (Sch. u. Hl.) vgl. 4, 56, 4. (Pp.) — προσθέμενον angeſchloſſen. (Ba.) vgl. 8, 48, 4 u. 87, 4. (Py.) — τὰ δέ zum Theil. (Py.) Gr. 50, 1 A. 15. — ἀπὸ θεραπείας durch befliſſene Zuthulichkeit; an die προεστῶτες wohl auch Geſchenke. (Sch.) — περιεγιγνόμεθα wir entkamen (Ba.), blieben verſchont und autonom. — δυνηθῆναι erg. περιγίγνεσθαι. (Sch.) — τοῖς ἐς τοὺς ἄλλους, τεκμήρια ἦν ἡμῖν τὰ πρὸς τοὺς ἄλλους ὑπ' Ἀθηναίων γενόμενα. (Sch.)

C. 12. § 1. ἡ φιλία für ἡ φιλία einige Hſn. — παρὰ γνώμην anders als es uns ums Herz war. (Hl.) — ὑπεδεχόμεθα aufmerkſame Behandlung erwieſen. Py. vermuthet ἀπεδεχόμεθα probabamus, Haaſe ὑπηρχόμεθα. vgl. Aud. 4, 21, Plat. Krit. 53, e, Xen. R. der Ath. 2, 14 u. R. der L. 8, 2: οἱ κράτιστοι καὶ ὑπέρχονται

διότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχεν, δέει τε τὸ πλέον ἢ φι-
2 λίᾳ κατεχόμενοι ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θάρσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. ὥστε εἰ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι καὶ ἀντιμελλῆσαί τι, ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνους ἰέναι· ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι."

13 "Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστά-
2 σεως, ὑμῶν δὲ οὐ προσδεξαμένων κωλυθέντας· νῦν δὲ ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο εὐθὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλή-

---

μάλιστα τὰς ὀρχὰς καὶ τῷ ταπεινοὶ εἶναι μεγαλύνονται. — ὅ τε. Vollſtändig würde die Rede ſein: ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια ποιεῖ (παρέχει), πίστιν βεβαιοῖ. Allein das unweſentliche ποιεῖ bleibt weg und der exegetiſche Satz vermiſcht ſich mit dem Vorhergehenden. Vgl. Gr. 57, 10 A. 11. — κατεχόμενοι zurückgehalten.

§ 2. ἔμελλον. ἐμέλλομεν Kr. Gr. 63, 1 A. 2. — διά bezieht ſich auf ἀδικεῖν: weil jene noch mit den uns zugedachten Feindſeligkeiten verzogen. (Hl.) Ueber die Ge. Gr. 47, 9 A. 6. — ἐκ τοῦ ἴσου, wie 4, 117, 3. (Pp.) vgl. zu 1, 120, 1 u. 143, 3. — ἀντιμελλῆσαι für ἀντεπιμελῆσαι oder ἀντεπιμελλῆσαι ein Sch. Die ganze Stelle verbeſſert Pflugk schedae critt. p. 31, mit ἀντεπιβουλεῦσαι den Vorderſatz ſchließend, ſo: καὶ ἀντιμελλῆσαί τι ἔδει — ἐκ τοῦ ὁμοίου ἐκείνους. νῦν δ' ἐπ' ἐκείνοις ὄντος. — τι, ἔδει für τί ἔδει mit einem Komma nach τι Hl. — ἐπ' verdächtigt Pp. — ἐκείνους ἰέναι für ἐκείνοις εἶναι Kr. Jenes iſt dem ἐπιχειρεῖν ſynonym. Sch.: κινουμένων ἐκείνων κινηθῆναι καὶ ἡμᾶς. vgl. 1, 40, 3. 143, 3. Ueber die Sache vgl. 3, 9, 2 — προαμύνασθαι. vgl. 6, 38, 3.

C. 13. § 1. προφάσεις Gründe für den Abfall in ſofern ſie ausgeſprochen waren, αἰτίας Urſachen. — ἀσφάλειαν Sicherſtellung, Sicherung. — ἔτι gehört zu ἐν τῇ εἰρήνῃ.

§ 2. ἀπόστασιν iſt in Bezug auf ἀπὸ τῶν Ἑλλήνων nur Ab-

νων μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ ἀλλὰ προποιῆσαι. ἡ μέντοι ἀπόστα- 3
σις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. καιρὸς δὲ ὡς οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάρηται Ἀθηναῖοι καὶ χρημάτων δαπάνῃ, 4
νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσίν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται, ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον, ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. νομίσῃ τε μηδεὶς ἀλλοτρίας 5
γῆς πέρι οἰκεῖον κίνδυνον ἕξειν. ᾧ γὰρ δοκεῖ μακρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφελίαν αὐτῷ ἐγγύθεν παρέξει. οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὡς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος τά τε ἡμέτερα προσγενήσεται, πάθοιμέν τ' ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες.

---

laſſen. (Reiske.) Ein Wortſpiel wie es dem ſophiſtiſchen Geſchmacke der Zeit gemäß war. Aehnlich 6, 92, 2. Ueber ἀφίστασθαι ἀπόστασιν Lobeck Parall. p. 517. — ξυγχαλκωσποιεῖν wäre eigentlich in einem Worte zu ſchreiben, wie ſchon Bd. wollte, gleich dem ἀντευποιῶν, ἀντευπείσεται. Gr. 42, 5 A. 3. — προποιῆσαι, nämlich τὸ διαφθεῖραι. (Hl.)

§ 3. ᾗ καὶ μᾶλλον. zu 1, 11, 2. — χρὴ — ἡμᾶς ihr müſſet uns zu Bundesgenoſſen aufnehmen und. (Sch.)

§ 4. ἐφθάρηται, τετάχαται, bei den Attikern nur an den von Matth. § 204, 6 A. 1 nachgewieſenen Stellen vorkommende Formation, bei den Rednern ungebräuchlich, mithin veraltet. — ἐφ' ἡμῖν mit der Abſicht uns zu unterwerfen. — ἀμφοτέρων, Mytilenäern und Lakedämoniern, mit dieſen keinen Kampf wagend.

§ 5. μακράν. Gr. 43, 3 A. 8. — αὐτῷ. Gr. 51, 5 A. 1. — δι' ἣν, ἐν ταύτῃ δι' ἣν. (Gb.) Doch nicht bloß auf Lesbos zu beziehen: der Schauplatz des Krieges überhaupt wird in jeder Gegend ſein ꝛc. — ἀπὸ τῶν ξ. 2, 13, 2. (Py.) — τ' ἄν. τἄν (d. h. τοι ἄν) Elmſl. zu Ar. Ach. 304, hier unpaſſend. — πρίν, vor unſerer Unterjochung. (Hl.) — δουλεύοντες, ὑπήκοοι. zu 1, 98, 2.

6 βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθηναίους ἄνευ καθαιρήσετε ὑφαιρούντες αὐτῶν τοὺς ξυμμάχους, θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται, τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν εἶχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βε-
14 βαιότερον ἕξετε. αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἰκέται ἐσμέν, ἐπαμύνατε Μυτιληναίοις, ξύμμαχοι γενόμενοι καὶ μὴ προῆσθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ καλοῦ θῶσαι ὠφελίαν ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα. γίγνεσθε δὲ ἄνδρες οἱουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι καὶ τὸ ἡμέτερον δέος βούλεται."

15 Τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἦκουσαν, προσδεξάμενοι τοὺς λόγους ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν Ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ Ἰσθμῷ ὡς ὑπερολσοντες ἐκ τῆς Κορίνθου ἐς

---

§ 6. βοηθησάντων. ȝu 2, 83, 3. — καθαιρήσετε. ȝu 1, 4. — ὑφαιροῦντες, κατ' ὀλίγον ἀποσπῶντες. (Sch.) — αἰτίαν ἔχειν Beſchuldigung erleiden, wie 4, 114, 5. 6, 14. 46, 4. vgl. 1, 39, 3. 83, 2. — εἶχετε bisher hattet. Gründen mochte ſich dieſe Beſchuldigung auf 1, 101, 1. 114, 2. (Pp.) — τὸ κράτος τοῦ π., τὸ δύνασθαι περιγενέσθαι τῷ πολέμῳ. (Sch.)

C. 14. ἐς ἡμᾶς. So findet ſich bei Spätern öfter ἐλπίζειν εἰς τινα. (Pp.) — τόν. Gr. 50, 7 A. 10. — ἐν οἷ. Gr. 47, 9 A. 19. — ἴσα adverbial, wie ὁμοῖα 1, 25, 4; weniger auffallend 7, 71, 3. Sonſt der attiſchen Proſa fremd. vgl. Ind. Eur. — καί. Gr. 69, 32 A. 5. — παραβαλλόμενοι neben euch Andern hingebend, ungewöhnlich. Eur. Iph. T. 1094: ἐγώ σοι παραβάλλομαι θρήνους. — ἀξιοῦσι, γίγνεσθαι. Gr. 55, 4 A. 11.

C. 15. ἐσβολήν hängt von ὡς ποιησόμενοι ab. (Hl.) vgl. 7, 17, 1. — ἔφραζον ἰέναι. Gr. 55, 3 A. 13. vgl. 6, 58, 2. 7, 73, 4. — τοῖς δύο μ. ȝu 2, 10, 1. — ὁλκοὶ ὄργανά εἰσιν οἷς αἱ νῆες ἕλκονται. (Sch.) — ὑπερολσοντες, der eigentliche Ausdruck. vgl. 3, 81, 1. 4, 8, 1. 8, 7, 2. (Hf.) vgl. Wachsmuth Hell. Alterth. 2, 1 S. 422. Spätere ὑπερνωλκεῖν. (Pp.) — τῶν der 2, 92, 4. 93, 1 ꝛc.

τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον, οἱ δὲ ἄλλοι ξύμμαχοι βραδέως τε ξυνελέγοντο καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν καὶ ἀρρωστίᾳ τοῦ στρατεύειν. αἰσθόμενοι δὲ αὐτοὺς 16
οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν ἀλλ' οἷοί τέ εἰσι μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατόν, ἐσβάντες αὐτοί τε πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων καὶ οἱ μέτοικοι, καὶ παρὰ τὸν Ἰσθμὸν ἀναγαγόντες ἐπίδειξίν τε ἐποιοῦντο καὶ ἀποβάσεις τῆς Πελοποννήσου ᾗ δοκοῖ αὐτοῖς. οἱ δὲ Λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν 2
παράλογον τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ καὶ ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἴκου. ὕστερον δὲ ναυτικὸν πα- 3
ρεσκεύαζον ὅ τι πέμψουσιν ἐς τὴν Λέσβον καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσίν, ἐπειδὴ καὶ ἐκείνους εἶδον.

---

nähnten. (Pp.) — καρποῦ. Gr. 44, 1 A. 1. vgl. 4, 84, 2. 88, 1. (Pp.) Ohne Artikel, weil es mit ξυγκομιδῇ gleichsam ein Compositum bildet. Anders Isokr. 7, 30: τὴν συγκομιδὴν τῶν καρπῶν. — ἀρρωστίᾳ Schlafheit, Unluſt. (Sch.) vgl. 7, 47, 1. 8, 83, 1. (Pp.) So ἄρρωστος Xen. Oek. 4, 2 u. Apol. 30. (Bl.)

C. 16. § 1. κατάγνωσιν gegen ſie gefaßtes Urtheil, wie καταγιγνώσκειν 3, 45, 1. 6, 34, 7. 7, 51, 1 u. καταφρονεῖν 8, 8, 3. vgl. zu 3, 83, 2. — αὐτοί, die ζευγῖται u. θῆτες, indem die Ritter als Reiter, die Pentakoſiomedimnen als Hopliten dienten. — παρὰ τὸν I. gehört zu ἐπίδειξιν ἐποιοῦντο. (Pp.) — ἀναγαγόντες, τὰς ναῦς, alſo nicht für ἀναγόμενοι. — ἐπίδειξιν, τῶν νεῶν. (Pp.) — τῆς Πελοποννήσου hängt von ᾗ ab.

§ 2. παράλογον. zu 1, 78, 1. — ἄπορα die Verhältniſſe für ſchwierig, wie ἄπορα ἦν. (Sch.) vgl. zu 2, 3, 3. Sonderbar ergänzt Pp. aus ῥηθέντα die Aufträge, Geheiße der Mytilenäer. — νῆες 3, 7, 1. — πορθοῦσαι. Gr. 56, 7 A. 3.

§ 3. πέμψουσιν. Gr. 53, 7 A. 8. — κατὰ πόλεις ſtädteweiſe ein betreffendes Contingent. — ἐπήγγελλον, ἐπέτασσον. (Suid.) vgl. 7, 17, 1. 8, 108, 3. (Arn.) Xen. Cyr. 7, 4, 2: στρατείας, ὁπότε δέοιτο, ἐπήγγελλεν αὐτοῖς. — ἐπιπλεύσεσθαι. ἐπι — zu den ſchon dort befindlichen? — εἶδον, ἀναχωρήσαντας (Sch.) zu 1, 80, 1.

17 *Καὶ κατὰ τὸν χρόνον τοῦτον ὃν αἱ νῆες ἔπλεον ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν, χωρὶς δὲ αἱ περὶ Ποτίδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις, ὥστε αἱ πᾶσαι ἅμα*
2 *ἐγίγνοντο ἐν ἐνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν, αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας, τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν, ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον· νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τὸ πρῶτον καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν.*

18 *Μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν Ἰσθμὸν ἦσαν ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε καὶ οἱ ἐπίκουροι· καὶ*

C. 17. § 1. *ὃν* hängt wie 18, 1 noch von *κατά* ab. vgl. zu 1, 28, 2. — *ἐν τοῖς.* zu 1, 6, 2. — *αὐτοῖς* gehört zu *ἐγένοντο.* (Ba.) — *ἐνεργοὶ κάλλει* durch ſchöne Beſchaffenheit wirkſam und in Thätigkeit erklärt man; was die Worte kaum geſtatten. Vielleicht: an Schönheit die meiſten, nie ſo viele ſchöne Schiffe. Doch ſcheint hier ein Fehler zu ſtecken; vielleicht eine Lücke. vgl. 6, 32, 1 f. — *καί* (vor *ἔτι*), wie 7, 19, 2. (Hl.) — *ἑκατὸν ἐφύλασσον* 2, 24, 2. — *ἕτεραι ἑκατόν* 2, 17, 3 u. 23, 1. Aber noch dreißig 3, 7, 1 u. 16, 2; vierzig bei Lesbos 3, 3, 2; andere noch bei Potidäa wie an andern Orten und doch nur überhaupt zwei hundert und funfzig? (Pp.) — *πεντήκοντα. ἐνενήκοντα* Bl., *ὀγδοήκοντα* (π' für ν') Kr.

§ 2. *τά* mit Bezug auf die Darſtellung 2, 13, 2. (Hk.) — *ὑπανάλωσε* conſumirte unvermerkt. — *ἐφρούρουν* ſchloſſen ein mit Bezug auf die Bewachung der Belagerungswerke. vgl. 3, 21, 2. (Kiſt.) — *ἐλάμβανε* erg. *ὁ ὁπλίτης.* Gr. 61, 4 A. 1. — *τρισχίλιοι* 1, 61, 3. vgl. 64, 1. 2, 58, 3. — *διεπολιόρκησαν, ἐμεινάν ἕως ἁλώσεως τῆς πόλεως πολιορκοῦντες.* (Sch.) — *τὸν αὐτὸν μισθόν,* eine Drachme auf den Mann, Epibaten wie Matroſen. Böckh Staatshaushaltung der Ath. 2, 22 S. 297. — *ἔφερον* mit Bezug auf den Geber, *φέρεσθαι* rückſichtlich des Empfängers geſagt, dies alſo den Vortheil des Subjects andeutend. Gr. 52, 10 A. 4. vgl. 6, 24, 3 u. 8, 97, 1. *Φέρεσθαι μισθόν* findet ſich bei Th. nicht.

C. 18. § 1. *προδιδομένην* mit Bezug auf den ſchon im Werke begriffenen, vorbereiteten Verrath. (Pp.) — *οἱ ἐπίκουροι,* die

προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προὐχώρει ἤ προσεδέχοντο, ἀπῆλθον ἐπ' Ἄντισσης καὶ Πύρρας καὶ Ἐρέσου, καὶ κατασησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα καὶ τείχη κρατύναντες διὰ τάχους ἀπῆλθον ἐπ' οἶκον. ἐστράτευσαν δὲ 2
καὶ οἱ Μηθυμναῖοι ἀναχωρησάντων αὐτῶν ἐπ' Ἄντισσαν, καὶ ἐκβοηθείας τινὸς γενομένης πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων ἀπέθανόν τε πολλοὶ καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος. οἱ δὲ Ἀθηναῖοι πυνθανόμενοι ταῦτα, τούς τε Μυτιληναίους τῆς γῆς κρατοῦντας καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον Πάχητα τὸν Ἐπικούρου στρατηγὸν καὶ χιλίους ὁπλίτας ἑαυτῶν. οἱ δὲ αὐτε- 3
ρέται πλεύσαντες τῶν νεῶν ἀφικνοῦνται καὶ περιτειχίζουσι Μυτιλήνην ἐν κύκλῳ ἁπλῷ τείχει· φρούρια δ' ἔστιν ἤ ἐπὶ ιῶν καρτερῶν ἐγκατῳκοδόμηται. καὶ ἡ μὲν Μυτιλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωϑεν καὶ ἐκ γῆς καὶ ἐκ ϑαλάσσης εἴργετο καὶ ὁ χειμὼν ἤρχετο γίγνεσϑαι· προσδεόμενοι δὲ οἱ 19
Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν καὶ αὐτοὶ ἐσενεγκόν-

3, 5, 1 u. 6, 1 erwähnten. (Pp.) — *προὐχώρει*. zu 1, 74, 4. — *Ἐρέσου*, was auch hier einige Hſn. mit Einem *σ* haben beſtätigen Münzen und andre Zeugniſſe. Steph. Theſ. u. d. W. Proparoxytonon iſt das Wort nach Arcad. p. 76. (Pp.)

§ 2. *ἐκβοηϑείας* Ausfall. vgl. 1, 105, 5. (Kiſt.) — *πληγέντες, μεγάλως νικηϑέντες· πληγὴ γὰρ κατὰ πόλεμον καὶ τραῦμα ἡ ἰσχυρὰ ἧττα.* (Sch.) beſtätigt durch 4, 108, 4. 8, 38, 2. Her. 5, 120. Auffallend daß es in dieſer Beziehung von Attikern ſonſt ſo wenig gebraucht iſt, wohl aber findet es ſich ſo öfter wieder bei Spätern. — *ταῦτα, κρατοῦντας.* Soph. Phil. 1355: *πῶς ταῦτ' ἐξανασχήσεσϑε, τοῖσιν Ἀτρέως ἐμὲ ξυνόντα παισίν.* Ar. Wo. 380: *τοντὶ μ' ἐλελήϑη, ὁ Ζεὺς οὐκ ὤν.* (Matthiä.) Eine beim Particip ſeltene Epexegeſe. — *εἴργειν* müßte nach Buttmann *εἰργνύναι* heißen, was Plat. Tim. 45 u. 85 gebraucht, ſonſt meines Wiſſens Attiker nicht; *εἰργνύω* And. 4, 27. — *ἐν κύκλῳ* auch 3, 74. 2, *κύκλῳ* ohne *ἐν* 1, 106. 2, 78, 1. 84, 1. 3, 68, 2. 4, 90, 2. 5, 7, 2. 114. 7, 79, 3. 81, 5.

§ 3. *αὐτερέται*. zu 1, 10, 6; hier iſt es nicht mit *οἱ* zu verbinden ſondern als Prädicat mit *πλεύσαντες*. — *ἔστιν ἤ*. Gr. 61, 5 A. 5. — *ἐγκατῳκοδόμηται*. den Ao. oder das Ipf. vermuthet Pp.; *ἐγκατῳκοδομεῖται* möchte ich mit Bl. nach Va.: excitant, oder *ἐγκατῳκοδόμησαν*. Das *ἐν* beziehe ich, wie Pp., auf das Anſchließen an das *ἁπλοῦν τεῖχος*.

C. 19. § 1. *αὐτοί* im Gegenſatze zu dem folgenden *καὶ ἐπὶ τοὺς ξυμμάχους*, nicht etwa zu frühern Steuern der Bundesgenoſſen. —

τες τότε πρῶτον ἐσφορὰν διακόσια τάλαντα ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα καὶ Λυσι-
2 κλέα πέμπτον αὐτὸν στρατηγόν. ὃ δὲ ἄλλα τε ἠργυρολόγει καὶ περιέπλει καὶ τῆς Καρίας ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίου μέχρι τοῦ Σανδίου λόφου ἐπιθεμένων τῶν Καρῶν καὶ Ἀναιτιτῶν αὐτός τε διαφθείρεται καὶ τῆς [ἄλλης] στρατιᾶς πολλοί.

20 Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Πλαταιῆς — ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν — ἐπειδὴ τῷ τε σίτῳ ἐπιλιπόντι ἐπιέζοντο καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένου τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου, ἀνδρὸς μάντεως, καὶ
2 Εὐμολπίδου τοῦ Λαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως τὸν κίνδυνον, μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοιῷδε. κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν

τότε πρῶτον kann doch ganz wohl nur mit Bezug auf die Zeit dieses Krieges gesagt sein, da noch 3, 17, 2 vorschwebt. — ἐσφορὰν δ. τάλαντα. zu 1, 96, 2. — ἀργυρολόγους. vgl. 4, 50, 1. 75, 1, Ar. Ri. 1071. — Λυσικλέα. Plut. Per. 24 u. Kr. z. Dion. p. 328. — ἄλλης fehlt in einigen guten Hss. vgl. 2, 69 und 3, 7, 3. Verschieden ist 3, 112, 2.

§ 2. ἄλλα. zu 2, 69. — Ἀναιτιτῶν. Kr. eb.

C. 20. § 1. τιμωρίας. zu 1, 25, 1. — Ἀθηναίων 2, 6, 3 u. 78, 3. — ἐπιβουλεύουσιν ἐξελθεῖν. Kr. zu Xen. An. 5, 6, 29. — ἐσηγησαμένου angeben, anleiten. vgl. 6, 90, 1 u. 7, 73, 1. (Pp.) Xen. Hell. 1, 6, 9: εἰσηγοῦντο πόρον χρημάτων. Polyb. 11, 25, 8: λύσιν εἰσηγεῖτο. (Bl.) — ἐστρατήγει Feldherr war. Denn von der bloßen Führung dieses Zuges würde Th. wohl, wie 22, 1, ἡγοῦντο gesagt haben.

§ 2. τὸν κίνδυνον ist mit ἀπώκνησαν zu verbinden. vgl. 3, 30, 2; μέγαν mit ἡγησάμενοι. (Bl.) Denn hätte Th. beides mit ἡγησάμενοι verbinden wollen, so würde er μέγαν ἡγ. τὸν κίνδυνον gestellt haben. — μέγαν zu groß. Gr. 49, 1. — τῇ ἐξόδῳ bei dem Entschlusse zum Ausbruche. (Ba.) — τρόπῳ τοιῷδε kurz für: der auf folgende Weise vorbereitet wurde. — ἐς δ. Gr. 60, 8 A. 1. — ξυνεμετρήσαντο. zu 2, 76, 1. vgl. Her. 4, 158: συμμετρησάμενοι τὴν ὥρην τῆς ἡμέρης. — ἐπιβολαῖς Lagen, Schichten.

πλίνθων, ἦ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος
αὐτῶν. ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς, καὶ ἔμελ- 3
λον οἱ μέν τινες ἁμαρτήσεσθαι οἱ δὲ πλείους τεύξεσθαι τοῦ
ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες καὶ
ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ
ἐβούλοντο τοῦ τείχους. τὴν μὲν οὖν ξυμμέτρησιν τῶν πλι-
νθίων οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες
τὸ μέτρον· τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ 21
οἰκοδομήσει. εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλα-
ταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι, διεῖχον δὲ οἱ
περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων. τὸ οὖν
μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα
διανενεμημένα ᾠκοδόμητο, καὶ ἦν ξυνεχῆ ὥστε ἓν φαίνεσθαι
τεῖχος παχὺ ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. διὰ δέκα δὲ ἐπάλ- 2
ξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκον-
τες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ καὶ οἱ αὐτοὶ καὶ [ἐς] τὸ
ἔξω, ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν
μέσων διῆσαν. τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερός,

---

§ 3. ἠριθμοῦντο. Gr. 52, 8 A. 4. vgl. Plat. Phädr. 270. — ἔμελλον. Gr. 53, 7 A. 1. — ἁπέχοντες. ἀπέχοντος Didot, nicht übel. — καθορωμένου erg. τούτου. (Py.) vgl. Gr. 47, 4 A. 3. — ἐβούλοντο hin wollten, zu gehen gedachten. (Bl.) Kr. zu Xen. An. 5, 6, 31. — τοῦ τείχους hängt von ἐς ὅ ab. Gr. 47, 9 A. 5. — ἔλαβον. Plut. Nem. P. 15: μεθόδῳ καὶ δι' ὀργάνων ἔλληναι δοκεῖ τὴν μέτρησιν. Ein seltener Gebrauch. (Py.) — εἰκάσαντες. Gr. 59, 1 A. 7.

C. 21. § 1. δύο τούς. Gr. 50, 11 A. 1. vgl. Herodt. 1, 9, 9: δύο τοὺς ἐπάρχους καταστήσας. — πρός. zu 1, 62, 1. — εἴ τις eine zweite für den Fall daß. Ueber die Verbindung Gr. 59, 2 A. 4. „Die Aufführung zweier Mauern war in dem angegebenen Falle gewöhnlich." (Dr.) — οἰκήματα ist Prädicat: zu Wohnungen. — διανενεμημένα. Gr. 63, 6 A. — ᾠκοδόμητο war bebaut, doch wohl eig. mehr durch οἰκήματα veranlaßt als zu τὸ μεταξὺ passend. — ἦν ξυνεχῆ, τὰ οἰκήματα δηλονότι. (Sch.) Wohl vielmehr: beide Mauern hingen durch die Hütten so zusammen.

§ 2. διά jedesmal nach einem Zwischenraume von. (Sch.) vgl. zu 2, 29, 3. — τῷ τείχει der Doppelmauer, also den Zwischenraum von sechzehn Fuß mit ausfüllend, διήκοντες. (Hf.) — καὶ ἐς τό. καὶ τό die besten Hss., hier doch hart. — αὐτῶν, τῶν πύργων, vermittelst darin angebrachter Thüren, διοδοι 23, 1, während πάροδος hier einen Gang neben den Thürmen bezeichnet. — διῆσαν, οἱ φύλακες. —

τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων, ὄντων δι' ὀλίγου καὶ ἄνωθεν στεγανῶν, τὴν φυλακὴν ἐποιοῦντο.

22 Τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς τοιοῦτον ἦν· οἱ δ', ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ καὶ ἅμ' ἀσέληνον ἐξῆσαν· ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν ἣ περιεῖχεν αὐτούς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων, λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακου-
2 σάντων· ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. κατὰ οὖν μετα-πύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλιμακας φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἡγεῖτο Ἀμμέας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη.
3 μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἐξ ἑφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον. ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δοραπίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς

χειμών Unwetter. — νοτερός, ὑγρος καὶ ὑετὸν ἔχων. (Sch.) — δι' ὀλίγου, διὰ δέκα ἐπάλξεων μόνον. (Sch.)

C. VV. § 1. παρεσκεύαστο. zu 1, 46, 1. — ὕδατι Regen, mit Schnee gemiſcht nach 23, 5. (Py.) — ἀνὰ — αὐτῶν da ſie bei der Dunkelheit nicht vor ſich ſehen konnten. — αὐτῶν, τῶν φυλάκων. Gr. 47, 4 A. 2. — ψόφῳ hängt von ἀντιπαταγοῦντος ab, das den Grund des οὐ κατακουσάντων angibt. — ἀντιπαταγεῖν etwas verſchieden bei Ach. T. 3, 2.

§ 2. πολύ verdächtigt Kr. — μή hier ſtehend bezieht ſich Klotz auch auf κρουόμενα. zu 1, 12, 1. — αἴσθησιν παρέχοι. Kr. zu Xen. An. 4, 6, 13. — εὐσταλεῖς, κούφην ὅπλισιν περιβεβλημένοι. (Sch.) — τὸν ἀριστερόν als Stützpunct des Körpers beim Gebrauch der Rechten, während der rechte barfuß an Leichtigkeit gewann. (Wa.) — μεταπύργιον auch 23, 2 und bei Lyſias nach Harpokr., Suid. u. Phot.: τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων. Sonſt μεσοπύργιον, obwohl dies nur bei Spätern. Lobeck z. Phryn. p. 194 f.

§ 3. οἱ ἑπόμενοι ἐξ die Nachfolgenden, nämlich je ſechs. vgl. zu Xen. An. 1, 2, 3. — τῶν der bezüglichen, die das erwähnte

πολεμίοις εἴησαν. ὡς δὲ ἄνω πλείους ἐγένοντο, ἤθροντο οἱ ἐκ τῶν πύργων φύλακες· κατέβαλε γάρ τις τῶν Πλαταιῶν ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμῖδα, ἣ πεσοῦσα δοῦπον ἐποίησεν. καὶ αὐτίκα βοὴ ἦν, τὸ δὲ στρατόπεδον ἐπὶ 4
τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ἤδει ὅ τι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς καὶ χειμῶνος ὄντος, καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιῶν ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν Πελοποννησίων ἐκ τοὐμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἐτόλμα ἐκ τῆς ἑαυτῶν φυλακῆς, ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο πα- 5
ραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν. φρυκτοί τε ἤροντο ἐς τὰς Θήβας πολέμιοι· παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς πρότερον πυρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.

μεταπύργιον einſchloſſen. (Vp.) — οἱ ἐκ. Gr. 50, 8 A. 17. vgl. zu 29, 1. — δοῦπος für ψόφος eine Hſ., poetiſch; doch auch bei Xen. An. 1, 8, 18 δουπεῖν.

§ 4. ἐπί auf, jeder an ſeine Stelle. (Hk.) — τὸ δεινόν die ſich kundgebende Gefahr. — τῶν Πλαταιῶν hängt von οἱ ὑπολελειμμένοι ab. vgl. zu 1, 126, 6. — ᾗ für ᾗπερ mehrere und einige gute Hſn.: von der entgegengeſetzten Seite als wo. vgl. 7, 80, 1. — ἑαυτῶν. αὐτῶν einige Hſn. vgl. Gr. 47, 9 A. 12 u. 58, 4 A. 3. — ἐν ἀπόρῳ. zu 1, 25, 1. — εἰκάσαι durch Vermuthungen entdecken.

§ 5. οἱ τριακόσιοι. Der Artikel mit Bezug auf das Relativ wie 3, 3, 3. (Arn.) — ἐτέτακτο. ἐπετέτακτο Kr. Denn Th. gebraucht das Simplex nie ſo und auch was aus Andern angeführt wird iſt verſchieden. — ἔξω. ἔξωθεν mehrere Hſn. was doch mit einem Verbum der Bewegung ſchwerlich ſo flatthaft iſt. — φρυκτούς. δηλονότι φιλίους· οἱ γὰρ φίλιοι ἀνεπείνοντο καιόμενοι μὲν ἱστάμενοι δέ· οἱ δὲ πολέμιοι, καιόμενοι μὲν καὶ αὐτοί, σειόμενοι δὲ ὑπὸ τῶν ἀνατεινόντων· κίνησις γὰρ ὁ πόλεμος. (Sch.) vgl. zu 2, 94, 1. — ᾗ καὶ βοηθοῖεν. Gr. 54, 8 A. 2. vgl. 6, 96, 3. 7, 17, 3. — ἀντιλάβοιντο erreicht hätten. vgl. 4, 128, 2. 7, 60, 2. 77, 6. (Vp.)

23 Οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιῶν ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθείραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐτῶν ἐπιβοη-
2 θεῖν, καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλοντες, οἱ δ' ἐν τούτῳ οἱ πλείους πολλὰς προσθέντες κλίμακας ἅμα καὶ τὰς ἐπάλξεις ἀπώσαντες διὰ τοῦ μετα-
3 πυργίου ὑπερέβαινον. ὁ δὲ διακομιζόμενος ἀεὶ ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴ τις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. ἐπεὶ δὲ πάντες διεπεπεραίωντο, οἱ ἀπὸ τῶν πύργων χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον, καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο
4 λαμπάδας ἔχοντες. οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἑώρων μᾶλλον ἐκ τοῦ σκότους ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά, αὐτοὶ δὲ ἐν

C. 22. § 1. οἱ ὑπερβαίνοντες die beim Uebergange begriffenen, alſo auch die welche die Mauer noch nicht ſo wie die welche ſie ſchon erſtiegen hatten. Nach Pp. bezeichnete οἱ ὑπερβαίνοντες das Ganze, οἱ μὲν, οἱ δέ die Theile, ſo v. a. τῶν ὑπερβαινόντων οἱ μὲν — οἱ δὲ vgl. zu 1 2, 3; die Worte hingen ſo zuſammen: οἱ ὑπερβαίνοντες καὶ κλίμακας προσθέντες καὶ ἐπαναβιβάσαντες ἄνδρας (ἑαυτῶν) πλείους οἱ μὲν εἶργον. Allein der Artikel müßte dann auch zu προσθέντες und ἐπαναβιβάσαντες gedacht werden, was unpaſſend wäre. Natürlicher iſt ἐφύλασσον als Verbum zu ὑπερβαίνοντες zu nehmen. — διόδους. zu 21, 2. — αὐτοί nicht Alle ſondern welche aus ihrer Mitte. vgl. zu 1, 100, 3. — ἐπιβοηθεῖν. Gr. 55, 3 A. 20.

§ 2. ἀπὸ τῶν πύργων verbinde ich mit εἶργον: ſie hielten die heranbringenden Feinde, auf die ſie von unten und oben ſchoſſen, von den Thürmen ab. — ἅμα gehört zu beiden Participien.

§ 3. ἀεί jedesmal kann auch bei dieſer Stellung zum Partizip gehören. Kr. z. Dion. p. 252. Gr. 50, 10 A. 5. — τῆς τάφρου hier des äußern. vgl. 2, 78, 1. (Pp.) — κωλυτὴς γίγνοιτο für κωλύοι, wie 1, 35, 3 u. 8, 86, 3. Aehnlich μηνυτὴς γίγνεται 1, 132, 6. 3, 2, 2. Beides von Dionyſ. H. nachgeahmt. (Dr. u. Pp.) — οἱ τελευταῖοι appoſitiv, wie οἱ δυνατώτατοι 1, 2, 3. (Kr.) Bl. u. Arn. ſetzen nach πύργων und τελευταῖοι Kommata.

§ 4. μᾶλλον mit Bezug auf ἧσσον καθεωρῶντο. — τὰ γυμνά die von Schutzwaffen nicht gedeckten Theile, beſonders die rechte

ιῷ ἀφανεῖ ὄντες ἧσσον διὰ τὰς λαμπάδας καθεωρῶντο, ὥστε φθάνουσι τῶν Πλαταιῶν καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως· κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ ὥστ' ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου ἢ βορέου ὑδατώδης μᾶλλον, καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονειφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. ἐγένετο δὲ καὶ ἡ διαφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

Ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς ἐχώρουν 24
ἁθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδόν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ἀνδροκράτους ἡρῷον, νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνά καὶ Δρυὸς κεφαλὰς τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς 2

Seite. vgl. 5, 10, 4. 71, 1 u. Gr. 43, 4 A. 20. — βιαίως von den Feinden gedrängt. (Bl.) vgl. zu 2, 33, 3.

§ 5. ἐπελθεῖν, διαβραμεῖν. (Sch.) — οἷος — μᾶλλον wäſſerig, wie es vielmehr beim Oſt- als beim Nordwinde zu ſein pflegt will man nach dem Sch. und Ba. erklären, der Sache wegen die Worte renkend. — ἀπηλιώτης neben ἀφηλιώτης auch in der gewöhnlichen Sprache. Lobeck zu Soph. Aj. 805. Der Genitiv wie ἠπείρας, νυκτός ꝛc. Gr. 47, 2 A. 1. — βορέου. εὔρου? Das Eis beim Nordwinde pflegt feſt zu ſein; nicht ſo beim Oſt- und Südoſtwinde, bei denen es meiſt gar nicht geſtiert. Bei der La. βορέου wäre auch τοιούτῳ ſeltſam, ſo lautend als ob zwiſchen dem Nord- und dem Oſtwinde eben kein großer Unterſchied wäre. — ὑπονειφομένη für ὑπονιφομένη die beſten Hſn., wie auch 4, 103, 2. „Poetiſch, ja lyriſch klingt der Ausdruck νὺξ ὑπονειφομένη." (Bl.) — ὑπερέχοντες erg. αὐτοῦ, τοῦ ὕδατος (Bl.), darüber hervorragend, etwa mit dem Köpfen. — διάφευξις haben auch Dio C. und Plut. gebraucht. vgl. Steph. Theſ. καταφευξις τ, 38, 3. (Pp.)

C. 24. § 1. τὸ τοῦ Ἀ. ἡρῶον. vgl. Her. 9, 25. (Wa.) — σφᾶς, τοὺς Πλαταιέας. Nothwendig wird das Pron. dem Inf. beigefügt, wenn er nicht direct vom Hauptverbum, ſondern von einem andern Inf. abhängt: νομίζοντες αὐτοὺς ὑποτοπῆσαι ἥκιστα σφᾶς ταύτην τραπέσθαι. Dem. 30, 23: τοὺς μὲν ὄντας οἰκείους οὐκ ἐδύναντο πεῖσαι τὴν προίκ' ἀποδεδωκέναι σφᾶς μαρτυρεῖν. Plat. Rep. 381, e: ἡμῖν ποιοῦσι δοκεῖν σφᾶς παντοδαπούς φαίνεσθαι. (Arndt.) — τραπέσθαι zu 1, 81, 2. — Δρυὸς κ. Böotiſch Τρεῖς κ. Her. 9, 39. (Pp.) — Ἐρύθρας mit äoliſcher Betonung. vgl. Göttling Acc. S. 112 u. Spitzner zu Il. β, 499. (Pp.)

διότες ἐθεράπευον, ἡμεῖς δὲ ἐκείνους ἐν τῇ ἡσυχίᾳ τὸ αὐτὸ ἐποιοῦμεν· ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια πίστιν βεβαιοῖ, ἡμῖν τοῦτο ὁ φόβος ἐχυρὸν παρεῖχεν, δέει τε τὸ πλέον ἢ φι-
2 λίᾳ κατεχόμενοι ξύμμαχοι ἦμεν· καὶ ὁποτέροις θᾶσσον παράσχοι ἀσφάλεια θάρσος, οὗτοι πρότεροί τι καὶ παραβήσεσθαι ἔμελλον. ὥστε εἴ τῳ δοκοῦμεν ἀδικεῖν προαποστάντες διὰ τὴν ἐκείνων μέλλησιν τῶν ἐς ἡμᾶς δεινῶν, αὐτοὶ οὐκ ἀνταναμείναντες σαφῶς εἰδέναι εἴ τι αὐτῶν ἔσται, οὐκ ὀρθῶς σκοπεῖ. εἰ γὰρ δυνατοὶ ἦμεν ἐκ τοῦ ἴσου καὶ ἀντεπιβουλεῦσαι καὶ ἀντιμελλῆσαί τι, ἔδει ἡμᾶς ἐκ τοῦ ὁμοίου ἐπ' ἐκείνους ἰέναι· ἐπ' ἐκείνοις δὲ ὄντος ἀεὶ τοῦ ἐπιχειρεῖν καὶ ἐφ' ἡμῖν εἶναι δεῖ τὸ προαμύνασθαι."

13 "Τοιαύτας ἔχοντες προφάσεις καὶ αἰτίας, ὦ Λακεδαιμόνιοι καὶ ξύμμαχοι, ἀπέστημεν, σαφεῖς μὲν τοῖς ἀκούουσι γνῶναι ὡς εἰκότως ἐδράσαμεν, ἱκανὰς δὲ ἡμᾶς ἐκφοβῆσαι καὶ πρὸς ἀσφάλειάν τινα τρέψαι, βουλομένους μὲν καὶ πάλαι, ὅτε ἔτι ἐν τῇ εἰρήνῃ ἐπέμψαμεν ὡς ὑμᾶς περὶ ἀποστά-
2 σεως, ὑμῶν δὲ οὐ προσδεξαμένων κωλυθέντας· νῦν δὲ ἐπειδὴ Βοιωτοὶ προὐκαλέσαντο εὐθὺς ὑπηκούσαμεν, καὶ ἐνομίζομεν ἀποστήσεσθαι διπλῆν ἀπόστασιν, ἀπό τε τῶν Ἑλλή-

---

μάλιστα τὰς ὀρχὰς καὶ τῷ ταπεινοὺς εἶναι μεγαλύνονται. — ὅ τε. Bells ständig würde die Rede sein: ὅ τε τοῖς ἄλλοις μάλιστα εὔνοια ποιεῖ (παρέχει), πίστιν βεβαιοῖ. Allein das unwesentliche ποιεῖ bleibt weg und der exegetische Satz vermischt sich mit dem Vorhergehenden. Vgl. Gr. 57, 10 A. 11. — κατεχόμενοι zurückgehalten.

§ 2. ἔμελλον. ἐμέλλομεν Kr. Gr. 63, 1 A. 2. — διά bezieht sich auf ἀδικεῖν: weil jene noch mit den uns zugedachten Feindseligkeiten verzogen. (Hl.) Ueber die Ge. Gr. 47, 9 A. 6. — ἐκ τοῦ ἴσου, wie 4, 117, 3. (Pp.) vgl. zu 1, 120, 1 u. 143, 3. — ἀντιμελλῆσαι für ἀντεπιμελῆσαι oder ἀντεπιμελλῆσαι ein Sch. Die ganze Stelle verbesserte Pflugk schedae critt. p. 31, mit ἀντεπιβουλεῦσαι den Vordersatz schließend, so: καὶ ἀντιμελλῆσαί τι ἔδει — ἐκ τοῦ ὁμοίου ἐκείνοις. νῦν δ' ἐπ' ἐκείνοις ὄντος. — τι, ἔδει für τι ἔδει mit einem Komma nach τι Hl. — ἐπ' verdächtigt Pp. — ἐκείνους ἰέναι für ἐκείνοις εἶναι Kr. Jenes ist dem ἐπιχειρεῖν synonym. Sch.: κινουμένων ἐκείνων κινηθῆναι καὶ ἡμᾶς. vgl. 1, 40, 3. 143, 3. Ueber die Sache vgl. 3, 9, 2 — προαμύνασθαι. vgl. 6, 38, 3.

C. 13. § 1. προφάσεις Gründe für den Abfall in sofern sie ausgesprochen waren, αἰτίας Ursachen. — ἀσφάλειαν Sicherstellung, Sicherung. — ἔτι gehört zu ἐν τῇ εἰρήνῃ.

§ 2. ἀπόστασιν ist in Bezug auf ἀπὸ τῶν Ἑλλήνων nur Ab-

νων μὴ ξὺν κακῶς ποιεῖν αὐτοὺς μετ' Ἀθηναίων ἀλλὰ ξυνελευθεροῦν, ἀπό τε Ἀθηναίων μὴ αὐτοὶ διαφθαρῆναι ὑπ' ἐκείνων ἐν ὑστέρῳ ἀλλὰ προποιῆσαι. ἡ μέντοι ἀπόστασις ἡμῶν θᾶσσον γεγένηται καὶ ἀπαράσκευος· ᾗ καὶ μᾶλλον χρὴ ξυμμάχους δεξαμένους ἡμᾶς διὰ ταχέων βοήθειαν ἀποστέλλειν, ἵνα φαίνησθε ἀμύνοντές τε οἷς δεῖ καὶ ἐν τῷ αὐτῷ τοὺς πολεμίους βλάπτοντες. καιρὸς δὲ ὡς οὔπω πρότερον. νόσῳ τε γὰρ ἐφθάρηται Ἀθηναῖοι καὶ χρημάτων δαπάνῃ, 4 νῆές τε αὐτοῖς αἱ μὲν περὶ τὴν ὑμετέραν εἰσίν, αἱ δ' ἐφ' ἡμῖν τετάχαται, ὥστε οὐκ εἰκὸς αὐτοὺς περιουσίαν νεῶν ἔχειν, ἣν ὑμεῖς ἐν τῷ θέρει τῷδε ναυσί τε καὶ πεζῷ ἅμα ἐπεσβάλητε τὸ δεύτερον, ἀλλ' ἢ ὑμᾶς οὐκ ἀμυνοῦνται ἐπιπλέοντας ἢ ἀπ' ἀμφοτέρων ἀποχωρήσονται. νομίσῃ τε μηδεὶς ἀλλοτρίας 5 γῆς πέρι οἰκεῖον κίνδυνον ἕξειν. ᾧ γὰρ δοκεῖ μαχρὰν ἀπεῖναι ἡ Λέσβος, τὴν ὠφελίαν αὐτῷ ἐγγύθεν παρέξει. οὐ γὰρ ἐν τῇ Ἀττικῇ ἔσται ὁ πόλεμος, ὥς τις οἴεται, ἀλλὰ δι' ἣν ἡ Ἀττικὴ ὠφελεῖται. ἔστι δὲ τῶν χρημάτων ἀπὸ τῶν ξυμμάχων ἡ πρόσοδος, καὶ ἔτι μείζων ἔσται, εἰ ἡμᾶς καταστρέψονται· οὔτε γὰρ ἀποστήσεται ἄλλος τά τε ἡμέτερα προσγενήσεται, πάθοιμέν τ' ἂν δεινότερα ἢ οἱ πρὶν δουλεύοντες.

---

laſſen. (Reiske.) Ein Wortſpiel wie es dem ſophiſtiſchen Geſchmacke der Zeit gemäß war. Aehnlich 6, 92, 2. Ueber ἀφίστασθαι ἀπόστασιν Lobeck Parall. p. 517. — ξυγκακωσποιεῖν wäre eigentlich in einem Worte zu ſchreiben, wie ſchon Bd. wollte, gleich dem ἀντιποιῶν, ἀντιποιήσεται. Gr. 42, 5 A. 3. — προποιῆσαι, nämlich τὸ διαφθεῖραι. (Ol.)

§ 3. ᾗ καὶ μᾶλλον. zu 1, 11, 2. — χρὴ — ἡμᾶς ihr müſſet uns zu Bundesgenoſſen aufnehmen und. (Sch.)

§ 4. ἐφθάρηται, τετάχηται, bei den Attikern nur an den von Matth. § 204, 6 A. 1 nachgewieſenen Stellen vorkommende Formation, bei den Rednern ungebräuchlich, mithin veraltet. — ἐφ' ἡμῖν mit der Abſicht uns zu unterwerfen. — ἀμφοτέρων, Mytilenäern und Lakedämoniern, mit dieſen keinen Kampf wagend.

§ 5. μαχράν. Gr. 43, 3 A. 8. — αὐτῷ. Gr. 51, 5 A. 1. — δι' ἣν, ἐν ταύτῃ δι' ἣν. (Gb.) Doch nicht bloß auf Lesbos zu beziehen: der Schauplatz des Krieges überhaupt wird in jeder Gegend ſein ꝛc. — ἀπὸ τῶν ξ. 2, 13, 2. (Py.) — τ' ἄν, τἄν (d. h. τοι ἄν) Elmſl. zu Ar. Ach. 304, hier unpaſſend. — πρίν, vor unſerer Unterjochung. (Ol.) — δουλεύοντες, ὑπήκοοι. zu 1, 98, 2.

6 βοηθησάντων δὲ ὑμῶν προθύμως πόλιν τε προσλήψεσθε ναυτικὸν ἔχουσαν μέγα, οὗπερ ὑμῖν μάλιστα προσδεῖ, καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους, θρασύτερον γὰρ πᾶς τις προσχωρήσεται, τήν τε αἰτίαν ἀποφεύξεσθε ἣν εἴχετε μὴ βοηθεῖν τοῖς ἀφισταμένοις. ἢν δ' ἐλευθεροῦντες φαίνησθε, τὸ κράτος τοῦ πολέμου βε-
14 βαιότερον ἕξετε. αἰσχυνθέντες οὖν τάς τε τῶν Ἑλλήνων ἐς ὑμᾶς ἐλπίδας καὶ Δία τὸν Ὀλύμπιον, ἐν οὗ τῷ ἱερῷ ἴσα καὶ ἱκέται ἐσμέν, ἐπαμύνατε Μυτιληναίοις, ξύμμαχοι γενόμενοι καὶ μὴ προῆσθε ἡμᾶς, ἴδιον μὲν τὸν κίνδυνον τῶν σωμάτων παραβαλλομένους, κοινὴν δὲ τὴν ἐκ τοῦ κατορθῶσαι ὠφελίαν ἅπασι δώσοντας, ἔτι δὲ κοινοτέραν τὴν βλάβην, εἰ μὴ πεισθέντων ὑμῶν σφαλησόμεθα. γίγνεσθε δὲ ἄνδρες οἷουσπερ ὑμᾶς οἵ τε Ἕλληνες ἀξιοῦσι καὶ τὸ ἡμέτερον δέος βούλεται."

15 Τοιαῦτα μὲν οἱ Μυτιληναῖοι εἶπον. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ἐπειδὴ ἤκουσαν, προσδεξάμενοι τοὺς λόγους ξυμμάχους τε τοὺς Λεσβίους ἐποιήσαντο καὶ τὴν ἐς τὴν Ἀττικὴν ἐσβολὴν τοῖς τε ξυμμάχοις παροῦσι κατὰ τάχος ἔφραζον ἰέναι ἐς τὸν Ἰσθμὸν τοῖς δύο μέρεσιν ὡς ποιησόμενοι, καὶ αὐτοὶ πρῶτοι ἀφίκοντο, καὶ ὁλκοὺς παρεσκεύαζον τῶν νεῶν ἐν τῷ Ἰσθμῷ ὡς ὑπερουσοντες ἐκ τῆς Κορίνθου ἐς

---

§ 6. βοηθησάντων. zu 2, 83, 3. — καθαιρήσετε. zu 1, 4. — ὑφαιροῦντες, κατ' ὀλίγον ἀποσπῶντες. (Sch.) — αἰτίαν ἔχειν Beſchuldigung erleiden, wie 4, 114, 5. 6, 14. 46, 4. vgl. 1, 39, 3. 83, 2. — εἴχετε bisher hattet. Gründen mochte ſich dieſe Beſchuldigung auf 1, 101, 1. 114, 2. (Pp.) — τὸ κράτος τοῦ π., τὸ δύνασθαι περιγενέσθαι τῷ πολέμῳ. (Sch.)

C. 14. ἐς ἡμᾶς. So findet ſich bei Spätern öfter ἐλπίζειν ἐς τινα. (Pp.) — τόν. Gr. 50, 7 A. 10. — ἐν οὗ. Gr. 47, 9 A. 19. — ἴσα adverbial, wie ὁμοῖα 1, 25, 4; weniger auffallend 7, 71, 3. Sonſt der attiſchen Proſa fremd. vgl. Ind. Eur. — καί. Gr. 69, 32 A. 5. — παραβαλλόμενοι neben euch Andern hingebend, ungewöhnlich. Eur. Iph. T. 1094: ἐγὼ σοι παραβάλλομαι θρήνους. — ἀξιοῦσι, γίγνεσθαι. Gr. 55, 4 A. 11.

C. 15. ἐσβολήν hängt von ὡς ποιησόμενοι ab. (Hl.) vgl. 7, 17, 1. — ἔφραζον ἰέναι. Gr. 55, 3 A. 13. vgl. 6, 58, 2. 7, 73, 4. — τοῖς δύο μ. zu 2, 10, 1. — ὁλκοὶ ὄργανά εἰσιν ὡς αἱ νῆες ἕλκονται. (Sch.) — ὑπερουσοντες, der eigentliche Ausdruck. vgl. 3, 81, 1. 4, 8, 1. 8, 7, 2. (Hf.) vgl. Wachsmuth Hell. Alterth. 2, 1 S. 422. Später ὑπερνεωλκεῖν. (Pp.) — τῶν der 2, 92, 4. 93, 1 ꝛc.

τὴν πρὸς Ἀθήνας θάλασσαν καὶ ναυσὶ καὶ πεζῷ ἅμα ἐπιόντες. καὶ οἱ μὲν προθύμως ταῦτα ἔπρασσον, οἱ δὲ ἄλλοι ξύμμαχοι βραδέως τε ξυνελέγοντο καὶ ἐν καρποῦ ξυγκομιδῇ ἦσαν καὶ ἀρρωστίᾳ τοῦ στρατεύειν. αἰσθόμενοι δὲ αὐτοὺς 16
οἱ Ἀθηναῖοι διὰ κατάγνωσιν ἀσθενείας σφῶν παρασκευαζομένους, δηλῶσαι βουλόμενοι ὅτι οὐκ ὀρθῶς ἐγνώκασιν ἀλλ' οἷοί τέ εἰσι μὴ κινοῦντες τὸ ἐπὶ Λέσβῳ ναυτικὸν καὶ τὸ ἀπὸ Πελοποννήσου ἐπιὸν ῥᾳδίως ἀμύνεσθαι, ἐπλήρωσαν ναῦς ἑκατόν, ἐσβάντες αὐτοί τε πλὴν ἱππέων καὶ πεντακοσιομεδίμνων καὶ οἱ μέτοικοι, καὶ παρὰ τὸν Ἰσθμὸν ἀναγαγόντες ἐπίδειξίν τε ἐποιοῦντο καὶ ἀποβάσεις τῆς Πελοποννήσου ᾗ δοκοῖ αὐτοῖς. οἱ δὲ Λακεδαιμόνιοι ὁρῶντες πολὺν τὸν 2
παράλογον τά τε ὑπὸ τῶν Λεσβίων ῥηθέντα ἡγοῦντο οὐκ ἀληθῆ καὶ ἄπορα νομίζοντες, ὡς αὐτοῖς καὶ οἱ ξύμμαχοι ἅμα οὐ παρῆσαν καὶ ἠγγέλλοντο καὶ αἱ περὶ τὴν Πελοπόννησον τριάκοντα νῆες τῶν Ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι, ἀνεχώρησαν ἐπ' οἶκον. ὕστερον δὲ ναυτικὸν πα- 3
ρεσκεύαζον ὅ τι πέμψουσιν ἐς τὴν Λέσβον καὶ κατὰ πόλεις ἐπήγγελλον τεσσαράκοντα νεῶν πλῆθος καὶ ναύαρχον προσέταξαν Ἀλκίδαν, ὃς ἔμελλεν ἐπιπλεύσεσθαι. ἀνεχώρησαν δὲ καὶ οἱ Ἀθηναῖοι ταῖς ἑκατὸν ναυσίν, ἐπειδὴ καὶ ἐκείνους εἶδον.

---

wähnten. (Pp.) — καρποῦ. Gr. 44, 1 A. 1. vgl. 4, 84, 2. 88, 1. (Pp.) Ohne Artikel, weil es mit ξυγκομιδῇ gleichſam ein Compoſitum bildet. Anders Iſokr. 7, 30: τὴν συγκομιδὴν τῶν καρπῶν. — ἀρρωστίᾳ Schlafheit, Unluſt. (Sch.) vgl. 7, 47, 1. 8, 83, 1. (Pp.) So ἄρρωστος Xen. Oek. 4, 2 u. Apol. 30. (Bl.)

C. 16. § 1. κατάγνωσιν gegen ſie gefaßtes Urtheil, wie καταγιγνώσκειν 3, 45, 1. 6, 34, 7. 7, 51, 1 u. καταφρονεῖν 8, 8, 3. vgl. zu 3, 83, 2. — αὐτοί, die ζευγῖται u. θῆτες, indem die Ritter als Reiter, die Pentakoſiomedimnen als Hopliten dienten. — παρὰ τὸν Ἰ. gehört zu ἐπίδειξιν ἐποιοῦντο. (Bé.) — ἀναγαγόντες, τὰς ναῦς, alſo nicht für ἀναγαγόμενοι. — ἐπίδειξιν, τῶν νεῶν. (Pp.) — τῆς Πελοποννήσου hängt von ᾗ ab.

§ 2. παράλογον. zu 1, 78, 1. — ἄπορα die Verhältniſſe für ſchwierig, wie ἄπορα ἦν. (Sch.) vgl. zu 2, 3, 3. Sonderbar ergänzt Pp. aus ῥηθέντα die Aufträge, Geheiße der Mytilenäer. — νῆες 3, 7, 1. — πορθοῦσαι. Gr. 56, 7 A. 3.

§ 3. πέμψουσιν. Gr. 53, 7 A. 8. — κατὰ πόλεις ſtädteweiſe ein betreffendes Contingent. — ἐπήγγελλον, ἐπέτασσον. (Sulb.) vgl. 7, 17, 1. 8, 108, 3. (Arn.) Xen. Cyr. 7, 4, 2: στρατείας, ὁπότε δέοιτο, ἐπήγγελλεν αὐτοῖς. — ἐπιπλεύσεσθαι. ἐπι — zu den ſchon dort befindlichen? — εἶδον, ἀναχωρήσαντας (Sch.) zu 1, 80, 1.

17 Καὶ κατὰ τὸν χρόνον τοῦτον ὃν αἱ νῆες ἔπλεον ἐν τοῖς πλεῖσται δὴ νῆες ἅμ' αὐτοῖς ἐνεργοὶ κάλλει ἐγένοντο, παραπλήσιαι δὲ καὶ ἔτι πλείους ἀρχομένου τοῦ πολέμου. τήν τε γὰρ Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα ἑκατὸν ἐφύλασσον καὶ περὶ Πελοπόννησον ἕτεραι ἑκατὸν ἦσαν, χωρὶς δὲ αἱ περὶ Ποτίδαιαν καὶ ἐν τοῖς ἄλλοις χωρίοις, ὥστε αἱ πᾶσαι ἅμα
2 ἐγίγνοντο ἐν ἐνὶ θέρει διακόσιαι καὶ πεντήκοντα. καὶ τὰ χρήματα τοῦτο μάλιστα ὑπανάλωσε μετὰ Ποτιδαίας. τήν τε γὰρ Ποτίδαιαν δίδραχμοι ὁπλῖται ἐφρούρουν, αὐτῷ γὰρ καὶ ὑπηρέτῃ δραχμὴν ἐλάμβανε τῆς ἡμέρας, τρισχίλιοι μὲν οἱ πρῶτοι, ὧν οὐκ ἐλάσσους διεπολιόρκησαν, ἑξακόσιοι δὲ καὶ χίλιοι μετὰ Φορμίωνος, οἳ προαπῆλθον· νῆές τε αἱ πᾶσαι τὸν αὐτὸν μισθὸν ἔφερον. τὰ μὲν οὖν χρήματα οὕτως ὑπαναλώθη τὸ πρῶτον καὶ νῆες τοσαῦται δὴ πλεῖσται ἐπληρώθησαν.

18 Μυτιληναῖοι δὲ κατὰ τὸν αὐτὸν χρόνον ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν Ἰσθμὸν ἦσαν ἐπὶ Μήθυμναν ὡς προδιδομένην ἐστράτευσαν κατὰ γῆν αὐτοί τε καὶ οἱ ἐπίκουροι· καὶ

C. 17. § 1. ὃν hängt wie 18, 1 noch von κατά ab. vgl. zu 1, 28, 2. — ἐν τοῖς. zu 1, 6, 2. — αὐτοῖς gehört zu ἐγένοντο. (Ba.) — ἐνεργοὶ κάλλει durch ſchöne Beſchaffenheit wirkſam und in Thätigkeit erklärt man; was die Worte kaum geſtatten. Vielleicht: an Schönheit die meiſten, nie ſo viele ſchöne Schiffe. Doch ſcheint hier ein Fehler zu ſtecken; vielleicht eine Lücke. vgl. 6, 32, 1 f. — καὶ (vor ἔτι), wie 7, 19, 2. (Hl.) — ἑκατὸν ἐφύλασσον 2, 24, 2. — ἕτεραι ἑκατόν 2, 17, 3 u. 23, 1. Aber noch dreißig 3, 7, 1 u. 16, 2; vierzig bei Lesbos 3, 3, 2; andere noch bei Potidäa wie an andern Orten und doch nur überhaupt zwei hundert und funfzig? (Pp.) — πεντήκοντα. ἐνενήκοντα Bl., ὀγδοήκοντα (π' für ν') Kr.

§ 2. τά mit Bezug auf die Darſtellung 2, 13, 2. (Hk.) — ὑπανάλωσε conſumirte unvermerkt. — ἐφρούρουν ſchloſſen ein mit Bezug auf die Bewachung der Belagerungswerke. vgl. 3, 21, 2. (Kiſt.) — ἐλάμβανε erg. ὁ ὁπλίτης. Gr. 61, 4 A. 1. — τρισχίλιοι 1, 61, 3. vgl. 64, 1. 2, 58, 3. — διεπολιόρκησαν, ἐμεινάν ἕως ἁλώσεως τῆς πόλεως πολιορκοῦντες. (Sch.) — τὸν αὐτὸν μισθόν, eine Drachme auf den Mann, Epibaten wie Matroſen. Böckh Staatshaushaltung der Ath. 2, 22 S. 297. — ἔφερον mit Bezug auf den Geber, φέρεσθαι rückſichtlich des Empfängers geſagt, dies alſo den Vortheil des Subjects andeutend. Gr. 52, 10 A. 4. vgl. 6, 24, 3 u. 8, 97, 1. Φέρεσθαι μισθόν findet ſich bei Th. nicht.

C. 18. § 1. προδιδομένην mit Bezug auf den ſchon im Werke begriffenen, vorbereiteten Verrath. (Pp.) — οἱ ἐπίκουροι, die

προσβαλόντες τῇ πόλει, ἐπειδὴ οὐ προυχώρει ἡ προσεδέχοντο, ἀπῆλθον ἐπ' Ἄντισσης καὶ Πύρρας καὶ Ἐρέσου, καὶ καταστησάμενοι τὰ ἐν ταῖς πόλεσι ταύταις βεβαιότερα καὶ τείχη κρατύναντες διὰ τάχους ἀπῆλθον ἐπ' οἶκου. ἐστράτευσαν δὲ 2
καὶ οἱ Μηθυμναῖοι ἀναχωρησάντων αὐτῶν ἐπ' Ἄντισσαν, καὶ ἐκβοηθείας τινὸς γενομένης πληγέντες ὑπό τε τῶν Ἀντισσαίων καὶ τῶν ἐπικούρων ἀπέθανόν τε πολλοὶ καὶ ἀνεχώρησαν οἱ λοιποὶ κατὰ τάχος. οἱ δὲ Ἀθηναῖοι πυνθανόμενοι ταῦτα, τούς τε Μυτιληναίους τῆς γῆς κρατοῦντας καὶ τοὺς σφετέρους στρατιώτας οὐχ ἱκανοὺς ὄντας εἴργειν, πέμπουσι περὶ τὸ φθινόπωρον ἤδη ἀρχόμενον Πάχητα τὸν Ἐπικούρου στρατηγὸν καὶ χιλίους ὁπλίτας ἑαυτῶν. οἱ δὲ αὐτε- 3
ρέται πλεύσαντες τῶν νεῶν ἀφικνοῦνται καὶ περιτειχίζουσι Μυτιλήνην ἐν κύκλῳ ἁπλῷ τείχει· φρούρια δ' ἔστιν ἔπὶ τῶν καρτερῶν ἐγκατῳκοδόμηται. καὶ ἡ μὲν Μυτιλήνη κατὰ κράτος ἤδη ἀμφοτέρωθεν καὶ ἐκ γῆς καὶ ἐκ θαλάσσης εἴργετο καὶ ὁ χειμὼν ἤρχετο γίγνεσθαι· προσδεόμενοι δὲ οἱ 19
Ἀθηναῖοι χρημάτων ἐς τὴν πολιορκίαν καὶ αὐτοὶ ἐσενεγκόν-

3, 5, 1 u. 6, 1 erwähnten. (Pp.) — *προυχώρει.* zu 1, 74, 4. — *Ἐρέσου*, was auch hier einige Hſn. mit Einem *σ* haben beſtätigen Münzen und andre Zeugniſſe. Steph. Theſ. u. d. W. Properispomenon iſt das Wort nach Arcad. p. 76. (Pp.)

§ 2. *ἐκβοηθείας* Ausfall. vgl. 1, 105, 5. (Kiſt.) — *πληγέντες, μεγάλως νικηθέντες· πληγὴ γὰρ κατὰ πόλεμον καὶ πραῦμα ἡ ἰσχυρὰ ἧττα.* (Sch.) beſtätigt durch 4, 108, 4. 8, 38, 2. Her. 5, 120. Auffallend daß es in dieſer Beziehung von Attikern ſonſt ſo wenig gebraucht iſt, wohl aber findet es ſich ſo öfter wieder bei Spätern. — *ταῦτα, κρατοῦντας.* Soph. Phil. 1355: *πῶς ταῦτ' ἐξανασχήσισθε, τοῖσιν Ἀτρέως ἐμὲ ξυνόντα παισίν.* Ar. Wo. 380: *νοτὶ μ' ἐλελήθη, ὁ Ζεὺς οὐκ ὤν.* (Matthiä.) Eine beim Particip ſeltene Exegeſe. — *εἴργειν* müßte nach Buttmann *εἰργνύναι* heißen, was Plat. Tim. 45 u. 85 gebraucht, ſonſt meines Wiſſens Attiker nicht; *εἱργνύω* And. 4, 27. — *ἐν κύκλῳ* auch 3, 74, 2, *κύκλῳ* ohne *ἐν* 1, 106, 2, 78, 1. 84, 1. 3, 68, 2. 4, 90, 2. 5, 7, 2. 114. 7, 79, 3. 81, 5.

§ 3. *αὐτερέται.* zu 1, 10, 6; hier iſt es nicht mit *οἱ* zu verbinden ſondern als Prädicat mit *πλεύσαντες.* — *ἔστιν ἧ.* Gr. 61, 5 A. 5. — *ἐγκατῳκοδόμηται.* den Ao. oder das Ipf. vermuthet Pp.; *ἐγκατῳκοδομεῖται* möchte ich mit Bl. nach Va.: excitant, oder *ἐγκατῳκοδόμησαν.* Das *ἐν* beziehe ich, wie Pp., auf das Anſchließen an das *ἁπλοῦν τεῖχος.*

C. 19. § 1. *αὐτοὶ* im Gegenſatze zu dem folgenden *καὶ ἐπὶ τοὺς ξυμμάχους*, nicht etwa zu frühern Steuern der Bundesgenoſſen. —

τες ὑστερον πρῶτον ἐσφορὰν διακόσια τάλαντα ἐξέπεμψαν καὶ ἐπὶ τοὺς ξυμμάχους ἀργυρολόγους ναῦς δώδεκα καὶ Λυσι-
2 κλέα πέμπτον αὐτὸν στρατηγόν. ὁ δὲ ἄλλα τε ἠργυρολόγει καὶ περιέπλει καὶ τῆς Καρίας ἐκ Μυοῦντος ἀναβὰς διὰ τοῦ Μαιάνδρου πεδίον μέχρι τοῦ Σανδίου λόφου ἐπιθεμένων τῶν Καρῶν καὶ Ἀναιτιῶν αὐτός τε διαφθείρεται καὶ τῆς [ἄλλης] στρατιᾶς πολλοί.

Τοῦ δ' αὐτοῦ χειμῶνος οἱ Πλαταιῆς — ἔτι γὰρ ἐπολιορκοῦντο ὑπὸ τῶν Πελοποννησίων καὶ Βοιωτῶν — ἐπειδὴ τῷ τε σίτῳ ἐπιλιπόντι ἐπέζοντο καὶ ἀπὸ τῶν Ἀθηνῶν οὐδεμία ἐλπὶς ἦν τιμωρίας οὐδὲ ἄλλη σωτηρία ἐφαίνετο, ἐπιβουλεύουσιν αὐτοί τε καὶ Ἀθηναίων οἱ ξυμπολιορκούμενοι πρῶτον μὲν πάντες ἐξελθεῖν καὶ ὑπερβῆναι τὰ τείχη τῶν πολεμίων, ἢν δύνωνται βιάσασθαι, ἐσηγησαμένου τὴν πεῖραν αὐτοῖς Θεαινέτου τε τοῦ Τολμίδου, ἀνδρὸς μάντεως, καὶ
2 Εὐμολπίδου τοῦ Λαϊμάχου, ὃς καὶ ἐστρατήγει· ἔπειτα οἱ μὲν ἡμίσεις ἀπώκνησάν πως τὸν κίνδυνον, μέγαν ἡγησάμενοι, ἐς δὲ ἄνδρας διακοσίους καὶ εἴκοσι μάλιστα ἐνέμειναν τῇ ἐξόδῳ ἐθελονταὶ τρόπῳ τοιῷδε. κλίμακας ἐποιήσαντο ἴσας τῷ τείχει τῶν πολεμίων· ξυνεμετρήσαντο δὲ ταῖς ἐπιβολαῖς τῶν

τότε πρῶτον kann doch ganz wohl nur mit Bezug auf die Zeit dieses Krieges gesagt sein, da noch 3, 17, 2 vorschwebt. — ἐσφορὰν δ. τάλαντα. zu 1, 96, 2. — ἀργυρολόγους. vgl. 4, 50, 1. 75, 1, Kr. Ri. 1071. — Λυσικλέα. Plut. Per. 24 u. Kr. z. Dion. p. 328. — ἄλλης fehlt in einigen guten Hss. vgl. 2, 69 und 3, 7, 3. Verschieden ist 3, 112, 2.

§ 2. ἄλλα. zu 2, 69. — Ἀναιτιῶν. Kr. eb.

C. 90. § 1. τιμωρίας. zu 1, 25, 1. — Ἀθηναίων 2, 6, 3 u. 78, 3. — ἐπιβουλεύουσιν ἐξελθεῖν. Kr. zu Xen. An. 5, 6, 29. — ἐσηγησαμένου angeben, anleiten. vgl. 6, 90, 1 u. 7, 73, 1. (Pp.) Xen. Hell. 1, 6, 9: εἰσηγοῦντο πόρον χρημάτων. Polyb. 11, 25, 8: λύσιν εἰσηγέῖτο. (Bl.) — ἐστρατήγει Feldherr war. Denn von der bloßen Führung dieses Zuges würde Th. wohl, wie 22, 1, ἡγοῦντο gesagt haben.

§ 2. τὸν κίνδυνον ist mit ἀπώκνησαν zu verbinden. vgl. 3, 30, 2; μέγαν mit ἡγησάμενοι. (Bl.) Denn hätte Th. beides mit ἡγησάμενοι verbinden wollen, so würde er μέγαν ἡγ. τὸν κίνδυνον gestellt haben. — μέγαν zu groß. Gr. 49, 1. — τῇ ἐξόδῳ bei dem Entschlusse zum Ausbruche. (Ba.) — τρόπῳ τοιῷδε kurz für: der auf folgende Weise vorbereitet wurde. — ἐς δ. Gr. 60, 8 A. 1. — ξυνεμετρήσαντο. zu 2, 76, 1. vgl. Her. 4, 158: συμμετρησάμενοι τὴν ὥρην τῆς ἡμέρης. — ἐπιβολαῖς Lagen, Schichten.

πλίνθων, ἦ ἔτυχε πρὸς σφᾶς οὐκ ἐξαληλιμμένον τὸ τεῖχος
αὐτῶν. ἠριθμοῦντο δὲ πολλοὶ ἅμα τὰς ἐπιβολάς, καὶ ἔμελ- 3
λον οἱ μέν τινες ἁμαρτήσεσθαι οἱ δὲ πλείους τεύξεσθαι τοῦ
ἀληθοῦς λογισμοῦ, ἄλλως τε καὶ πολλάκις ἀριθμοῦντες καὶ
ἅμα οὐ πολὺ ἀπέχοντες, ἀλλὰ ῥᾳδίως καθορωμένου ἐς ὃ
ἐβούλοντο τοῦ τείχους. τὴν μὲν οὖν ξυμμέτρησιν τῶν πλι-
νθῶν οὕτως ἔλαβον, ἐκ τοῦ πάχους τῆς πλίνθου εἰκάσαντες
τὸ μέτρον· τὸ δὲ τεῖχος ἦν τῶν Πελοποννησίων τοιόνδε τῇ 21
οἰκοδομήσει. εἶχε μὲν δύο τοὺς περιβόλους, πρός τε Πλα-
ταιῶν καὶ εἴ τις ἔξωθεν ἀπ' Ἀθηνῶν ἐπίοι, διεῖχον δὲ οἱ
περίβολοι ἑκκαίδεκα πόδας μάλιστα ἀπ' ἀλλήλων· τὸ οὖν
μεταξὺ τοῦτο, οἱ ἑκκαίδεκα πόδες, τοῖς φύλαξιν οἰκήματα
διανενεμημένα ᾠκοδόμητο, καὶ ἦν ξυνεχῆ ὥστε ἓν φαίνεσθαι
τεῖχος παχὺ ἐπάλξεις ἔχον ἀμφοτέρωθεν. διὰ δέκα δὲ ἐπάλ- 2
ξεων πύργοι ἦσαν μεγάλοι καὶ ἰσοπλατεῖς τῷ τείχει, διήκον-
τες ἔς τε τὸ ἔσω μέτωπον αὐτοῦ καὶ οἱ αὐτοὶ καὶ [ἐς] τὸ
ἔξω, ὥστε πάροδον μὴ εἶναι παρὰ πύργον, ἀλλὰ δι' αὐτῶν
μέσων διῆσαν. τὰς οὖν νύκτας, ὁπότε χειμὼν εἴη νοτερός,

---

§ 3. ἠριθμοῦντο. Gr. 52, 8 A. 4. vgl. Plat. Phädr. 270. — ἔμελλον. Gr. 53, 7 A. 1. — ἁπέχοντες. ἀπέχοντος Dibot, nicht übel. — καθορωμένου erg. τούτου. (Pp.) vgl. Gr. 47, 4 A. 3. — ἐβούλοντο hin wollten, zu gehen gedachten. (Bl.) Kr. zu Xen. An. 5, 6, 31. — τοῦ τείχους hängt von ἐς ὃ ab. Gr. 47, 9 A. 5. — ἔλαβον. Plut. Aem. P. 15: μεθόδῳ καὶ δι' ὀργάνων εἴληφέναι δοκεῖ τὴν μέτρησιν. Ein seltener Gebrauch. (Pp.) — εἰκάσαντες. Gr. 59, 1 A. 7.

C. 21. § 1. δύο τούς. Gr. 50, 11 A. 1. vgl. Herodt. 1, 9, 9: δύο τοὺς ἐπάρχους κατεστήσας. — πρός. zu 1, 62, 1. — εἴ τις eine zweite für den Fall daß. Ueber die Verbindung Gr. 59, 2 A. 4. „Die Aufführung zweier Mauern war in dem angegebenen Falle gewöhnlich." (Dr.) — οἰκήματα ist Prädicat: zu Wohnungen. — διανενεμημένα. Gr. 63, 6 A. — ᾠκοδόμητο war bebaut, doch wohl eig. mehr durch οἰκήματα veranlaßt als zu τὸ μεταξύ passend. — ἦν ξυνεχῆ, τὰ οἰκήματα δηλονότι. (Sch.) Wohl vielmehr: beide Mauern hingen durch die Hütten so zusammen.

§ 2. διά jedesmal nach einem Zwischenraume von. (Sch.) vgl. zu 2, 29, 3. — τῷ τείχει der Doppelmauer, also den Zwischenraum von sechzehn Fuß mit ausfüllend, διήκοντες. (Hk.) — καὶ ἐς τό. καὶ τό die besten Hss., hier doch hart. — αὐτῶν, τῶν πύργων, vermittelst darin angebrachter Thüren, diodor 23, 1, während πάροδος hier einen Gang neben den Thürmen bezeichnet. — διῆσαν, οἱ φύλακες. —

τὰς μὲν ἐπάλξεις ἀπέλειπον, ἐκ δὲ τῶν πύργων, ὄντων δι' ὀλίγου καὶ ἄνωθεν στεγανῶν, τὴν φυλακὴν ἐποιοῦντο.

22 Τὸ μὲν οὖν τεῖχος ᾧ περιεφρουροῦντο οἱ Πλαταιῆς τοιοῦτον ἦν· οἱ δ', ἐπειδὴ παρεσκεύαστο αὐτοῖς, τηρήσαντες νύκτα χειμέριον ὕδατι καὶ ἀνέμῳ καὶ ἅμ' ἀσέληνον ἐξῆεσαν· ἡγοῦντο δὲ οἵπερ καὶ τῆς πείρας αἴτιοι ἦσαν. καὶ πρῶτον μὲν τὴν τάφρον διέβησαν ἣ περιεῖχεν αὐτούς, ἔπειτα προσέμιξαν τῷ τείχει τῶν πολεμίων, λαθόντες τοὺς φύλακας, ἀνὶ τὸ σκοτεινὸν μὲν οὐ προϊδόντων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ πατακου-
2 σάντων· ἅμα δὲ καὶ διέχοντες πολὺ ἦσαν ὅπως τὰ ὅπλα μὴ κρουόμενα πρὸς ἄλληλα αἴσθησιν παρέχοι. ἦσαν δὲ εὐσταλεῖς τε τῇ ὁπλίσει καὶ τὸν ἀριστερὸν πόδα μόνον ὑποδεδεμένοι ἀσφαλείας ἕνεκα τῆς πρὸς τὸν πηλόν. κατὰ οὖν μετακύργιον προσέμισγον πρὸς τὰς ἐπάλξεις, εἰδότες ὅτι ἐρῆμοί εἰσι, πρῶτον μὲν οἱ τὰς κλίμακας φέροντες, καὶ προσέθεσαν· ἔπειτα ψιλοὶ δώδεκα ξὺν ξιφιδίῳ καὶ θώρακι ἀνέβαινον, ὧν ἦγεῖτο Ἀμμέας ὁ Κοροίβου καὶ πρῶτος ἀνέβη.
3 μετὰ δὲ αὐτὸν οἱ ἑπόμενοι ἐξ ἑφ' ἑκάτερον τῶν πύργων ἀνέβαινον. ἔπειτα ψιλοὶ ἄλλοι μετὰ τούτους ξὺν δορατίοις ἐχώρουν, οἷς ἕτεροι κατόπιν τὰς ἀσπίδας ἔφερον, ὅπως ἐκεῖνοι ῥᾷον προσβαίνοιεν, καὶ ἔμελλον δώσειν ὁπότε πρὸς τοῖς

χειμών Unwetter. — νοτερός, ὑγρὸς καὶ ὑετὸν ἔχων. (Sch.) — δι' ὀλίγου, διὰ δέκα ἐπάλξεων μόνον. (Sch.)

C. 22. § 1. παρεσκεύαστο zu 1, 46, 1. — ὕδατι Regen, mit Schnee gemischt nach 23, 5. (Py.) — ἀνὰ — αὐτῶν da sie bei der Dunkelheit nicht vor sich sehen konnten. — αὐτῶν. τῶν φυλάκων. Gr. 47, 4 A. 2. — ψόφῳ hängt von ἀντιπαταγοῦντος ab, das den Grund des οὐ κατακουσάντων angibt. — ἀντιπαταγεῖν etwas verschieden bei Ach. T. 3, 2.

§ 2. πολύ verdächtigt Kr. — μή hier stehend bezieht sich Kr. auch auf κρουόμενα. zu 1, 12, 1. — αἴσθησιν παρέχοι. Kr. zu Xen. An. 4, 6, 13. — εὐσταλεῖς, κούφην ὅπλισιν περιβεβλημένοι. (Sch.) — τὸν ἀριστερόν als Stützpunct des Körpers beim Gebrauch der Rechten, während der rechte barfuß an Leichtigkeit gewann. (Wa.) — μετακύργιον auch 23, 2 und bei Lysias nach Harpokr., Suid. u. Phot.: τὸ ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ τείχους πύργων. Scheff. μεσοπύργιον, obwohl dies nur bei Späteren. Lobeck z. Phryn. p. 194 f.

§ 3. οἱ ἑπόμενοι ἐξ die Nachfolgenden, nämlich je sechs, vgl. zu Xen. An. 1, 2, 3. — τῶν der bezüglichen, die das erstürmte

πολεμίοις εἴησαν. ὡς δὲ ἄνω πλείους ἐγένοντο, ἤσθοντο οἱ ἐκ τῶν πύργων φύλακες· κατέβαλε γάρ τις τῶν Πλαταιῶν ἀντιλαμβανόμενος ἀπὸ τῶν ἐπάλξεων κεραμῖδα, ἣ πεσοῦσα δοῦπον ἐποίησεν. καὶ αὐτίκα βοὴ ἦν, τὸ δὲ στρατόπεδον ἐπὶ 4
τὸ τεῖχος ὥρμησεν· οὐ γὰρ ᾔδει ὅ τι ἦν τὸ δεινὸν σκοτεινῆς νυκτὸς καὶ χειμῶνος ὄντος, καὶ ἅμα οἱ ἐν τῇ πόλει τῶν Πλαταιῶν ὑπολελειμμένοι ἐξελθόντες προσέβαλον τῷ τείχει τῶν Πελοποννησίων ἐκ τοὔμπαλιν ἢ οἱ ἄνδρες αὐτῶν ὑπερέβαινον, ὅπως ἥκιστα πρὸς αὐτοὺς τὸν νοῦν ἔχοιεν. ἐθορυβοῦντο μὲν οὖν κατὰ χώραν μένοντες, βοηθεῖν δὲ οὐδεὶς ἑτοίμα ἐκ τῆς ἑαυτῶν φυλακῆς, ἀλλ' ἐν ἀπόρῳ ἦσαν εἰκάσαι τὸ γιγνόμενον. καὶ οἱ τριακόσιοι αὐτῶν, οἷς ἐτέτακτο πα- 5
ραβοηθεῖν εἴ τι δέοι, ἐχώρουν ἔξω τοῦ τείχους πρὸς τὴν βοήν. φρυκτοί τε ἤροντο ἐς τὰς Θήβας πολέμιοι· παρανῖσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς πρότερον παρεσκευασμένους ἐς αὐτὸ τοῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις ᾖ καὶ μὴ βοηθοῖεν, ἄλλο τι νομίσαντες τὸ γιγνόμενον εἶναι ἢ τὸ ὄν, πρὶν σφῶν οἱ ἄνδρες οἱ ἐξιόντες διαφύγοιεν καὶ τοῦ ἀσφαλοῦς ἀντιλάβοιντο.

μεπαπύργιον einſchloſſen. (Vy.) — οἱ ἐκ. Gr. 50, 8 A. 17. vgl. zu 29, 1. — δοῦπος für ψόφος eine Hſ., poetiſch; doch auch bei Xen. An. I, 8, 18 δουπεῖν.

§ 4. ἐπί auf, jeder an ſeine Stelle. (Hk.) — τὸ δεινόν die ſich kundgebende Gefahr. — τῶν Πλαταιῶν hängt von οἱ ὑπολελειμμένοι ab. vgl. zu 1, 126, 6. — ἤ für ἤ mehrere und einige gute Hſn.: von der entgegengeſetzten Seite als wo. vgl. 7, 80, 1. — ἑαυτῶν. αὐτῶν einige Hſn. vgl. Gr. 47, 9 A. 12 u. 58, 4 A. 3. — ἐν ἀπόρῳ. zu 1, 25, 1. — εἰκάσαι durch Vermuthung zu entdecken.

§ 5. οἱ τριακόσιοι. Der Artikel mit Bezug auf das Relativ wie 3, 3, 3. (Arn.) — ἐτέτακτο. ἐπετάκτο Kr. Denn Th. gebraucht das Simplex nie ſo und auch was aus Andern angeführt wird iſt verſchieden. — ἔξω. ἔξωθεν mehrere Hſn. was doch mit einem Verbum der Bewegung ſchwerlich ſo ſtatthaft iſt. — φρυκτούς, ὁμολόγοι φίλιοι· οἱ γὰρ φίλιοι ἀνεπείνοντο καιόμενοι μὲν ἑστῶτες δέ· οἱ δὲ πολέμιοι, καιόμενοι μὲν καὶ αὐτοί, σειόμενοι δὲ ὑπὸ τῶν ἀναστενόντων· κίνησις γὰρ ὁ πόλεμος. (Sch.) vgl. zu 2, 94, 1. — ᾖ καὶ βοηθοῖεν. Gr. 54, 8 A. 2. vgl. 6, 96, 3. 7, 17, 3. — ἀντιλάβοιντο erreicht hätten. vgl. 4, 128, 2. 7, 60, 2. 77, 6. (Vy.)

23 Οἱ δ' ὑπερβαίνοντες τῶν Πλαταιῶν ἐν τούτῳ, ὡς οἱ πρῶτοι αὐτῶν ἀναβεβήκεσαν καὶ τοῦ πύργου ἑκατέρου τοὺς φύλακας διαφθείραντες ἐκεκρατήκεσαν, τάς τε διόδους τῶν πύργων ἐνστάντες αὐτοὶ ἐφύλασσον μηδένα δι' αὐτῶν ἐπιβοη-
2 θεῖν, καὶ κλίμακας προσθέντες ἀπὸ τοῦ τείχους τοῖς πύργοις καὶ ἐπαναβιβάσαντες ἄνδρας πλείους, οἱ μὲν ἀπὸ τῶν πύργων τοὺς ἐπιβοηθοῦντας καὶ κάτωθεν καὶ ἄνωθεν εἶργον βάλλοντες, οἱ δ' ἐν τούτῳ οἱ πλείους πολλὰς προσθέντες κλίμακας ἅμα καὶ τὰς ἐπάλξεις ἀπώσαντες διὰ τοῦ μετα-
3 πυργίου ὑπερέβαινον. ὁ δὲ διακομιζόμενος ἀεὶ ἵστατο ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐντεῦθεν ἐτόξευόν τε καὶ ἠκόντιζον, εἴ τις παραβοηθῶν παρὰ τὸ τεῖχος κωλυτὴς γίγνοιτο τῆς διαβάσεως. ἐπεὶ δὲ πάντες διεπεπεραίωντο, οἱ ἀπὸ τῶν πύργων χαλεπῶς οἱ τελευταῖοι καταβαίνοντες ἐχώρουν ἐπὶ τὴν τάφρον, καὶ ἐν τούτῳ οἱ τριακόσιοι αὐτοῖς ἐπεφέροντο
4 λαμπάδας ἔχοντες. οἱ μὲν οὖν Πλαταιῆς ἐκείνους ἐώρων μᾶλλον ἐκ τοῦ σκότους ἑστῶτες ἐπὶ τοῦ χείλους τῆς τάφρου, καὶ ἐτόξευόν τε καὶ ἐσηκόντιζον ἐς τὰ γυμνά, αὐτοὶ δὲ ὑ

C. 22. § 1. οἱ ὑπερβαίνοντες die beim Uebergang begriffenen, alſo auch die welche die Mauer noch nicht ſo wie die welche ſie ſchon erſtiegen hatten. Nach Pp. bezeichnete οἱ ὑπερβαίνοντες das Ganze, οἱ μέν, ὁ δέ die Theile, ſo v. a. τῶν ὑπερβαινόντων οἱ μὲν — οἱ δὲ vgl. zu 1 2, 3; die Worte hingen ſo zuſammen: οἱ ὑπερβαίνοντες καὶ κλίμακας προσθέντες καὶ ἐπαναβιβάσαντες ἄνδρας (ἑαυτῶν) πλείους οἱ μὲν εἶργον. Allein der Artikel müßte dann auch zu προσθέντες und ἐπαναβιβάσαντες gedacht werden, was unpaſſend wäre. Natürlicher iſt ἐφύλασσον als Verbum zu ὑπερβαίνοντες zu nehmen. — διόδους. zu 21, 2. — αὐτοί nicht Alle ſondern welche aus ihrer Mitte. vgl. zu 1, 100, 3. — ἐπιβοηθεῖν. Gr. 55, 3 A. 20.

§ 2. ἀπὸ τῶν πύργων verbinde ich mit εἶργον: ſie hielten die heranbringenden Feinde, auf die ſie von unten und oben ſchoſſen, von den Thürmen ab. — ἅμα gehört zu beiden Participien.

§ 3. ἀεί jedesmal kann auch bei dieſer Stellung zum Particip gehören. Kr. z. Dion. p. 252. Gr. 50, 10 A. 5. — τῆς τάφρου hier des äußern. vgl. 2, 78, 1. (Pp.) — κωλυτὴς γίγνοιτο für κωλύοι, wie 1, 35, 3 u. 8, 86, 3. Aehnlich μηνυτὴς γίγνεται 1, 132, 6. 3, 2, 2. Beides von Dionyſ. H. nachgeahmt. (Dr. u. Pp.) — οἱ τελευταῖοι appoſitiv, wie οἱ δυνατώτατοι 1, 2, 3. (Kr.) Bl. u. Arn. letzen nach πύργων und τελευταῖοι Kommata.

§ 4. μᾶλλον mit Bezug auf ἧσσον καθιεροῦντο. — τὰ γυμνά die von Schutzwaffen nicht gedeckten Theile, beſonders die rechte

ιῷ ἀφανεῖ ὄντες ἧσσον διὰ τὰς λαμπάδας καθεωρῶντο, ὥστε φθάνουσι τῶν Πλαταιῶν καὶ οἱ ὕστατοι διαβάντες τὴν τάφρον, χαλεπῶς δὲ καὶ βιαίως· κρύσταλλός τε γὰρ ἐπεπήγει οὐ βέβαιος ἐν αὐτῇ ὥστ' ἐπελθεῖν, ἀλλ' οἷος ἀπηλιώτου ἢ βορέου ὑδατώδης μᾶλλον, καὶ ἡ νὺξ τοιούτῳ ἀνέμῳ ὑπονειφομένη πολὺ τὸ ὕδωρ ἐν αὐτῇ ἐπεποιήκει, ὃ μόλις ὑπερέχοντες ἐπεραιώθησαν. ἐγένετο δὲ καὶ ἡ διαφευξις αὐτοῖς μᾶλλον διὰ τοῦ χειμῶνος τὸ μέγεθος.

Ὁρμήσαντες δὲ ἀπὸ τῆς τάφρου οἱ Πλαταιῆς ἐχώρουν 24
ἀθρόοι τὴν ἐς Θήβας φέρουσαν ὁδόν, ἐν δεξιᾷ ἔχοντες τὸ τοῦ Ἀνδροκράτους ἡρῷον, νομίζοντες ἥκιστα σφᾶς ταύτην αὐτοὺς ὑποτοπῆσαι τραπέσθαι τὴν ἐς τοὺς πολεμίους· καὶ ἅμα ἑώρων τοὺς Πελοποννησίους τὴν πρὸς Κιθαιρῶνά καὶ Δρυὸς κεφαλὰς τὴν ἐπ' Ἀθηνῶν φέρουσαν μετὰ λαμπάδων διώκοντας. καὶ ἐπὶ μὲν ἓξ ἢ ἑπτὰ σταδίους οἱ Πλαταιῆς 2

Seite. vgl. 5, 10, 4. 71, 1 u. Gr. 43, 4 A. 20. — βιαίως von den Feinden gedrängt. (Bl.) vgl. zu 2, 33, 3.

§ 5. ἐπελθεῖν, διαβραμεῖν. (Sch.) — οἷος — μᾶλλον wäſſerig, wie es vielmehr beim Oſt- als beim Nordwinde zu ſein pflegt will man nach dem Sch. und Ba. erklären, der Sache wegen die Worte renkend. — ἀπηλιώτης neben ἀφηλιώτης auch in der gewöhnlichen Sprache. Lobeck zu Soph. Aj. 805. Der Genitiv wie ἑσπέρας, νυκτός ꝛc. Gr. 47, 2 A. 1. — βορέου. εὔρου? Das Eis beim Nordwinde pflegt feſt zu ſein; nicht ſo beim Oſt- und Südoſtwinde, bei denen es meiſt gar nicht gefriert. Bei der La. βορέου wäre auch τοιούτῳ ſeltſam, ſo lautend als ob zwiſchen dem Nord- und dem Oſtwinde eben kein großer Unterſchied wäre. — ὑπονειφομένη für ὑπονιφομένη die beſten Hſn., wie auch 4, 103, 2. „Poetiſch, ja lyriſch klingt der Ausdruck νὺξ ὑπονειφομένη." (Bl.) — ὑπερέχοντες erg. αὐτοῦ, τοῦ ὕδατος (Bl.), darüber hervorragend, etwa mit dem Köpfen. — διάφευξις haben auch Dio C. und Plut. gebraucht. vgl. Steph. Theſ. καταφευξις 7, 38, 3. (Pp.)

C. 24. § 1. τὸ τοῦ Ἀ. ἡρῶον. vgl. Her. 9, 25. (Wa.) — σφᾶς, τοὺς Πλαταιέας. Nothwendig wird das Pron. dem Inf. beigefügt, wenn er nicht direct vom Hauptverbum, ſondern von einem andern Inf. abhängt: νομίζοντες αὐτοὺς ὑποτοπῆσαι ἥκιστα σφᾶς ταύτην τραπέσθαι. Dem. 30, 23: τοὺς μὲν ὄντας οἰκείους οὐκ ἐδύναντο πεῖσαι τὴν προῖκ' ἀποδεδωκέναι σφᾶς μαρτυρεῖν. Plat. Rep. 381, e: ἡμῖν ποιοῦσι δοκεῖν σφᾶς παντοδαπούς φαίνεσθαι. (Arndt.) — τραπέσθαι. zu 1, 81, 2. — Δρυὸς κ. Böotiſch Τρεῖς κ. Her. 9, 39. (Pp.) — Ἑρύθραι mit äoliſcher Betonung. vgl. Göttling Acc. S. 112 u. Spitzner zu Il. β, 499. (Pp.)

τὴν ἐπὶ τῶν Θηβῶν ἐχώρησαν, ἔπειθ' ὑποστρέψαντες ἧσαν τὴν πρὸς τὸ ὄρος φέρουσαν ἐδὸν ἐς Ἐρύθρας καὶ Ὑσιάς, καὶ λαβόμενοι τῶν ὀρῶν διαφεύγουσιν ἐς τὰς Ἀθήνας, ἄνδρες δώδεκα καὶ διακόσιοι ἀπὸ πλειόνων· εἰσὶ γάρ τινες αὐτῶν οἳ ἀπετράποντο ἐς τὴν πόλιν πρὶν ὑπερβαλνειν, εἷς δ' ἐπὶ τῇ
3 ἔξω τάφρῳ τοξότης ἐλήφθη. οἱ μὲν οὖν Πελοποννήσιοι κατὰ χώραν ἐγένοντο τῆς βοηθείας παυσάμενοι· οἱ δ' ἐκ τῆς πόλεως Πλαταιῆς τῶν μὲν γεγενημένων εἰδότες οὐδέν, τῶν δὲ ἀποτραπομένων σφίσιν ἀπαγγειλάντων ὡς οὐδεὶς περλεστι, κήρυκα ἐκπέμψαντες, ἐπεὶ ἡμέρα ἐγένετο, ἐσπένδοντο ἀναίρεσιν τοῖς νεκροῖς, μαθόντες δὲ τὸ ἀληθὲς ἐπαύσαντο. οἱ μὲν δὴ τῶν Πλαταιῶν ἄνδρες οὕτως ὑπερβάντες ἐσώθησαν.

25 Ἐκ δὲ τῆς Λακεδαίμονος τοῦ αὐτοῦ χειμῶνος τελευτῶντος ἐκπέμπεται Σάλαιθος ὁ Λακεδαιμόνιος ἐς Μυτιλήνην τριήρει. καὶ πλεύσας ἐς Πύρραν καὶ ἐξ αὐτῆς πεζῇ κατὰ χαράδραν τινά, ᾗ ὑπερβατὸν ἦν τὸ περιτείχισμα, διαλαθὼν
2 ἐσέρχεται ἐς τὴν Μυτιλήνην, καὶ ἔλεγε τοῖς προέδροις ὅτι ἐσβολή τε ἅμα ἐς τὴν Ἀττικὴν ἔστιι καὶ αἱ τεσσαράκοντα νῆες παρέσονται ἃς ἔδει βοηθῆσαι αὐτοῖς· προαποπεμφθῆναί τε αὐτὸς τούτων ἕνεκα καὶ ἅμα τῶν ἄλλων ἐπιμελησόμενος. καὶ οἱ μὲν Μυτιληναῖοι ἐθάρσουν τε καὶ πρὸς τοὺς Ἀθηναίους ἧσσον εἶχον τὴν γνώμην ὥστε ξυμβαίνειν. ὅ τε χειμὼν ἐτελεύτα οὗτος καὶ τέταρτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψεν.

---

§ 2. λαβόμενοι erreichten. vgl. 3, 106, 2. 8, 80, 2. (Ph.) — πλειόνων 3, 20, 2.

§ 3. κατὰ χώραν ἐγένοντο kamen nach ihrem Standorte. (Ps.) — τῆς βοηθείας παυσάμενοι nachdem sie von dem Auszuge, der Verfolgung, abgelassen. (Ba.) — εἰδότες — ἀπαγγειλάντων. Gr. 56, 14 A. 2. — ἐσπένδοντο vom Versuche. (Sch.) zu 1, 134, 1. — ἀναίρεσιν. 3, 109, 2 u. 114, 2: ἀναχώρησιν σπένδεσθαι. Sonst ist der Ac. bei σπένδεσθαι selten. (Bl.)

C. 25. § 1. ὁ mit anstößig steht in allen Hss. Pp. vergleicht 3, 100, 2. 5, 52, 1. 8, 35, 1.

§ 2. τοῖς προέδροις, τοῖς ἄρχουσι τῶν Μυτιληναίων. (Sch.) — αἱ τεσσαράκοντα 16, 3. — εἶχον τὴν γνώμην nahmen Bedacht rücksichtlich einer Aussöhnung. vgl. 5, 44, 1 u. Xen. An. 2, 5, 29. (Bl.) Jacobs z. Ach. T. p. 451.

Τοῦ δ' ἐπιγιγνομένου θέρους οἱ Πελοποννήσιοι ἐπειδὴ 26
τὰς ἐς τὴν Μυτιλήνην δύο καὶ τεσσαράκοντα ναῦς ἀπέστειλαν
ἔχοντα Ἀλκίδαν, ὃς ἦν αὐτοῖς ναύαρχος, προστάξαντες, αὐτοὶ
ἐς τὴν Ἀττικὴν καὶ οἱ ξύμμαχοι ἐσέβαλον, ὅπως οἱ Ἀθη-
ναῖοι ἀμφοτέρωθεν θορυβούμενοι ἧσσον ταῖς ναυσὶν ἐς τὴν
Μυτιλήνην καταπλεούσαις ἐπιβοηθήσωσιν. ἡγεῖτο δὲ τῆς 2
ἐσβολῆς ταύτης Κλεομένης ὑπὲρ Παυσανίου τοῦ Πλειστοά-
νακτος υἱέος βασιλέως ὄντος καὶ νεωτέρου ἔτι, πατρὸς δὲ
ἀδελφὸς ὤν. ἐδήωσαν δὲ τῆς Ἀττικῆς τά τε πρότερον τετμη-
μένα [καὶ] εἴ τι ἐβεβλαστήκει καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβο-
λαῖς παρελέλειπτο· καὶ ἡ ἐσβολὴ αὕτη χαλεπωτάτη ἐγένετο 3
τοῖς Ἀθηναίοις μετὰ τὴν δευτέραν. ἐπιμένοντες γὰρ ἀεὶ
ἀπὸ τῆς Λέσβου τι πεύσεσθαι τῶν νεῶν ἔργον ὡς ἤδη πε-
πραιωμένων, ἐπεξῆλθον τὰ πολλὰ τέμνοντες. ὡς δ' οὐδὲν
ἀπέβαινεν αὐτοῖς ὧν προσεδέχοντο καὶ ἐπελελοίπει ὁ σῖτος,
ἀνεχώρησαν καὶ διελύθησαν κατὰ πόλεις.

Οἱ δὲ Μυτιληναῖοι ἐν τούτῳ, ὡς αἵ τε νῆες αὐτοῖς οὐχ 27
ἧκον ἀπὸ τῆς Πελοποννήσου ἀλλὰ ἐνεχρόνιζον καὶ ὁ σῖτος
ἐπελελοίπει, ἀναγκάζονται ξυμβαίνειν πρὸς τοὺς Ἀθηναίους
διὰ τάδε. ὁ Σάλαιθος καὶ αὐτὸς οὐ προσδεχόμενος ἔτι τὰς
ναῦς ὁπλίζει τὸν δῆμον, πρότερον ψιλὸν ὄντα, ὡς ἐπεξιὼν
τοῖς Ἀθηναίοις· οἱ δὲ ἐπειδὴ ἔλαβον ὅπλα, οὔτε ἠκροῶντο
ἔτι τῶν ἀρχόντων κατὰ ξυλλόγους τε γιγνόμενοι ἢ τὸν σῖτον

C. 26. § 1. τοῖς ἐς M. die nach M. beſtimmten. Die Conſtruction iſt ἀπέστειλαν Ἀλκίδαν ἔχοντα τὰς ναῦς. vgl. Kr. z. Dion. p. 290 oder zu Xen. An. 1, 2, 21. — προστάξαντες nachdem ſie ihn darüber geſetzt. vgl. 6, 93, 2. 7, 19, 4. 8, 23, 3. — ταῖς ναυσὶν ἐπιβοηθήσωσιν gegen die Schiffe ausgezogen (Ps.), eine neue Flotte ſendend.

§ 2. Κλεομένης. οὗτος ὁ Κ. καὶ ὁ Πλειστοάναξ παῖδες εἰσὶ Παυσανίου τοῦ ἐν Πλαταιᾶσιν ἀριστεύσαντος ἐπὶ Μήδων. (Sch.) Pleiſtoanax war verbannt 2, 21, 1. 5, 16, 4. 5. (Pp.). — νεωτέρου zu 1, 107, 1. — πατρὸς δέ. Kr. zu Xen. An. 1, 7, 9. — καὶ vor εἴ τι wird mit L. Dindorf zu tilgen ſein. — ἐβεβλαστήκει. Gr. 28, 10 A. 3., vgl. Hellan. (?) Bruchſt. 77. (Pp.)

§ 3. πεύσεσθαι. Gr. 55, 3 A. 11. — ἀεί gehört zu πεύσεσθαι. — ἐπεξῆλθον, ἐπέδραμον. (Sch.) ἐπῆλθον will Pp. Jenes ſei weder bei Th. noch wohl auch ſonſt ſo gebraucht.

C. 27. διὰ τάδε auf folgende Veranlaſſung. (Hl.) — ὁπλίζει gibt ihm Hoplitenbewaffnung. (Ac.) — κατὰ ξυλλόγους. zu 2, 21, 2.

ἐκέλευον τοὺς δυνατοὺς φέρειν ἐς τὸ φανερὸν καὶ διανέμειν ἅπασιν, ἢ αὐτοὶ ξυγχωρήσαντες πρὸς Ἀθηναίους ἔφασαν
28 παραδώσειν τὴν πόλιν. γνόντες δὲ οἱ ἐν τοῖς πράγμασιν οὔτ' ἀποκωλύσειν δυνατοὶ ὄντες, εἴ τ' ἀπομονωθήσονται τῆς ξυμβάσεως, κινδυνεύσοντες, ποιοῦνται κοινῇ ὁμολογίαν πρός τε Πάχητα καὶ τὸ στρατόπεδον, ὥστε Ἀθηναίοις μὲν ἐξεῖναι βουλεῦσαι περὶ Μυτιληναίων ὁποῖον ἄν τι βούλωνται καὶ τὴν στρατιὰν ἐς τὴν πόλιν δέχεσθαι αὐτούς, πρεσβείαν δὲ ἀπο-
2 στέλλειν ἐς τὰς Ἀθήνας Μυτιληναίους περὶ ἑαυτῶν· ἐν ὅσῳ δ' ἂν πάλιν ἔλθωσι, Πάχητα μήτε δῆσαι Μυτιληναίων μηδένα μήτε ἀνδραποδίσαι μήτε ἀποκτεῖναι. ἡ μὲν ξύμβασις αὕτη ἐγένετο, οἱ δὲ πράξαντες πρὸς τοὺς Λακεδαιμονίους μάλιστα τῶν Μυτιληναίων περιδεεῖς ὄντες, ὡς ἡ στρατιὰ ἐσῆλθεν, οὐκ ἠνέσχοντο ἀλλ' ἐπὶ τοὺς βωμοὺς ὅμως καθίζουσιν.
3 Πάχης δ' ἀναστήσας αὐτοὺς ὥστε μὴ ἀδικῆσαι, κατατίθεται ἐς Τένεδον μέχρι οὗ τοῖς Ἀθηναίοις τι δόξῃ. πέμψας δὲ καὶ ἐς τὴν Ἄντισσαν τριήρεις προσεκτήσατο καὶ τἆλλα τὰ περὶ τὸ στρατόπεδον καθίστατο ᾗ αὐτῷ ἐδόκει.

29 Οἱ δ' ἐν ταῖς τεσσαράκοντα ναυσὶ Πελοποννήσιοι, οὓς ἔδει ἐν τάχει παραγενέσθαι, πλέοντες περί τε αὐτὴν τὴν Πελοπόννησον ἐνδιέτριψαν καὶ κατὰ τὸν ἄλλον πλοῦν σχολαίους νομισθέντες τοὺς μὲν ἐκ τῆς πόλεως Ἀθηναίους λανθάνουσι,

---

C. 28. § 1. οἱ ἐν τοῖς πράγμασιν, οἱ ἄρχοντες. (Gl.) Kr. z. Dion. p. 269. — ἀποκωλύσειν. zu 1, 27, 2. — εἴ τε. zu 1, 35, 2. Eben so nach οὔτε 4, 68, 5. 5, 30, 3. 7, 64, 1. (Kr.) — κινδυνεύσοντες schließt sich auch an γνόντες an. — πρεσβείαν δὲ —. Concinner wäre Μυτιληναίους δὲ πρ. (Pp.)

§ 2. οὐκ ἠνέσχοντο warteten es nicht ab. (Ba.) — ὅμως ungeachtet des Vertrages.

§ 3. ἀναστήσας. zu 1, 126, 6. — ὥστε. Gr. 65, 3 A. 1. — κατατίθεται. Valckenaer zu Her. 6, 73. (Pp.) vgl. 1, 115, 3. 3, 35. — μέχρι οὗ. zu 1, 137, 1. — προσεκτήσατο, Ἄντισσαν. zu 1, 114, 2. — τὰ περὶ τὸ στρ. will Pp. auf die nächstgelegenen Ortschaften von Lesbos beziehen. vgl. 35. Aber dort heißt ja τὰ περὶ M. keineswegs die um M. gelegenen Gegenden.

C. 29. § 1. σχολαίους. Gr. 57, 5 A. 4. — ἐκ für ἐν, indem eine Wirkungskraft von Athen aus auf diesen Punct gedacht wird. vgl. zu

πρὶν δὴ τῇ Δήλῳ ἔσχον, προσμίξαντες δ' ἀπ' αὐτῆς τῇ Ἰκάρῳ καὶ Μυκόνῳ πυνθάνονται πρῶτον ὅτι ἡ Μυτιλήνη ἑάλωκεν. βουλόμενοι δὲ τὸ σαφὲς εἰδέναι κατέπλευσαν ἐς Ἔμ- 2
βατον τῆς Ἐρυθραίας· ἡμέραι δὲ μάλιστα ἦσαν τῇ Μυτιλήνῃ ἑαλωκυίᾳ ἑπτὰ ὅτ' ἐς τὸ Ἔμβατον κατέπλευσαν. πυθόμενοι δὲ τὸ σαφὲς ἐβουλεύοντο ἐκ τῶν παρόντων, καὶ ἔλεξεν αὐτοῖς Τευτίαπλος ἀνὴρ Ἠλεῖος τάδε.

"Ἀλκίδα καὶ Πελοποννησίων ὅσοι πάρεσμεν ἄρχοντες 30
τῆς στρατιᾶς, ἐμοὶ δοκεῖ πλεῖν ἡμᾶς ἐπὶ Μυτιλήνην πρὶν ἐκπύστους γενέσθαι, ὥσπερ ἔχομεν. κατὰ γὰρ τὸ εἰκὸς ἀνδρῶν νεωστὶ πόλιν ἐχόντων πολὺ τὸ ἀφύλακτον εὑρήσομεν, κατὰ μὲν θάλασσαν καὶ πάνυ, ᾗ ἐκεῖνοί τε ἀνέλπιστοι ἐπιγενέσθαι ἄν τινα σφίσι πολέμιον καὶ ἡμῶν ἡ ἀλκὴ τυγχάνει μάλιστα οὖσα· εἰκὸς δὲ καὶ τὸ πεζὸν αὐτῶν κατ' οἰκίας ἀμελέστερον ὡς κεκρατηκότων διεσπάρθαι. εἰ οὖν προσπέ- 2
σοιμεν ἄφνω τε καὶ νυκτός, ἐλπίζω μετὰ τῶν ἔνδον, εἴ τις ἄρα ἡμῖν ἔστιν ὑπόλοιπος εὔνους, καταληφθῆναι ἂν τὰ πράγματα. καὶ μὴ ἀποκνήσωμεν τὸν κίνδυνον, νομίσαντες οὐκ ἄλλο τι εἶναι τὸ καινὸν τοῦ πολέμου ἢ τὸ τοιοῦτον, ὃ εἴ τις στρατηγὸς ἔν τε αὐτῷ φυλάσσοιτο καὶ τοῖς πολεμίοις ἐνορῶν ἐπιχειροίη, πλεῖστ' ἂν ὀρθοῖτο."

22, 3. Berückſichtigt wird 26, 1 C. — *Δήλῳ.* Gr. 48, 1 A. 2. — *Μυκόνῳ* ſollte zuerſt ſtehen. Ein ähnliches Hyſteronproteron, 8, 88 C. (Pp.) vgl. 2, 93, 1 mit 92, 4.

§ 2. *τῇ M. ἑαλωκυίᾳ.* Gr. 48, 5 A. 3. — *ἐκ τῶν παρόντων.* Gr. 68, 17 A. 10. vgl. 4, 17, 1. 5, 40, 3. 87. 6, 70, 4. 93, 2. 7, 62, 1. 77, 1.

C. 30. § 1. *ἐκπύστους γενέσθαι* bevor unſere Ankunft verrathen worden, wie 4, 70, 3. 8, 42, 1: *κατάγγελτον γίγνεσθαι* 7, 48, 1. (Pp.) — *ὥσπερ ἔχομεν* ungeſäumt. zu 1, 134, 3. vgl. 8, 41, 3. 42, 1. Kr. zu Xen. An. 4, 1, 19. — *ἀνδρῶν* hängt von *τὸ ἀφύλακτον* ab: an Männern die eben erſt eine Stadt erobert haben werden wir die Sorgloſigkeit groß finden. — *μάλιστα οὖσα. μάλιστ' ἀποῦσα* oder *μαλ' ἀποστατοῦσα* Kr. Pp. meint, es werde darauf Bezug genommen daß die Lakedämonier bei dieſer Expedition mehr See- als Landmacht gehabt. Das aber wäre hier eine ſehr beziehungsloſe Beziehung, da der Satz doch mit *ἀφύλακτον κατὰ θάλασσαν* in Verbindung ſteht.

§ 2. *τὸ καινόν* das Ueberraſchende: durch Ueberraſchung dem Feinde Vortheile abzugewinnen iſt gerade unter ſolchen Verhältniſſen (*τὸ τοιοῦτον*) möglich. Einige Hſn. *τὸ κενόν.* — *ὃ εἴτις — ὀρθοῖτο* wenn ſich davor, vor ſolchen

31 Ὁ μὲν τοσαῦτα εἰπὼν οὐκ ἔπεισε τὸν Ἀλκιδαν. ἄλλοι δέ τινες τῶν ἀπ' Ἰωνίας φυγάδων καὶ οἱ Λέσβιοι ξυμπλέοντες παρῆνουν, ἐπειδὴ τοῦτον τὸν κίνδυνον φοβεῖται, τῶν ἐν Ἰωνίᾳ πόλεων καταλαβεῖν τινα ἢ Κύμην τὴν Αἰολίδα, ὅπως ἐκ πόλεως ὁρμώμενοι τὴν Ἰωνίαν ἀποστήσωσιν — ἐλπίδα δ' εἶναι· οὐδενὶ γὰρ ἀκουσίως ἀφῖχθαι — καὶ τὴν πρόσοδον ταύτην μεγίστην οὖσαν Ἀθηναίων ἢν ὑφέλωσι καὶ
2 ἅμα ἣν ἐφορμῶσιν αὐτοῖς, δαπάνη [σφίσι] γίγνηται· πείσειν τε οἴεσθαι καὶ Πισσούθνην ὥστε ξυμπολεμεῖν. ὁ δὲ οὐδὲ ταῦτα ἐνεδέχετο, ἀλλὰ τὸ πλεῖστον τῆς γνώμης εἶχεν, ἐπειδὴ τῆς Μυτιλήνης ὑστερήκει, ὅτι τάχιστα τῇ Πελοποννήσῳ πάλιν
32 προσμῖξαι. ἄρας δὲ ἐκ τοῦ Ἐμβάτου παρέπλει καὶ προσσχὼν Μυοννήσῳ τῇ Τηΐων τοὺς αἰχμαλώτους οὓς κατὰ πλοῦν

Ueberrumpelungen, ein Feldherr hütet und wo er sie d. h. die Möglichkeit dazu, an den Feinden wahrnimmt, angreift, so dürfte er am meisten Erfolge haben. vgl. zu 2, 60, 2.

C. **31.** § 1. ὁρμώμενοι, ὁρμητήριον ἔχοντες. (Sch.) zu 1, 61, 2. — οὐδενί für οὐδέν gute Hss.: sie, die Lakedämonier, seien Niemanden unerwünscht angekommen, auch nicht den Bundesgenossen der Athener. (Kr.) — καὶ τήν. vollständig καὶ ὅπως τήν, indem ἀποστήσωσιν und γίγνηται durch καί verbunden werden. — τὴν πρόσοδον — Ἀθηναίων stehen, weil betont, vor ἣν. vgl. Gr. 54, 17 A. 7. — ἣν. ἵνα Dobree. — ὑφέλωσι. ἀφέλωσι drei gute Hss. u. der Sch. vgl. 1, 81, 2. — ἣν. ἵνα Dobree. — ἐφορμῶσιν. ἐφορμοῦσιν αὐτοῖς δαπάνη σφίσι γίγνηται Bekker. — ἐφορμῶσιν αὐτοῖς die Athener sie, die Lakedämonier und Jonier, mit einer Flotte blokirten. Dem. 3, 7: πόλιν μεγάλην ἐφορμεῖν τοῖς ἑαυτοῦ καιροῖς. — σφίσι auf die Athener bezogen, die hier dem Gedanken nach Hauptsubject sind. Doch ist es verdächtig, da mehrere Hss. es vor δαπάνη haben. Ich möchte umstellen: ἐφορμοῦσι σφίσι, δαπάνη αὐτοῖς. — δαπάνη Kostenaufwand. Hdt. 5, 30: ὑπίσχεσθαι δῶρα ἐκέλευον καὶ δαπάνην τῇ στρατιῇ. In Bezug auf den ersten Satz denke man aus δαπάνη überhaupt Verlust. (Kr.) — γίγνηται hängt noch von ὅπως ab, durch das καί vor τὴν πρόσοδον mit ἀποστήσωσιν verbunden.

§ 2. ἐνεδέχετο ging darauf ein. — τὸ πλεῖστον τῆς γνώμης das angelegentlichste Streben. Aehnlich 4, 34, 1: τοῦ θαρσεῖν τὸ πλεῖστον εἰληφότες. — τῆς M. ὑστερήκει er war zur Rettung M.s zu spät gekommen. Aehnlich ὑστερεῖν τῆς πατρίδος Xen. Ag. 2, 1.

C. **32.** § 1. παρέπλει schiffte an der Küste hin. (Hf.) — τῇ Τηίων. Gr. 47, 5 A. 8. vgl. 3, 31, 4. — κατὰ πλοῦν ohne Artikel, wie 7, 31, 2 und ἐν πλῷ 6, 34, 8. (Pp.) So auch κατ' οὖν

ελλήφει ἀπέσφαξε τοὺς πολλούς. καὶ ἐς τὴν Ἔφεσον καθορμισαμένου αὐτοῦ Σαμίων τῶν ἐξ Ἀναίων ἀφικόμενοι πρέσβεις ἔλεγον οὐ καλῶς τὴν Ἑλλάδα ἐλευθεροῦν αὐτόν, εἰ ἄνδρας διέφθειρεν οὔτε χεῖρας ἀνταιρομένους οὔτε πολεμίους, Ἀθηναίων δὲ ὑπ' ἀνάγκης ξυμμάχους· εἴ τε μὴ παύσεται, ὀλίγους μὲν αὐτὸν τῶν ἐχθρῶν ἐς φιλίαν προσάξεσθαι, πολὺ δὲ πλείους τῶν φίλων πολεμίους ἕξειν. καὶ ὁ 2
μὲν ἐπείσθη τε καὶ Χίων ἄνδρας ὅσους εἶχεν ἔτι ἀφῆκεν καὶ τῶν ἄλλων τινάς· ὁρῶντες γὰρ τὰς ναῦς οἱ ἄνθρωποι οὐκ ἔφευγον ἀλλὰ προσεχώρουν μᾶλλον ὡς Ἀττικαῖς καὶ ἐλπίδα οὐδὲ τὴν ἐλαχίστην εἶχον μή ποτε Ἀθηναίων τῆς θαλάσσης κρατούντων ναῦς Πελοποννησίων ἐς Ἰωνίαν παραβαλεῖν.

Ἀπὸ δὲ τῆς Ἐφέσου ὁ Ἀλκίδας ἔπλει κατὰ τάχος καὶ 33
φυγὴν ἐποιεῖτο· ὤφθη γὰρ ὑπὸ τῆς Σαλαμινίας καὶ Παράλου ἔτι περὶ Κλάρον ὁρμῶν, αἱ δ' ἀπ' Ἀθηνῶν ἔτυχον πλέουσαι, καὶ δεδιὼς τὴν δίωξιν ἔπλει διὰ τοῦ πελάγους ὡς γῇ ἑκούσιος οὐ σχήσων ἄλλῃ ἢ Πελοποννήσῳ. τῷ δὲ Πάχητι καὶ τοῖς Ἀθηναίοις ἦλθε μὲν καὶ ἀπὸ τῆς Ἐρυθραίας ἀγγελία, ἀφικνεῖτο δὲ καὶ πανταχόθεν· ἀτειχίστου γὰρ οὔσης τῆς 2
Ἰωνίας μέγα τὸ δέος ἐγένετο μὴ παραπλέοντες οἱ Πελοποννήσιοι, εἰ καὶ ὡς μὴ διενοοῦντο μένειν, ποθῶσιν ἅμα προσπίπτοντες τὰς πόλεις. αὐτάγγελοι δ' αὐτὸν ἰδοῦσαι ἐν

2, 5, 1. 5, 37, 1, neben κατὰ τὴν ὁδόν 4, 128, 3. — ἀπέσφαξε. vgl. 2, 67, 4. (Pp.) — τοὺς πολλούς. Gr. 47, 28 A. 3 u. z. Dion. p. 305. — διέφθειρεν. Das Präteritum weil εἰ faſt ſo viel iſt als ἐπεί. Gr. 65, 5 A. 7. — ἀνταιρομένους zur Gegenwehr erhoben. Heindorf zu Plat. Euthyd. 2.

§ 2. μή wäre in der Ordnung, wenn der Optativ oder Conjunctiv folgte; jetzt wird es wohl zu erklären ſein wie bei ἀπιστεῖν 1, 10, 1. — παραβαλεῖν überſetzen nach Ba. u. Andern, wo aber die Präpoſition ſeine rechte Beziehung hätte. Dieſe Bedeutung anzweifelnd erklärt Hl.: ſich hinüber wagen. vgl. 36, 2: τολμῆσαι παρακινδυνεῦσαι und Polyb. 1, 11: παραβόλως περαιωθείς.

C. 33. § 1. Κλάρον. Ἴκαρον Pp., jetzt ſelbſt es verwerfend. — τῷ Π. καὶ τοῖς Α. Gr. 69, 32 A. 2.

§ 2. καὶ ὡς auch ſo, ungeachtet die ἀπείχιστος Ἰωνία dazu einladen konnte. — Κλάρῳ. Ἴκάρῳ Pp. ſonſt. — αὐτάγγελος ὁ αὐτὸς ἀφ' ἑαυτοῦ διαγγέλλων καὶ μηδὲν ὑφ' ἑτέρου πεμπόμενος [ἀφ' ἑτέρου πυθόμενος?]. Ammon. p. 2. — αὐτόν, den Paches. (Pß.) So beziehen die Pronomina ſich oft nicht auf den nächſten, ſondern auf den Hauptbegriff.

3 τῇ Κλάρῳ ἥ τε Πάραλος καὶ ἡ Σαλαμινία ἔφρασαν. ὁ δὲ ὑπὸ σπουδῆς ἐποιεῖτο τὴν δίωξιν· καὶ μέχρι μὲν Πάτμου τῆς νήσου ἐπεδίωξεν, ὡς δ' οὐκέτι ἐν καταλήψει ἐφαίνετο, ἐπανεχώρει. κέρδος δὲ ἐνόμισεν, ἐπειδὴ οὐ μετεώρους περιέτυχεν, ὅτι οὐδαμοῦ ἐγκαταληφθεῖσαι ἠναγκάσθησαν στρατόπεδον ποιεῖσθαι καὶ φυλακὴν σφίσι καὶ ἐφόρμησιν παρα-
34 σχεῖν. παραπλέων δὲ πάλιν ἔσχε καὶ ἐς Νότιον τὸ Κολοφωνίων, οὗ κατώκηντο Κολοφώνιοι τῆς ἄνω πόλεως ἁλωκυίας ὑπὸ Ἰταμάνους καὶ τῶν βαρβάρων κατὰ στάσιν ἰδίᾳ ἐπαχθέντων· ἑάλω δὲ μάλιστα αὕτη ὅτε ἡ δευτέρα Πελοπον-
2 νησίων ἐσβολὴ ἐς τὴν Ἀττικὴν ἐγίγνετο. ἐν οὖν τῷ Νοτίῳ οἱ καταφυγόντες καὶ κατοικήσαντες αὐτόθι αὖθις στασιάσαντες οἱ μὲν παρὰ Πισσούθνου ἐπικούρους Ἀρκάδων τε καὶ τῶν βαρβάρων ἐπαγόμενοι ἐν διατειχίσματι εἶχον, καὶ τῶν ἐκ τῆς ἄνω πόλεως Κολοφωνίων οἱ μηδίσαντες ξυνεσελθόντες ἐπολίτευον, οἱ δὲ ὑπεξελθόντες τούτους καὶ ὄντες φυγάδες
3 τὸν Πάχητα ἐπάγονται. ὁ δὲ προκαλεσάμενος ἐς λόγους Ἱππίαν τὸν ἐν τῷ διατειχίσματι Ἀρκάδων ἄρχοντα, ὥστε ἢ

---

§ 3. ὑπὸ σπουδῆς, σπουδῇ, wie 5, 66, 2. 8, 107, 1. (Py.) — Πάτμου für Λάτμου Paulmier u. drei (ſchlechte) Hſn. μή ποτε Πάτμον λέγει; (Sch.) — ἐν καταλήψει in Erreichbarkeit, erreichbar, „nachgeahmt von Dio C. 51, 1." (Py.) — ἐφαίνετο, ὁ Ἀλκιβιάδης. (Sch.) Unperſönlich faßt es Py. vgl. zu 1, 137, 4. — ὅτι — ποιεῖσθαι daß die Trieren der Lakedämonier nirgendwo getroffen und von ihm zu bleiben genöthigt (ἐγ—) gezwungen worden waren ſich in einem Lager feſt zu ſetzen. (Bs.) — σφίσι den Athenern: ihnen eine Bewachung und Blokade zu verurſachen. (Bs.)

C. 34. § 1. κατῴκηντο. zu 1, 120, 2. — τῆς ἄνω die obere (vgl. zu 1, 93, 5), das alte Kolophon. Schneider zu Xen. Hell. 1, 2, 4. — ἰδίᾳ für ἰδίαν Kr. vgl. 3, 2, 2. — μάλιστα zu ὅτε — wie bei Zahlen. — ἡ δευτέρα 2, 47, 1.

§ 2. κατοικήσαντες. zu 1, 8, 1. — διατείχισμα ein von der übrigen Stadt durch eine Zwiſchenmauer geſchiedener Theil, eine Feſte für ſich bildend. — ἐπολίτευον bildeten eine Gemeine. — ὑπεξελθόντες τούτους vor dieſen entwichen, eine ſonſt bei dieſem Worte ſchwerlich vorkommende Fügung; ὑποχωρεῖν ὄχλον 2, 88, 2 iſt doch etwas verſchieden.

§ 3. ὁ δὲ προκαλεσάμενος als ob folgen ſollte ὡς ἐξῆλθεν, ἐκεῖνον. Des Gegenſatzes halber iſt eine Anakolouthie vorgezogen, wenig auffallend, da Πάχης Hauptſubject bleibt, Gr. 56, 9 A. 3. — τόν. τὸν

μηδὲν ἀρέσκον λέγῃ, πάλιν αὐτὸν καταστήσειν ἐς το τεῖχος σῶν καὶ ὑγιᾶ, ὁ μὲν ἐξῆλθε παρ' αὐτόν, ὁ δ' ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι ἐξαπιναίως καὶ οὐ προσδεχομένων αἱρεῖ, τούς τε Ἀρκάδας καὶ τῶν βαρβάρων ὅσοι ἐνῆσαν διαφθείρει· καὶ τὸν Ἵππιαν 4
ὕστερον ἐσαγαγὼν ὥσπερ ἐσπείσατο, ἐπειδὴ ἔνδον ἦν, ξυλλαμβάνει καὶ κατατοξεύει. Κολοφωνίοις δὲ Νότιον παραδίδωσι πλὴν τῶν μηδισάντων. καὶ ὕστερον Ἀθηναῖοι οἰκιστὰς πέμψαντες κατὰ τοὺς ἑαυτῶν νόμους κατῴκισαν τὸ Νότιον, ξυναγαγόντες πάντας ἐκ τῶν πόλεων, εἴ πού τις ἦν Κολοφωνίων.

Ὁ δὲ Πάχης ἀφικόμενος ἐς τὴν Μυτιλήνην τήν τε Πύρ- 35
ραν καὶ Ἔρεσον παρεστήσατο καὶ Σάλαιθον λαβὼν ἐν τῇ πόλει τὸν Λακεδαιμόνιον κεκρυμμένον ἀποπέμπει ἐς τὰς Ἀθήνας καὶ τοὺς ἐκ τῆς Τενέδου Μυτιληναίων ἄνδρας ἅμα οὓς κατέθετο καὶ εἴ τις ἄλλος αὐτῷ αἴτιος ἐδόκει εἶναι τῆς ἀποστάσεως· ἀποπέμπει δὲ καὶ τῆς στρατιᾶς τὸ πλέον. τοῖς δὲ λοιποῖς ὑπομένων καθίσιατο τὰ περὶ τὴν Μυτιλήνην καὶ τὴν ἄλλην Λέσβον ᾗ αὐτῷ ἐδόκει. ἀφικομένων δὲ τῶν ἀν- 36
δρῶν καὶ τοῦ Σαλαίθου οἱ Ἀθηναῖοι τὸν μὲν Σάλαιθον εὐθὺς ἀπέκτειναν, ἔστιν ἃ παρεχόμενον, τά τ' ἄλλα καὶ ἀπὸ Πλαταιῶν, ἔτι γὰρ ἐπολιορκοῦντο, ἀπάξειν Πελοποννησίους· περὶ δὲ τῶν ἀνδρῶν γνώμας ἐποιοῦντο, καὶ ὑπὸ ὀργῆς ἔδο- 2
ξεν αὐτοῖς οὐ τοὺς παρόντας μόνον ἀποκτεῖναι ἀλλὰ καὶ τοὺς ἅπαντας Μυτιληναίους ὅσοι ἡβῶσιν, παῖδας δὲ καὶ

ων, da die Arkader eben erwähnt ſind, Bp. — ἀρέσκον λέγῃ annehmliche Vorſchläge machte. — τείχισμα. oben διατείχισμα. (Hk.)

§ 4. οἰκισταί ſind nirgends οἰκήτορες, ſondern Gründer der Colonie.

C. 35. παρεστήσατο. zu 1, 29, 3. — τοὺς ἐκ T. ă. 3, 28, 3.

C. 36. § 1. παρεχόμενον, πρᾶξαι ὑπισχνούμενον. (Sch.) vgl. 4, 108, 2. — τὰ ἄλλα in Bezug auf die übrigen Verhältniſſe. (Bp.) Der Artikel iſt wohl bloß durch den Gegenſatz veranlaßt.

§ 2. γνώμας ἐποιοῦντο berathſchlagten. — ἐπικα-

γυναῖκας ἀνδραποδίσαι, ἐπικαλοῦντες τήν τε ἄλλην ἀπόστασιν ὅτι οὐκ ἀρχόμενοι, ὥσπερ οἱ ἄλλοι, ἐποιήσαντο, καὶ προσξυνελάβοντο οὐκ ἐλάχιστον τῆς ὁρμῆς αἱ Πελοποννησίων νῆες
3 ἐς Ἰωνίαν ἐκείνοις βοηθοὶ τολμήσασαι παρακινδυνεῦσαι· οὐ γὰρ ἀπὸ βραχείας διανοίας ἐδόκουν τὴν ἀπόστασιν ποιήσασθαι. πέμπουσιν οὖν τριήρη ὡς Πάχητα ἄγγελον τῶν δεδογμένων, κατὰ τάχος κελεύοντες διαχρήσασθαι Μυτιληναίους. καὶ τῇ ὑστεραίᾳ μετάνοιά τις εὐθὺς ἦν αὐτοῖς καὶ ἀναλογισμὸς ὡμὸν τὸ βούλευμα καὶ μέγα ἐγνῶσθαι πόλιν
4 ὅλην διαφθεῖραι μᾶλλον ἢ οὐ τοὺς αἰτίους. ὡς δ' ἤσθοντο τοῦτο τῶν Μυτιληναίων οἱ παρόντες πρέσβεις καὶ οἱ αὐτοῖς τῶν Ἀθηναίων ξυμπράσσοντες, παρεσκεύασαν τοὺς ἐν τέλει ὥστε αὖθις γνώμας προθεῖναι· καὶ ἔπεισαν ῥᾷον, διότι καὶ ἐκείνοις ἔνδηλον ἦν βουλόμενον τὸ πλέον τῶν πολιτῶν αὖθις

λοῦντες als ob nicht ἔδοξεν sondern etwa ἐβούλήθησαν vorhergienge. Gr. 56, 9 A. 4. vgl. 6, 24, 2. 61, 4. 7, 42, 2. 70, 7. (Dr.) Jakobs z. Ach. T. p. 860. — τήν τε ἄλλην als ob etwa folgen sollte καὶ ὡς τὰς Πελοποννησίων ναῦς ἐπηγάγοντο. — ἀρχόμενοι, ὑπακούοντες τοῖς Ἀθηναίοις ὥστε φόρον φέρειν. (Sch.) vgl. 39, 1. (Pp.) — προσξυνελάβοντο nahmen Theil, wirkten noch dazu mit, „wie Dr. p. 375, b: προσξυνελάβετο τοῦ τοιούτου λόγου ὅτι. vgl. unten 4, 41, 1." (Bl.) Aehnlich συνεπιλαμβάνεσθαι στρατεύματος Her. 3, 48, πολέμου 5, 45, wofür eb. προσεπιλαμβάνεσθαι. Die La. der besten Hss. προσξυνεβάλετο, die doch nicht so alt sind als Dio, bietet kaum zu beseitigende Schwierigkeiten. — ἐλάχιστον, wie βραχύτατον ἀπέχει 4, 24, 4, πλεῖστον σφαλῆσθε 5, 113, μέγιστον ἐψευσμένη 6, 17, 4, (Pp.) δύνασθαι μέγιστον, σμικρότατον Plat. Gorg. 466 ꝛc. Gr. 46, 6 A. 7. — τῆς ὁρμῆς an, zu der Aufregung. vgl. 6, 70, 1. Gr. 47, 15. — τολμήσασαι. Gr. 56, 10 A. 2. — παρακινδυνεῦσαι, μετὰ κινδύνου ἐλθεῖν. (Sch.) μετὰ προὔπτου κινδύνου ἐλθεῖν. (St., genauer.)

§ 3. οὐκ ἀπὸ βραχείας διανοίας nach einem tief ausgelegten, wohl vorbereiteten Plane. Pp. vergleicht ἄλλων οὐδὲν ἐπινοῶν 2, 8, 1. — ἄγγελον. 8, 106, 3: ἀπέστειλαν τριήρη ἄγγελον τῆς νίκης. (Pp.) — διαχρήσασθαι, zu 1, 126, 7. — ἀναλογισμόν, μεταμέλειαν. (Poll. 6, 115.) Doch kann es wohl auch hier, wie 8, 84, 1 und Xen. Hell. 5, 1, 19, Ueberlegung heißen. vgl. Dem. 18, 106. — μέγα, in sofern es Viele betraf. — διαφθεῖραι. Gr. 50, 6 A. 6 u. über den Artikel A. 5. — ἢ οὐ. zu 2, 62, 4. Vgl. Herm. z. Vig. p. 799.

§ 4. παρεσκεύασαν bearbeiteten, wie 4, 132, 2. 8, 52, 1. (Pp.) — τοὺς ἐν τέλει, hier die Prytanen. Heusterhuys z. Luc. 3 p. 362 Zweibr. — ὥστε. zu 1, 119. — προθεῖναι. zu 1, 139, 3.

τινας σφίσιν ἀποδοῦναι βουλεύσασθαι. καταστάσης δ' εἰ- 5
θὺς ἐκκλησίας ἄλλαι τε γνῶμαι ἀφ' ἑκάστων ἐλέγοντο, καὶ
Κλέων ὁ Κλεαινέτου, ὅσπερ καὶ τὴν προτέραν ἐνεκήκει ὥστε
ἀποκτεῖναι, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν τῷ
τε δήμῳ παρὰ πολὺ ἐν τῷ τότε πιθανώτατος, παρελθὼν
αὖθις ἔλεγε τοιάδε.

"Πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρα- 37
τίαν ὅτι ἀδύνατόν ἐστιν ἑτέρων ἄρχειν, μάλιστα δ' ἐν τῇ
νῦν ὑμετέρᾳ περὶ Μυτιληναίων μεταμελείᾳ. διὰ γὰρ τὸ
καθ' ἡμέραν ἀδεὲς καὶ ἀνεπιβούλευτον πρὸς ἀλλήλους καὶ ἐς
τοὺς ξυμμάχους τὸ αὐτὸ ἔχετε, καὶ ὅ τι ἂν ἢ λόγῳ πεισθέν- 2
τες ὑπ' αὐτῶν ἁμάρτητε ἢ αἰκίᾳ ἐνδῶτε, οὐκ ἐπικινδύνως
ἡγεῖσθε ἐς ὑμᾶς καὶ οὐκ ἐς τὴν τῶν ξυμμάχων χάριν μαλα-
κίζεσθαι, οὐ σκοποῦντες ὅτι τυραννίδα ἔχετε τὴν ἀρχὴν καὶ
πρὸς ἐπιβουλεύοντας αὐτοὺς καὶ ἄκοντας ἀρχομένους, οἳ οὐκ
ἐξ ὧν ἂν χαρίζησθε βλαπτόμενοι αὐτοὶ ἀκροῶνται ὑμῶν,
ἀλλ' ἐξ ὧν ἂν ἰσχύϊ μᾶλλον ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγέ-
νησθε. πάντων δὲ δεινότατον εἰ βέβαιον ἡμῖν μηδὲν καθε- 3
στήξει ὧν ἂν δόξῃ πέρι, μηδὲ γνωσόμεθα ὅτι χείροσι νό-

— τινάς. τινά Reiske. vgl. Schäfer zu Soph. Oed. T. 107. Doch ſteht der Plu. eben ſo 6, 41, 1.

§ 5. ἀπό bei λέγεσθαι auch 3, 82, 6. 6, 32, 3. vgl. 6, 28, 1 u. zu 1, 17, 1. — προτέραν. Gr. 46, 6. — τῷ τε. τῷ δέ?

C. 37. § 1. δημοκρατίαν zieht Py. als Subjectsac. zu ἄρχειν. — τὸ καθ' ἡμέραν im täglichen Verkehr. vgl. zu 2, 37, 2. — τὸ αὐτό, τὸ ἀδεὲς καὶ ἀνεπιβούλευτον.

§ 2. ἐνδῶτε. ἐνδόντας erwartet Bs. Man erkläre: was ihr aus Mitleiden hingehen laſſet. — οὐκ vor ἐπικινδύνως gehört zu ἡγεῖσθε. (Sch.): ihr verkennet es. — ἐς ὑμᾶς. zu 1, 91, 4. — πρὸς ἐπίβ. für προσεπίβ. einige Hſn. Doch iſt πρός nicht mit Dr. für προσέτι zu nehmen. — ἐς τὴν χάριν zur Erreichung der Gunſt, die ihr damit nicht erwerbet. — μαλακίζεσθαι, μαλακώτερον καὶ πραότερον προσφέρεσθαι. (Sch.) vgl. 40, 6. — οἳ fehlt in faſt allen Hſn. Dies getilgt wollte Hermann οὐδ' ἐξ, was auch mir eingefallen. — ἐξ ὧν, ἐκ τούτων ἅ in Folge deſſen was. — ἀλλ' ἐξ ὧν. Gr. 51, 10 A. 4. Iſokr. 6, 42: τούτους εὑρήσομεν ἐξ ὧν μὲν τοῖς ἄλλοις προσέταττον πρὸς τοὺς Ἕλληνας διαβληθέντας, ἐξ ὧν δὲ τοὺς ὑβρίζοντας ἡμύναντο παρὰ πᾶσιν ἀνθρώποις εὐδοκιμήσαντας. Dem. 28, 23: πίστεις ἔχεθ' ἱκανὰς ἐκ μαρτύρων, ἐκ τῶν εἰκότων, ἐξ ὧν οὗτοι λαβεῖν ὁμολογοῦσιν ἀθρόα τἀμά.

μοις ἀκινήτοις χρωμένη πόλις κρείσσων ἐστὶν ἢ κακῶς ἔχουσιν ἀκύροις, ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας, οἵ τε φαυλότεροι τῶν ἀνθρώπων πρὸς τοὺς ξυνετωτέρους ὡς ἐπὶ τὸ πλεῖον ἄμεινον οἰκοῦσι 4 τὰς πόλεις. οἱ μὲν γὰρ τῶν τε νόμων σοφώτεροι βούλονται φαίνεσθαι τῶν τε ἀεὶ λεγομένων ἐς τὸ κοινὸν περιγίγνεσθαι, ὡς ἐν ἄλλοις μείζοσιν οὐκ ἂν δηλώσαντες τὴν γνώμην, καὶ 5 ἐκ τοῦ τοιούτου τὰ πολλὰ σφάλλουσι τὰς πόλεις· οἱ δ' ἀπιστοῦντες τῇ [ἐξ] ἑαυτῶν ξυνέσει ἀμαθέστεροι μὲν τῶν νόμων ἀξιοῦσιν εἶναι, ἀδυνατώτεροι δὲ τοῦ καλῶς εἰπόντος μέμψασθαι λόγον, κριταὶ δὲ ὄντες ἀπὸ τοῦ ἴσου μᾶλλον ἢ ἀγωνισταὶ ὀρθοῦνται τὰ πλείω. ὥς οὖν χρὴ καὶ ἡμᾶς ποιοῦντας, μὴ δεινότητι καὶ ξυνέσεως ἀγῶνι ἐπειρομένους παρὰ δόξαν τῷ ὑμετέρῳ πλήθει παραινεῖν.

---

§ 3. ἀκινήτοις wenn ſie unwandelbar ſind und beobachtet werden. Etwas verſchieden 1, 71, 2. — πόλις κρείσσων ἐστί es iſt beſſer daß eine Stadt. Gr. 61, 5 A. 8 zweite Anm. — ἀκύροις wenn ſie nicht zur Ausführung kommen. — ἀμαθία. zu 1, 84, 3. — φαυλότεροι, ἀμαθέστεροι. (Sch.) vgl. 3, 83, 2. So ſteht es dem σοφός entgegen Plat. Symp. 174 u. Eur. Phön. 496, wie φαυλότης der σοφία u. τέχνη Polyb. 8, 10. — κρείσσων im Vergleich zu. Gr. 49, 2 A. 8. vgl. 6, 86, 1. — οἱ μέν, οἱ ξυνετώτεροι. zu 1, 68, 4.

§ 4. ἐς τὸ κοινόν für das Gemeinwohl. (Arn.) Eigentlich wohl nur in Bezug darauf; oder nach Gr. 68, 21 A. 6 zu erklären? — ὡς ἐν — γνώμην als ob es keine bedeutenderen Anläſſe gäbe ihre Einſicht zu zeigen. (Ba.) Man löſe auf: ἄλλα οὐκ ἂν εἴη μείζονα ἐν οἷς (ἂν) δηλώσειαν. Bl. vermuthete μείσσοσιν ſtatt μείζοσιν vgl. 40, 2, wo eine andere Beziehung. Unnöthig wäre auch ὡς ἂν ἄλλως μείζοσιν. vgl. Dio C. 47, 1: ὡς οὐκ ἂν ἄλλως τὴν ἑαυτοῦ δεινότητα διαδείξας. — ἂν δηλώσαντες. Gr. 69, 7 A. 1, 4. vgl. 4, 10, 1. 6, 38, 1. 80, 4. 7, 42, 5.

§ 5. ἐξ ἑαυτῶν wie ἀφ' ἡμῶν 2, 39, 1. (Pp.) Die Präpoſition fehlt in vielen Hſn. — ἀμαθέστεροι. zu 1, 84, 3. — ἀξιοῦσι beſcheiden ſich. (Hl.) — μέμψασθαι hängt von ἀδυνατώτεροι ab in ſofern es Adjectiv, nicht in ſofern es Comparativ iſt: weniger fähig eine Rede beſſen der gut geſprochen, das wahrhaft Nützliche vertheidigt hat, zu tadeln; weniger ἢ οἱ ξυνετώτεροι. Ba. u. Pp. erklären ἢ ὥστε μέμψασθαι. Dafür jedoch darf weder Eur. Alk. 879 noch Wyttenbach z. Jul. p. 216 s. angeführt werden. — ἀπὸ τοῦ ἴσου. zu 1, 77, 3. Alſo ohne perſönliches Intereſſe für den einen oder den andern Redner. — ὡς für οὕτως. Gr. 25, 10 A. 11. — δεινότητι, τῇ ῥητορικῇ δυνάμει. (Sch). vgl. 8, 68, 2. (Pp.) — ξυνέσεως ἀγῶνι durch das Streben ſein Talent geltend zu machen. — παρὰ

Ἐγὼ μὲν οὖν ὁ αὐτός εἰμι τῇ γνώμῃ καὶ θαυμάζω μὲν 38
τῶν προθέντων αὖθις περὶ Μυτιληναίων λέγειν καὶ χρόνου
διατριβὴν ἐμποιησάντων, ὅ ἐστι πρὸς τῶν ἠδικηκότων μᾶλλον
— ὁ γὰρ παθὼν τῷ δράσαντι ἀμβλυτέρᾳ τῇ ὀργῇ ἐπεξέρχε-
ται, ἀμύνασθαι δὲ τῷ παθεῖν ὅτι ἐγγυτάτω κείμενον ἀντί-
παλον ὂν μάλιστα τὴν τιμωρίαν ἀναλαμβάνει — θαυμάζω 2
δὲ καὶ ὅστις ἔστιν ὁ ἀντερῶν καὶ ἀξιώσων ἀποφαίνειν τὰς
μὲν Μυτιληναίων ἀδικίας ἡμῖν ὠφελίμους οὔσας, τὰ δ' ἡμέ-
τερα ξύμφορα τοῖς ξυμμάχοις βλάβας καθισταμένας. καὶ
δῆλον ὅτι ἢ τῷ λέγειν πιστεύσας τὸ πάνυ δοκοῦν ἀνταπο-
φῆναι ὡς οὐκ ἔγνωσται ἀγωνίσαιτ' ἄν, ἢ κέρδει ἐπαιρόμενος
τὸ εὐπρεπὲς τοῦ λόγου ἐκπονήσας παράγειν πειράσεται. ἢ 3

δόξαν gegen eigene Ueberzeugung. (Sch.) παρὰ γνώμην 42, 5. (Arn.)

C. 38. § 1. ὁ αὐτός. zu 2, 61, 2. Soph. Oed. T. 557: καὶ νῦν ἔτ' αὐτός εἰμι τῷ βουλεύματι. (Elmsley.) — θαυμάζω τῶν. Gr. 47, 10 A. 9. — λέγειν. λόγον wäre üblicher. vgl. Schömann de com. p. 104. (Pp.) — πρός. zu 2, 86, 3. — μᾶλλον als uns. (Hl.) — γάρ denn ſo, wenn eine Verzögerung eintritt. (Sch. u. Ba.) — τῷ δρ. ἐπεξέρχεται. vgl. 4, 14, 3. (Pp.) — ἀμύνασθαι hier ohne Artikel als Subject iſt ziemlich fremdartig. Gr. 50, 6 A. 3 E. — τῷ. τοῦ möchte man vermuthen, da Th. ἐγγύς ſonſt nur mit dem Ge. verbindet. vgl. jedoch Gr 48, 14 A. Auch kann man das τῷ παθεῖν zu ἀντίπαλον ὄν conſtruiren und nur dem Sinne nach auch zu ἐγγυτάτω κείμενον ziehen. — ἐγγυτάτω κείμενον, εἰ τὸ ἀμύνεσθαι τῷ παθεῖν ἐγγὺς τεθείη, τουτέστιν εἰ μὴ γένοιτο ἐν μέσῳ χρόνος πολύς, ἰσόπαλόν τε καὶ ἴσον τυγχάνει τὸ ἀμύνεσθαι διὰ τὸ τὴν μνήμην ἀκραιφνῆ παρεῖναι τοῦ πεπονθέναι. (Sch.) — ὄν tilgt Haaſe, ἀντίπαλον mit τιμωρίαν verbindend. — ἀντίπαλον ὄν im Gleichgewicht erhalten, der Beleidigung gleich zu kommen durch das friſche Gefühl derſelben angeregt. — ἀναλαμβάνει nimmt auf, um ſie in gebührendem Maße eintreten zu laſſen. Da jedoch das Wort ſich ſo weiter nicht findet, ſo vermuthe ich ἀντιλαμβάνει. vgl. ἀντιδοῦναι 2, 53, 3.

§ 2. τὰ δ' ἡμέτερα ξύμφορα unſere Vortheile, Intereſſen für τὰς δ' ἡμετέρας ξυμφοράς Kr. — τοῖς. οὐ τοῖς ein Paar Hſn. u. Ba. — τὸ πάνυ δοκοῦν οὐκ ἔγνωσται das völlig Anerkannte (an Begriffen und Grundſätzen) ſei nicht angenommen. Xen. Mem. 4, 6, 15: διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους. (Hl.) — ἀνταποφῆναι, ἐναντίως ἀποφῆναι. (Sch.) regiert von ἀγωνίσαιτ' ἄν. Gr. 55, 3 A. 16. vgl. § 4. — ἀγωνίσαιτ' ἄν möchte anringen, anſtreben. — τὸ εὐπρεπές, τὸ πιθανόν. (Sch.) die Scheinbarkeit. vgl. 44, 2, und 11, 2. — παράγειν, ἀπατᾶν. (Sch.)

δὲ πόλις ἐκ τῶν τοιῶνδε ἀγώνων τὰ μὲν ἄθλα ἑτέροις δίδωσιν, αὐτὴ δὲ τοὺς κινδύνους ἀναφέρει. αἴτιοι δ' ὑμεῖς κακῶς ἀγωνοθετοῦντες, οἵτινες εἰώθατε θεαταὶ μὲν τῶν λόγων γίγνεσθαι, ἀκροαταὶ δὲ τῶν ἔργων, τὰ μὲν μέλλοντα ἔργα ἀπὸ τῶν εὖ εἰπόντων σκοποῦντες ὡς δυνατὰ γίγνεσθαι, τὰ δὲ πεπραγμένα ἤδη, οὐ τὸ δρασθὲν πιστότερον ὄψει λαβόντες ἢ τὸ ἀκουσθέν, ἀπὸ τῶν λόγῳ καλῶς ἐπιτιμησάντων· 4 καὶ μετὰ καινότητος μὲν λόγου ἀπατᾶσθαι ἄριστοι, μετὰ δεδοκιμασμένου δὲ μὴ ξυνέπεσθαι ἐθέλειν, δοῦλοι ὄντες τῶν ἀεὶ ἀτόπων, ὑπερόπται δὲ τῶν εἰωθότων, καὶ μάλιστα μὲν αὐτὸς εἰπεῖν ἕκαστος βουλόμενος δύνασθαι, εἰ δὲ μή, ἀνταγωνιζόμενοι τοῖς τοιαῦτα λέγουσι μὴ ὕστεροι ἀκολουθῆσαι

---

§ 3. ἑτέροις, τοῖς ῥήτορσιν. (Sch.) — ἀναφέρει, ἀναλαμβάνει, ἀναδέχεται. (Sch.) Ein seltener Gebrauch. Bl. vergleicht ἀναφέρειν φθόνους καὶ διαβολάς Pol. 1, 36, 3, τὸν κλύδωνα 1, 60, 10, τὸν πόλεμον 4, 59, 10, τὸν πόνον Dion. Arch. 10, 24 p. 2053, 13. — ἀγωνοθετοῦντες. Kr. zu Xen. An. 3, 1, 21. — θεαταί. vgl. §. Der Sinn: Wie bei Schauspielen seid ihr zugegen, interessirt für die Kunst der Redner, nicht für die Interessen des Staates um die es sich handelt. — ἀκροαταὶ δὲ τῶν ἔργων, indem ihr die Thatsachen nach der Darstellung der Redner beurtheilt, nicht nach dem wirklichen Verhältnissen. — ἀπὸ τῶν nach der Darstellung der. vgl. 4, 87, 1. — εὖ, πιθανῶς. (Sch.) geschickt, talentvoll. — δρασθέν für πραχθέν die besten Hss.: indem ihr das Gethane, Geschehene, auf das Zeugniß eurer Augen nicht für zuverlässiger annehmt. (Bk.) Doch ist πιστότερον wohl Adv. zu 3, 56, 2. — ὄψει läßt ἀκροᾶσθε nach ἀκουσθέν vermissen. — καλῶς, εὐρυθμῶς καὶ πιθανῶς μετὰ τέχνης. (Sch.) — ἐπιτιμησάντων erg. σκοποῦντες. (Sch.) Die Momomanie der Athener und Berliner ist bekannt. „vgl. 7, 48, 4." (Hk.)

§ 4. καινότητος. ταῦτα πρὸς τοὺς Ἀθηναίους αἰνίττεται οὐδὲν ἧττον μελετῶντας πλὴν λέγειν τι καὶ ἀκούειν καινόν. (Sch.) — ἄριστοι vortrefflich geeignet. (Sch. u. Hl.) — μετὰ δεδοκιμασμένου bei Bewährtheit, anerkannter Trefflichkeit von Vorschlägen u. — ξυνέπεσθαι sich überzeugen lassen. — δοῦλοι τῶν unterstehlich hingezogen zu dem. — ἀτόπων, παραδόξων. (Sch.) θαυμασίων καὶ παραδόξων. Thom. M. p. 122. — ὑπερόπται, καταφρονοῦντες. (Sch.) — εἰωθότων, συνήθων. (Sch.) vgl. die Erkl. zu Ar. Frö. 1. — βουλόμενος schließt sich noch, wie ἀνταγωνιζόμενοι und die vorhergehenden Participia, appositiv an εἰώθατε γίγνεσθαι an. — τὰ τοιαῦτα beziehe ich auf ἄτοπα als Hauptbegriff und erkläre: sie ringen wetteifernd mit denen die Solches vortragen, um nicht den Schein zu haben als folgten sie erst nachkommend (ὕστεροι) mit ihrer Einsicht. Βούλεται πάντως ἀντιπεῖν τοῖς λέγουσι, ὅπως μὴ βραδύτερον ἐκείνου δόξῃ νενοηκέναι τὸ συμφέρον. (Sch.)

δοκεῖν τῇ γνώμῃ, ὀξέως δέ τι λέγοντος προεπαινέσαι· καὶ 5
προαισθέσθαι τε πρόθυμοι [εἶναι] τὰ λεγόμενα καὶ προνοῆσαι βραδεῖς τὰ ἐξ αὐτῶν ἀποβησόμενα· ζητοῦντές τε ἄλλο τι ὡς ελπεῖν ἢ ἐν οἷς ζῶμεν, φρονοῦντες δὲ οὐδὲ περὶ τῶν παρόντων ἱκανῶς· ἁπλῶς τε ἀκοῆς ἡδονῇ ἡσσώμενοι καὶ σοφιστῶν θεαταῖς ἐοικότες καθημένοις μᾶλλον ἢ περὶ πόλεως βουλευομένοις.

Ὧν ἐγὼ πειρώμενος ἀποτρέπειν ὑμᾶς ἀποφαίνω Μυτι- 39
ληναίους μάλιστα δὴ μίαν πόλιν ἠδικηκότας ὑμᾶς. ἐγὼ γάρ, οἵτινες μὲν μὴ δυνατοὶ φέρειν τὴν ὑμετέραν ἀρχὴν ἢ οἵτινες ὑπὸ τῶν πολεμίων ἀναγκασθέντες ἀπέστησαν, ξυγγνώμην ἔχω· νῆσον δὲ οἵτινες ἔχοντες μετὰ τειχῶν καὶ κατὰ θάλασ- 2
σαν μόνον φοβούμενοι τοὺς ἡμετέρους πολεμίους, ἐν ᾧ καὶ αὐτοὶ τριήρων παρασκευῇ οὐκ ἄφρακτοι ἦσαν πρὸς αὐτούς, αὐτόνομοί τε οἰκοῦντες καὶ τιμώμενοι ἐς τὰ πρῶτα ὑφ' ἡμῶν τοιαῦτα εἰργάσαντο, τί ἄλλο οὗτοι ἢ ἐπεβούλευσάν τε καὶ ἐπανέστησαν μᾶλλον ἢ ἀπέστησαν — ἀπόστασις μέν γε τῶν

— δοκεῖν hängt von ἀνταγωνιζόμενοι ab. vgl. zu § 2. — δέ τι. δ' ἔτι oder δὲ τοῦ? — προεπαινέσαι hielt ſchon Reiske für verfälſcht und vermuthete προεπαῖσαι (unattiſch), ich προεπινοῆσαι oder προϋπονοῆσαι. Plut. πολιτ. παραγγ. 3: ὁ Ἀθηναίων δῆμος μᾶλλον ὀξέως ὑπονοῆσαι ἢ διδάσκεσθαι καθ' ἡσυχίαν βούλεται. Doch will Hl. προεπαινέσαι in der Bedeutung vorher bewilligen, genehm halten faſſen. vgl. 4, 65, 2. 5, 37, 4. Dies billigt Pp., verbindet jedoch ὀξέως mit λέγοντος: ſondern um den Schein zu haben daß ſie, wenn Jemand etwas ſcharfſinnig geſagt, dies ſchon vorher, ehe er es geſagt, gebilligt hätten. Allein dieſe Bedeutung wäre doch nur zuläſſig wenn von einem Vortrage die Rede wäre.

§ 5. προαισθέσθαι. Etwas Anderes überſetzt Va.: ad significandum vos antequam diceretur sensisse. — εἶναι. ἐστί Reiske; oder zu tilgen mit Pp. — τὰ ἀποβησόμενα die oft verderblichen Folgen. — ἡδονῇ, χάριτι, γλυκύτητι, κολακείᾳ. (Sch.) vgl. 40, 1. — σοφιστῶν. 40, 2: οἱ τέρποντες λόγῳ ῥήτορες. — καθημένοις müßig ſitzenden. vgl. 4, 124, 4. (Pp.) καθήμενοι Kr.

C. 39. § 1. ὧν, ὧν ἐπιτηδευμάτων, ὧν εἶπεν ἄρτι, ὅτι οὐδὲν ἄλλο ἢ ἀδολέσχαι εἰσίν. (Sch.) — μίαν. Gr. 49, 10 A. 5. vgl. 8, 40, 2. 68, 2. — οἵτινες. Gr. 51, 13 A. 3.

§ 2. ἐν ᾧ wobei oder während. (Pp.) zu 1, 122, 1. 6, 18, 5. — ἐς τὰ πρῶτα auch 3, 56, 4. — τί ἄλλο. Gr. 62, 3 A. 7. vgl. 58, 4. 85, 2. 5, 98. 6, 80, 2. — ἐπανέστησαν. zu 1, 115, 4. — μέν γε ſteht auch ſonſt ohne ausgeſprochnen Gegenſatz. Dobree zu

βίαιόν τι πασχόντων ἐστίν — ἐζητησάν τε μετὰ τῶν πολεμιω-
3 τάτων ἡμᾶς στάντες διαφθεῖραι; καίτοι δεινότερόν ἐστιν ἢ
εἰ καθ' αὐτοὺς δύναμιν κτώμενοι ἀντεπολέμησαν. παράδειγμα δὲ αὐτοῖς οὔτε αἱ τῶν πέλας ξυμφοραὶ ἐγένοντο, ὅσοι ἀποστάντες ἤδη ἡμῶν ἐχειρώθησαν, οὔτε ἡ παροῦσα εὐδαιμονία παρέσχεν ὄκνον μὴ ἐλθεῖν ἐς τὰ δεινά· γενόμενοι δὲ
πρὸς τὸ μέλλον θρασεῖς καὶ ἐλπίσαντες μακρότερα μὲν τῆς
δυνάμεως ἐλάσσω δὲ τῆς βουλήσεως, πόλεμον ἤραντο, ἰσχὺν
4 ἀξιώσαντες τοῦ δικαίου προθεῖναι· ἐν ᾧ γὰρ ᾠήθησαν περιέσεσθαι ἐπέθεντο ἡμῖν οὐκ ἀδικούμενοι. εἴωθε δὲ τῶν πόλεων αἷς ἂν μάλιστα καὶ δι' ἐλαχίστου ἀπροσδόκητος εὐπραξία ἔλθῃ, ἐς ὕβριν τρέπειν· τὰ δὲ πολλὰ κατὰ λόγον τοῖς ἀνθρώποις εὐτυχοῦντα ἀσφαλέστερα ἢ παρὰ δόξαν, καὶ
κακοπραγίαν ὡς εἰπεῖν ῥᾷον ἀπωθοῦνται ἢ εὐδαιμονίαν δια-
5 σώζονται. χρῆν δὲ Μυτιληναίους καὶ πάλαι μηδὲν διαφέροντας τῶν ἄλλων ὑφ' ἡμῶν τετιμῆσθαι, καὶ οὐκ ἂν ἐς τόδε

Ar. Ach. 675. vgl. zu 1, 40, 3. — *μετὰ τῶν π. στάντες* nachdem ſie ſich an die f. angeſchloſſen. vgl. 7, 57, 1. 61, 2. (Dr.)

§ 3. *παράδειγμα* warnendes Beiſpiel, wie 4, 92, 3. 6, 77, 1. vgl. 3, 10, 3. 11, 3. 40, 6. 67, 5. 5, 90. Voran ſteht es in einen Gegenſatz zum Vorhergehenden zu bilden. Pp. vergleicht 3, 96, 1. 5, 7, 3. 6, 17, 2. — *παροῦσα*, *αὐτοῖς*. (Sch.) — *μή*. Gr. 67, 12 A. 3 u. 8. — *ἐλθεῖν*. Gr. 50, 6 A. 6. — *μακρότερα*, *μείζονα*. (Sch.) vgl. 4, 41, 3. — *ἐλάσσω*. Denn ſie wünſchten uns das Aergſte zugefügt, wo möglich Sturz unſerer Macht oder gar Vernichtung. — *τοῦ δικαίου*, der Treue gegen uns. (Sch.) — *προθεῖναι*, *προτιμῆσαι*. (Sch.)

§ 4. *εἴωθε*. Auch hiezu iſt *εὐπραξία* Subject. (Sch.) — *αἷς*, *ἐκείνας αἷς*. (Sch.) — *μάλιστα* will Pp. zu *ἀπροσδόκητος* ziehen, *καὶ δι' ἐλαχίστου* „und zwar nach der kleinſten Zwiſchenzeit“ durch Kommata trennend; hart und unklar. Vielleicht richtiger: denen im hohen Grade und eine ſehr kurze Zeit hindurch unerwartetes Wohlergehen zugefallen. — *τὰ πολλά*, *ὡς ἐπὶ τὸ πολύ*. Sch., der es als Ac. nahm; es wird aber wohl No. ſein. — *κατὰ λόγον* nach dem ordentlichen Laufe der Dinge. (Hl.) *λόγος* iſt hier eig. vernünftige Berechnung.

§ 5. *καὶ πάλαι* ſchon längſt. Gr. 69, 32 A. 19. — *διαφέροντας*. *διαφερόντως* einige Hſn. Jenes iſt prädicativ, wie *ἑκών* § 6. ꝛc. Gr. 57, 5 A. 2. Plat. Phädr. 268, d: *σύστασιν πρέπουσαν ἀλλήλοις τε καὶ τῷ ὅλῳ συνισταμένην*. (Gö.) vgl. dort die Erkl. Aehnlich Pol. 3, 21, 8: *μὴ βουλομένους τοῦτο ποιεῖν ὁμολογοῦντας δὴ κωνωνεῖν*. — *καὶ οὐκ*. Man vervollſtändige: und wenn das geſchehen wäre, ſo

ἐξίβρισαν· πέφυκε γὰρ καὶ ἄλλως ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν. κολασθήτωσαν δὲ καὶ νῦν ἀξίως τῆς ἀδικίας, καὶ μὴ τοῖς μὲν ὀλίγοις ἡ αἰτία προστεθῇ, τὸν δὲ δῆμον ἀπολύσητε. πάντες 6
γὰρ ἡμῖν γε ὁμοίως ἐπέθεντο, οἷς γ' ἐξῆν ὡς ἡμᾶς τραπομένοις νῦν πάλιν ἐν τῇ πόλει εἶναι. ἀλλὰ τὸν μετὰ τῶν ὀλίγων κίνδυνον ἡγησάμενοι βεβαιότερον ξυναπέστησαν. τῶν τε ξυμμάχων σκέψασθε εἰ τοῖς τε ἀναγκασθεῖσιν ὑπὸ τῶν πολεμίων καὶ τοῖς ἑκοῦσιν ἀποστῦσι τὰς αὐτὰς ζημίας προσθήσετε, τίνα οἴεσθε ὄντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι, ὅταν ἢ κατορθώσαντι ἐλευθέρωσις ᾖ ἢ σφαλέντι μηδὲν παθεῖν ἀνήκεστον; ἡμῖν δὲ πρὸς ἑκάστην πόλιν ἀπο- 7
κεκινδυνεύσεται τά τε χρήματα καὶ αἱ ψυχαί. καὶ τυχόντες μὲν πόλιν ἐφθαρμένην παραλαβόντες τῆς ἔπειτα προσόδου, ὁ' ἣν ἰσχύομεν, τὸ λοιπὸν στερήσεσθε, σφαλέντες δὲ πολεμίους πρὸς τοῖς ὑπάρχουσιν ἕξομεν, καὶ ὃν χρόνον τοῖς νῦν καθεστηκόσι δεῖ ἐχθροῖς ἀνθίστασθαι, τοῖς οἰκείοις ξυμμάχοις πολεμήσομεν.

Οὔκουν δεῖ προθεῖναι ἐλπίδα οὔτε λόγῳ πιστὴν οὔτε 40

---

würden ſie nicht. Kr. z. Dion. p. 20, Gr. 54, 12 A. 9. — καὶ ἄλλως auch ſonſt, überhaupt. (Hl.) — τὸ θεραπεῦον. Gr. 43, 4 A. 17; über den Ac. 47, 24 A. 3.

§ 6. οἷς γε. Gr. 69, 15 A. 1. — τραπομένοις für τρεπομένοις einige gute Hſn. — τῶν ὀλίγων ſynonym mit οἱ δυνατοί 47, 1 u. 2. vgl. 82, 1. — βεβαιότερον weniger bedenklich (Ba.) vgl. 5, 108. — τῶν ξυμμάχων hängt von τοῖς ἀποστᾶσι ab. (Sch.) Vorangeſtellt weil es ſowohl zu τοῖς τε — als zu καὶ τοῖς gehört — τοῖς τε gehört zu dem auch nach ἀναγκασθεῖσι zu denkenden ἀποστᾶσι (vgl. § 1): οἳ ἀναγκασθέντες ἀπέστησαν, wie οἳ ἑκόντες ἀπέστησαν. — προσθήσετε. Kr. z. Dion. p. 161. — τίνα. Gr. 51, 10 A. 11. vgl. 3, 46, 2.

§ 7. ἀποκεκινδυνεύσεται werden in Gefahr ſchweben. Gr. 52, 3 A. 4. vgl. Dem. 18, 278: τῶν ὅλων τὸ κινδυνεύεται τῇ πόλει. 19, 285: τὰ μέγιστα κινδυνεύεται τῇ πόλει. — τυχόντες bei glücklichem Erfolge. (Pö.) vgl. 3, 82, 4. 4, 63, 3. 5, 111, 5. (Py.) — ἔπειτα oder τὸ λοιπὸν kannte fehlen. vgl. 46, 2. (Py.)

C. 40. § 1. προσθεῖναι für προσθεῖναι einige Hſn. u. Ba. — πιστὴν erklärt Bl. durch πίστεως verstauend. Immer eine ſonderbare Stelle wenn man die Adjective mit ἐλπίδα verbindet; ich ziehe ſie (freilich etwas hart) mit dem Sch. u. Hl. zu ξυγγνώμην, vermuthe jedoch ἐφικτήν oder πορισιήν: weder daß ſie durch Redegewandtheit zu verſchaffende noch durch Geld erkaufbare Verzei-

χρήμασιν ὠνητὴν ὡς ξυγγνώμην ἁμαρτεῖν ἀνθρωπίνως λήψονται. ἄκοντες μὲν γὰρ οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον. ἐγὼ μὲν οὖν καὶ τότε πρῶτον καὶ νῦν διαμάχομαι μὴ μεταγνῶναι ὑμᾶς τὰ προδεδογμένα, μηδὲ τρισὶ τοῖς ἀξυμφορωτάτοις τῇ ἀρχῇ, 2 οἴκτῳ καὶ ἡδονῇ λόγων καὶ ἐπιεικείᾳ, ἁμαρτάνειν. ἔλεός τε γὰρ πρὸς τοὺς ὁμοίους δίκαιος ἀντιδίδοσθαι καὶ μὴ πρὸς τοὺς οὔτ' ἀντοικτιοῦντας ἐξ ἀνάγκης τε καθεστῶτας ἀεὶ πολεμίους· οἵ τε τέρποντες λόγῳ ῥήτορες ἔξουσι καὶ ἐν ἄλλοις ἐλάσσοσιν ἀγῶνα, καὶ μὴ ἐν ᾧ ἡ μὲν πόλις βραχέα ἡσθεῖσα μεγάλα ζημιώσεται, αὐτοὶ δὲ ἐκ τοῦ εὖ εἰπεῖν τὸ παθεῖν εὖ 3 ἀντιλήψονται· καὶ ἡ ἐπιείκεια πρὸς τοὺς μέλλοντας ἐπιτηδείους καὶ τὸ λοιπὸν ἔσεσθαι μᾶλλον δίδοται ἢ πρὸς τοὺς [ὁμοίους τε καὶ] οὐδὲν ἧσσον πολεμίους ὑπολειπομένους. ἓν δὲ ξυνελὼν λέγω· πειθόμενοι μὲν ἐμοὶ τά τε δίκαια ἐς Μυτιληναίους καὶ τὰ ξύμφορα ἅμα ποιήσετε, ἄλλως δὲ γνόντες τοῖς μὲν οὐ χαριεῖσθε, ὑμᾶς δὲ αὐτοὺς μᾶλλον δικαιώσεσθε.

---

hung finden werden. — ἁμαρτεῖν weil λαμβάνω ξυγγνώμην (v. ist als συγγιγνώσκεται ἐμοί. Gr. 50, 6 A. 6. — ξύγγνωμον, συγγνώμης ἄξιον. (Sch.) Ungewöhnliche Bedeutung. (Arn.) — οὐκ καὶ τότε· οὖν τό τι? (Kr.) — πρῶτον, διεμαχεσάμην. (Sch.) zu 1, 86, 2. — διαμάχομαι beſtehe darauf, wie 42, 2. vgl. Pflugk zu Eur. Alk. 694. (Pp.) — μεταγνῶναι. Gr. 55, 3 A. 16. — τρισί aus drei Beweggründen. Gr. 43, 4 A. 23. — ἡδονῇ λόγων 38, 5. — ἐπιεικείᾳ, συγγνώμῃ. (Sch.)

§ 2. ὁμοίους, ταῖς εὐνοίαις Ds. gleichgeſinnte Bl. vgl. Liban. p. 50, c. Vielmehr: in gleichem Verhältniſſe ſtehende, wie ja wohl aus ἐξ ἀνάγκης καθεστῶτας πολεμίους hervorgeht. — ἐξ ἀνάγκης, weil ſie abhängig ſind. (Pp.) — ἔξουσιν ἀγῶνα mögen ſich eine Kampfaufgabe wählen. Gr. 53, 7 A. 3. — βραχέα. Ar. Ach. 2: ἥσθην δὲ βαιά, πάνυ δὲ βαιὰ τέτταρα. vgl. Gr. 46, 5 A. 4. — ζημιώσεται findet ſich auch § 6, Her. 7, 39, And. 1, 72, Dem. 1, 27. 52, 11; ζημιωθήσομαι Lyſ. 6, 15. 8, 18. 29, 4, Iſä. 1, 23. 10, 16, Dem. 23, 80, Xen. Mem. 3, 9, 12. — τὸ παθεῖν εὖ Geſchenke von den Mytilenäern. (Sch.) vgl. 3, 11, 3.

§ 3. ἐπιτηδείους. zu 1, 60, 2. — δίδοται iſt vergönnt. — ὁμοίους τε καί iſt wohl zu tilgen, entſtanden durch Wiederholung aus § 2: τοὺς ὁμοίους δικαίους, und nicht überſetzt von Ba. (Kr.) Thierſch vermuthet ὁμοίως τε καί. — ἓν iſt mit λέγω zu verbinden. vgl. zu 1, 70, 5. — οὐ χαριεῖσθε, οὐχ ἕξουσιν ἡμῖν χάριν. (Sch.) — δικαιώσεσθε. δικαιώσετε Elmsley zu Eur. Med. 93 n. h. δικαιώσεσθε· καθ' ὑμῶν αὐτῶν ἀποδείξετε ὅτι τυραννικῶς ἄρχετε. (Sch.) condemna-

εἰ γὰρ οὗτοι ὀρθῶς ἀπέστησαν, ὑμεῖς ἂν οὐ χρεὼν ἄρχοιτε. 4 εἰ δὲ δὴ καὶ οὐ προσῆκον ὅμως ἀξιοῦτε τοῦτο δρᾶν, παρὰ τὸ εἰκός τοι καὶ τούσδε ξυμφόρως δεῖ πολάζεσθαι ἢ παύεσθαι τῆς ἀρχῆς καὶ ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι. τῇ τε αὐτῇ ζημίᾳ ἀξιώσατε ἀμύνασθαι καὶ μὴ ἀναλγητότεροι οἱ διαφεύγοντες τῶν ἐπιβουλευσάντων φανῆναι, ἐνθυμηθέντες ἃ εἰκὸς ἦν αὐτοὺς ποιῆσαι κρατήσαντας ὑμῶν, ἄλλως τε καὶ προϋπάρξαντας ἀδικίας. μάλιστα δὲ οἱ μὴ ξὺν προφάσει 5 τινὰ κακῶς ποιοῦντες ἐπεξέρχονται [καὶ διόλλυνται], τὸν κίνδυνον ὑφορώμενοι τοῦ ὑπολειπομένου ἐχθροῦ· ὃ γὰρ μὴ ξὺν ἀνάγκῃ τι παθὼν χαλεπώτερος διαφυγὼν τοῦ ἀπὸ τῆς

---

bitis. Ba. „So das Activ bei Dio C. p. 680, 21." (Bl.) Bei Th. findet sich sonst weder das Medium noch auch das Activ in ähnlichem Sinne und gleicher Construction. Es steckt hier vielleicht ein größerer Fehler.

§ 4. *οὐ χρεών* da ihr nicht solltet, es euch nicht gebührte zu herrschen. Gr. 56, 9 A. 5 u. 7. — *καὶ οὐ προσῆκον* auch gegen Gebühr, gleichbedeutend mit *παρὰ τὸ εἰκός*. (Pp. u. Hl.) vgl. 4, 95, 1. 6, 82, 2. 84, 1. (Dr.) — *τοῦτο δρᾶν, ἄρχειν*. — *ξυμφόρως, τοῦ συμφέροντος ἕνεκα τῇ ἀρχῇ*. (Sch.) — *ἐκ τοῦ ἀκινδύνου ἀνδραγαθίζεσθαι, ἀσκεῖν ἀνδραγαθίαν ἀκινδυνον*. (Sch) zu 2, 63, 1. — *τῇ αὐτῇ, ᾗ ἂν ἐτιμωρήσαντο καὶ αὐτοὶ ὑμᾶς περιγενόμενοι ὑμῶν*. (Sch.) — *ἀναλγητότεροι* nicht weniger empfindlich (Hl.), *ἵνα μὴ ἀναίσθητοι δόξητε οὐκ ἀλγοῦντες ἐφ' οἷς ἀδικεῖσθε*. (Sch.) — *οἱ*. Gr. 50, 8 A. 3. — *διαφεύγοντες*, das Pr. weil die Folge fortbesteht. Gr. 53, 1 A. 2 u. 3. — *ἦν* für *ἐστί* in so fern als die Athener sich schon früher, zur Zeit wo die Mytilenäer abfielen, ein solches Prognostikon stellen konnten. „vgl. Pflugk zu Eur. Herakl. 417." (Pp.)

§ 5. *ἐπεξέρχονται* gehen ihm zu Leibe. (Hl.) — *διόλλυνται* wollen Manche hier, wie schon der Sch., in medial-activer Bedeutung nehmen. vgl. *ξυναπολέσθαι* 6, 12, 1, wo *ξυναπολέσαι* steht. Allein die Sprachmäßigkeit dieser Erklärung ist äußerst zweifelhaft. Hermann verband *ὑφορώμενοι* mit *διόλλυνται* sie vergehen daß sie fürchten müssen, können es nicht ertragen ꝛc.; doch auch gezwungen. Man könnte *καὶ* tilgen und *διόλλυνται* zum folg. ziehen. — *τοῦ, ἀπὸ τοῦ*. (Ba). vgl. zu 1, 18, 2. — *ὑπολειπομένου, περιγενομένου*. (Pp.) — *ἀνάγκῃ, δίκῃ* mehre Hss. Dr. nach Ba.: wer von einem Andern der durch keine Nothwendigkeit Gewalt oder Unrecht zu thun gedrängt worden verletzt ist. Hl.: wer sich ohne dringende Veranlassung beleidigt findet. Ich deute: wer nicht auf gewaltsame Weise behandelt, bestraft worden, wenn man ihn unterjocht hat. — *ἀπὸ τῆς ἴσης* von gleicher Verschul-

6 ἴσης ἐχθροῦ. μὴ οὖν προδόται γένησθε ὑμῶν αὐτῶν, γενόμενοι δ' ὅτι ἐγγύτατα τῇ γνώμῃ τοῦ πάσχειν καὶ ὡς πρὸ παντὸς ἂν ἐτιμήσασθε αὐτοὺς χειρώσασθαι, νῦν ἀνταπόδοτε μὴ μαλακισθέντες πρὸς τὸ [παρὸν] αὐτίκα μηδὲ τοῦ ἐπικρεμασθέντος ποτὲ δεινοῦ ἀμνημονοῦντες. κολάσατε δὲ ἀξίως τούτους τε καὶ τοῖς ἄλλοις ξυμμάχοις παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. τόδε γὰρ ἢν γνῶσιν, ἧσσον τῶν πολεμίων ἀμελήσαντες τοῖς ὑμετέροις αὐτῶν μαχεῖσθε ξυμμάχοις."

41 Τοιαῦτα μὲν ὁ Κλέων εἶπεν· μετὰ δ' αὐτὸν Διόδοτος ὁ Εὐκράτους, ὅσπερ καὶ ἐν τῇ προτέρᾳ ἐκκλησίᾳ ἀντέλεγε μάλιστα μὴ ἀποκτεῖναι Μυτιληναίους, παρελθὼν καὶ τότε ἔλεγε τοιάδε.

42 "Οὔτε τοὺς προθέντας τὴν διαγνώμην αὖθις περὶ Μυτιληναίων αἰτιῶμαι, οὔτε τοὺς μεμφομένους μὴ πολλάκις περὶ τῶν μεγίστων βουλεύεσθαι ἐπαινῶ, νομίζω δὲ δύο τὰ ἐναντιώτατα εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν, ὧν τὸ μὲν μετὰ ἀνοίας φιλεῖ γίγνεσθαι, τὸ δὲ μετὰ ἀπαιδευσίας καὶ

---

tung Hl.; ich: von gleichen Machtverhältniſſen, wie z. B. die Lakedämonier. zu 1, 15, 3. Den Gedanken erläutert 5, 91, 1.

§ 6. γενόμενοι —, εἰς ἔννοιαν ἐλθόντες ὧν ἐμέλλετε πάσχειν ὑπὸ Λεσβίων (Sch.) verſetzt euch im Geiſte möglichſt nahe (lebhaft) in die Lage des Leidens deſſen was ſie euch zugedacht. (Ba. u. Ba.) Aeſch. 3, 153: γένεσθε δή μοι μικρὸν χρόνον τῇ διανοίᾳ μὴ ἐν τῷ διαστηρίῳ. (Bv.) — ἐγγύτατα. vgl. 1, 143, 4. (Dr.) — τοῦ πάσχειν erklären Arn. u. Bl. was ihr bulbetet. — καὶ ὡς und verſetzt euch möglichſt lebhaft in die Lage; oder kurz: bedenket wie, — πρό. Gr. 68, 15 A. 2. vgl. 6, 10, 2. — ἀνταπόδοτε vergeltet ihnen für das was ſie euch zugedacht. — μή. Gr. 67, 8 A. 3. — μαλακισθέντες, ἐνδόντες πρὸς τὴν ἡδονὴν τὴν ἀπὸ τῶν λόγων καὶ πρὸς τὸν οἶκτον καὶ τὴν ἐπιείκειαν. (Sch.) vgl. zu 6, 29, 3. — παρὸν αὐτίκα. παραυτίκα? G. Schneider. παρόν liſt Kr. — τοῦ ἐπικρεμασθέντος, τοῦ κινδύνου οὗ ἂν ἐκινδυνεύσατε, εἰ ἐκράτησαν ὑμῶν. (Sch.) — ποτέ, τότε? tunc Ba. — ζημιωσόμενον. Das Particip wie bei δεικνύναι. (Ds.) vgl. zu 64, 1. — ἀμελήσαντες ohne euch abzugeben, abgeben zu können. Xen. 5, 1, 15: ἀμελήσας τοῦ συλλαβεῖν πλοῖα ἀποδρᾶς ᾤχετο.

C. 42. § 1. τοὺς προθέντας. Zum genauern Verſtändniß dieſer Rede ſind überall die gegentheiligen Aeußerungen in der des Kleon zu vergleichen. — διαγνώμην. zu 1, 87, 4. — τοὺς μεμφομένους die tadelnd heißen, fordern daß nicht. (Gb.) — τὸ μέν iſt wohl mit Hl. auf τάχος zu beziehen. — ἀπαιδευσία Ungezogen-

βραχύτητος γνώμης. τούς τε λόγους ὅστις διαμάχεται μὴ 2
διδασκάλους τῶν πραγμάτων γίγνεσθαι, ἢ ἀξύνετός ἐστιν ἢ
ἰδίᾳ τι αὐτῷ διαφέρει, ἀξύνετος μέν, εἰ ἄλλῳ τινὶ ἡγεῖται
περὶ τοῦ μέλλοντος δυνατὸν εἶναι καὶ μὴ ἐμφανοῦς φράσαι,
διαφέρει δ' αὐτῷ, εἰ βουλόμενός τι αἰσχρὸν πεῖσαι εὖ μὲν
εἰπεῖν οὐκ ἂν ἡγεῖται περὶ τοῦ μὴ καλοῦ δύνασθαι, εὖ δὲ
διαβαλὼν ἐκπλῆξαι ἂν τούς τε ἀντεροῦντας καὶ τοὺς ἀκου-
σομένους. χαλεπώτατοι δὲ καὶ οἱ ἐπὶ χρήμασι προσκαιηγο- 3
ροῦντες ἐπίδειξίν τινα. εἰ μὲν γὰρ ἀμαθίαν κατηγόρουν, ὃ
μὴ πείσας ἀξυνετώτερος ἂν δόξας εἶναι ἢ ἀδικώτερος ἀπε-
χώρει· ἀδικίας δ' ἐπιφερομένης πείσας τε ὕποπτος γίγνεται
καὶ μὴ τυχὼν μετὰ ἀξυνεσίας καὶ ἄδικος. ἥ τε πόλις οὐκ 4
ὠφελεῖται ἐν τῷ τοιῷδε· φόβῳ γὰρ ἀποστερεῖται τῶν ξυμ-
βούλων, καὶ πλεῖστ' ἂν ὀρθοῖτο ἀδυνάτους λέγειν ἔχουσα
τοὺς τοιούτους τῶν πολιτῶν· ἐλάχιστα γὰρ ἂν πεισθείησαν
ἁμαρτάνειν. χρὴ δὲ τὸν μὲν ἀγαθὸν πολίτην μὴ ἐκφοβοῦντα
τοὺς ἀντεροῦντας ἀλλ' ἀπὸ τοῦ ἴσου φαίνεσθαι ἄμεινον λέ-
γοντα, τὴν δὲ σώφρονα πόλιν τῷ τε πλεῖστα εὖ βουλεύοντι 5
μὴ προστιθέναι τιμήν, ἀλλὰ μηδ' ἐλασσοῦν τῆς ὑπαρχούσης,
δεσι διηλλαγμένα ὡς ἂν ἕκασται αἱ μεταβολαὶ τῶν ξυντυχιῶν ἐφιστῶνται. ἐν μὲν γὰρ εἰρήνῃ καὶ ἀγαθοῖς πράγμασιν αἵ τε πόλεις καὶ οἱ ἰδιῶται ἀμείνους τὰς γνώμας ἔχουσι διὰ τὸ μὴ ἐς ἀκουσίους ἀνάγκας πίπτειν· ὁ δὲ πόλεμος, ὑφελὼν τὴν εὐπορίαν τοῦ καθ' ἡμέραν, βίαιος διδάσκαλος καὶ πρὸς τὰ παρόντα τὰς ὀργὰς τῶν πολλῶν ὁμοιοῖ. ἐστα- 3
σίαζέ τε οὖν τὰ τῶν πόλεων καὶ τὰ ἐφυστερίζοντά που πύστει τῶν προγενομένων πολὺ ἐπέφερε τὴν ὑπερβολὴν τοῦ καινοῦσθαι τὰς διανοίας τῶν τ' ἐπιχειρήσεων περιτεχνήσει καὶ τῶν τιμωριῶν ἀτοπίᾳ. καὶ τὴν εἰωθυῖαν ἀξίωσιν τῶν ὀνομάτων ἐς τὰ ἔργα ἀντήλλαξαν τῇ δικαιώσει. τόλμα μὲν

ἐγίγνετο καὶ ἐγγύτερον. — ἕκασται, ἑκάστοις Kr. ὡς συνέβαινεν ἕκασταχοῦ. (Sch.) — ξυντυχιῶν. zu 45, 3. — ἐφιστῶνται, πίπτωσι. (Sch.) begegnen. Soph. Oed. T. 776: πρὶν μοι τύχη τοιάδ' ἐπέστη. Eur. Hipp. 818: ὦ τύχα, ὥς μοι βαρεῖα καὶ δόμοις ἐπιστάθης. (Bl.) Doch wohl mit der Nebenidee des Feindlichen. — ἀκουσίους ἀνάγκας aufgedrungene Nöthigungen, wo man thut was man ſonſt nicht thun würde. — πίπτειν ſteht ſelten ſo für ἐμπίπτειν. (Py.) Oefter ähnlich bei Eur. — τοῦ καθ' ἡμέραν des täglichen Unterhaltes Ba. der gewohnten Gemächlichkeit Hl. Gr. 43, 4 A. 22. — διδάσκαλος, Xen. Cyr. 2, 3, 13: οὐκ ἔστι διδάσκαλος οὐδεὶς χρείσσων τῆς ἀνάγκης. — πρός ſtatt des Dativs, weil die Anähnlichung auch im Verhältniſſe zu den Umſtänden erfolgt. — τὰς ὀργάς, τὰς γνώμας καὶ τοὺς τρόπους. (Sch.) zu 1, 130, 2. vgl. Erfurdt zu Soph. Ant. 355.

§ 3. τὰ τῶν πόλεων. Dem. 19, 320: ἐστασίαζε τὰ τῶν Θετταλῶν. Gr. 43, 4 A. 26. — τὰ ἐφυστερίζοντα, αἱ πόλεις αἳ ὕστερον τῶν ἄλλων στασιάζουσαι. (Sch.) — πύστει τῶν προγενομένων, προπεπυσμέναι τὰς ἐπερωθι στάσεις. (Sch.) auf Anlaß der Kunde von dem was in andern Staaten bei Umwälzungen bereits geſchehen war. vgl. zu 1, 5, 2. — πολύ, κατὰ πολύ. (Sch) wie in πολὺ νικᾶν. Gr. 48, 15 A. 13. Xen. An. 3, 4, 33: πολὺ περιῆσαν. πολλήν Dionyſ. — ἐπέφερε fügte hinzu. — τοῦ καινοῦσθαι τὰς διανοίας in Umwälzung, Umwandelung der Geſinnungen zum Schlechtern; ἐς, ἐπὶ τὸ καινοῦσθαι τὰς δ. (Dionyſ.) — ἐπιχειρήσεων Angriffe gegen politiſche Widerſacher. — περιτεχνήσει, κακουργίᾳ, περινοίᾳ. (Sch.) vgl. 3, 43, 2 mit Ar. Frö. 958. durch Verſchmitztheit. Ein wohl erſt wieder von Dio C. gebrauchtes Wort. — ἀτοπίᾳ, τῷ ἀήθει, τῇ δεινότητι, (Sch.) — ἀξίωσιν τὴν σημασίαν εἶπεν. (Sch.) Geltung. (Py.) In ſofern die Worte auf ihre Begriffe einen Anſpruch haben oder in ſofern die Ausdrücke den Gegenſtänden als würdig d. h. entſprechend von den Redenden angeeignet ſind? Wohl das letztere wegen ἐς. — ἐς τὰ ἔργα gehört zu ἀξίωσις: die gültige Beziehung auf die Gegenſtände. Gr. 50, 9 A. 9. — ἀντήλλαξαν, μεθήρμοσαν. (Sch) vertauſchten ſie. — τῇ δικαιώσει, τῇ ἑαυτῶν δικαίᾳ κρίσει. (Sch.) nach ihrem Gutdünken. Ueber die Sache vgl. Iſokr. 15, 283. — τόλμα ἀλόγιστος ſonſt θρασύτης genannt nach dem Sch. u.

γὰρ ἀλόγιστος ἀνδρεία φιλέταιρος ἐνομίσθη, μέλλησις δὲ προμηθὴς δειλία εὐπρεπής, τὸ δὲ σῶφρον τοῦ ἀνάνδρου πρό-
4 σχημα, καὶ τὸ πρὸς ἅπαν ξυνετὸν ἐπὶ πᾶν ἀργόν, τὸ δ' ἐμπλήκτως ὀξὺ ἀνδρὸς μοίρᾳ προσετέθη, ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι ἀποτροπῆς πρόφασις εὔλογος. καὶ ὁ μὲν χαλεπαίνων πιστὸς ἀεί, ὁ δ' ἀντιλέγων αὐτῷ ὕποπτος. ἐπιβουλεύσας δέ τις τυχὼν ξυνετὸς καὶ ὑπονοήσας ἔτι δεινότερος· προβουλεύσας δέ, ὅπως μηδὲν αὐτῶν δεήσει, τῆς τε ἑταιρίας
5 διαλυτὴς καὶ τοὺς ἐναντίους ἐκπεπληγμένος. ἁπλῶς δὲ ὁ φθάσας τὸν μέλλοντα κακόν τι δρᾶν ἐπηνεῖτο καὶ ὁ ἐπικι-

---

Etym. M. u. ἀπόνοια. — φιλέταιρος παρελκόντως κεῖται· κέχρηται δὲ αὐτῷ διὰ τὸ προσθεῖναι τόλμαν ἀλόγιστον, ἵνα παρίσωσις γένηται. (Sch.) Doch iſt es einigermaßen durch τῇ δικαιώσει motivirt. — ἐμπλήκτως beſchönigte, unter einer anſtändigen Benennung verhüllte. — τὸ σῶφρον. Plato Rep. 560 d: σωφροσύνην ἀνανδρίαν καλοῦντές τε καὶ προπηλακίζοντες ἐκβάλλουσι. (Kr.) — πρόσχημα, ἢ πρόφασις καὶ τὸ οἷονεὶ προκάλυμμα. Thom. M. p. 758. — τὸ πρὸς ἅπαν ξυνετόν, τὸ μετὰ ξυνέσεως ἐρχεσθαι ἐκ πᾶν ἔργον. (Sch.) — ἐπὶ πᾶν, ἐν πᾶσιν. (Dionyſ.) vgl. zu 2, 51, 1.

§. 4. ἐμπλήκτως, μανιωδῶς. (Sch.) — ὀξύ. zu 2, 11, 6. — ἀνδρὸς μοίρᾳ προσετέθη wurde für männlichen Charakter, Männlichkeit erklärt. (Sch. u. Ba.) — ἀσφάλεια δὲ τὸ ἐπιβουλεύσασθαι erklärt Pp. nach Pſ.: Behutſamkeit aber, (nämlich) das reifliche Erwägen bei ſich ſelbſt. Schwerlich ſprachgemäß. Ich nehme aus Dionyſ., einer Hſ., dem Sch. u. Ba. ἀσφαλείᾳ auf und erkläre: mit Vorſicht über einen Gegenſtand ſich bedenken. „3, 56, 3: τὰ ξύμφορα ἀσφαλείᾳ πράσσοντες.“ (Arn.) Faſt ſo der Sch. τὸ ἐπὶ πολὺ βουλεύσασθαι δι' ἀσφάλειαν πρόφασις ἀποτροπῆς ἐνομίζετο. „Dies Medium findet ſich hin und wieder bei Spätern für das Activ.“ (Pp.) Ueber die Stellung Gr. 50, 10 A. 1. Da dieſelbe jedoch durch Betonung nicht hinreichend gerechtfertigt ſcheint, ſo vermuthet Kr. δὲ τῷ ſtatt δὲ τό. — ἀποτροπῆς Ablehnung (Ba.), um ſich der Sache zu entziehen. — εὔλογος, ἐνομίζετο. (Sch.) wobei der nächſt vorhergehende Satz parentheſiſch zu denken. Oder wäre ἦν zu ergänzen? — ὁ χαλεπαίνων wer brav ſchalt und ſchmähte Hl. Aber auf wen? Doch wohl auf den mit welchem er eben verkehrte. Denn z. B. an die Obrigkeiten zu denken dürfte das Wort nicht geſtatten. — ὕποπτος. Auch hier und im Folgenden denke man ἐνομίζετο. — τυχών. μ 3, 39, 7. εἰ κατορθώσειε καὶ ἐπιτύχοι ὃ ἤλπισεν. (Dionyſ.) — ὑπονοῆσαι τὰς ἐπιβουλὰς προσπιτοῦν. (Dionyſ.) — αὐτῶν, τοῦ ἐπιβουλεύειν καὶ ὑπονοεῖν. (Kr.) — τῆς ἑταιρίας der Verbindung, beſonders einer politiſchen, von welcher er ſich zurückzog.

§ 5. δέ τε? vgl. 3, 38, 5. 45, 5, ξυνιέναι τε λέγω 2, 41, 1. 6, 80, 3, τό τε ξύμπαν 3, 92, 4. vgl. 4, 63, 2, τό τε ξύμπαν εἰπεῖν 7, 49, 4, καὶ τὸ ξύμπαν 1, 138, 4. (Haaſe.) — ὁ ἐπικελεύσας, κακόν τι δρᾶν

λεύσας τὸν μὴ διανοούμενον. καὶ μὴν καὶ τὸ ξυγγενὲς τοῦ ἑταιρικοῦ ἀλλοτριώτερον ἐγένετο διὰ τὸ ἑτοιμότερον εἶναι ἀπροφασίστως τολμᾶν· οὐ γὰρ μετὰ τῶν κειμένων νόμων ὠφελίας αἱ τοιαῦται ξύνοδοι, ἀλλὰ παρὰ τοὺς καθεστῶτας πλεονεξίᾳ. καὶ τὰς ἐς σφᾶς αὐτοὺς πίστεις οὐ τῷ θείῳ 6
νόμῳ μᾶλλον ἐκρατύνοντο ἢ τῷ κοινῇ τι παρανομῆσαι. τά τε ἀπὸ τῶν ἐναντίων καλῶς λεγόμενα ἐνεδέχοντο ἔργων φυλακῇ, εἰ προὔχοιεν, καὶ οὐ γενναιότητι. ἀντιτιμωρήσασθαί τέ τινα περὶ πλείονος ἦν ἢ αὐτὸν μὴ προπαθεῖν. καὶ ὅρκοι 7
εἴ που ἄρα γένοιντο ξυναλλαγῆς, ἐν τῷ αὐτίκα πρὸς τὸ ἄπορον ἑκατέρῳ διδόμενοι ἰσχυον οὐκ ἐχόντων ἄλλοθεν δύναμιν· ἐν δὲ τῷ παραυτίκα ὁ φθάσας θαρσῆσαι, εἰ ἴδοι

---

und ſo auch zu διανοούμενον. (Sch.) vgl. Gr. 55, 4 A. 11. — τὸ ξυγγενές, οἱ ξυγγενεῖς τῶν φίλων ἀλλοτριώτεροι ἐνομίζοντο. (Sch.) — τοῦ ἑταιρικοῦ auch 8, 48, 3. (Py.) — τολμᾶν, ὑπὲρ τῶν φίλων. (Sch., — μετὰ τῶν κειμένων νόμων ὠφελίας. ἐπὶ ταῖς κατὰ νόμον ὠφελείαις. (Dionyſ.) κατὰ τοὺς κειμένους νόμους ὠφελεῖσθαι θέλοντες. (Sch.) Als ob μετά zwei Mal da ſtände. Der bloße Genitiv νόμων kann nicht das den Geſetzen gemäße bezeichnen; und ὠφελία τῶν νόμων Nutzen durch die Geſetze zu erklären wäre auch gewagt. Denn Stellen wie 1, 18, 2 u. 3, 40, 5 ſind doch verſchieden. Der Sinn dürfte alſo ſein: in Uebereinſtimmung mit dem Vortheile der Geſetze, ihrer Befolgung und Erhaltung. ὠφελία Py. ob utilitatem Ba. — ξύνοδοι, συστάσεις καὶ ἑταιρίαι. (Sch.) Erg. ἐγένοντο aus ἐγένετο. Gr. 69, 14 A. 5. — πλεονεξίᾳ, διὰ πλεονεξίαν. (Sch.) für Vortheil zum Nachtheile Anderer.

§ 6. τὰς πίστεις — ἐκρατύνοντο an feierliche Verpflichtungen banden ſie ſich nicht ſowohl aus Religioſität. — τῷ θείῳ νόμῳ, ὅρκους διδόντες. (Sch.) — ἀπό. zu 3, 36, 5 — λεγόμενα, etwa Vorſchläge zur Verſöhnung. — ἔργων φυλακῇ. εἰ ἔργῳ χρείσσους ἦσαν αὐτοὶ τῶν ἐναντίων. (Sch.) Dieſe Erklärung geſtatten die Worte nicht. (Py.) Beſſer Ba.: zur Verhütung von Gefahren für ſie ſelbſt. Doch wohl richtiger: bei, unter Deckung in, durch Thatſachen. „6, 40, 3: ἔργῳ φυλασσομένη." (Dobree.) — προὔχοιεν, οἱ ἐναντίοι will Py. lieber als οἱ ἐνδεχόμενοι denken. — γενναιότητι, χρηστότητι καὶ ἁπλότητι. (Sch.)

§ 7. ὅρκοι ξυναλλαγῆς Verſöhnungseide. — πρὸς τὸ ἄπορον in dringenden Umſtänden. (Hl.) — ἑκατέρῳ, ὑφ' ἑκατέρου. (Kr.) ἑκατέρων Reiske. — διδόμενοι. δεδομένοι? Uebrigens findet ſich doch ſo auch ſonſt ὅρκους διδόναι. Eur. Iph. T. 735: ὅρκον δότω μοι. Xen. Hell. 1, 3, 9: ὅρκους ἔδοσαν καὶ ἔλαβον. Plat. Geſ. 949, b: δέχεσθαί τε ὅρκους καὶ διδόναι κυρίως. — ἐχόντων, αὐτῶν mit Bezug auf ἑκατέρῳ. (Kr.) — ἄλλοθεν anderswoher als woher er ſeither unzureichende Macht gehabt. — ἐν τῷ παραυτίκα, εἴ που παραύτικα τινὶ καιρός. (Dionyſ.) 5, 38, 1. vgl. 1, 122, 1. — θαρσῆσαι

ἄφρακτον, ἥδιον διὰ τὴν πίστιν ἐτιμωρεῖτο ἢ ἀπὸ τοῦ προφανοῦς, καὶ τό τε ἀσφαλὲς ἐλογίζετο καὶ ὅτι ἀπάτῃ περιγενόμενος ξυνέσεως ἀγώνισμα προσελάμβανεν. ῥᾷον δ' οἱ πολλοὶ κακοῦργοι ὄντες δεξιοὶ κέκληνται ἢ ἁμαθεῖς ἀγαθοί, 8 καὶ τῷ μὲν αἰσχύνονται, ἐπὶ δὲ τῷ ἀγάλλονται. πάντων δ' αὐτῶν αἴτιον ἀρχὴ ἡ διὰ πλεονεξίαν καὶ φιλοτιμίαν· ἐξ δ' αὐτῶν καὶ ἐς τὸ φιλονεικεῖν καθισταμένων τὸ πρόθυμον. οἱ γὰρ ἐν ταῖς πόλεσι προστάντες μετ' ὀνόματος ἑκάτεροι εὐπρεποῦς, πλήθους τε ἰσονομίας πολιτικῆς καὶ ἀριστοκρα-

---

Vertrauen auf seine Kräfte gewinnen. Ueber den Inf. Gr. 56, 5 A. 5. — ἄφρακτον, ἀφύλακτον, μὴ φυλαττόμενον. (Dionys.) So schreibt man das Wort nicht gebraucht zu haben, wenigstens nicht Thuk. Als einen Ungeschützten, Ungedeckten. — διὰ τὴν πίστιν, bei dem der von Andern keine Feindseligkeit fürchtete. (Hk.) — ἀπὸ τοῦ προφανοῦς offen, hier im Gegensatze zu dem heimtückischen Anfalle der im Vorigen angedeutet ist. Ueber den Ausdruck (den ich aus andern Attikern nicht belegen kann) zu 1, 35, 3 vgl 5, 9, 3. und zu 3, 43, 2. — καὶ τό τε ἀσφαλὲς ἐλογίζετο und er brachte nicht bloß die Sicherheit dieses hinterlistigen Ueberfalles in Anschlag. — ἀγώνισμα, δόξαν. (Dionys.) den Kampfpreis der Klugheit als einer ihm nachgerühmten. vgl. zu ἀρετή 1, 33, 2. — ῥᾷον lieber. Xen. Symp. 4, 14: πονοίην ἂν ῥᾷον ἐκείνῳ ἢ ἀναπαυοίμην καὶ κινδυνεύοιμ' ἂν πρὸ ἐκείνου ἥδιον ἢ ἀκινδύνως ζῴην. Vgl. Fischer zu Plat. Phäd. 7, 1. (Kr.) — κακοῦργοι δεξιοὶ gewandte Schelme. — ὄντες κέκληνται lassen sich nennen. (Kr.) So verstand die Stelle auch wohl ein Sch.: ἡδέως ἔχουσιν οἱ ἄνθρωποι κακοῦργοι εἶναι καὶ δεξιοὶ καλεῖσθαι ἢ ἀμαθεῖς καὶ ἀγαθοί. Die Participialconstruction findet sich oft noch auffallender. Xen Cyr. 1, 2, 2: φύσιν τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται. Lys. 4, 7: ὁμολογούμεθα μετ' οἴνου ἐλθόντες. vgl. Menander Gnom. 158. ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν. Gr. 56, 7 A. 3. (Kr.) Ueber andere Erklärungen Kr. Zeitsch. f. A. W. 1840 S. 452 f. — ἁμαθεῖς ἀγαθοί ungebildete Biedermänner. Gr. 43. 2 A. 4. — τῷ μέν des letztern. Gr. 50, 1 A. 2.

§ 8. αὐτῶν, τῶν εἰρημένων κακῶν. (Sch.) — ἀρχή, ἡ ἐπιθυμία τοῦ βούλεσθαι ἄρχειν [τῆς γῆς]. (Sch.) — ἐξ δ' αὐτῶν, τοῦ ἄρχειν καὶ τῆς πλεονεξίας καὶ φιλοτιμίας. (Sch.) — καὶ ist dem Vorhergehenden anzuschließen und auf den ganzen Gedanken zu beziehen: und daraus auch der leidenschaftliche Eifer. — καθισταμένων, τῶν ἀνθρώπων. Gr. 47, 4 A. 3. — ἑκάτεροι die Vorsteher der Demokraten wie die der Aristokraten. — εὐπρεποῦς, πιθανοῦ, εὐσχήμονος. (Sch.) honestis nominibus Sal. Cat. 38. — πλήθους, δημοκρατίας. (Sch.) Genauer δήμου. — ἰσονομίας hängt von προτιμήσει ab. Gewählt ist das Wort weil δημοκρατία anrüchig war. zu 2, 37, 1. — πολιτικῆς bürgerliche auch mit Bezug auf gleiche Berechtigung zu Aemtern. —

τίας σώφρονος προτιμήσει, τὰ μὲν κοινὰ λόγῳ θεραπεύοντες ἀθλα ἐποιοῦντο, παντὶ δὲ τρόπῳ ἀγωνιζόμενοι ἀλλήλων περιγίγνεσθαι ἐτόλμησάν τε τὰ δεινότατα ἐπεξῆεσάν τε τὰς τιμωρίας ἔτι μείζους, οὐ μέχρι τοῦ δικαίου καὶ τῇ πόλει ξυμφόρου προστιθέντες, ἐς δὲ τὸ ἑκατέροις που ἀεὶ ἡδονὴν ἔχον ὁρίζοντες, καὶ ἢ μετὰ ψήφου ἀδίκου καταγνώσεως ἢ χειρὶ κτώμενοι τὸ κρατεῖν ἑτοῖμοι ἦσαν τὴν αὐτίκα φιλοτεχίαν ἐκπιμπλάναι. ὥστε εὐσεβείᾳ μὲν οὐδέτεροι ἐνόμιζον, 9
εὐπρεπείᾳ δὲ λόγου οἷς ξυμβαίη ἐπιφθόνως τι διαπράξασθαι ἄμεινον ἦκουον.. τὰ δὲ μέσα τῶν πολιτῶν ὑπ' ἀμφοτέρων, ἢ ὅτι οὐ ξυνηγωνίζοντο ἢ φθόνῳ τοῦ περιεῖναι, διεφθείροντο.

ἀριστοκρατίας. ὀλιγαρχία war gleichfalls anrüchig. vgl. 6, 39, 2. — σώφρονος. zu 1, 68, 1. — προτιμήσει, weil man den Vorzug gab; προτιμήσεως würde weniger paſſend ſein, wenn gleich es der Sache nach eine Art Appoſition zu ὀνόματος εὐπρεποῦς bildet. — ἆθλα zum Kampfpreiſe um deſſen Beſitz ſie ſtritten. — περιγίγνεσθαι. zu 3, 38, 2. — ἐπεξῆεσαν für ſich genommen iſt beziehungslos und unklar. Daher wird τὰς τιμωρίας damit zu verbinden ſein. Ba.: ſie gingen feindſelig gegen ihre politiſchen Gegner die Strafen durch, persequebantur poenas. Sch.: τὰς τιμωρίας ἐπιτεταμένας ἐπολουν. — ἔτι μείζους mit Bezug auf τὰ δεινότατα hyperboliſch, wie 3, 81, 4. Nahe läge ſonſt ἐπὶ μεῖζον. Py. ergänzt ἢ οἱ ἐναντίοι, kaum denkbar. — μέχρι τοῦ δικαίου bis zu der Höhe die der Gerechtigkeit gemäß war. — προστιθέντες für προτιθέντες Dionyſ. und einige Hſn. vgl. dort Kr. p. 160 — ἐς gemäß Ba. bis Bd. u. Arn. vgl. zu 1, 71, 3. — ἡδονὴν ἔχον Belieben, aber mit Bezug auf die Luſt an der Rache. — μετὰ ψήφου ἀδίκου καταγνώσεως, καταψηφιζόμενοι ἀδίκως. (Sch.) — χειρί, τῇ δυνάμει καὶ τοῖς ὅπλοις. — (Sch.) — κτώμενοι indem ſie ſich verſchafften. (Arn.)

§ 9. εὐσεβείᾳ ἐνόμιζον. zu 1, 77, 4. — εὐπρεπείᾳ verbinden Sch., Ba., Bs. und Bd. mit διαπράξασθαι: „wem es gelingen mochte unter einem ſchönklingenden Grunde etwas Unerhörtes zu verüben, der ſtand in einem um ſo (?) beſſeren Rufe.“ Das zerſtört den Gegenſatz, welcher erfordert: der Religioſität bedurfte es nicht; beſſern Ruf als ſie ſchaffte eine beſchönigende Darſtellung gehäſſiger Thaten. — ἐπιφθόνως, γενναῖόν τι. (Sch.) richtiger Hl. gehäſſig, empörend. — τὰ μέσα, οἱ μηδετέρῳ μέρει προσπεθέμενοι, μήτε τῷ τῶν δημοκρατικῶν μήτε τῷ τῶν ὀλιγαρχικῶν. (Sch.) Eben ſo bei Dio 400, 90. (Bl.) οἱ διὰ μέσου unter 8, 75, 1 Ueber die Verbindung des Neu. mit dem Ge. Matth. Gr. 438. (Pp.) — φθόνῳ τοῦ περιεῖναι weil man ihnen nicht gönnte daß ſie glücklich davon kommen ollten. (Hl.) Eur. Iph. T. 352: οἱ δυστυχεῖς γὰρ τοῖσιν εὐτυχεστέροις αὐτοὶ καλῶς πράξαντες οὐ φρονοῦσιν εὖ. vgl. dort Herm. — διεφθείροντο. Gr. 63, 2 A. 1.

83 Οὕτω πᾶσα ἰδέα κατέστη κακοτροπίας διὰ τὰς στάσεις τῷ Ἑλληνικῷ, καὶ τὸ εὔηθες, οὗ τὸ γενναῖον πλεῖστον μετέχει, καταγελασθὲν ἠφανίσθη, τὸ δὲ ἀντιτετάχθαι ἀλλήλοις τῇ γνώμῃ ἀπίστως ἐπὶ πολὺ διήνεγκεν· οὐ γὰρ ἦν ὁ διαλύσων οὔτε λόγος ἐχυρὸς οὔτε ὅρκος φοβερός, κρείσσους δὲ ὄντες ἅπαντες λογισμῷ ἐς τὸ ἀνέλπιστον τοῦ βεβαίου μη
2 παθεῖν μᾶλλον προεσκόπουν ἢ πιστεῦσαι ἐδύναντο. καὶ οἱ φαυλότεροι γνώμην ὡς τὰ πλείω περιεγίγνοντο· τῷ γὰρ δεδιέναι τὸ τε αὐτῶν ἐνδεὲς καὶ τὸ τῶν ἐναντίων ξυνετόν, μὴ λόγοις τε ἧσσους ὦσι καὶ ἐκ τοῦ πολυτρόπου αὐτῶν τῆς γνώμης φθάσωσι προεπιβουλευόμενοι, τολμηρῶς πρὸς τὰ ἔργα ἐχώρουν. οἱ δὲ καταφρονοῦντες κἂν προαισθέσθαι, καὶ ἔργῳ οὐδὲν σφᾶς δεῖν λαμβάνειν ἃ γνώμῃ ἔξεστιν, ἄφρακτοι μᾶλλον διεφθείροντο.

C. 83. § 1. κακοτροπίας Schlechtfittigkeit, ein erſt von Spätern einige Male nachgeahmtes Wort. — εὔηθες, τὸ ἁπλοῦν, τὸ ἀπόνηρον. (Sch.) ἐπὶ τοῦ βελτίονος καὶ Θουκυδίδης καὶ ὁ φιλόσοφος. Phot. p. 28. Einfalt iſt nicht ganz vergleichbar. — το γενναῖον, der Adel der Geſinnung. (Hl.) So Soph. Oed. K. 8. 1042. τὸ εὐγενές Eur. Hipp. 1390 — πλεῖστον μετέχει am meiſten an ſich hat, enthält. — καταγελασθέν. Denn Spott iſt ein vernichtendes Feind ſelbſt des Guten. — ἀντιτετάχθαι feindſelig gegenüber zu ſtehen. — τῇ γνώμῃ ἀπίστως mißtrauiſchen Sinnes im Gegenſatze des εὔηθες, das eben leicht vertraut. — ἐπὶ πολύ weithin, allgemein, longe praestitit Ps. — διήνεγκε, κρεῖττον ἐγένετο. (Sch.) zeichnete ſich aus und in ſofern ward vorherrſchend. — ὁ διαλύσων, ὁ φιλιώσων. (Sch.) um zu verſöhnen und Vertrauen zu ſtiften war weder ein Wort zuverläſſig noch ein Eid furchtbar genug. Gr. 50, 4 A. 4. — κρείσσους, ἔφοντες. (Sch.) Aber wie kann es mehr geneigt bedeuten? (Gail.) Dobree ergänzt τοῦ λόγου καὶ τοῦ ὅρκου vgl. κρείσσων τοῦ δικαίου 84, 2, was ſehr hart wäre. Die Stelle iſt wohl verfälſcht. — ἐς τὸ ἀνέλπιστον, πρὸς τὸ μὴ ἐλπίζειν. (Sch.) — βεβαίου, πίστεως καὶ βεβαιότητος. (Sch.)

§ 2. φαυλότεροι, zu 3, 37, 3. — τὸ ἐνδεές, τὴν ἔλλειψιν τῆς γνώσεως. (Sch.) — ἐκ von — aus, durch. — πολυτρόπου Gewandtheit, πολυτροπία Her. 2, 121, 5, der Proſa ziemlich fremd. vgl. Voß mythol. Br. 1. 17. — αὐτῶν, τῶν φρονίμων. (Sch.) — καταφρονοῦντες, διὰ καταγρόνησιν πεποιθότες. (Hl.) Her. 1, 66: καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι ἐχρηστηριάζοντο. und dort die Crit. (Kr.) So auch Xen. Heli. 4, 5, 12. (Bl.) — δεῖν, νομίζοντες aus καταφρονοῦντες. Gr. 65, 11 A. 7. — ἄφρακτοι, zu 82, 7.

[Ἐν δ' οὖν τῇ Κερκύρᾳ τὰ πολλὰ αὐτῶν προετολμήθη 34
καὶ ὁπόσα ὕβρει μὲν ἀρχόμενοι τὸ πλέον ἢ σωφροσύνῃ ὑπὸ
τῶν τὴν τιμωρίαν παρασχόντων οἱ ἀνταμυνόμενοι δράσειαν,
πενίας δὲ τῆς εἰωθυίας ἀπαλλαξείοντές τινες, μάλιστα δ' ἂν
διὰ πάθους ἐπιθυμοῦντες τὰ τῶν πέλας ἔχειν, παρὰ δίκην
γιγνώσκοιεν, οἵ τε μὴ ἐπὶ πλεονεξίᾳ ἀπὸ ἴσου δὲ μάλιστα
ἐπιόντες, ἀπαιδευσίᾳ ὀργῆς πλεῖστον ἐκφερόμενοι, ὠμῶς καὶ
ἀπαραιτήτως ἐπέλθοιεν. ξυνταραχθέντος τε τοῦ βίου ἐς τὸν 2
καιρὸν τοῦτον τῇ πόλει καὶ τῶν νόμων κρατήσασα ἡ ἀνθρω-
πεία φύσις, εἰωθυῖα καὶ παρὰ τοὺς νόμους ἀδικεῖν, ἀσμένη
ἐδήλωσεν ἀκρατὴς μὲν ὀργῆς οὖσα, κρείσσων δὲ τοῦ δικαίου,
πολεμία δὲ τοῦ προὔχοντος· οὐ γὰρ ἂν τοῦ τε ὁσίου τὸ τι-

C. 82. § 1. *Τὰ ὠφελισμένα οὐδενὶ τῶν ἐξηγητῶν ἔδοξε Θουκυδίδου εἶναι. ἀσαφῆ γὰρ καὶ τῷ τόπῳ τῆς ἑρμηνείας καὶ τοῖς διανοήμασι πολὺν ἐμφαίνοντα τὸν νεωτερισμόν.* (Sch.) — *αὐτῶν*, der K. 82 u. 83 erwähnten Schlechtigkeiten. — *καὶ ὁπόσα* verbinde ich mit *τὰ πολλά*. Arn. u. Py. nehmen es appositiv dazu, als habe der Verfasser fortfahren wollen *καὶ ὁπόσα πενίας*. Aehnlich Hl. — *ὁπόσα — δράσειαν* was, früher mehr mit Uebermuth als mit Mäßigung beherrscht von denen welche die Rache provocirt hatten, die welche das Vergeltungsrecht dagegen übten gethan haben mochten, die Demokraten gegen die Aristokraten. Beispiellos ist der Ausdruck *τιμωρίαν παρέχειν*. — *ἄν* gehört zu *ἐπιθυμοῦντες*, das als Zwischensatz denkbar: *μάλιστα δ' ἂν ἐπεθύμουν*. — *διὰ πάθους* aus gieriger Sehnsucht. (Hl.) Ein unerklärlicher Ausdruck. „Für Leidenschaft scheint sich *πάθος* erst seit Aristoteles zu finden." (Arn.) — *γιγνώσκοιεν* beschlossen, ist wie auch *ἐπέλθοιεν*, mit *ὁπόσα* zu verbinden. — *οἵ τε. εἴ τε* Martins Hf. — *ἐπί* kann hier doch wohl schwerlich wegen, veranlaßt durch, heißen. — *ἀπὸ ἴσου* im Verhältnisse der Gleichheit, wobei also geringere Erbitterung zu erwarten als bei denen die sich bemühen Vortheile auf Kosten Anderer zu erwerben oder zu erhalten. Einige schlechte Hss. *ἀπὸ τοῦ ἴσου*. — *ἀπαιδευσίᾳ ὀργῆς* weil sie ihre Leidenschaft nicht zu beherrschen gelernt. „Eur. Stob. 20, 12: *πόλλ' ἐσὶν ὀργῆς ἐξ ἀπαιδεύτου κακοῦ*." (Bl.)

§ 2. *ξυνταραχθέντος τε καὶ κρατήσασα*. Gr. 59 2 A. 3. — *τοῦ βίου* die Verhältnisse des Lebens. — *ἐς* in (auf, für). (Py.) — *καὶ παρὰ τοὺς νόμους* sogar wider die Gesetze, wo sie Strafe zu erwarten haben, geschweige denn wo dies nicht der Fall ist. Martins Hf. hat *περί* für *παρά*. — *ἀσμένη* will Reiske zu *ἀδικεῖν* ziehen. Indeß die Freudigkeit an wüthenden Handlungen bewies z. B. häufig die erste französische Revolution. — *κρείσσων* sich hinwegsetzend über. — *τοῦ προὔχοντος* das Hervorragende über den gemeinen Haufen. — *οὐ γὰρ ἄν* denn sonst. Gr. 54, 12 A. 9. —

μωρεῖσθαι προυτίθεσαν τοῦ τε μὴ ἀδικεῖν τὸ κερδαίνειν, ἐν
3 ᾧ μὴ βλάπτουσαν ἰσχὺν εἶχε τὸ φθονεῖν. ἀξιοῦσί τε τοὺς κοινοὺς περὶ τῶν τοιούτων οἱ ἄνθρωποι νόμους, ἀφ' ὧν ἅπασιν ἐλπὶς ὑπόκειται σφαλεῖσι κἂν αὐτοὺς διασώζεσθαι, ἐν ἄλλων τιμωρίαις προκαταλύειν καὶ μὴ ὑπολείπεσθαι, εἴ ποτε ἄρα τις κινδυνεύσας τινὸς δεήσεται αὐτῶν.]

85 Οἱ μὲν οὖν κατὰ τὴν πόλιν Κερκυραῖοι τοιαύταις ὀργαῖς ταῖς πρώταις ἐς ἀλλήλους ἐχρήσαντο καὶ ὁ Εὐρυμέδων καὶ οἱ Ἀθηναῖοι ἀπέπλευσαν ταῖς ναυσίν· ὕστερον δὲ οἱ φεύγοντες τῶν Κερκυραίων, διεσώθησαν γὰρ αὐτῶν ἐς πεντακοσίους, τείχη τε λαβόντες ἃ ἦν ἐν τῇ ἠπείρῳ ἐκράτουν τῆς πέραν οἰκείας γῆς καὶ ἐξ αὐτῆς ὁρμώμενοι ἐληίζοντο τοὺς ἐν
2 τῇ νήσῳ καὶ πολλὰ ἔβλαπτον, καὶ λιμὸς ἰσχυρὸς ἐγένετο ἐν τῇ πόλει. ἐπρεσβεύοντο δὲ καὶ ἐς τὴν Λακεδαίμονα καὶ Κόρινθον περὶ καθόδου· καὶ ὡς οὐδὲν αὐτοῖς ἐπράσσετο, ὕστερον χρόνῳ πλοῖα καὶ ἐπικούρους παρασκευασάμενοι διέβησαν ἐς τὴν νῆσον, ἐξακόσιοι μάλιστα οἱ πάντες, καὶ τὰ πλοῖα ἐμπρήσαντες, ὅπως ἀπόγνοια ᾖ τοῦ ἄλλο τι ἢ κρατεῖν τῆς γῆς, ἀναβάντες ἐς τὸ ὄρος τὴν Ἰστώνην, τεῖχος ἐνοικοδομησάμενοι ἔφθειρον τοὺς ἐν τῇ πόλει καὶ τῆς γῆς ἐκράτουν.

86 Τοῦ δ' αὐτοῦ θέρους τελευτῶντος Ἀθηναῖοι εἴκοσι ναῦς ἔστειλαν ἐς Σικελίαν καὶ Λάχητα τὸν Μελανώπου στρατηγὸν

προυτίθεσαν, τιμιώτερον ἔκριναν. (Sch.) So 1, 76, 3. 3, 39, 3. (Pp.) — ἐν ᾧ — φθονεῖν wobei der Neid ſeine ſchädliche Kraft verloren hätte. vgl. 8, 86, 3. (Arn.) Ein doch auch ſinnloſer Sinn der ſeltſamen Worte.

§ 3. ἀξιοῦσι nehmen ſich heraus. — περὶ τῶν τοιούτων über ſolche Dinge, bei denen eine gewiſſe Schonung den Geſetzen der Humanität gemäß iſt. (Arn.) — σφαλεῖσι wenn ſie unterliegen. — ὑπόκειται wie ὕπεστιν 6, 87, 4. (Pp.) — ὑπολείπεσθαι, τούτους τοὺς νόμους. (Bs.) Ueber das Med. vgl. 1, 140, 5 u. Ellendt z. Arr. 5, 20, 2. (Pp.) — εἴ ποτε in Erwartung ob einmal. — τις Jemand von den dermaligen Siegern.

C. 85. § 1. ταῖς πρώταις im Gegenſatze zu den ſpätern Leidenſchaften 4, 46 ff. (Pp.) — πέραν Kerkyra gegenüber. (Lev.) — οἰκείας den Kerkyräern zugehörig. (Sch.) — ἐληίζοντο für ἐληίζοντο mehrere und einige gute Hſn. vgl. 4, 41, 2.

§ 2. ἀπόγνοια του ἄλλο τι Verzweiflung etwas Anderes zu thun als. Gr. 62, 3 A. 7.

αὐτῶν καὶ Χαροιάδην τὸν Εὐφιλήτου. οἱ γὰρ Συρακόσιοι καὶ Λεοντῖνοι ἐς πόλεμον ἀλλήλοις καθέστασαν. ξύμμαχοι δὲ τοῖς μὲν Συρακοσίοις ἦσαν πλὴν Καμαριναίων αἱ ἄλλαι Δωρίδες πόλεις, αἵπερ καὶ πρὸς τὴν τῶν Λακεδαιμονίων τὸ πρῶτον ἀρχομένου τοῦ πολέμου ξυμμαχίαν ἐτάχθησαν, οὐ μέντοι ξυνεπολέμησάν γε, τοῖς δὲ Λεοντίνοις αἱ Χαλκιδικαὶ πόλεις καὶ Καμάρινα· τῆς δὲ Ἰταλίας Λοκροὶ μὲν Συρακοσίων ἦσαν, Ῥηγῖνοι δὲ κατὰ τὸ ξυγγενὲς Λεοντίνων. ἐς οὖν 2
τὰς Ἀθήνας πέμψαντες οἱ τῶν Λεοντίνων ξύμμαχοι κατά τε παλαιὰν ξυμμαχίαν καὶ ὅτι Ἴωνες ἦσαν πείθουσι τοὺς Ἀθηναίους πέμψαι σφίσι ναῦς· ὑπὸ γὰρ τῶν Συρακοσίων τῆς τε γῆς εἴργοντο καὶ τῆς θαλάσσης. καὶ ἔπεμψαν οἱ Ἀθηναῖοι τῆς μὲν οἰκειότητος προφάσει, βουλόμενοι δὲ μήτε σῖτον ἐς τὴν Πελοπόννησον ἄγεσθαι αὐτόθεν, πρόπειράν τε ποιούμενοι εἰ σφίσι δυνατὰ εἴη τὰ ἐν τῇ Σικελίᾳ πράγματα ὑποχείρια γενέσθαι. καταστάντες οὖν ἐς Ῥήγιον τῆς Ἰταλίας τὸν πόλεμον ἐποιοῦντο μετὰ τῶν ξυμμάχων. καὶ τὸ θέρος ἐτελεύτα.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἡ νόσος τὸ δεύτερον 87
ἐπέπεσε τοῖς Ἀθηναίοις, ἐκλιποῦσα μὲν οὐδένα χρόνον τὸ παντάπασιν, ἐγένετο δέ τις ὅμως διακωχή. παρέμεινε δὲ τὸ μὲν ὕστερον οὐκ ἔλασσον ἐνιαυτοῦ, τὸ δὲ πρότερον καὶ δύο ἔτη, ὥστε Ἀθηναίων γε μὴ εἶναι ὅ τι μᾶλλον ἐκάκωσε τὴν δύναμιν· τετρακοσίων γὰρ ὁπλιτῶν καὶ τετρακισχιλίων οὐκ 2

C. 86. § 1. Ἰταλίας. Gr. 47, 5 A. 5. — Συρακοσίων. eb. 6 A. 4.

§ 2. οἱ τῶν Λεοντίνων ξύμμαχοι die leontiniſche Bundesgenoſſenſchaft, die Leontiner und ihre Verbündeten. (Bl.) — οἰκειότητος, συγγενείας. (Sch.) Angehörigkeit. vgl. 4, 61, 2. 6, 76, 2. (Pp.) — βουλόμενοι δέ. Gr. 59, 2 A. 3. — σφίσι gehört zu ὑποχείρια γενέσθαι. — δυνατά. Gr. 55, 3 A. 7. vgl. 8, 106, 4. — γενέσθαι. Xen. An. 5, 4, 6: ἔξεσιν ὑμῖν — τὸ λοιπὸν ὑμῶν ὑπηκόους εἶναι τούτους. vgl. zu 3, 4, 2. — καταστάντες nachdem ſie ſich feſt geſetzt, wie 92, 5. vgl. zu 1, 49, 2.

C. 87. § 1. τὸ παντάπασιν ſcheint nur hier ſo mit dem Artikel zu ſtehen, wird aber durch τὸ παράπαν, τὸ ξύμπαν u. ä. hinreichend geſchützt. (Pp.) Ich wünſche Aehnlicheres nachgewieſen. — διακωχή. διοκωχή Valcken. z Ammon. 1, 5. Das Wort iſt veraltet: διάλειψις, ἀναβολή. (Sch.) — καὶ δύο. zu 1, 41, 1.

ἑλάσσους ἀπέθανον ἐκ τῶν τάξεων καὶ τριακοσίων ἱππέων, τοῦ δὲ ἄλλου ὄχλου ἀνεξεύρετος ἀριθμός. ἐγένοντο δὲ καὶ οἱ πολλοὶ τότε σεισμοὶ τῆς γῆς, ἔν τε Ἀθήναις καὶ [ἐν] Εὐβοίᾳ καὶ ἐν Βοιωτοῖς καὶ μάλιστα ἐν Ὀρχομενῷ τῷ Βοιωτίῳ.

88 Καὶ οἱ μὲν ἐν Σικελίᾳ Ἀθηναῖοι καὶ Ῥηγῖνοι τοῦ αὐτοῦ χειμῶνος τριάκοντα ναυσὶ στρατεύουσιν ἐπὶ τὰς Αἰόλου νήσους καλουμένας· θέρους γὰρ δι' ἀνυδρίαν ἀδύνατα ἦν ἐπιστρατεύειν. νέμονται δὲ Λιπαραῖοι αὐτάς, Κνιδίων ἄποικοι ὄντες. οἰκοῦσι δ' ἐν μιᾷ τῶν νήσων οὐ μεγάλῃ, καλεῖται δὲ Λιπάρα· τὰς δὲ ἄλλας ἐκ ταύτης ὁρμώμενοι γεωρ-
2 γοῦσι, Διδύμην καὶ Στρογγύλην καὶ Ἱεράν. νομίζουσι δὲ οἱ ἐκείνῃ ἄνθρωποι ἐν τῇ Ἱερᾷ ὡς ὁ Ἥφαιστος χαλκεύει, ὅτι τὴν νύκτα φαίνεται πῦρ ἀναδιδοῦσα πολὺ καὶ τὴν ἡμέραν καπνόν. κεῖνται δὲ αἱ νῆσοι αὗται κατὰ τὴν Σικελῶν καὶ Μεσσηνίων γῆν, ξύμμαχοι δ' ἦσαν Συρακοσίων. τεμόντες δ' οἱ Ἀθηναῖοι τὴν γῆν, ὡς οὐ προσεχώρουν, ἀπέπλευσαν ἐς τὸ Ῥήγιον. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ πέμπτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

89 Τοῦ δ' ἐπιγιγνομένου θέρους Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι μέχρι μὲν τοῦ Ἰσθμοῦ ἦλθον ὡς ἐς τὴν Ἀττικὴν ἐσβαλοῦντες, Ἄγιδος τοῦ Ἀρχιδάμου ἡγουμένου Λακεδαιμονίων βασιλέως, σεισμῶν δὲ γενομένων πολλῶν ἀπειρα-
2 ποντο πάλιν καὶ οὐκ ἐγένετο ἐσβολή. καὶ περὶ τούτους τοὺς χρόνους, τῶν σεισμῶν κατεχόντων, τῆς Εὐβοίας ἐν Ὠροβίαις ἡ θάλασσα ἐπελθοῦσα ἀπὸ τῆς τότε οὔσης γῆς καὶ κυματωθεῖσα ἐπῆλθε τῆς πόλεως μέρος τι, καὶ τὸ μὲν κατέκλυσε τὸ

---

§ 2. ἐκ τῶν τάξεων, ἐκ τῶν συντάξεων, τῶν πολεμικῶν δηλονότι. (Sch.) — οἱ πολλοὶ die zahlreichen bekanntlich eingetretenen. (Arn.) — ἐν vor Εὐβοίᾳ fehlt in den besten Hss.

C. 88. § 1. Ἱεράν. auch Ἱέραν betont. Göttling. Acc. S. 141. § 2. ὡς. Gr. 65, 1 A. 4; über die Stellung eb. 54, 17 A. 7.

C. 89. § 1. Ἀρχιδάμου. Kr. Stud. S. 151. — σεισμοί, eine üble Vorbedeutung, veranlaßten öfter Aufgeben einer Unternehmung, wie 6, 95, 1. vgl. 5, 45, 4. 50, 4. 8, 6, 5. (Py.)

§ 2. κατεχόντων. ἐπέσχον 1, 23, 3. vgl. zu 1, 11, 3. (Py.) — ἐπελθοῦσα. ἐπανελθοῦσα setzt der Sch. in der Erklärung. Vielleicht ist κατά für ἀπό zu lesen. (Kr.) — τὸ μέν der eine, τὸ δέ der andere Theil des Meeres. (Pö.) — κατέκλυσε, κατάκλυσιν ἐποί-

δ' ὑπενόστησεν, καὶ θάλασσα νῦν ἐστὶ πρότερον οὖσα γῆ· καὶ ἀνθρώπους διέφθειρεν ὅσοι μὴ ἐδύναντο φθῆναι πρὸς τὰ μετέωρα ἀναδραμόντες. καὶ περὶ Ἀταλάντην τὴν ἐπὶ 3
Λοκροῖς τοῖς Ὀπουντίοις νῆσον παραπλησία γίγνεται ἐπίκλυσις, καὶ τοῦ τε φρουρίου τῶν Ἀθηναίων παρεῖλε καὶ δύο νεῶν ἀνειλκυσμένων τὴν ἑτέραν κατέαξεν. ἐγένετο δὲ καὶ ἐν Πεπαρήθῳ κύματος ἐπαναχώρησίς τις, οὐ μέντοι ἐπέκλυσέ γε· καὶ σεισμὸς τοῦ τείχους τι κατέβαλε καὶ τὸ πρυτανεῖον καὶ ἄλλας οἰκίας ὀλίγας. αἴτιον δ' ἔγωγε νομίζω τοῦ τοι- 4
ούτου, ἢ ἰσχυρότατος ὁ σεισμὸς ἐγένετο, κατὰ τοῦτο ἀποστέλλειν τε τὴν θάλασσαν καὶ ἐξαπίνης πάλιν ἐπισπωμένην βιαιότερον τὴν ἐπίκλυσιν ποιεῖν· ἄνευ δὲ σεισμοῦ οὐκ ἄν μοι δοκεῖ τὸ τοιοῦτο ξυμβῆναι γενέσθαι.

Τοῦ δ' αὐτοῦ θέρους ἐπολέμουν μὲν καὶ ἄλλοι, ὡς 90
ἑκάστοις ξυνέβαινεν, ἐν τῇ Σικελίᾳ καὶ αὐτοὶ οἱ Σικελιῶται ἐπ' ἀλλήλους στρατεύοντες καὶ οἱ Ἀθηναῖοι ξὺν τοῖς σφετέ-

---

σατο. vgl. ἐπέκλυσε § 3. Gr. 52, 1 A. 3. — ὑπενόστησε. So Her. 1, 191: ὑπονοστήσαντος τοῦ ποταμοῦ. (Arn.) — ἐστί, ἐστὶν ἡ Pp. Auch mir eingefallen; doch läßt ſich erklären: früher Land Gewesenes.

§ 3. τοῦ φρουρίου einen Theil von dem Fort. (Ba.) vgl. Elmsley zu Eur. Herakl. 908: παραιρῶν φρονήματος. Gr. 47, 15 A. 3 — παρεῖλε, μέρος παρέκοψε. (Sch.) — κύματος. Gr. 44, 1 A. 1. vgl. Lex. Plat. unter κῦμα. — ἐπαναχώρησις, ἐπανάστασις nach Thom. M. p. 333. Zurücktreten Sch.

§ 4. κατὰ τοῦτο ἀποστέλλει in der Gegend zurückdrängt. (Ba.) Der Inf. ſteht exegetiſch zu einem nach νομίζω zu ergänzenden εἶναι. Gr. 57, 10 A. 8 u. 59, 1 A. 5. 6. vgl. 93, 2. — ἐξαπίνης findet ſich bei Th. öfter u. auch ſonſt zuweilen in der Proſa. Lob. z. Phryn. p. 19. — ἐπισπώμενον ein Sch. — βιαιότερον kann hier adverbialiſch ſtehen; doch auch adjectiviſch (Sch.), wie ἀπορώτερος ἢ λῆψις 5, 110, δυσεσβολώτατος ἢ Λοκρίς 3, 101, 2. Aus der attiſchen Proſa die einzigen Stellen der Art die mir bekannt ſind. Denn 5, 71, 1 ziehe ich nicht hierher.

C. 90. § 1. καὶ ἄλλοι auch Andere Ba., ſo daß καὶ αὐτοὶ οἱ Σ. appoſitiv ſtände: ſowohl die S. ſelbſt. Aber dann ſähe man nicht recht was im Vorhergehenden (88) als Gegenſatz zu καὶ ἄλλοι enthalten wäre. Alſo überſetze man: ſowohl Andere als auch die Sikelioten ſelbſt nebſt den Athenern. Entgegen ſtehen dann etwa Kämpfe der Sikeler, d. h. der Ureinwohner. Gr. 41, 9 A. 5. — ὡς ἑκάστοις ξυνέβαινεν, ὡς ἑκάστοις τοῖν αἰτία (αἴτια?) τοῦ στασιάζειν καὶ πολεμεῖν ἐγίγνετο. (Sch.) Gr. 55, 4 A. 11 u. zu 1, 98,

ροις ξυμμάχοις· ἃ δὲ λόγου μάλιστα ἄξια ἦ μετὰ τῶν Ἀθηναίων οἱ ξύμμαχοι ἔπραξαν ἢ πρὸς τοὺς Ἀθηναίους οἱ
2 ἀντιπολέμιοι, τούτων μνησθήσομαι. Χαροιάδου γὰρ ἤδη τοῦ Ἀθηναίων στρατηγοῦ τεθνηκότος ὑπὸ Συρακοσίων πολέμῳ, Λάχης ἅπασαν ἔχων τῶν νεῶν τὴν ἀρχὴν ἐστράτευσε μετὰ τῶν ξυμμάχων ἐπὶ Μυλὰς τὰς τῶν Μεσσηνίων. ἔτυχον
3 δὲ δύο φυλαὶ ἐν ταῖς Μυλαῖς τῶν Μεσσηνίων φρουροῦσαι καί τινα καὶ ἐνέδραν πεποιημέναι τοῖς ἀπὸ τῶν νεῶν. οἱ δὲ Ἀθηναῖοι καὶ οἱ ξύμμαχοι τούς τε ἐκ τῆς ἐνέδρας ἰρέπουσι καὶ διαφθείρουσι πολλούς, καὶ τῷ ἐρύματι προσβαλόντες ἠνάγκασαν ὁμολογίᾳ τήν τε ἀκρόπολιν παραδοῦναι καὶ ἐπὶ Μεσσήνην ξυστρατεῦσαι. καὶ μετὰ τοῦτο ἐπελθόντων οἱ Μεσσήνιοι τῶν τε Ἀθηναίων καὶ τῶν ξυμμάχων προσεχώρησαν καὶ αὐτοί, ὁμήρους τε δόντες καὶ τἆλλα πιστὰ παρασχόμενοι.

91 Τοῦ δ' αὐτοῦ θέρους οἱ Ἀθηναῖοι τριάκοντα μὲν ναῦς ἔστειλαν περὶ Πελοπόννησον, ὧν ἐστρατήγει Δημοσθένης τε ὁ Ἀλκισθένους καὶ Προκλῆς ὁ Θεοδώρου, ἑξήκοντα δὲ ἐς Μῆλον καὶ δισχιλίους ὁπλίτας· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου. τοὺς γὰρ Μηλίους ὄντας νησιώτας καὶ οὐκ ἐθέλοντας ὑπακούειν οὐδὲ ἐς τὸ αὑτῶν ξυμμαχικὸν ἰέναι
2 ἐβούλοντο προσαγαγέσθαι. ὡς δὲ αὐτοῖς δῃουμένης τῆς γῆς οὐ προσεχώρουν, ἄραντες ἐκ τῆς Μήλου αὐτοὶ μὲν ἔπλευσαν

---

2. — ἀντιπολέμιοι. ἀντιπόλεμοι will Schneider im Lex. vgl. die Erkl. zu Her. 4, 140, und dagegen Sturz z. Dio C. 1 p. 211. (Pp.) Sonst ſcheint dies Wort bei den Attikern nicht vorzukommen.

§ 2. Μυλάς. So betont auch Steph. B., Μύλαι andere Schriftſteller und hier eine Hſ. (Pp.) — τὰς τῶν. Gr. 47, 5 A. 8. — φυλαί. Die bürgerlichen Abtheilungen blieben auch militäriſche. vgl. 6, 98, 4.

§. 3. τοῖς ἀπὸ τῶν den von der Flotte gelandeten Athenern. (Pl.) — ἐκ. zu Dion. p. 302. — τἆλλα. τὰ ἄλλα Martins u. eine andre Hſ. So Pp., weil Thuk. dieſe Kraſis nicht gebraucht zu haben ſcheine. — πιστά iſt prädicativ, wie ἐχυρά 1, 32, 2. Denn ſonſt würde der Artikel wiederholt ſein. Gr. 50, 9 A. 2.

C. 91. § 1. Μηλίους. 5, 84, 2 ff. — αὐτῶν für αὑτῶν Kr.

ἐς Ὠρωπὸν τῆς Πειραϊκῆς, ὑπὸ νύκτα δὲ σχόντες, εὐθὺς ἐπορεύοντο οἱ ὁπλῖται ἀπὸ τῶν νεῶν πεζῇ ἐς Τάναγραν τῆς Βοιωτίας. οἱ δ' ἐκ τῆς πόλεως πανδημεὶ Ἀθηναῖοι, Ἱππονίκου τε τοῦ Καλλίου στρατηγοῦντος καὶ Εὐρυμέδοντος τοῦ Θουκλέους, ἀπὸ σημείου ἐς τὸ αὐτὸ κατὰ γὴν ἀπήντων. καὶ 3 στρατοπεδευσάμενοι ταύτην τὴν ἡμέραν ἐν τῇ Ταναγρικῇ ἐδῄουν καὶ ἐνηυλίσαντο. καὶ τῇ ὑστεραίᾳ μάχῃ κρατήσαντες τοὺς ἐπεξελθόντας τῶν Ταναγραίων καὶ Θηβαίων τινὰς προσβεβοηθηκότας καὶ ὅπλα λαβόντες καὶ τροπαῖον στήσαντές ἀνεχώρησαν οἱ μὲν ἐς τὴν πόλιν, οἱ δὲ ἐπὶ τὰς ναῦς. καὶ παραπλεύσας ὁ Νικίας ταῖς ἑξήκοντα ναυσὶ τῆς Λοκρίδος τὰ ἐπιθαλάσσια ἔτεμε καὶ ἀνεχώρησεν ἐπ' οἴκου.

Ὑπὸ δὲ τὸν χρόνον τοῦτον Λακεδαιμόνιοι Ἡράκλειαν 92 τὴν ἐν Τραχινίᾳ ἀποικίαν καθίσταντο ἀπὸ τοιῶνδε γνώμης. Μηλιῆς οἱ ξυμπαντες εἰσὶ μὲν τρία μέρη, Παράλιοι, Ἱερῆς, Τραχίνιοι· τούτων δὲ οἱ Τραχίνιοι πολέμῳ ἐφθαρμένοι ὑπὸ Οἰταίων ὁμόρων ὄντων, τὸ πρῶτον μελλήσαντες Ἀθηναίοις προσθεῖναι σφᾶς αὐτούς, δείσαντες δὲ μὴ οὐ σφίσι πιστοὶ ὦσι πέμπουσιν ἐς Λακεδαίμονα, ἑλόμενοι πρεσβευτὴν Τισαμενόν. ξυνεπρεσβεύοντο δὲ αὐτοῖς καὶ Δωριῆς, ἡ μη- 2 τρόπολις τῶν Λακεδαιμονίων, τῶν αὐτῶν δεόμενοι· ὑπὸ γὰρ τῶν Οἰταίων καὶ αὐτοὶ ἐφθείροντο. ἀκούσαντες δὲ οἱ Λακεδαιμόνιοι γνώμην εἶχον τὴν ἀποικίαν ἐκπέμπειν, τοῖς τε Τραχινίοις βουλόμενοι καὶ τοῖς Δωριεῦσι τιμωρεῖν. καὶ 3 ἅμα τοῦ πρὸς Ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίσιασθαι· ἐπί τε γὰρ τῇ Εὐβοίᾳ ναυτικὸν παρα-

---

§ 2. *Πειραϊκῆς* für *πέραν γῆς* Cramer und Peyron. vgl. 2, 23, 2. — *ἀπό.* zu 2, 90, 3. — *τὸ αὐτό.* Kr. zu Xen. An. 1, 8, 14.

§ 3. *ὅπλα*, der Gebliebenen. (Hl.)

C. 92. § 1. *Τραχινίᾳ* für *Τραχινίαις* mehrere schlechte Handschriften. Beides ist wohl falsch, richtig *Τραχῖνι* nach 3, 100, 2. 4, 78, 1. 5, 12. 51, 1. — *προσθεῖναι*, wie 8, 50, 3. (Pp.) — *οὐ πιστοί.* daß sie ihnen die gewährte Autonomie später entzögen. (Bl.)

§ 2. *Δωριῆς ἡ μητρόπολις.* zu 1, 107, 1. — *τὴν ἀποικίαν* die § 1 erwähnte.

§ 3. *τοῦ πολέμου.* zu 1, 36, 3. — *ἐπὶ τῇ, κατὰ τῆς.* (Sch.) wie 93, 1. 2. vgl. Gr. 68, 41 A. 7. — *παρασκευασθῆναι ἄν*

σκευασθῆναι ἄν, ὥστ' ἐκ βραχέος τὴν διάβασιν γίγνεσθαι, τῆς τε ἐπὶ Θρᾴκης παρόδου χρησίμως ἕξειν. τό τε ξύμπαν
4 ὥρμηντο τὸ χωρίον κτίζειν. πρῶτον μὲν οὖν ἐν Δελφοῖς τὸν θεὸν ἐπήροντο, κελεύοντος δὲ ἐξέπεμψαν τοὺς οἰκήτορας αὐτῶν τε καὶ τῶν περιοίκων, καὶ τῶν ἄλλων Ἑλλήνων τὸν βουλόμενον ἐκέλευον ἕπεσθαι πλὴν Ἰώνων καὶ Ἀχαιῶν καὶ ἔστιν ὧν ἄλλων ἐθνῶν. οἰκισταὶ δὲ τρεῖς Λακεδαιμονίων
5 ἡγήσαντο, Λέων καὶ Ἀλκίδας καὶ Δαμάγων. κατασάντες δὲ ἐτείχισαν τὴν πόλιν ἐκ καινῆς, ἣ νῦν Ἡράκλεια καλεῖται, ἀπέχουσα Θερμοπυλῶν σταδίους μάλιστα τεσσαράκοντα, τῆς δὲ θαλάσσης εἴκοσι. νεώριά τε πυρεσκευάζοντος καὶ ἤρξαντο κατὰ Θερμοπύλας κατ' αὐτὸ τὸ στενόν, ὅπως εὐφύλακτα αὐ-
93 τοῖς εἴη. οἱ δὲ Ἀθηναῖοι τῆς πόλεως ταύτης ξυνοικιζομένης τὸ πρῶτον ἔδεισάν τε καὶ ἐνόμισαν ἐπὶ τῇ Εὐβοίᾳ μάλιστα παθίστασθαι, ὅτι βραχύς ἐστιν ὁ διάπλους πρὸς τὸ Κήναιον τῆς Εὐβοίας. ἔπειτα μέντοι παρὰ δόξαν αὐτοῖς ἀπέβη· οὐ
2 γὰρ ἐγένετο ἀπ' αὐτῆς δεινὸν οὐδέν. αἴτιον δὲ ἦν, οἱ τε Θεσσαλοὶ ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων καὶ ὧν ἐπὶ τῇ γῇ ἐκτίζετο, φοβούμενοι μὴ σφίσι μεγάλῃ ἰσχύϊ παροικῶσιν, ἔφθειρον καὶ διὰ παντὸς ἐπολέμουν ἀνθρώποις νεοκαισταί-

---

können ausgerüſtet werden, regiert von ἐδόκει. — ἐκ βραχέος aus geringer Entfernung. (Sch.)

§ 4. ἐπήροντο. zu 1, 25, 1. — κελεύοντος δέ, τοῦ θεοῦ. vgl. 8, 6, 4. — τοὺς οἰκήτορας αὐτῶν denke man τοὺς οἰκήτορας. οἰκήτορας (ὄντας) αὐτῶν. vgl. zu 2, 68, 5. — πλήν. πλήν γ' eine Hſ.

§ 5. κατασάντες. zu 3, 86, 2. — ἐκ καινῆς von Neuem. Gr. 43, 3 A. 8. Denn es war ſchon eine Stadt da, Trachis genannt nach Her. 7, 199. (Hf.) — εὐφύλακτα, wie εὐφυλακτότερα 8, 55, 1. (Pp.) Gr. 43, 4 A. 13.

C. 93. § 1. ξυνοικιζομένης ſteht wohl mit Bezug auf die aus verſchiedenen Gegenden zuſammengezogene Bevölkerung. — τῆς Εὐβοίας. Gr. 47, 5 A. 6.

§ 2. αἴτιον δὲ ἦν. Dem. 8, 32: αἴτιον δὲ τούτων, παρεσκευάκασιν ὑμᾶς. 18, 108: τὸ αἴτιον, ἐν τοῖς πένησιν ἦν τὸ λειτουργεῖν. Ariſtid. 1 p. 204: αἴτιον δ' ἦν, οὔτε ἐκεῖνοι ἄρχειν ἠπίσταντο οὔτε οἱ ἀρχόμενοι τὸ ἀκόλουθον ἀπεπλήρουν. — ἐν δυνάμει ὄντες τῶν ταύτῃ χωρίων die dortigen Plätze in ihrer Gewalt habend. — καὶ ὧν, κἀκείνοις ὧν. (Sch.) Gr. 51, 13 A. 5. Genannt werden die Gemeinten 5, 51, 1. (Pp.) — ἐπὶ τῇ γῇ, ἐπὶ κακῷ τῆς γῆς. (Sch.) zu 92, 3. — νεοκατάστατος findet ſich erſt wieder bei

τοις, ἕως ἐξετρύχωσαν γενομένους τὸ πρῶτον καὶ πάνυ πολλούς. — πᾶς γὰρ τις Λακεδαιμονίων οἰκιζόντων θαρσαλέως ἤει, βέβαιον νομίζων τὴν πόλιν — οὐ μέντοι ἥκιστα οἱ ἄρχοντες αὐτῶν τῶν Λακεδαιμονίων οἱ ἀφικνούμενοι τὰ πράγματά τε ἔφθειρον καὶ ἐς ὀλιγανθρωπίαν κατέστησαν, ἐκφοβήσαντες τοὺς πολλούς, χαλεπῶς τε καὶ ἔστιν ἃ οὐ καλῶς ἐξηγούμενοι, ὥστε ῥᾷον ἤδη αὐτῶν οἱ πρόσοικοι ἐπεκράτουν.

Τοῦ δ' αὐτοῦ θέρους καὶ περὶ τὸν αὐτὸν χρόνον ὃν ἐν 94
τῇ Μήλῳ οἱ Ἀθηναῖοι κατεῖχοντο καὶ οἱ ἀπὸ τῶν τριάκοντα νεῶν Ἀθηναῖοι περὶ Πελοπόννησον ὄντες πρῶτον ἐν Ἐλλομένῳ τῆς Λευκαδίας φρουρούς τινας λοχήσαντες διέφθειραν, ἔπειτα ὕστερον ἐπὶ Λευκάδα μείζονι στόλῳ ἦλθον, Ἀκαρνᾶσί τε πᾶσιν, οἳ πανδημεὶ πλὴν Οἰνιαδῶν ξυνέσποντο, καὶ Ζακυνθίοις καὶ Κεφαλλῆσι καὶ Κερκυραίων πεντεκαίδεκα ναυσίν. καὶ οἱ μὲν Λευκάδιοι τῆς τε ἔξω γῆς δῃουμένης 2
καὶ τῆς ἐντὸς τοῦ ἰσθμοῦ, ἐν ᾗ καὶ ἡ Λευκάς ἐστι καὶ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, πλήθει βιαζόμενοι ἡσύχαζον· οἱ δὲ Ἀκαρνᾶνες ἠξίουν Δημοσθένην τὸν στρατηγὸν τῶν Ἀθηναίων ἀποτειχίζειν αὐτούς, νομίζοντες ῥᾳδίως τ' ἂν ἐκπολιορκῆσαι πόλεώς τε ἀεὶ σφίσι πολεμίας ἀπαλλαγῆναι. Δημοσθένης 3
δ' ἀναπείθεται κατὰ τὸν χρόνον τοῦτον ὑπὸ Μεσσηνίων ὡς καλὸν αὐτῷ στρατιᾶς τοσαύτης ξυνειλεγμένης Αἰτωλοῖς ἐπιθέσθαι, Ναυπάκτῳ τε πολεμίοις οὖσι καὶ ἣν κρατήσῃ αὐτῶν, ῥᾳδίως καὶ τὸ ἄλλο ἠπειρωτικὸν τὸ ταύτῃ Ἀθηναίοις προσποιήσειν. τὸ γὰρ ἔθνος μέγα μὲν εἶναι τὸ τῶν Αἰτωλῶν 4
καὶ μάχιμον, οἰκοῦν δὲ κατὰ κώμας ἀτειχίστους, καὶ ταύτας

Dio C. 232, 16. (Bl.) — ἐξετρύχωσαν, wie 7, 48, 2, wo § 6 φθείρειν u. τρίβειν ſynonym ſind; das Simplex 4, 60, 2. 7, 28, 3. (Pÿ.)

C. 94. § 1. ἐν τῇ Μήλῳ 91, 1. — ἔπειτα gibt die Reihenfolge an, ὕστερον die Zeit. vgl. zu 2, 9, 1.

§ 2. ἔξω, wahrſcheinlich in Akarnanien gelegenes. (Bl.) — ἀποτειχίζειν, περιτειχίζειν; περιτείχισις 95, 2. (A. Pö.) zu 1, 64, 1.

§ 3. καί vor ἦν verbindet οὖσι mit προσποιήσειν. Gr. 59, 2 A. 3. — ἠπειρωτικόν Bewohner des Feſtlandes. (Pk.) — προσποιήσειν hängt von einem aus ἀναπείθεται zu entnehmenden ἔλεγον ab. Doch iſt die Fügung hart. Vielleicht ſchrieb Th. προσποιήσων.

διὰ πολλοῦ, καὶ σκευῇ ψιλῇ χρώμενον οὐ χαλεπὸν ἀπέφαινον, πρὶν ξυμβοηθῆσαι, καταστραφῆναι. ἐπιχειρεῖν δ' ἐκέλευον πρῶτον μὲν Ἀποδώτοις, ἔπειτα δὲ Ὀφιονεῦσι καὶ μετὰ τούτους Εὐρυτᾶσιν, ὅπερ μέγιστον μέρος ἐστὶ τῶν Αἰτωλῶν, ἀγνωστότατοι δὲ γλῶσσαν καὶ ὠμοφάγοι εἰσίν, ὡς λέγονται· τούτων γὰρ ληφθέντων ῥᾳδίως καὶ τἆλλα προσχω-
95 ρήσειν. ὁ δὲ τῶν Μεσσηνίων χάριτι πεισθεὶς καὶ μάλιστα νομίσας ἄνευ τῆς τῶν Ἀθηναίων δυνάμεως τοῖς ἠπειρώταις ξυμμάχοις μετὰ τῶν Αἰτωλῶν δύνασθαι ἂν κατὰ γῆν ἐλθεῖν ἐπὶ Βοιωτοὺς διὰ Λοκρῶν τῶν Ὀζολῶν ἐς Κυτίνιον τὸ Δωρικόν, ἐν δεξιᾷ ἔχων τὸν Παρνασσόν, ἕως καταβαίη ἐς Φωκέας, οἳ προθύμως ἐδόκουν κατὰ τὴν Ἀθηναίων ἀεί ποτε φιλίαν ξυστρατεύειν ἢ κἂν βίᾳ προσαχθῆναι — καὶ Φωκεῦσιν ἤδη ὅμορος ἡ Βοιωτία ἐστίν — ἄρας οὖν ξύμπαντι τῷ στρατεύματι ἀπὸ τῆς Λευκάδος ἀκόντων Ἀκαρνάνων παρέ-
2 πλευσεν ἐς Σόλλιον. κοινώσας δὲ τὴν ἐπίνοιαν τοῖς Ἀκαρνᾶσιν, ὡς οὐ προσεδέξαντο διὰ τῆς Λευκάδος τὴν οὐ περιτείχισιν, αὐτὸς τῇ λοιπῇ στρατιᾷ, Κεφαλλῆσι καὶ Μεσσηνίοις καὶ Ζακυνθίοις καὶ Ἀθηναίων τριακοσίοις τοῖς ἐπιβάταις τῶν σφετέρων νεῶν — αἱ γὰρ πεντεκαίδεκα τῶν Κερκυραίων ἀπῆλθον νῆες — ἐστράτευσεν ἐπ' Αἰτωλούς.

---

§ 4. διὰ πολλοῦ weit von einander entlegen. zu 2, 29, 3. — σκευῇ ψιλῇ. vgl. Polyb. 4, 8, 10 u. Pauſ. 10, 22, 4. — χαλεπόν. Gr. 56, 7 A. 4. vgl. 3, 64. 3. — ὅπερ. Gr. 61, 7 A. 8. — ὡς λέγονται. Gr. 55, 4 A. 3. — ἀγνωστότατοι, οὐκ ἔχοντες τὴν διάλεκτον εὔκολον γνωσθῆναι. (Sch.) Eine ſonſt nicht leicht vorkommende Bedeutung. — προσχωρήσειν erg. ἔλεγον aus ἐκέλευον. Gr. 65, 11 A. 7.

C. 95. § 1. χάριτι aus Gefälligkeit. — ξυμμάχοις. ξύμμαχος Kr. Die La. iſt nach Gr. 48, 15 A. 18 u. 57, 3 A. 1 zu erklären. — φιλίαν. φιλίαν ἄν Kr. Doch ſteht ähnlich der Inf. Pr. ohne ἄν 1, 93, 2. 127, 1. 4, 127, 1. (Pp.) Aber wohl nur mit der Idee des unfehlbaren Eintretens. — προσαχθῆναι genöthigt werden, wenn ſie es nicht freiwillig thäten. — ἤδη. zu 2, 96, 3. — οὖν epanaleptiſch auf πεισθεὶς zurückweiſend. (Sch.) Gr. 69, 52 A. 3 vgl. 7, 6, 1. 42, 4. 8, 57, 2. (Pp.)

§ 2. τριακοσίοις. So finden ſich auf vierzig Schiffen 4, 76, 1 nur vierhundert 4, 101, 2. vgl. 2, 102, 1 mit 2, 93, 4. (Arn.) — τοῖς. Gr. 50, 11 A. 1. — σφετέρων. Gr. 50, 4 A. 4. — αἱ πεντεκαίδεκα. Nur dreizehn 3, 79, 1.

Ὥρμᾶτο δὲ ἐξ Οἰνεῶνος τῆς Λοκρίδος. οἱ δὲ Ὀζόλαι 3
οὗτοι Λοκροὶ ξύμμαχοι ἦσαν καὶ ἔδει αὐτοὺς παντὶ στρατιᾷ
ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειαν· ὄντες γὰρ
ὅμοροι τοῖς Αἰτωλοῖς καὶ ὁμόσκευοι μεγάλη ὠφελία ἐδόκουν
εἶναι ξυστρατεύοντες μάχης τε ἐμπειρίᾳ τῆς ἐκείνων καὶ χω-
ρίων. αὐλισάμενος δὲ τῷ στρατῷ ἐν τοῦ Διὸς τοῦ Νεμείου 96
τῷ ἱερῷ, ἐν ᾧ Ἡσίοδος ὁ ποιητὴς λέγεται ὑπὸ τῶν ταύτῃ
ἀποθανεῖν, χρησθὲν αὐτῷ ἐν Νεμέᾳ τοῦτο παθεῖν, ἅμα τῇ
ἕῳ ἄρας ἐπορεύετο ἐς τὴν Αἰτωλίαν. καὶ αἱρεῖ τῇ πρώτῃ
ἡμέρᾳ Ποτιδανίαν καὶ τῇ δευτέρᾳ Κροκύλειον καὶ τῇ τρίτῃ
Τείχιον, ἔμενέ τε αὐτοῦ καὶ τὴν λείαν ἐς Εὐπάλιον τῆς Λο-
κρίδος ἀπέπεμψεν· τὴν γὰρ γνώμην εἶχε τἆλλα κατασκευά- 2
μενος οὕτως ἐπὶ Ὀφιονέας, εἰ μὴ βούλοιντο ξυγχωρεῖν, ἐς
Ναύπακτον ἐπαναχωρήσας στρατεῦσαι ὕστερον. τοὺς δὲ Αἰ-
τωλοὺς οὐκ ἐλάνθανεν αὕτη ἡ παρασκευὴ οὔτε ὅτε τὸ πρῶτον
ἐπεβουλεύετο, ἐπειδή τε ὁ στρατὸς ἐσεβεβλήκει, πολλῇ χειρὶ
ἐπεβοήθουν πάντες, ὥστε καὶ οἱ ἔσχατοι Ὀφιονέων οἱ πρὸς
τὸν Μηλιακὸν κόλπον καθήκοντες, Βωμιῆς καὶ Καλλιῆς,
ἐβοήθησαν. τῷ δὲ Δημοσθένει τοιόνδε τι οἱ Μεσσήνιοι 97
παρῄνουν, ὅπερ καὶ τὸ πρῶτον· ἀναδιδάσκοντες αὐτὸν τῶν
Αἰτωλῶν ὡς εἴη ῥᾳδία ἡ αἵρεσις ἰέναι ἐκέλευον ὅτι τάχιστα
ἐπὶ τὰς κώμας καὶ μὴ μένειν ἕως ἂν ξύμπαντες ἀθροισθέν-
τες ἀντιτάξωνται, τὴν δ' ἐν ποσὶν ἀεὶ πειρᾶσθαι αἱρεῖν. ὁ 2
δὲ τούτοις τε πεισθεὶς καὶ τῇ τύχῃ ἐλπίσας, ὅτι οὐδὲν αὐτῷ
ἠναντιοῦτο, τοὺς Λοκροὺς οὐκ ἀναμείνας οὓς αὐτῷ ἔδει
προσβοηθῆσαι, ψιλῶν γὰρ ἀκοντιστῶν ἐνδεὴς ἦν μάλιστα,

---

§ 3. ὁμόσκευοι, τῇ αὐτῇ σκευῇ χρώμενοι. ἤγουν ψιλῇ. (Sch.) — μάχης Kampfesweise, wie 4, 34, 2.

C. 96. § 2. οὕτως — ὕστερον. Kr. zu Xen. An. 7, 1, 4. — οὔτε steht hier, nicht statt οὔ vor ἐλάνθανον, weil dieser temporale Satz dem mit ἐπειδή τε entgegentreten soll. — ἐπεβουλεύετο, ἡ παρασκευή. (Hl.) — ἐπειδή τε. zu 1, 11, 1.

C. 97. § 1 τοιόνδε τι ohne γάρ im Folgenden, wie 2, 75, 4. vgl. Kr. zu Xen. An. 4, 7, 10 gr. A. — τὴν δ' ἐν ποσίν erg. κώμην jeden ihm in den Wurf kommenden Flecken.

§ 2. τῇ τύχῃ ἐλπίσας auf das Glück hoffend, bei andern ἐς oder ἐπί τι, ἐπί τινι. (Py.) Wenn nicht vielmehr zu erklären ist: wegen des Glückes. — ψιλῶν ἀκοντιστῶν speerwerfender ψιλοί;

ἐχώρει ἐπὶ Αἰγιτίου, καὶ κατὰ κράτος αἱρεῖ ἐπιών. ὑπέφευγον γὰρ οἱ ἄνθρωποι καὶ ἐκάθηντο ἐπὶ τῶν λόφων τῶν ὑπὲρ τῆς πόλεως· ἦν γὰρ ἐφ' ὑψηλῶν χωρίων, ἀπέχουσα τῆς
3 θαλάσσης ὀγδοήκοντα σταδίους μάλιστα. οἱ δὲ Αἰτωλοί, βεβοηθηκότες γὰρ ἤδη ἦσαν ἐπὶ τὸ Αἰγίτιον, προσέβαλλον τοῖς Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις καταθέοντες ἀπὸ τῶν λόφων ἄλλοι ἄλλοθεν καὶ ἐσηκόντιζον, καὶ ὅτε μὲν ἐπλοι τὸ τῶν Ἀθηναίων στρατόπεδον, ὑπεχώρουν, ἀναχωροῦσι δὲ ἐπέκειντο. καὶ ἦν ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί, ἐν οἷς ἀμφοτέροις ἦσσους ἦσαν οἱ Ἀθηναῖοι.
98 μέχρι μὲν οὖν οἱ τοξόται εἶχόν τε τὰ βέλη αὐτοῖς καὶ οἷοί τε ἦσαν χρῆσθαι, οἱ δὲ ἀντεῖχον· τοξευόμενοι γὰρ οἱ Αἰτωλοί, ἄνθρωποι ψιλοί, ἀνεστέλλοντο· ἐπειδὴ δὲ τοῦ τε τοξάρχου ἀποθανόντος οὗτοι διεσκεδάσθησαν καὶ αὐτοὶ ἐκπεμήκεσαν καὶ ἐπὶ πολὺ τῷ αὐτῷ πόνῳ ξυνεχόμενοι, οἵ τε Αἰτωλοὶ ἐνέκειντο καὶ ἐσηκόντιζον, οὕτω δὴ τραπόμενοι ἔφευγον, καὶ ἐσπίπτοντες ἐς τε χαράδρας ἀνεβάτους καὶ χωρία ὧν
2 οὐκ ἦσαν ἔμπειροι διεφθείροντο· καὶ γὰρ ὁ ἡγεμὼν αὐτοῖς τῶν ὁδῶν, Χρόμων ὁ Μεσσήνιος, ἐτύγχανε τεθνηκώς. οἱ δὲ Αἰτωλοὶ ἐσακοντίζοντες πολλοὺς μὲν αὐτοῦ ἐν τῇ τροπῇ κατὰ πόδας αἱροῦντες ἄνθρωποι ποδώκεις καὶ ψιλοὶ ὀι-

---

denn andere ψιλοί waren da 98, 1. (Pp.) Ich nehme ψιλοί adjectivisch. Xen Hell. 2, 4, 12: πελτοφόροι τε καὶ ψιλοὶ ἀκοντισταί. vgl. Th. 7, 78, 2. — κατὰ κράτος, wohl in ſofern doch die Mauern zu erſteigen waren. Pp. verbindet es mit ἐπιών, was wegen der Stellung nicht recht thunlich iſt. — γάρ bezieht ſich wohl auf ἐπιών mit bloßem Anlauf. — χωρίων verdächtigt Kr. Denn πόλις oder χωρίον ἐστὶν ἐφ' ὑψηλῶν χωρίων dürfte beiſpiellos ſein.

§ 3. ὑπαγωγαί, ἀναχωρήσεις. (Sch.) vgl. 4, 127, 1. — οἷς. So beziehen ſich ἀμφότερα ταῦτα auf zwei Feminina 6, 72, 4. (Pp.) Gr. 58, 2 A. 5.

C. 98. § 1. αὐτοῖς. Gr. 48, 12 A. 2. — τά. Gr. 50, 3 A. 3. — οἱ δέ. zu 2, 65, 3. — ἀνεστέλλοντο. vgl. 6, 70, 3 u. Kr. zu Xen. An. 5, 4, 23. — αὐτοί, οἱ ὁπλῖται. (Sch.) — καὶ περ ἐπὶ πολύ verdächtigte zuerſt Reiske; mit καὶ πάνυ ꝛc. vergleicht es Kr. Gr. 69, 32 A. 18. — πόνῳ ξυνεχόμενοι durch Anſtrengung bedrängt. Heindorf zu Plat. Soph. 46. — ἐσπίπτοντες ἐς χαράδρας geriethen in Hohlwege. (Hl.)

§ 2. αὐτοῖς. Gr. 48, 12 A. 1. — κατὰ πόδας, συντόμως. (Sch.) ſogleich. (Hf.) vgl. 4, 126, 6. (Pp.) — ποδώκεις, εἰς

ἐφθειρον, τοὺς δὲ πλείους τῶν ὁδῶν ἁμαρτάοντας καὶ ἐς τὴν ὕλην ἐσφερομένους, ὅθεν διέξοδοι οὐκ ἦσαν, πῦρ κομισάμενοι περιεπίμπρασαν· πᾶσά τε ἰδέα κατέστη τῆς φυγῆς 3 καὶ τοῦ ὀλέθρου τῷ στρατοπέδῳ τῶν Ἀθηναίων, μόλις τε ἐπὶ τὴν θάλασσαν καὶ τὸν Οἰνεῶνα τῆς Λοκρίδος, ὅθεν περ καὶ ὥρμήθησαν, οἱ περιγενόμενοι κατέφυγον. ἀπέθανον δὲ τῶν τε ξυμμάχων πολλοὶ καὶ αὐτῶν Ἀθηναίων ὁπλῖται περὶ εἴκοσι μάλιστα καὶ ἑκατόν. τοσοῦτοι μὲν τὸ πλῆθος καὶ 4 ἡλικία ἡ αὐτὴ οὗτοι βέλτιστοι δὴ ἄνδρες ἐν τῷ πολέμῳ τῷδε ἐκ τῆς Ἀθηναίων πόλεως διεφθάρησαν. ἀπέθανε δὲ καὶ ὁ ἕτερος στρατηγὸς Προκλῆς. τοὺς δὲ νεκροὺς ὑποσπόνδους ἀνελόμενοι παρὰ τῶν Αἰτωλῶν καὶ ἀναχωρήσαντες ἐς Ναύπακτον ὕστερον ἐς τὰς Ἀθήνας ταῖς ναυσὶν ἐκομίσθησαν. Δημοσθένης δὲ περὶ Ναύπακτον καὶ τὰ χωρία ταῦτα ὑπελείφθη, τοῖς πεπραγμένοις φοβούμενος τοὺς Ἀθηναίους.

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους καὶ οἱ περὶ Σικελίαν 99 Ἀθηναῖοι πλεύσαντες ἐς τὴν Λοκρίδα ἐν ἀποβάσει τέ τινι τοὺς προσβοηθήσαντας Λοκρῶν ἐκράτησαν καὶ περιπόλιον αἱροῦσιν ὃ ἦν ἐπὶ τῷ Ἅλικι ποταμῷ.

Τοῦ δ' αὐτοῦ θέρους Αἰτωλοὶ προπέμψαντες πρότερον 100 ἐς τε Κόρινθον καὶ ἐς Λακεδαίμονα πρέσβεις, Τόλοφόν τε τὸν Ὀφιονέα καὶ Βοριάδην τὸν Εὐρυτᾶνα καὶ Τισανδρον τὸν

---

poetiſch, gebrauchten auch Plat. Rep. 467, e u. Xen. Mem. 3, 11, 8 u. π. ἱππ. 3, 12. — τὴν ὕλην. Der Artikel in ſofern χαράδραι § 1 ſchon einen Wald andeuten. (Pp.) — ἐσφερομένους. ἐκφερομένους wünſcht Bk.

§ 3. τῷ στρατοπέδῳ für τῶν στρατοπέδων Reiske u. Benedict.

§ 4. αὐτή. Das Kolon vor οὗτοι iſt nach Ba. getilgt. — οὗτοι. αὖτη Dobree, οὗτοι δέ Pp. — βέλτιστοι δή. δὴ βέλτιστοι ſchlechtere Hſn. — παρά in ſofern ἀνελόμενοι ein Bekommen andeutet. — τοῖς πεπραγμένοις φοβούμενος. vgl. 2, 89, 4. Eur. Andr. 919: ξυνῆκα· ταρβεῖς τοῖς δεδραμένοις πόσιν.

C. 99. περιπόλιον, φρούριον nach dem Sch. zu 6, 45, 2. vgl. 7, 48, 5. Poll. 9, 16: ἐν τοῖς προαστείοις καὶ τὰ περιπόλια εἶη ἄν. Wohl richtig verſteht Sylburg zu Dion. Arch. 9, 56 in den Umgebungen einer Stadt gelegene Caſtelle. Daß an Standorte der περίπολοι 4, 67, 2 zu denken ſei ſcheint nicht erweislich. — Ἅλιξ auch Antig. Kar. 1, bei Andern mit dem Lenis. (Dr.)

C. 100. § 1. πρότερον vor dem Zuge der Athener nach Ae-

Ἀπόδωτον, πείθουσιν ὥστε σφίσι πέμψαι στρατιὰν ἐπὶ Ναύ-
2 πακτον διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν. καὶ ἐξέπεμψαν Λακεδαιμόνιοι περὶ τὸ φθινόπωρον τρισχιλίους ὁπλίτας τῶν ξυμμάχων. τούτων ἦσαν πεντακόσιοι ἐξ Ἡρακλείας τῆς ἐν Τραχῖνι πόλεως τότε νεοκτίστου οὔσης· Σπαρτιάτης δ' ἦρχεν Εὐρύλοχος τῆς στρατιᾶς καὶ ξυνηκολούθουν αὐτῷ Μαχάριος
101 καὶ Μενεδάϊος οἱ Σπαρτιᾶται. ξυλλεγέντος δὲ τοῦ στρατεύματος ἐς Δελφοὺς ἐπεκηρυκεύετο Εὐρύλοχος Λοκροῖς τοῖς Ὀζόλαις· διὰ τούτων γὰρ ἡ ὁδὸς ἦν ἐς Ναύπακτον, καὶ ἅμα τῶν Ἀθηναίων ἐβούλετο ἀποστῆσαι αὐτούς. ξυνέπρασσον δὲ μάλιστα αὐτῷ τῶν Λοκρῶν Ἀμφισσῆς, διὰ τὸ τῶν Φωκέων ἔχθος δεδιότες· καὶ αὐτοὶ πρῶτον δόντες ὁμήρους καὶ τοὺς ἄλλους ἔπεισαν δοῦναι, φοβουμένους τὸν ἐπιόντα στρατόν.
2 πρῶτον μὲν οὖν τοὺς ὁμόρους αὐτοῖς Μυονέας — ταύτῃ γὰρ δυσεσβολώτατος ἡ Λοκρίς — ἔπειτα Ἱπνέας καὶ Μεσσαπίους καὶ Τριταιέας καὶ Χαλαίους καὶ Τολοφωνίους καὶ Ἡσσίους καὶ Οἰανθέας. οὗτοι καὶ ξυνεστράτευον πάντες· Ὀλπαῖοι δὲ ὁμήρους μὲν ἔδοσαν, ἠκολούθουν δὲ οὔ· καὶ Ὑαῖοι οὐκ ἔδοσαν ὁμήρους πρὶν αὐτῶν εἶλον κώμην Πόλιν ὄνομα ἔχουσαν.
102 Ἐπειδὴ δὲ παρεσκεύαστο πάντα καὶ τοὺς ὁμήρους κατέθετο ἐς Κυτίνιον τὸ Δωρικὸν ἐχώρει τῷ στρατῷ ἐπὶ τὴν

---

tolien. (Arn.) — διὰ τὴν τῶν Ἀθηναίων ἐπαγωγήν weil die Athener von den Naupaktiern gegen die Aetoler herbeigerufen waren. (Hk.)

§ 2. Σπαρτιάτης ſteht zuerſt, um anzudeuten daß der trachiniſche Zuzug ſeinen eignen (Unter-) Befehlshaber hatte. — ξυνηκολούθουν als ἡγημένοι, nach dem Geſetze 4, 38, 1. vgl. 3, 109, 1. So erklärt ſich auch die Zahl drei 4, 132, 3 u. 5, 12. vgl. 3, 92, 4. (Arn.) — Μενεδάϊος Dindorf im Theſ. Μενεδαῖος hier nur eine Hſ., die übrigen Μενέδατος.

C. 101. § 1. τῶν Φωκέων, die den Athenern anhingen 95, 1. (Pp.) — πρῶτον. Andere werden πρῶτοι wünſchen. (Pp.) So ich. In den Stellen die Pp. anführt, 1, 53, 2. 83, 2. 6, 3, 1, iſt πρῶτον leicht erklärlich; zw. Dem. 20, 117.

§ 2. οὖν fehlt in mehrern ſchlechten Hſn. vgl. jedoch 4, 104, 3. (Pp.) vgl. Pol. 22, 12, 7. — δυσεσβολώτατος. zu 3, 89, 4. — ὄνομα ἔχουσαν, wie 4, 70, 2. 6, 2, 5.

Ναύπακτον διὰ τῶν Λοκρῶν καὶ πορευόμενος Οἰνεῶνα αἱρεῖ αὐτῶν καὶ Εὐπάλιον· οὐ γὰρ προσεχώρησαν. γενόμενοι δ' ἐν τῇ Ναυπακτίᾳ καὶ οἱ Αἰτωλοὶ ἅμα ἤδη προσβεβοηθηκότες ἐδῄουν τὴν γῆν καὶ τὸ προάστειον, ἀτείχιστον ὄν, εἷλον· ἐπί τε Μολύκρειον ἐλθόντες τὴν Κορινθίων μὲν ἀποικίαν Ἀθηναίων δὲ ὑπήκοον αἱροῦσιν. Δημοσθένης δὲ ὁ Ἀθη- 2
ναῖος, ἔτι γὰρ ἐτύγχανεν ὢν μετὰ τὰ ἐκ τῆς Αἰτωλίας περὶ Ναύπακτον, προαισθόμενος τοῦ στρατοῦ καὶ δείσας περὶ αὐτῆς ἐλθὼν πείθει Ἀκαρνᾶνας, χαλεπῶς διὰ τὴν ἐκ τῆς Λευκάδος ἀναχώρησιν, βοηθῆσαι Ναυπάκτῳ. καὶ πέμπουσι μετ' αὐτοῦ ἐπὶ τῶν νεῶν χιλίους ὁπλίτας, οἳ ἐσελθόντες περιεποίησαν τὸ χωρίον· δεινὸν γὰρ ἦν μὴ μεγάλου ὄντος τοῦ τείχους, ὀλίγων δὲ τῶν ἀμυνομένων, οὐκ ἀντίσχωσιν. Εὐ- 3
ρύλοχος δὲ καὶ οἱ μετ' αὐτοῦ ὡς ἤσθοντο τὴν στρατιὰν ἐσεληλυθυῖαν καὶ ἀδύνατον ὂν τὴν πόλιν βίᾳ ἑλεῖν, ἀνεχώρησαν, οὐκ ἐπὶ Πελοποννήσου, ἀλλ' ἐς τὴν Αἰολίδα τὴν νῦν καλουμένην Καλυδῶνα καὶ Πλευρῶνα καὶ ἐς τὰ ταύτῃ χωρία καὶ ἐς Πρύσχιον τῆς Αἰτωλίας. οἱ γὰρ Ἀμπρακιῶται ἐλθόντες 4
πρὸς αὐτοὺς πείθουσιν ὥστε μετὰ σφῶν Ἄργει τε τῷ Ἀμφιλοχικῷ καὶ Ἀμφιλοχίᾳ τῇ ἄλλῃ ἐπιχειρῆσαι καὶ Ἀκαρνανίᾳ ἅμα, λέγοντες ὅτι ἢν τούτων κρατήσωσι, πᾶν τὸ ἠπειρωτικὸν Λακεδαιμονίοις ξύμμαχον καθεστήξει. καὶ ὁ μὲν Εὐρύλοχος πεισθεὶς καὶ τοὺς Αἰτωλοὺς ἀφεὶς ἡσύχαζε τῷ στρατῷ περὶ τοὺς χώρους τούτους, ἕως τοῖς Ἀμπρακιώταις ἐκστρατευσαμένοις περὶ τὸ Ἄργος δέοι βοηθεῖν. καὶ τὸ θέρος ἐτελεύτα.

C. 102. § 1. *αὐτῶν.* Gr. 47, 5 A. 5. — *καὶ οἱ.* Verbindung mit dem im Vorigen nur enthaltenen Subject *οἱ μετὰ Εὐρυλόχου.* — *Μολύκρειον.* zu 2, 84, 3.

§ 2. *ἐκ*, weil ein Rückzug, eine Entfernung die Folge war. (Ba.) So 4, 81, 2: *τὸν μετὰ τὰ ἐκ Σικελίας πόλεμον.* 8, 2, 1: *τὴν ἐκ τῆς Σικελίας κακοπραγίαν.* 6, 89, 1: *τὴν ἐκ Πύλου ξυμφοράν.* (Pv.) — *προαισθόμενος τοῦ.* zu 1, 57, 4. — *αὐτῆς. αὐτῇ* vermuthet Bekker. zu 1, 60, 1. — *τῶν νεῶν*, der 3, 94, 1 erwähnten. — *δεινὸν μή* 4, 75, 1, *μὴ οὐ* 7, 25, 5. — *ἀμυνομένων.* Vielleicht *ἀμυνουμένων.* (Kr.) Gr. 50, 4 A. 3. Denn *ἀμύνεσθαι* heißt nicht eine Besatzung bilden.

103 Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ ἐπιγιγνομένου χειμῶνος ἐπελθόντες μετὰ τῶν Ἑλλήνων ξυμμάχων καὶ ὅσοι Σικελῶν κατὰ κράτος ἀρχόμενοι ὑπὸ Συρακοσίων καὶ ξύμμαχοι ὄντες ἀποστάντες αὐτοῖς ἀπὸ Συρακοσίων ξυνεπολέμουν, ἐπ' Ἴνησσαν τὸ Σικελικὸν πόλισμα, οὗ τὴν ἀκρόπολιν Συρακόσιοι εἶχον, προσέβαλλον, καὶ ὡς οὐκ ἐδύναντο ἑλεῖν,
2 ἀπῆσαν. ἐν δὲ τῇ ἀναχωρήσει ὑστέροις Ἀθηναίων τοῖς ξυμμάχοις ἀναχωροῦσιν ἐπιτίθενται οἱ ἐκ τοῦ τειχίσματος Συρακόσιοι καὶ προσπεσόντες τρέπουσί τε μέρος τι τοῦ στρατοῦ καὶ ἀπέκτειναν οὐκ ὀλίγους. καὶ μετὰ τοῦτο ἀπὸ τῶν νεῶν ὁ Λάχης καὶ οἱ Ἀθηναῖοι ἐς τὴν Λοκρίδα ἀποβάσεις τινὰς ποιησάμενοι κατὰ τὸν Καϊκῖνον ποταμὸν τοὺς προσβοηθοῦντας Λοκρῶν μετὰ Προξένου τοῦ Καπάτωνος ὡς τριακοσίους μάχῃ ἐκράτησαν καὶ ὅπλα λαβόντες ἀπεχώρησαν.

104 Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Δῆλον ἐκάθηραν Ἀθηναῖοι κατὰ χρησμόν δή τινα. ἐκάθηρε μὲν γὰρ καὶ Πεισίστρατος ὁ τύραννος πρότερον αὐτήν, οὐχ ἅπασαν ἀλλ' ὅσον ἀπὸ τοῦ ἱεροῦ ἐφεωρᾶτο τῆς νήσου· τότε δὲ πᾶσα ἐκαθάρθη τοιῷδε τρόπῳ. θῆκαι ὅσαι ἦσαν τῶν τεθνεώτων ἐν Δήλῳ, πάσας ἀνεῖλον, καὶ τὸ λοιπὸν προεῖπον μήτε ἐναποθνήσκειν ἐν τῇ νήσῳ μήτε ἐντίκτειν, ἀλλ' ἐς τὴν Ῥήνειαν διακομίζεσθαι.
2 ἀπέχει δὲ ἡ Ῥήνεια τῆς Δήλου οὕτως ὀλίγον ὥστε Πολυκράτης ὁ Σαμίων τύραννος, ἰσχύσας τινὰ χρόνον ναυτικῷ καὶ τῶν τε ἄλλων νήσων ἄρξας καὶ τὴν Ῥήνειαν ἑλών, ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Δηλίῳ ἁλύσει δήσας πρὸς τὴν Δῆλον. καὶ τὴν πεντετηρίδα τότε πρῶτον μετὰ τὴν κάθαρσιν ἐποι-

---

C. 103. § 1. καὶ ὅσοι. Gr. 51, 13 A. 5. — κατὰ κράτος mit herrſcher Gewalt, ὑπήκοοι 6, 88, 5. — αὐτοῖς gehört zu ξυνεπολέμουν. (Hf.) — ἐπ' Ἴνησσαν iſt mit ἐπελθόντες zu verbinden. — τὸ Σ. πόλισμα. Der Artikel weiſt es der Hauptort war. (Arn.) — προσέβαλλον. προσέβαλον einige ſchlechte Hſſ.

§ 2. Ἀθηναίων hängt ab von ὑστέροις (Sch.): die ſpäter als die Athener abziehenden. — τείχισμα iſt hier eben die ἀκρόπολις. (Ba.)

C. 104. § 1. δή. zu 1, 24, 1. — τῆς νήσου hängt von ὅσον ab. (Pſ.) — ἐφεωρᾶτο. Her. 1, 64: ἐπ' ὅσον ἔποψις τοῦ ἱροῦ ἦν. — θῆκαι ὅσαι. Gr. 51, 10 A. 10.

§ 2. ὀλίγον, vier Stadien nach Strabo 10 p. 486. — πεντε-

ησαν οἱ Ἀθηναῖοι, τὰ Δήλια. ἦν δέ ποτε καὶ τὸ πάλαι 3
μεγάλη ξύνοδος ἐς τὴν Δῆλον τῶν Ἰώνων τε καὶ περικτιόνων
νησιωτῶν· ξύν τε γὰρ γυναιξὶ καὶ παισὶν ἐθεώρουν, ὥσπερ
νῦν ἐς τὰ Ἐφέσια Ἴωνες, καὶ ἀγὼν ἐποιεῖτο αὐτόθι καὶ
γυμνικὸς καὶ μουσικός, χορούς τε ἀνῆγον αἱ πόλεις. δηλοῖ
δὲ μάλιστα Ὅμηρος ὅτι τοιαῦτα ἦν ἐν τοῖς ἔπεσι τοῖσδε, ἃ
ἐστιν ἐκ προοιμίου Ἀπόλλωνος·

ἀλλ' ὅτε Δήλῳ, Φοῖβε, μάλιστά γε θυμὸν ἐτέρφθης, 4
ἔνθα τοι ἑλκεχίτωνες Ἰάονες ἠγερέθονται
σὺν σφοῖσιν τεκέεσσι γυναιξί τε σὴν ἐς ἀγυιάν·
ἔνθα σε πυγμαχίῃ [τε] καὶ ὀρχηστυῖ καὶ ἀοιδῇ
μνησάμενοι τέρπουσιν, ὅταν καθέσωσιν ἀγῶνα.

ὅτι δὲ καὶ μουσικῆς ἀγὼν ἦν καὶ ἀγωνιούμενοι ἐφοίτων, ἐν 5
τοῖσδε αὖ δηλοῖ, ἃ ἐστιν ἐκ τοῦ αὐτοῦ προοιμίου· τὸν γὰρ
Δηλιακὸν χορὸν τῶν γυναικῶν ὑμνήσας ἐτελεύτα τοῦ ἐπαίνου
ἐς τάδε τὰ ἔπη, ἐν οἷς καὶ ἑαυτοῦ ἐπεμνήσθη·

ἀλλ' ἄγεθ', ἱλήκοι μὲν Ἀπόλλων Ἀρτέμιδι ξύν, 6
χαίρετε δ' ὑμεῖς πᾶσαι. ἐμεῖο δὲ καὶ μετόπισθεν
μνήσασθ', ὁππότε κέν τις ἐπιχθονίων ἀνθρώπων
ἐνθάδ' ἀνείρηται ταλαπείριος ἄλλος ἐπελθών·
"ὦ κοῦραι, τίς δ' ὔμμιν ἀνὴρ ἡδιστος ἀοιδῶν

τηρίδα nach Verlauf von vier (nicht fünf) Jahren gefeiertes Fest. Clinton F. H. 337, 3. — τὰ Δήλια. Gr. 57, 7 A. u. 9 A. 1.

§ 3. περικτιόνων dichterisch. — ἐθεώρουν, τῆς θεωρίας καὶ πανηγύρεως μετεῖχον. (Sch.) Eben so mit ἐς. Ar. Wesp. 1188: ἐγὼ δὲ τεθεώρηκα πώποτ' οὐδαμοῦ πλὴν ἐς Πάρον. (Dr.) — Ἐφέσια. Ueber dies Fest der Artemis Dion. H. Arch. 4, 25. (Dr.) vgl. Locella z. Xen. Eph. p. 132. (Pp.) — μουσικούς. Poll. 3, 142: οἱ Ἀττικοὶ οὐ ῥᾳδίως λέγουσιν ἀγῶνας μουσικοὺς ἀλλὰ μουσικῆς. vgl. Morus zu Isokr. Pan. 42 u. Stallb. zu Plat. Mener. 12. (Pp.) Stehen könnte μουσικῆς auch hier. — ἀνῆγον führten auf. (Pp.) vgl. Kallim. Del. 279. (Dr.) — προοιμίου. τοὺς ὕμνους προοίμια ἐκάλουν. (Sch.) Weil sie andern Gedichten vorgesungen wurden. Matth. z. den Hom. Hymn. p. 11 ss. (Pp.)

§ 4. ἄλλοτε für ἀλλ' ὅτε der Hss. Cam. Mehrfach andere Lesarten bieten unsern Texte des Homeros V. 146 ff. — ἀγυιάν. Nach zwei Hss. ist das Wort Proparoxytonon; und in der That ist so oder ἀγυιή zu erwarten. Göttling. Acc. S. 138 f. (Pp.) — τε fehlt in vielen und guten Hss.

§ 5. τάδε V. 165.

ἐνθάδε πωλεῖται καὶ τέῳ τέρπεσθε μάλιστα;“
ὑμεῖς δ' εὖ μάλα πᾶσαι ὑποκρίνασθ' εὐφήμως·
“τυφλὸς ἀνήρ, οἰκεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ.“

7 τοσαῦτα μὲν Ὅμηρος ἐτεκμηρίωσεν ὅτι ἦν καὶ τὸ πάλαι μεγάλη ξύνοδος καὶ ἑορτὴ ἐν τῇ Δήλῳ· ὕστερον δὲ τοὺς μὲν χοροὺς οἱ νησιῶται καὶ οἱ Ἀθηναῖοι μεθ' ἱερῶν ἔπεμπον, τὰ δὲ περὶ τοὺς ἀγῶνας [καὶ] τὰ πλεῖστα κατελύθη ὑπὸ ξυμφορῶν, ὡς εἰκός, πρὶν δὴ οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

105 Τοῦ δ' αὐτοῦ χειμῶνος Ἀμπρακιῶται, ὥσπερ ὑποσχόμενοι Εὐρυλόχῳ τὴν στρατιὰν κατέσχον, ἐκστρατεύονται ἐπὶ Ἄργος τὸ Ἀμφιλοχικὸν τρισχιλίοις ὁπλίταις καὶ ἐσβαλόντες ἐς τὴν Ἀργείαν καταλαμβάνουσιν Ὄλπας, τεῖχος ἐπὶ λόφου ἰσχυρὸν πρὸς τῇ θαλάσσῃ, ὃ ποτε Ἀκαρνᾶνες τειχισάμενοι
2 κοινῷ δικαστηρίῳ ἐχρῶντο· ἀπέχει δὲ ἀπὸ τῆς Ἀργείων πόλεως, ἐπιθαλασσίας οὔσης, πέντε καὶ εἴκοσι σταδίους μάλιστα. οἱ δὲ Ἀκαρνᾶνες οἱ μὲν ἐς Ἄργος ξυνεβοήθουν, οἱ δὲ τῆς Ἀμφιλοχίας ἐν τούτῳ τῷ χωρίῳ ὃ Κρῆναι καλεῖται, φυλάσσοντες τοὺς μετὰ Εὐρυλόχου Πελοποννησίους μὴ λάθωσι πρὸς τοὺς Ἀμπρακιώτας διελθόντες, ἐστρατοπεδεύ-
3 σαντο· πέμπουσι δὲ καὶ ἐπὶ Δημοσθένην τὸν ἐς τὴν Αἰτωλίαν Ἀθηναίων στρατηγήσαντα, ὅπως σφίσιν ἡγεμὼν γίγνηται, καὶ ἐπὶ τὰς εἴκοσι ναῦς Ἀθηναίων αἳ ἔτυχον περὶ Πελοπόννησον οὖσαι, ὧν ἦρχεν Ἀριστοτέλης τε ὁ Τιμοκράτους

---

§ 7. ἐτεκμηρίωσεν, διὰ τεκμηρίου ἐδήλωσεν. (Sch.) zu 1, 3, 3. — ἱερά ſcheint nicht bloß die Opfer ſondern Alles was zur Ausübung des Cultus gehörte zu umfaſſen. — καὶ τὰ πλεῖστα und das meiſte übrige. (Ba.) Kr. verdächtigt καί.

C. **105**. § 1. ὥσπερ gehört nur zu ὑποσχόμενοι. (St.) vgl. Gr. 51, 9 A. 2: durch welches Verſprechen, nämlich gegen Argos zu ziehen 102, 4. — κατέσχον zurückhielten: ἠσύχαζεν τῷ στρατῷ περὶ τοὺς χώρους τούτους 102, 4. — Ὄλπας gew., Ὄλπη 107, 3. 111, 1. 113, 1. (Pp.) — ποτέ gehört nur zu τειχισάμενοι. — κοινῷ ob gemeinſam nur für die Akarnaner oder für ſie und die Amphilochen iſt zweifelhaft.

§ 2. φυλάσσοντες τοὺς Π. μή. Gr. 61, 6 A. 5.

§ 3. ἐπί. Gr. 68, 42 A. 2. — τάς. 3, 94, 1.

καὶ Ἱεροφῶν ὁ Ἀντιμνήστου. ἀπέστειλαν δὲ καὶ ἄγγελον οἱ 4
περὶ τὰς Ὄλπας Ἀμπρακιῶται ἐς τὴν πόλιν κελεύοντες σφίσι
βοηθεῖν παιδημεί, δεδιότες μὴ οἱ μετ' Εὐρυλόχου οὐ δύ-
νωνται διελθεῖν τοὺς Ἀκαρνᾶνας καὶ σφίσιν ἢ μονωθεῖσιν
ἡ μάχη γένηται ἢ ἀναχωρεῖν βουλομένοις οὐκ ἢ ἀσφαλές. οἱ 106
μὲν οὖν μετ' Εὐρυλόχου Πελοποννήσιοι ὡς ἤσθοντο τοὺς ἐν
Ὄλπαις Ἀμπρακιώτας ἥκοντας, ἄραντες ἐκ τοῦ Προσχίου
ἐβοήθουν κατὰ τάχος, καὶ διαβάντες τὸν Ἀχελῷον ἐχώρουν
δι' Ἀκαρνανίας, οὔσης ἐρήμου διὰ τὴν ἐς Ἄργος βοήθειαν,
ἐν δεξιᾷ μὲν ἔχοντες τὴν Στρατίων πόλιν καὶ τὴν φρουρὰν
αὐτῶν, ἐν ἀριστερᾷ δὲ τὴν ἄλλην Ἀκαρνανίαν. καὶ διελ- 2
θόντες τὴν Στρατίων γῆν ἐχώρουν διὰ τῆς Φυτίας καὶ αὖθις
Μεδεῶνος παρ' ἔσχατα, ἔπειτα διὰ Λιμναίας· καὶ ἐπέβησαν
τῆς Ἀγραίων, οὐκέτι Ἀκαρνανίας, φιλίας δὲ σφίσιν. λαβό-
μενοι δὲ τοῦ Θυάμου ὄρους, ὅ ἐστιν ἀγροῖκον, ἐχώρουν
δι' αὐτοῦ καὶ κατέβησαν ἐς τὴν Ἀργείαν νυκτὸς ἤδη, καὶ
διεξελθόντες μεταξὺ τῆς τε Ἀργείων πόλεως καὶ τῆς ἐπὶ
Κρήναις Ἀκαρνάνων φυλακῆς ἔλαθον καὶ προσέμιξαν τοῖς
ἐν Ὄλπαις Ἀμπρακιώταις.

Γενόμενοι δὲ ἀθρόοι ἅμα τῇ ἡμέρᾳ καθίζουσιν ἐπὶ τὴν 107
Μητρόπολιν καλουμένην καὶ στρατόπεδον ἐποιήσαντο. Ἀθη-
ναῖοι δὲ ταῖς εἴκοσι ναυσὶν οὐ πολλῷ ὕστερον παραγίγνονται
ἐς τὸν Ἀμπρακικὸν κόλπον βοηθοῦντες τοῖς Ἀργείοις, καὶ
Δημοσθένης Μεσσηνίων μὲν ἔχων διακοσίους ὁπλίτας, ἑξή-
κοντα δὲ τοξότας Ἀθηναίων. καὶ αἱ μὲν νῆες περὶ τὰς
Ὄλπας τὸν λόφον ἐκ θαλάσσης ἐφώρμουν· οἱ δὲ Ἀκαρνᾶνες 2
καὶ Ἀμφιλόχων ὀλίγοι, οἱ γὰρ πλείους ὑπὸ Ἀμπρακιωτῶν

---

§ 4. τὴν πόλιν, τὴν ἑαυτῶν δηλονότι. (Sch.) — ἡ μάχη die zu erwartende Schlacht.

C. 106. § 1. τοὺς ἐν Ὄ. Ἀ. ἥκοντας die in O. befindlichen A. dort angekommen seien, nach Olpä nämlich. (Pp.)

§ 2. Φυτίας. Φοιπίας Böckh Inscr. 2 p. 3. (Pp.) — οὐκέτι Ἀκαρνανίας das nicht auch, wie die vorher genannten Orte, zu Akarnanien gehörte. (Hl.) — ἀγροῖκον unbebaut; Ἀγραϊκόν O. Müller.

C. 107. § 1. αἱ εἴκοσι 105, 3. — κόλπον fehlt in den besten Hss. vgl. 6, 34, 4 u. Lamb. Bos Ell. p. 229. (Pp.)

βίᾳ κατείχοντο, ἐς τὸ Ἄργος ἤδη ξυνεληλυθότες παρεσκευάζοντο ὡς μαχούμενοι τοῖς ἐναντίοις, καὶ ἡγεμόνα τοῦ παντὸς ξυμμαχικοῦ αἱροῦνται Δημοσθένην μετὰ τῶν σφετέρων στρα-
3 τηγῶν. ὁ δὲ προσαγαγὼν ἐγγὺς τῆς Ὄλπης ἐστρατοπεδεύσατο, χαράδρα δ' αὐτοὺς μεγάλη διεῖργεν. καὶ ἡμέρας μὲν πέντε ἡσύχαζον, τῇ δ' ἕκτῃ ἐτάσσοντο ἀμφότεροι ὡς ἐς μάχην. καὶ μεῖζον γὰρ ἐγένετο καὶ περιέσχε τὸ τῶν Πελοποννησίων στρατόπεδον, ὁ Δημοσθένης δείσας μὴ κυκλωθῇ λοχίζει ἐς ὁδόν τινα κοίλην καὶ λοχμώδη ὁπλίτας καὶ ψιλοὺς ξυναμφοτέρους ἐς τετρακοσίους, ὅπως κατὰ τὸ ὑπερέχον τῶν ἐναντίων ἐν τῇ ξυνόδῳ αὐτῇ ἐξαναστάντες οὗτοι κατὰ νώτου γίγνωνται.

4 Ἐπεὶ δὲ παρεσκεύαστο ἀμφοτέροις, ἦεσαν ἐς χεῖρας, Δημοσθένης μὲν τὸ δεξιὸν κέρας ἔχων μετὰ Μεσσηνίων καὶ Ἀθηναίων ὀλίγων, τὸ δὲ ἄλλο Ἀκαρνᾶνες ὡς ἕκαστοι τεταγμένοι ἐπεῖχον καὶ Ἀμφιλόχων οἱ παρόντες ἀκοντισταί, Πελοποννήσιοι δὲ καὶ Ἀμπρακιῶται ἀναμὶξ τεταγμένοι πλὴν Μαντινέων· οὗτοι δὲ ἐν τῷ εὐωνύμῳ μᾶλλον καὶ οὐ τὸ κέρας ἄκρον ἔχοντες ἀθρόοι ἦσαν, ἀλλ' Εὐρύλοχος ἔσχατον εἶχε τὸ εὐώνυμον καὶ οἱ μετ' αὐτοῦ κατὰ Μεσσηνίους καὶ
108 Δημοσθένην. ὡς δ' ἐν χερσὶν ἤδη ὄντες περιέσχον τῷ κέρᾳ οἱ Πελοποννήσιοι καὶ ἐκυκλοῦντο τὸ δεξιὸν τῶν ἐναντίων, οἱ ἐκ τῆς ἐνέδρας Ἀκαρνᾶνες ἐπιγενόμενοι αὐτοῖς κατὰ νώτου προσπίπτουσί τε καὶ τρέπουσιν, ὥστε μήτε ἐς ἀλκὴν ὑπομεῖναι

---

§ 2. βίᾳ κατείχοντο ἀντὶ τοῦ ἐκωλύοντο. (Sch.) — Δημοσθένην. Δημοσθένη die beſten Hſſ. Allein in allen übrigen Stellen haben ſie bei Thuc. Δημοσθένην.

§ 3. καὶ μ. γάρ. zu 3, 70, 2. — περιέσχε, ὑπερέτεινεν, ὑπερέσχεν. (Sch.) überflügelte. (Hl.) vgl. 108, 1. 5, 71, 1. (Pp.) — λοχίζει, ἐνέδραν καθίζει. (Sch.) vgl. Jacobs z. Ach. T. p. 547.

§ 4. παρεσκεύαστο. zu 1, 46, 1. — ὀλίγων. ſechzig § 1. (Dd.) — ἄλλο nicht ἕτερον weil auch das Centrum mit zu denken. So ſteht τὸ ἄλλο dieſem entgegen 6, 67, 1. — ἐπεῖχον. zu 1, 48, 2. Wenn man με (mit Ba.?) tilgte, ſo wäre die Fügung regelmäßiger. So iſt dieſer Satz ſeiner Form nach gleichſam parenthetiſch. — ὡς ἕκαστοι. zu 1, 3, 4. — ἀναμίξ auch Her. 7, 41.

C. 108. § 1. τῷ mit ihrem, dem linken. Kr. zu Xen. An. 1, 8, 4. — τὸ — ὄ. Gr. 43, 4 A. 17. — ὄντες. οἱ ὄντες Dobree. — ἐς ἀλκὴν ὑπομεῖναι bis zur Kraftentwickelung Stand

φοβηϑέντας τε ἐς φυγὴν καὶ τὸ πλέον τοῦ στρατεύματος κα-
τασπῆσαι· ἐπειδὴ γὰρ εἶδον τὸ κατ' Εὐρύλοχον καὶ ὃ κράτι- 2
στον ἦν διαφϑειρόμενον, πολλῷ μᾶλλον ἐφοβοῦντο. καὶ οἱ
Μεσσήνιοι, ὄντες ταύτῃ μετὰ τοῦ Δημοσϑένους, τὸ πολὺ τοῦ
ἔργου ἐπεξῆλϑον. οἱ δὲ Ἀμπρακιῶται καὶ οἱ κατὰ τὸ δεξιὸν
κέρας ἐνίκων τὸ καϑ' ἑαυτοὺς καὶ πρὸς τὸ Ἄργος ἀπεδίωξαν·
καὶ γὰρ μαχιμώτατοι τῶν περὶ ἐκεῖνα τὰ χωρία τυγχάνουσιν
ὄντες. ἐπαναχωροῦντες δὲ ὡς ἑώρων τὸ πλέον νενικημένον 3
καὶ οἱ ἄλλοι Ἀκαρνᾶνες σφίσι προσέκειντο, χαλεπῶς διεσώ-
ζοντο ἐς τὰς Ὄλπας καὶ πολλοὶ ἀπέϑανον αὐτῶν, ἀτάκτως
καὶ οὐδενὶ κόσμῳ προσπίπτοντες πλὴν Μαντινέων· οὗτοι δὲ
μάλιστα ξυντεταγμένοι παντὸς τοῦ στρατοῦ ἀνεχώρησαν. καὶ
ἡ μὲν μάχη ἐτελεύτα ἕως ὀψέ.

Μενεδάϊος δὲ τῇ ὑστεραίᾳ Εὐρυλόχου τεϑνεῶτος καὶ 109
Μακαρίου αὐτὸς παρειληφὼς τὴν ἀρχὴν καὶ ἀπορῶν μεγάλης
ἥσσης γεγενημένης ὅτῳ τρόπῳ ἢ μένων πολιορκήσεται, ἔκ τε
γῆς καὶ ἐκ ϑαλάσσης ταῖς Ἀττικαῖς ναυσὶν ἀποκεκλημένος,
ἢ καὶ ἀναχωρῶν διασωϑήσεται, προσφέρει λόγον περὶ σπον-
δῶν καὶ ἀναχωρήσεως Δημοσθένει καὶ τοῖς Ἀκαρνάνων στρα-
τηγοῖς καὶ περὶ νεκρῶν ἅμα ἀναιρέσεως. οἱ δὲ νεκροὺς μὲν 2
ἀπέδοσαν καὶ τροπαῖον αὐτοὶ ἔστησαν καὶ τοὺς ἑαυτῶν τρια-
κοσίους μάλιστα ἀποϑανόντας ἀνείλοντο, ἀναχώρησιν ἐκ δὲ
μὲν τοῦ προφανοῦς οὐκ ἐσπείσαντο ἅπασιν, κρύφα δὲ Δη-

---

halten. „vgl. 5, 72, 3. u. Dio C. 48, 39: *μηδὲ ἐς χεῖράς οἱ ὑπομεί-
ναντα ἐξέωσεν.*" (Pp.)

§ 2. *ἐξῆλϑον* für *ἐπεξῆλϑον* die beſten Hſn. vgl. zu 1, 70, 4. — *ἀπεδίωξαν* ſteht auch 6, 102, 3. (Pp.) Das *ἀπό* hat hierin wohl die Bedeutung des Abthuns.

§ 3. *ἀτάκτως* für *ἀφυλάκτως* einige Hſn., auch die Martinſche, u. Pa. — *προσπίπτοντες*, *τοῖς ἐναντίοις δηλονότι.* (Sch.) *προπίπτοντες* Bl. Dies kann wohl ſo nicht ſtehen, doch wünſcht' ich ein ähnliches Wort. — *στρατοῦ* hängt von *μάλιστα* ab. Gr. 47, 28 A. 8. — *ἕως ὀψέ* kurz für *παρέτειναν ἕως ὀψὲ καὶ ὀψὲ ἐτελεύτα.* (Lob. z. Phryn. p. 47.) So *μέχρι τοῦδε ὡρίσθω* 1, 71, 3. (Pp.) Doch haben eine Anzahl von Hſn. *ἐς ὀψέ*, wie 8, 23, 2 ſteht. Gr. 66, 1 A. 4.

C. **109**. § 1. *Μενεδάϊος.* zu 3, 100, 2. — *πολιορκήσε-
ται.* zu 3, 52, 1. — *λόγον.* zu 1, 57, 3.

§ 2. *νεκρούς* ohne Artikel zu 1, 54, 2. — *ἀναχώρησιν.* zu

μοσθένης μετὰ τῶν ξυστρατήγων Ἀχαρνέων σπένδονται Μαντινεῦσι καὶ Μενεδαΐῳ καὶ τοῖς ἄλλοις ἄρχουσι τῶν Πελοποννησίων καὶ ὅσοι αὐτῶν ἦσαν ἀξιολογώτατοι ἀποχωρεῖν
3 κατὰ τάχος, βουλόμενος ψιλῶσαι τοὺς Ἀμπρακιώτας τε καὶ τὸν μισθοφόρον ὄχλον τὸν ξενικόν, μάλιστα δὲ Λακεδαιμονίους καὶ Πελοποννησίους διαβαλεῖν ἐς τοὺς ἐκείνῃ χρῆζων Ἕλληνας ὡς καταπροδόντες τὸ ἑαυτῶν προὐργιαίτερον ἐποιήσαντο. καὶ οἱ μὲν τούς τε νεκροὺς ἀνείλοντο καὶ διὰ τάχους ἔθαπτον, ὥσπερ ὑπῆρχεν, καὶ τὴν ἀποχώρησιν κρύφα οἷς
110 ἐδέδοτο ἐπεβούλευον· τῷ δὲ Δημοσθένει καὶ τοῖς Ἀκαρνᾶσιν ἀγγέλλεται τοὺς Ἀμπρακιώτας τοὺς ἐκ τῆς πόλεως παυδημεὶ κατὰ τὴν πρώτην ἐκ τῶν Ὀλπῶν ἀγγελίαν ἐπιβοηθεῖν διὰ τῶν Ἀμφιλόχων, βουλομένους τοῖς ἐν Ὀλπαις ξυμμῖξαι, εἰδότας οὐδὲν τῶν γεγενημένων. καὶ πέμπει εὐθὺς τοῦ στρατοῦ μέρος τι τὰς ὁδοὺς προλοχιοῦντας καὶ τὰ καρτερὰ προκαταληψομένους, καὶ τῇ ἄλλῃ στρατιᾷ ἅμα παρεσκευάζετο
111 βοηθεῖν ἐπ' αὐτούς. ἐν τούτῳ δ' οἱ Μαντινῆς καὶ οἱ ἕσπεισαν, πρόφασιν ἐπὶ λαχανισμὸν καὶ φρυγάνων ξυλλογὴν ἐξελ-

---

3. 21, 3. — ξυστρατήγων für συστρατηγῶν einige Hſſ., auch die Martinſche. vgl. Göttling. Acc. S. 321. (Pp) — σπένδονται. Gr. 63, 4 A. 3. Xen. Hell. 1, 1, 10: Ἀλκιβιάδης ἐκ Σάρδεων μετὰ Μανιθέου ἵππων εὐπορήσαντες ἀπέδρασαν. — ἀναχωρεῖν. Gr. 55, 3 A. 12. vgl. 4, 114, 2. 7, 83, 1; σπένδεσθαι ὥστε 6, 7, 2. ἢ μήν 4, 118, 9.

§ 3. ψιλῶσαι, μονῶσαι, ψιλοὺς τῶν συμμάχων ποιῆσαι. (Sch.) — ὄχλος ſteht beſonders von Leichtbewaffneten und dem Troß. vgl. 4, 56, 2. 6, 61, 2. 7, 62, 2. 78, 1. 84, 1. — ξενικόν im Gegenſatze zu den Peloponneſiern. — Λακεδαιμονίους καὶ Π. Gr. 69, 3a A. 2. vgl. 3, 111, 2. — διαβαλεῖν ἐς anrüchig machen bei, wie 4, 22, 3. vgl. 8, 109, 1. (Dr.) — καταπροδόντες, τοὺς Ἕλληνας φίλους. (Sch.) Oder nach Gr. 52, 1 A. 2. — τὸ ἑαυτῶν ihr Intereſſe. — προὐργιαίτερον, προτιμότερον. (Sch.) nämlich ἢ τὸ τῶν ἐκείνῃ Ἑλλήνων. — ὥσπερ ὑπῆρχε, wie ἐκ τῶν ὑπαρχόντων. — οἷς ἐδέδοτο die denen ſie zugeſtanden war. (Sch.) — ἐπεβούλευον. ἐπι — bezeichnet das Hinterliſtige gegen die Verbündeten.

C. 110. ἀγγελίαν 105, 4. — μέρος τι — προλοχιοῦντας. Gr. 58, 4 A. 1.

C. 111. § 1. ἔσπεισαν von σπένδομαι (nicht σπένδω), paſſiv wie § 2 u. 4, 16, 3, activ Eur. Med. 1140. — πρόφασιν vorgeblich, wie Arr. An. 4, 1, 2. 7, 19, 6. (Bl.) Unten 5, 80, 3. 6, 33, 2. Eur. Iph. A. 362 u. Dem. 18, 77. (Dr.) προφάσει 5, 53, 1. 6, 76, 1. vgl. 5, 22, 1. — λαχανισμόν, λαχάνων συναθροισιν.

θόντες, ὑπαπῄεσαν κατ' ὀλίγους, ἅμα ξυλλέγοντες ἐφ' ἃ ἐξῆλθον δῆθεν. προκεχωρηκότες δὲ ἤδη ἄποθεν τῆς Ὄλπης θᾶσσον ἀπεχώρουν. οἱ δ' Ἀμπρακιῶται καὶ οἱ ἄλλοι, ὅσοι μὲν ἐτύγχανον οὕτως ἁθρόοι ξυνελθόντες, ὡς ἔγνωσαν ἀπιόντας, ὥρμησαν καὶ αὐτοὶ καὶ ἔθεον δρόμῳ, ἐπικαταλαβεῖν βουλόμενοι. οἱ δὲ Ἀκαρνᾶνες τὸ μὲν πρῶτον καὶ πάντας 2
ἐνόμισαν ἀπιέναι ἀσπόνδους ὁμοίως καὶ τοὺς Πελοποννησίους ἐπεδίωκον, καί τινας αὐτῶν τῶν στρατηγῶν κωλύοντας καὶ φάσκοντας ἐσπεῖσθαι αὐτοῖς ἠκόντισέ τις, νομίσας καταπροδίδοσθαι σφᾶς· ἔπειτα μέντοι τοὺς μὲν Μαντινέας καὶ τοὺς Πελοποννησίους ἀφίεσαν, τοὺς δ' Ἀμπρακιώτας ἔκτεινον. καὶ ἦν πολλὴ ἔρις καὶ ἄγνοια εἴτε Ἀμπρακιώτης τίς 3
ἐστιν εἴτε Πελοποννήσιος. καὶ ἐς διακοσίους μέν τινας αὐτῶν ἀπέκτειναν· οἱ δ' ἄλλοι διέφυγον ἐς τὴν Ἀγραΐδα, ὅμορον οὖσαν, καὶ Σαλύνθιος αὐτοὺς ὁ βασιλεὺς τῶν Ἀγραίων φίλος ὢν ὑπεδέξατο.

Οἱ δ' ἐκ τῆς πόλεως Ἀμπρακιῶται ἀφικνοῦνται ἐπ' Ἰ- 112
δομένην. ἐστὸν δὲ δύο λόφω ἡ Ἰδομένη ὑψηλώ· τούτοιν τὸν μὲν μείζω νυκτὸς ἐπιγενομένης οἱ προαποσταλέντες ὑπὸ τοῦ Δημοσθένους ἀπὸ τοῦ στρατοπέδου ἔλαθόν τε καὶ ἔφθασαν προκαταλαβόντες, τὸν δ' ἐλάσσω ἔτυχον οἱ Ἀμπρακιῶ-

---

(Sch.) — φρύγανα συλλέγειν Lyk. 86. — κατ' ὀλίγους jedes Mal wenige. Wesseling zu Her. 8, 113. — δῆθεν, ὡς προσεποιοῦντο. (Sch.) — οἱ ἄλλοι 109, 3. — ὅσοι μέν. ὅσοιπερ Kr. — οὕτως ist schwer erklärbar; vielleicht: die so wie es eben der Fall war gesammelt, d. h. zu einer Heeresmasse, zusammengekommen waren, mit Bezug auf 105, 4. Pp. vermuthet ἐτύγχανον ὄντες ἁθρόοι, ξυνελθόντες. — ξυνελθόντες. ξυνεξελθόντες mehrere schlechte Hsn., auch die Martinsche. Doch vgl. 5, 7, 1. — ἔθεον δρόμῳ. vgl. 4, 67, 5. 112, 1. (Pp.) Kr. zu Xen. An. 1, 8, 18. — ἐπικαταλαβεῖν einholen. (Va.)

§ 2. καὶ πάντας. Gr. 69, 32 A. 18. — ὁμοίως. Kr z. Dion. p. 259 s. — τινας — τις. Einer — auf Mehrere? Warum nicht? Er schießt auf sie. Τὶς Mancher zu übersetzen wird νομίσας kaum gestatten. Ueber den Ac. Gr. 47, 14 A. 1. — σφᾶς. zu 3, 24, 1. So öfter wo auf einen Einzelnen der Plural des Pronomens als Subject bezogen wird, wie 4, 36, 1. 6, 49, 2. 7, 4, 5. 48, 1. 8, 32, 3. 48, 5, Xen. Cyr. 5, 2, 16. 7, 4, 3, Plat. Symp. 174, d, 175, c, 176, a, Rep. 614, c, 621, a. (Arndt.) Gr. 58, 4 A. 3. — Ἀγραΐδα. Nicht vielmehr Ἀγραιΐδα, wie Πλαταιΐδα 2, 71, 3 u. sonst? (Pp.) Nein. Lob. z. Phryn. p. 41.

C. 112. § 1. ἐστόν. Gr. 63, 6. — τὸν δ'. ἐς δὲ τόν oder ἐς

2 ται προαναβάντες καὶ ηὐλίσαντο. ὁ δὲ Δημοσθένης δειπνήσας ἐχώρει καὶ τὸ ἄλλο στράτευμα ἀπὸ ἑσπέρας εὐθύς, αὐτὸς μὲν τὸ ἥμισυ ἔχων ἐπὶ τῆς ἐσβολῆς, τὸ δ' ἄλλο διὰ τῶν Ἀμφιλοχικῶν ὀρῶν. καὶ ἅμα ὄρθρῳ ἐπιπίπτει τοῖς Ἀμπρακιώταις ἔτι ἐν ταῖς εὐναῖς καὶ οὐ προησθημένοις τὰ γεγενημένα, ἀλλὰ πολὺ μᾶλλον νομίσασι τοὺς ἑαυτῶν εἶναι· 3 καὶ γὰρ τοὺς Μεσσηνίους πρώτους ἐπιτηδὲς ὁ Δημοσθένης προὔταξε καὶ προσαγορεύειν ἐκέλευε, Δωρίδα τε γλῶσσαν ἱέντας καὶ τοῖς προφύλαξι πίστιν παρεχομένους, ἅμα δὲ καὶ οὐ καθορωμένους τῇ ὄψει νυκτὸς ἔτι οὔσης. ὡς οὖν ἐπέπεσε τῷ στρατεύματι αὐτῶν, τρέπουσιν, καὶ τοὺς μὲν πολλοὺς αὐτοῦ διέφθειραν, οἱ δὲ λοιποὶ κατὰ τὰ ὄρη ἐς φυγὴν ὥρ- 4 μησαν. προκατειλημμένων δὲ τῶν ὁδῶν, καὶ ἅμα τῶν μὲν Ἀμφιλόχων ἐμπείρων ὄντων τῆς ἑαυτῶν γῆς καὶ ψιλῶν πρὸς ὁπλίτας, τῶν δὲ ἀπείρων καὶ ἀνεπιστημόνων ὅπῃ τράπωνται, ἐσπίπτοντες ἔς τε χαράδρας καὶ τὰς προλελοχισμένας ἐνέδρας διεφθείροντο. καὶ ἐς πᾶσαν ἰδέαν χωρήσαντες τῆς φυγῆς ἐτράποντό τινες καὶ ἐς τὴν θάλασσαν οὐ πολὺ ἀπέχουσαν, 5 καὶ ὡς εἶδον τὰς Ἀττικὰς ναῦς παραπλεούσας ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ, προσένευσαν, ἡγησάμενοι ἐν τῷ αὐτίκα φόβῳ κρεῖσσον εἶναι σφίσιν ὑπὸ τῶν ἐν ταῖς ναυσὶν, εἰ δεῖ, δια-

---

τόν δ' Kr. Gr. 68, 5 A. 1. Denn der guten Proſa ſcheint ἀναβαίνω mit dem bloßen Ac. fremd zu ſein.

§. 2. ἀπὸ ἑσπέρας. Kr. zu Xen. An. 6, 1, 23. vgl. 7, 43, 2. — ἐπὶ τῆς ἐσβολῆς nach dem Paſſe. So findet ſich ἐσβολή Hrt. 7, 172. 175, Xen. An. 1, 2, 21, Hell. 5, 4, 48. (Bl.) Gemeint iſt wohl die Stelle wo die Straße, von Olyä aus die Küſte entlang gehend, aus der Ebene zwiſchen die Hügel eintrat. (Arn.) — ὄρθρου die Frühe wo es noch dunkel iſt. vgl. 4, 110, 1 u. Plat. Prot. 310, a: τῆς παρελθούσης νυκτὸς ταυτησὶ ἔτι βαθέος ὄρθρου. — ἔτι ἐν ταῖς εὐναῖς, wie 4, 32, 1 (Kr.) zu 1, 30, 4.

§ 3. ἐπιτηδές, ἐσκεμμένως. (Sch.) — προσαγορεύειν die Amprakioten. (Pö.) — ἐκέλευε hatte geheißen. Gr. 53, 2 A. 8. — γλῶσσαν ἱέναι, wie Her. 1, 57. 9, 16, φωνὴν eb. 4, 23, Ar. Ach. 747, φωνάς Ri. 522, We. 562, γῆρυν Bö. 233. — πίστιν παρεχομένους Vertrauen erregend, ſicher machend durch den Dialekt. (Ba. u. Hl.) vgl. Gr. 52, 8 A. 2. — τῇ ὄψει ihrer Erſcheinung nach. (Pö.) — αὐτῶν. αὐτῷ. (Kr.) cum omnibus copiis Ba.

§ 4. ἀπείρων, ὄντων τῆς γῆς. (Pö.)

§ 5. ἅμα τοῦ ἔργου τῇ ξυντυχίᾳ zugleich mit der zu eben der Zeit eingetretenen Begebenheit. (Kiſt.) — εἰ δεῖ.

φθαρῆναι ἢ ὑπὸ τῶν βαρβάρων καὶ ἐχθίστων Ἀμφιλόχων. οἱ μὲν οὖν Ἀμπρακιῶται τοιούτῳ τρόπῳ κακωθέντες ὀλίγοι ἀπὸ πολλῶν ἐσώθησαν ἐς τὴν πόλιν, Ἀκαρνᾶνες δὲ σκυλεύσαντες τοὺς νεκροὺς καὶ τροπαῖα στήσαντες ἀπεχώρησαν ἐς Ἄργος. καὶ αὐτοῖς τῇ ὑστεραίᾳ ἦλθε κῆρυξ ἀπὸ τῶν ἐς 113
Ἀγραίους καταφυγόντων ἐκ τῆς Ὅλπης Ἀμπρακιωτῶν, ἀναιρεσιν αἰτήσων τῶν νεκρῶν οὓς ἀπέκτειναν ὕστερον τῆς πρώτης μάχης, ὅτε μετὰ τῶν Μαντινέων καὶ τῶν ὑποσπόνδων ξυνεξῆλθεσαν ἄσπονδοι. ἰδὼν δ' ὁ κῆρυξ τὰ ὅπλα τῶν ἀπὸ τῆς πόλεως Ἀμπρακιωτῶν ἐθαύμαζε τὸ πλῆθος· οὐ γὰρ ᾔδει τὸ πάθος, ἀλλ' ᾤετο τῶν μετὰ σφῶν εἶναι. καί τις 2
αὐτὸν ἤρετο ὅ τι θαυμάζοι καὶ ὁπόσοι αὐτῶν τεθνᾶσιν, οἰόμενος αὖ ὁ ἐρωτῶν εἶναι τὸν κήρυκα ἀπὸ τῶν ἐν Ἰδομένῃ. ὁ δ' ἔφη διακοσίους μάλιστα. ὑπολαβὼν δ' ὁ ἐρωτῶν εἶπεν· "οὔκουν τὰ ὅπλα ταυτὶ φαίνεται, ἀλλὰ πλέον ἢ χιλίων." αὖθις δὲ εἶπεν ἐκεῖνος· "οὐκ ἄρα τῶν μεθ' ἡμῶν μαχομένων ἐστίν." ὁ δ' ἀπεκρίνατο· "εἴπερ γε ὑμεῖς ἐν Ἰδομένῃ χθὲς ἐμάχεσθε." "ἀλλ' ἡμεῖς γε οὐδενὶ ἐμαχόμεθα χθές, ἀλλὰ πρώην ἐν τῇ ἀποχωρήσει." "καὶ μὲν δὴ τούτοις γε ἡμεῖς χθὲς ἀπὸ τῆς πόλεως βοηθήσασι τῆς Ἀμπρακιωτῶν ἐμαχόμεθα." ὁ δὲ κῆρυξ ὡς ἤκουσε καὶ ἔγνω 3
ὅτι ἡ ἀπὸ τῆς πόλεως βοήθεια διέφθαρται, ἀνοιμώξας καὶ ἐκπλαγεὶς τῷ μεγέθει τῶν παρόντων κακῶν ἀπῆλθεν εὐθὺς ἄπρακτος καὶ οὐκέτι ἀπῄτει τοὺς νεκρούς. πάθος γὰρ τοῦτο μιᾷ πόλει Ἑλληνίδι ἐν ἴσαις ἡμέραις μέγιστον δὴ τῶν κατὰ

Dem. 20, 53: μᾶλλον εἵλοντο μεθ' ὑμῶν, εἴ τι δέοι, πάσχειν. (Bl.) — βαρβάρων gehört adjectivisch zu Ἀμφιλόχων. (Hl.) — ἀπό. zu 1, 110, 1.

C. 113. § 1. αἰτήσων. αἰτήσοντες las der Sch. — τῆς πρώτης 107. 108. — καὶ τῶν für καὶ τῶν ἄλλων τῶν. (Ba.) Gr 69, 32 A. 2. — σφῶν. Gr. 58, 4 A. 3. — εἶναι erg. τὰ ὅπλα. (Sch.)

§ 2. θαυμάζοι — τεθνᾶσιν. Gr. 53, 6 A. 2 u. Kr. zu Xen. An. 2, 2, 15. — φαίνεται. λείπει τὸ διακοσίων εἶναι μόνων. (Sch.) d. h. διακοσίων scheint mir ausgefallen. (Kr.) Ba. übersetzt es. — πρώην vorgestern, wie aus 112, 2 f. u. 113, 1 erhellt. Heindorf zu Plat. Prot. 4. (Py.) — ἐστίν erg. τὰ ὅπλα. — καὶ μὲν δή. Gr. 69, 35 A. 1.

4 τὸν πόλεμον τόνδε ἐγένετο. καὶ ἀριθμὸν οὐκ ἔγραψα τῶν ἀποθανόντων, διότι ἄπιστον τὸ πλῆθος λέγεται ἀπολέσθαι ὡς πρὸς τὸ μέγεθος τῆς πόλεως. Ἀμπρακίαν μέντοι οἶδα ὅτι εἰ ἐβουλήθησαν Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι Ἀθηναίοις καὶ Δημοσθένει πειθόμενοι ἐξελεῖν, αὐτοβοεὶ ἂν εἷλον· νῦν δ' ἔδεισαν μὴ οἱ Ἀθηναῖοι ἔχοντες αὐτὴν χαλεπώτεροι σφίσι
114 πάροικοι ὦσιν. μετὰ δὲ ταῦτα τρίτον μέρος νείμαντες τῶν σκύλων τοῖς Ἀθηναίοις τὰ ἄλλα κατὰ τὰς πόλεις διείλοντο. καὶ τὰ μὲν τῶν Ἀθηναίων πλέοντα ἑάλω, τὰ δὲ νῦν ἀνακείμενα ἐν τοῖς Ἀττικοῖς ἱεροῖς Δημοσθένει ἐξηρέθησαν τριακόσιαι
2 πανοπλίαι καὶ ἄγων αὐτὰς κατέπλευσεν. καὶ ἐγένετο ἅμα αὐτῷ μετὰ τὴν τῆς Αἰτωλίας ξυμφορὰν ἀπὸ ταύτης τῆς πράξεως ἀδεεστέρα ἡ κάθοδος. ἀπῆλθον δὲ καὶ οἱ ἐν ταῖς εἴκοσι ναυσὶν Ἀθηναῖοι ἐς Ναύπακτον. Ἀκαρνᾶνες δὲ καὶ Ἀμφίλοχοι ἀπελθόντων Ἀθηναίων καὶ Δημοσθένους τοὺς ὡς Σαλύνθιον καὶ Ἀγραίους καταφυγοῦσιν Ἀμπρακιώταις καὶ Πελοποννησίοις ἀναχώρησιν ἐσπείσαντο ἐξ Οἰνιαδῶν,
3 οἵπερ καὶ μετανέστησαν παρὰ Σαλυνθίου. καὶ ἐς τὸν ἔπειτα χρόνον σπονδὰς καὶ ξυμμαχίαν ἐποιήσαντο ἑκατὸν ἔτη Ἀκαρνᾶνες καὶ Ἀμφίλοχοι πρὸς Ἀμπρακιώτας ἐπὶ τοῖσδε ὥστε μήτε Ἀμπρακιώτας μετὰ Ἀκαρνάνων στρατεύειν ἐπὶ Πελοποννησίους μήτε Ἀκαρνᾶνας μετὰ Ἀμπρακιωτῶν ἐπ' Ἀθηναίους, βοηθεῖν δὲ τῇ ἀλλήλων, καὶ ἀποδοῦναι Ἀμπρακιώτας ὁπόσα ἢ χωρία ἢ ὁμήρους Ἀμφιλόχων ἔχουσι, καὶ ἐπὶ

---

§ 4. ἀριθμόν. Cur. Her. 669: πολλούς· ἀριθμὸν ἄλλον οὐκ ἔχω φράσαι. — ὡς πρός. Gr. 69, 63 A. 4 u. 6. — ἐξελεῖν, wie 4, 69, 1. 122, 3 u. 5, 43, 3. (Dr.)

C. 114. § 1. πλέοντα von Sachen, wie öfter ἐκπλεῖν und ἐσπλεῖν, z. B. 4, 39, 1. Dem. 20, 31. vgl. zu 3, 51, 2. — ἐξηρέθησαν zieht Pp. zu πανοπλίαι. Gr. 63, 1 A. 3. Hier doch hart.

§ 2. τῆς Αἰτωλίας für ἐν τῇ Αἰτωλίᾳ (ἐκ τῆς Αἰτωλίας schlechtere) die besten Hsn. vgl. Gr. 47, 7 A. 6. — ταῖς 105, 3. 107, 1. — τοῖς 111, 3. — ἔξω Οἰνιαδῶν. ἐξ Οἰνιαδῶν Lindau. — οἵπερ für οἳπερ Hermann; καί erkläre ich: wohin sie auch übergegangen waren, wie sie jetzt von dort abzogen. — Σαλυνθίου für Σαλύνθιον Hermann.

§ 3. τῇ ἀλλήλων. Gr. 51, 3 A. — ὁμήρους für ὁμόρους Pp. und wie es scheint auch Hsn.

Ἀνακτόριον μὴ βοηθεῖν πολέμιον ὂν Ἀχαρνᾶσιν. ταῦτα ξυνθέμενοι διέλυσαν τὸν πόλεμον. μετὰ δὲ ταῦτα Κορίνθιοι 4
φυλακὴν ἑαυτῶν ἐς τὴν Ἀμπρακίαν ἀπέστειλαν, ἐς τριακοσίους ὁπλίτας, καὶ Ξενοκλείδαν τὸν Εὐθυκλέους ἄρχοντα· οἳ κομιζόμενοι χαλεπῶς διὰ τῆς ἠπείρου ἀφίκοντο. τὰ μὲν καὶ Ἀμπρακίαν οὕτως ἐγένετο.

Οἱ δ' ἐν τῇ Σικελίᾳ Ἀθηναῖοι τοῦ αὐτοῦ χειμῶνος ἔς 115
τε τὴν Ἱμεραίαν ἀπόβασιν ἐποιήσαντο ἐκ τῶν νεῶν μετὰ τῶν Σικελῶν ἄνωθεν ἐσβεβληκότων ἐς τὰ ἔσχατα τῆς Ἱμεραίας καὶ ἐπὶ τὰς Αἰόλου νήσους ἔπλευσαν. ἀναχωρήσαντες δὲ ἐς 2
Ῥήγιον Πυθόδωρον τὸν Ἰσολόχου, Ἀθηναίων στρατηγόν, καταλαμβάνουσιν ἐπὶ ταῖς ναυσὶ διάδοχον ὧν ὁ Λάχης ἦρχεν. οἱ γὰρ ἐν Σικελίᾳ ξύμμαχοι πλεύσαντες ἔπεισαν τοὺς Ἀθηναίους βοηθεῖν σφίσι πλείοσι ναυσίν· τῆς μὲν γὰρ γῆς αὐτῶν οἱ Συρακόσιοι ἐκράτουν, τῆς δὲ θαλάσσης ὀλίγαις ναυσὶν εἰργόμενοι παρεσκευάζοντο ναυτικὸν ξυναγείροντες ὡς οὐ περιοψόμενοι. καὶ ἐπλήρουν ναῦς τεσσαράκοντα οἱ Ἀθηναῖοι 3
ὡς ἀποστελοῦντες αὐτοῖς, ἅμα μὲν ἡγούμενοι θᾶσσον τὸν ἐκεῖ πόλεμον καταλυθήσεσθαι, ἅμα δὲ βουλόμενοι μελέτην τοῦ ναυτικοῦ ποιεῖσθαι. τὸν μὲν οὖν ἕνα τῶν στρατηγῶν ἀπέστειλαν, Πυθόδωρον, ὀλίγαις ναυσίν, Σοφοκλέα δὲ τὸν Σωστρατίδου καὶ Εὐρυμέδοντα τὸν Θουκλέους ἐπὶ τῶν πλειόνων νεῶν ἀποπέμψειν ἔμελλον. ὁ δὲ Πυθόδωρος ἤδη ἔχων 4
τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχὴν ἔπλευσε τελευτῶντος τοῦ χειμῶνος ἐπὶ τὸ Λοκρῶν φρούριον ὃ πρότερον Λάχης εἶλεν· καὶ νικηθεὶς μάχῃ ὑπὸ τῶν Λοκρῶν ἀνεχώρησεν.

C. 115. §. 1. *Σικελῶν* für *Σικελιωτῶν* Bl. vgl. 103, 1 n. 4, 25, 6. (Pp.) — *τὰ ἔσχατα* nach dem Binnenlande zu. (Bl.)

§ 2. *ἐπὶ τὰς ναῦς*, den Begriff gesendet andeutend. — *ὁ Λάχης* der einer Anklage wegen abgerufen wurde. Sch. zu Ar. Wesp. 240. (Bl.) — *πλεύσαντες*, zu den Athenern. (Ps.) — *εἰργόμενοι*, *οἱ Συρακόσιοι*. vgl. 88, 2. 99. (Pp.)

§ 3. *αὐτοῖς* geht auf den Hauptbegriff *οἱ ἐν Σικελίᾳ ξύμμαχοι*. — *Σοφοκλέα*. Der Dichter war Sohn des Sophilos. (Pp.) — *τῶν πλειόνων*. Gr. 50, 2 A. 8.

§ 4. *τὴν τοῦ Λάχητος τῶν νεῶν ἀρχήν*. Gr. 47, 9 A. 6. — *τὸ Λ. φρούριον* 99.

116 Ἐρρύη δὲ περὶ αὐτὸ τὸ ἔαρ τοῦτο ὁ ῥύαξ τοῦ πυρὸς ἐκ τῆς Αἴτνης, ὥσπερ καὶ τὸ πρότερον, καὶ γῆν τινα ἔφθειρε τῶν Καταναίων, οἳ ἐπὶ τῇ Αἴτνῃ τῷ ὄρει οἰκοῦσιν, ὅπερ 2 μέγιστόν ἐστιν ὄρος ἐν τῇ Σικελίᾳ. λέγεται δὲ πεντηκοστῷ ἔτει ῥυῆναι τοῦτο μετὰ τὸ πρότερον ῥεῦμα, τὸ δὲ ξύμπαν τρὶς γεγενῆσθαι τὸ ῥεῦμα ἀφ' οὗ Σικελία ὑπὸ Ἑλλήνων οἰκεῖται. ταῦτα μὲν κατὰ τὸν χειμῶνα τοῦτον ἐγένετο, καὶ ἕκτον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

Δ.

1 Τοῦ δ' ἐπιγιγνομένου θέρους περὶ σῖτον ἐκβολὴν Συρακοσίων δέκα νῆες πλεύσασαι καὶ Λοκρίδες ἴσαι Μεσσήνην τὴν ἐν Σικελίᾳ κατέλαβον, αὐτῶν ἐπαγαγομένων, καὶ ἀπίσης Μεσσήνη Ἀθηναίων. ἔπραξαν δὲ τοῦτο μάλιστα οἱ μὲν Συρακόσιοι ὁρῶντες προσβολὴν ἔχον τὸ χωρίον τῆς Σικελίας καὶ φοβούμενοι τοὺς Ἀθηναίους μὴ ἐξ αὐτοῦ ὁρμώμενοί ποτε σφίσι μείζονι παρασκευῇ ἐπέλθωσιν, οἱ δὲ Λοκροὶ κατὰ ἔχθος τὸ Ῥηγίνων, βουλόμενοι ἀμφοτέρωθεν αὐτοὺς 2 καταπολεμεῖν. καὶ ἐσεβεβλήκεσαν ἅμα ἐς τὴν Ῥηγίνων οἱ Λοκροὶ πανστρατιᾷ, ἵνα μὴ ἐπιβοηθῶσι τοῖς Μεσσηνίοις, ἅμα δὲ καὶ ξυνεπαγόντων Ῥηγίνων φυγάδων, οἳ ἦσαν παρ' αὐ-

---

C. 116. § 1. ὁ ῥύαξ der Lavastrom. Heindorf zu Plat. Phäd. 139. Lyk. 95: ἐκ τῆς Αἴτνης ῥύακα πυρὸς γενέσθαι. Der Artikel bezeichnet das Phänomen als ein bekanntes. (Arn.) vgl. Gr. 47, 8 A. 5 und Xen. An. 4, 5, 33.

§ 2. πεντηκοστῷ ἔτει. ne' ἔτει Krüger Leben des Thuk. S. 61 f.

C. 1. § 1. ἐκβολήν, τὴν τῶν σταχύων ἐκ τῶν καλύκων γένεσιν. (Sch.) — αὐτῶν da Messenier selbst. Denn es war nur eine Parthei nach § 2. Gr. 58, 4 A. 2. — προσβολήν, προσόρμιον καὶ ἔφοδον τῆς Σικελίας ἢ πρὸς τὴν Σικελίαν. (Sch.) vgl. 4, 53, 3. 6, 48, 2. 7, 4, 7 u. Luc. Toχ. 57. (Dr.) — τοὺς Ἀ. μὴ. Gr. 61, 6 A. 5. — ὁρμώμενοι, ἡγοῦν ὡς ὁρμητηρίῳ χρώμενοι. (Sch.) — ἀμφοτέρωθεν, ἔκ τε τῆς γῆς ἑαυτῶν τῆς Λοκρίδος καὶ ἐκ θαλάσσης. (Sch.)

§ 2. ἐπιβοηθῶσι, οἱ Ῥηγῖνοι. (Sch.) — ἅμα δέ verbindet

τοῖς· τὸ γὰρ Ῥήγιον ἐπὶ πολὺν χρόνον ἐστασίαζεν καὶ ἀδύνατα ἦν ἐν τῷ παρόντι τοὺς Λοκροὺς ἀμύνεσθαι, ἢ καὶ μᾶλλον ἐπετίθεντο. δῃώσαντες δὲ οἱ μὲν Λοκροὶ τῷ πεζῷ ἀπεχώρησαν, αἱ δὲ νῆες Μεσσήνην ἐφρούρουν· καὶ ἄλλαι αἱ πληρούμεναι ἔμελλον αὐτόσε ἐγκαθορμισάμεναι τὸν πόλεμον ἐντεῦθεν ποιήσεσθαι.

Ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ ἦρος, πρὶν τὸν σῖτον 2
ἐν ἀκμῇ εἶναι, Πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐσέβαλον ἐς
τὴν Ἀττικήν, ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων
βασιλεύς, καὶ ἐγκαθεζόμενοι ἐδῄουν τὴν γῆν. Ἀθηναῖοι δὲ
τάς τε τεσσαράκοντα ναῦς ἐς Σικελίαν ἀπέστειλαν, ὥσπερ
παρεσκευάζοντο, καὶ στρατηγοὺς τοὺς ὑπολοίπους Εὐρυμέ-
δοντα καὶ Σοφοκλέα· Πυθόδωρος γὰρ ὁ τρίτος αὐτῶν ἤδη
προαφῖκτο ἐς Σικελίαν. εἶπον δὲ τούτοις καὶ Κερκυραίων 2
ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμεληθῆναι, οἳ ἐλη-
στεύοντο ὑπὸ τῶν ἐν τῷ ὄρει φυγάδων· καὶ Πελοποννησίων
αὐτόσε νῆες ἑξήκοντα παρεπεπλεύκεσαν τοῖς ἐν τῷ ὄρει τι-
μωροὶ καὶ λιμοῦ ὄντος μεγάλου ἐν τῇ πόλει νομίζοντες κα-
ταισχήσειν ῥᾳδίως τὰ πράγματα. Δημοσθένει δέ, ὅτι ἰδιώτῃ
μετὰ τὴν ἀναχώρησιν τὴν ἐξ Ἀκαρνανίας, αὐτῷ δεηθέντι εἶ-
πον χρῆσθαι ταῖς ναυσὶ ταύταις, ἢν βούληται, περὶ τὴν Πε-
λοπόννησον. καὶ ὡς ἐγένοντο πλέονες κατὰ τὴν Λακωνικὴν 3
καὶ ἐπυνθάνοντο ὅτι αἱ νῆες ἐν Κερκύρᾳ ἤδη εἰσὶ τῶν Πε-
λοποννησίων, ὁ μὲν Εὐρυμέδων καὶ Σοφοκλῆς ἠπείγοντο ἐς

---

den ſinalen Satz und ἐπαγόντων. Gr. 59, 2 A. 3. — ᾗ καὶ. zu 1, 11, 2. — ἐπετίθεντο, οἱ Λοκροὶ τοῖς Ῥηγίνοις. (Sch.)

C. 2. § 1. ὑπὸ τούς, ἦγουν κατὰ τόν. (Sch.) — ὥσπερ παρεσκευάζοντο wie ſie ſich vorbereitet hatten Schiffe zu ſenden. zu 2, 23, 1. — αὐτῶν hängt wohl von προαφῖκτο ab.

§ 2. καὶ von Κερκυραίων mit Bezug auf die anderweitigen Aufträge. — παραπλέοντας. Kr. zu Xen. An. 1, 2, 1. — ἐν τῷ ὄρει 3, 85, 2. — τιμωροί, ὡς πρωροὶ ὀνόμενοι. Gr. 57, 4 A. 3. So βοηθούς 6, 8, 2, φυλακήν 2, 26. vgl. Xen. An. 2, 3, 15. (Kr.) — καὶ verbindet πρωροὶ und νομίζοντες. — κατασχήσειν daß ſie erlangen würden. Gr. 53, 7. — τὰ πράγματα die Herrſchaft. Kr. z. Dion. p. 269. — ὅντι ἰδιώτῃ, ἦγουν ἔξω ὄντι ἀρχῆς. (Sch.) — αὐτῷ. Gr. 51, 6 A. 4. — ταύταις die des Eurymedon und Sophokles. (Sf.)

C. 3. § 1. ἐγένοντο, ἦγουν παρεγένοντο οἱ Ἀθηναῖοι. (Sch.) Kr. zu Xen. An. 1, 7, 17. — ἠπείγοντο ἐς K. drangen darauf

τὴν Κέρκυραν, ὁ δὲ Δημοσθένης ἐς τὴν Πύλον πρῶτον ἐπέλευε σχόντας αὐτοὺς καὶ πράξαντας ἃ δεῖ τὸν πλοῦν ποιεῖσθαι· ἀντιλεγόντων δὲ κατὰ τύχην χειμὼν ἐπιγενόμενος κα-
2 τήνεγκε τὰς ναῦς ἐς τὴν Πύλον. καὶ ὁ Δημοσθένης εὐθὺς ἠξίου τειχίζεσθαι τὸ χωρίον, ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι, καὶ ἀπέφαινε πολλὴν εὐπορίαν ξύλων τε καὶ λίθων καὶ φύσει καρτερὸν ὂν καὶ ἐρῆμον αὐτό τε καὶ ἐπὶ πολὺ τῆς χώρας· ἀπέχει γὰρ σταδίους μάλιστα ἡ Πύλος τῆς Σπάρτης τεσσαράκοντα καὶ ἔστιν ἐν τῇ Μεσσηνίᾳ ποτὲ οὖσα γῇ, καλοῦσι δὲ
3 αὐτὴν οἱ Λακεδαιμόνιοι Κορυφάσιον. οἱ δὲ πολλὰς ἔφασαν εἶναι ἄκρας ἐρήμους τῆς Πελοποννήσου, ἣν βούληται καταλαμβάνων τὴν πόλιν δαπανᾶν. τῷ δὲ διάφορόν τι ἐδόκει εἶναι τοῦτο τὸ χωρίον ἑτέρου μᾶλλον, λιμένος τε πρόσοπος καὶ τοὺς Μεσσηνίους οἰκείους ὄντας αὐτῷ τὸ ἀρχαῖον καὶ ὁμοφώνους τοῖς Λακεδαιμονίοις πλεῖστ' ἂν βλάπτειν ἐξ αὐτοῦ ὁρμωμένους καὶ βεβαίους ἅμα τοῦ χωρίου φύλακας
4 ἔσεσθαι. ὡς δὲ οὐκ ἔπειθεν οὔτε τοὺς στρατηγοὺς οὔτε τοὺς στρατιώτας, ὕστερον καὶ τοῖς ταξιάρχοις κοινώσας, ἡσύχαζεν ὑπὸ ἁπλοίας, μέχρι αὐτοῖς τοῖς στρατιώταις σχολά-

---

eilig nach K. zu segeln. (Ba.) — ἃ δεῖ was erforderlich, was sprießlich sei, mit Bezug auf den Auftrag 4, 2, 2 E. vgl. 3, 2: ἐπὶ τούτῳ γὰρ ξυνεκπλεῦσαι. — ἀντιλεγόντων, τῶν στρατηγῶν ὁμοίως. (Sch.)

§ 2. ξυνεκπλεῦσαι, ἔφη aus ἠξίου. vgl. 1, 136, 3. 4, 87, 1. (Py.) — ὄν, τὸ χωρίον. Das Particip wird durch καί an εὐπορίαν angeschlossen. Gr. 59, 3 A. 3. — ἐπὶ τούτῳ zu dem Zwecke, gegen den Peloponnes etwas auszuführen. — ἐπὶ πολύ. Gr. 60, 8 A. 3. vgl. 7, 65. (Schömann.) — αὐτήν, τὴν Πύλον. (Py.)

§ 3. δαπανᾶν, εἰς δαπάνην ἐμβάλλειν. (Sch.) Πόλιν als Subjectsac. zu nehmen hindert καταλαμβάνων. Transitiv steht δαπανᾶν auch bei Antiph. 5, 30: ἀνὴρ ὃν ἐδαπάνησαν (aufrieben)? (Arn.) Appian Bürgerkr. 1, 94: ἄνεμος πόλιν ἐδαπάνησε. vgl. eb. 4, 108. (Pr.) — διάφορον verschieden d. h. wichtiger, mit μᾶλλον, weil die comparative Bedeutung mehr hervorzuheben war. — αὐτῷ, τῷ χωρίῳ (Sch.) — βλάπτειν und ἔσεσθαι für βλαπτόντων und ἐσομένων eine weil aus ἐδόκει noch ein ὅτι ἐνόμισε vorschwebte. (Hf.) vgl. 5, 53, 2. Gr. 59, 2 A. 3.

C. 4. § 1. τοῖς ταξιάρχοις und durch sie eben den Soldaten — κοινώσας. ἀπὸ κοινοῦ τὸ οὐκ ἔπειθεν. (Sch.) — ἡσύχαζεν. ἡσύχαζον Dobree, wie auch mir eingefallen; doch ist es nicht nothwendig: so blieb er ganz unthätig liegen, da er doch seinem Auftrage gemäß etwas Anderes gegen den Peloponnes hätte unternehmen können. —

ζουσιν ὁρμὴ ἐπέπεσε περιστᾶσιν ἐκτειχίσαι τὸ χωρίον. καὶ ἐγχειρήσαντες εἰργάζοντο, σιδήρια μὲν λιθουργὰ οὐκ ἔχοντες, λογάδην δὲ φέροντες λίθους, καὶ ξυνετίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι· καὶ τὸν πηλόν, εἴ που δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον, ἐγκεκυφότες τε ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τῷ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι. παντί τε τρόπῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι πρὶν ἐπιβοηθῆσαι· τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε καὶ οὐδὲν ἔδει τείχους. οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες, καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς ὅταν ἐξέλθωσιν ἢ οὐχ ὑπομενοῦντας σφᾶς ἢ ῥᾳδίως ληψόμενοι βίᾳ· καί τι καὶ αὐτοὺς ὁ στρατὸς ἔτι ἐν ταῖς Ἀθήναις ὢν ἐπέσχεν.

ὑπὸ ἀπλοίας mit dem folgenden ὁρμὴ ἐπέπεσεν zu verbinden nach Py. ſcheint auch mir eine ſchlechterdings unerträgliche Stellung zu geben. — ἐπέπεσε. ἐπέπεσε die beſten Hſn., was wenigſtens Th. weder ſo noch ähnlich gebraucht hat. vgl. zu 3, 52, 2. — περιστᾶσιν für περὶ στάσιν Hl. u. einige Hſn.: herumgetreten, herumſtehend. Eur. Bacch. 1106: φέρε περιστᾶσαι κύκλῳ πτόρθου λάβεσθε. (Rm.) — λογάδην, ἐπιλέκτως, ἤγουν ἐπιλελεγμένους λίθους. τειχοποιοῦντες γὰρ ἄνευ σιδηρίων οὐκ ἔμελλον τοὺς τυχόντας συνθήσειν λίθους, ὥστε ἀσθενὲς ἐργάσασθαι τὸ τεῖχος, ἀλλ' ἐπελέγοντο ὁμοίους τοῖς εἰργασμένοις, τουτέστι τετραπέδους. (Sch.) vgl. 4, 31, 3, Dion. H. π. συνθ. 22 u. Plut. Otho 6. — ξυμβαίνοι, ἔνιοι ἀντὶ τοῦ παραπίπτοι, παραιωγχάνοι· ἄμεινον δὲ ὡς ἕκαστα ἔμελλον συναρμόσεσθαι καὶ συμφωνήσειν πρὸς ἀλλήλους. (Sch.) Die letztere Erklärung dürfte doch der Ausdruck kaum geſtatten. vgl. zu 1, 98, 2.

§ 2. τόν den erforderlichen. Gr. 50, 2 A. 4. — εἴ που. Man bedurfte deſſen nicht wo hinlänglich große Steine waren. (Bl.) — ἐπιμένειν. ἐπιμενεῖν. (Kr.) Gr. 53, 8 A. 3. — τὰ ἐπιμαχώτατα, τὰ εὐεπιχείρητα τοῖς πολεμίοις. (Sch.) vgl. 31, 2. — τοὺς Λ. ſteht hier ſtatt nach πρίν, bei φθάνειν keine gewöhnliche Anticipation. — αὐτό von ſelbſt, φύσει 3, 2. (Gb.) Gr. 52, 6 A. 8.

C. S. οἱ δέ, οἱ Λακεδαιμόνιοι. (Sch.) — ἐν ὀλιγωρίᾳ ἐποιοῦντο mißachteten. vgl. 7, 3, 2. — ὡς οὐχ ὑπομενοῦντας als ob ſie, wähnend daß ſie, die Athener, ſie (σφᾶς), die Lakedämonier, nicht beſtehen, ihnen nicht Stand halten würden. Gr. 56, 9 A. 10. — ληψόμενοι durch ἤ mit ὑπομενοῦντας verbunden. Gr. 56, 14 A. 2. vgl. 6, 24, 2. Dem. 20, 137: κελεύετε τούτους γράψασθαι κατὰ τὸν νόμον ὃν παρεισφέρομεν νῦν ἡμεῖς, ἢ θέντων ἡμῶν ἢ θέντας αὐτούς. Her. 3, 83: δῆλα δὴ ὅτι δεῖ ἕνα γέ τινα ἡμέων βασιλέα γενέσθαι ἤτοι κλήρῳ γε λαχόντα ἢ ἐπιτρεψάντων Περσέων πλήθεϊ ὃν ἂν ἕλωνται. — ἐν ταῖς Ἀ. bei Athen. (Ba.) vgl. 4, 6, 1. (A. Pf.)

τειχίσαντες δὲ οἱ Ἀθηναῖοι τοῦ χωρίου τὰ πρὸς ἤπειρον καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἕξ τὸν μὲν Δημοσθένην μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσιν, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ Σικελίαν ἠπείγοντο.
6 οἱ δ' ἐν τῇ Ἀττικῇ ὄντες Πελοποννήσιοι ὡς ἐπύθοντο τῆς Πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου, νομίζοντες μὲν οἱ Λακεδαιμόνιοι καὶ Ἀγις ὁ βασιλεὺς οἰκεῖον
2 σφίσι τὸ περὶ τὴν Πύλον· ἅμα δὲ πρῲ ἐσβαλόντες καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος ἐσπάνιζον ἱροφῆς τοῖς πολλοῖς, χειμών τε ἐπιγενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν ἔπιεσε τὸ στράτευμα. ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον αὐτοὺς καὶ βραχυτάτην γενέσθαι τὴν ἐσβολὴν ταύτην· ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ Ἀττικῇ.
7 Κατὰ δὲ τὸν αὐτὸν χρόνον Σιμωνίδης Ἀθηναίων στρατηγὸς Ἠιόνα τὴν ἐπὶ Θράκης Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας Ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων καὶ τῶν ἐκείνῃ ξυμμάχων πλῆθος προσιδομένην κατέλαβε. καὶ παραχρῆμα ἐπιβοηθησάντων Χαλκιδέων καὶ Βοττιαίων ἐξεκρούσθη τε καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν.
8 Ἀναχωρησάντων δὲ τῶν ἐκ τῆς Ἀττικῆς Πελοποννησίων οἱ Σπαρτιᾶται αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα τῶν περιοίκων εὐθὺς ἐβοήθουν ἐπὶ τὴν Πύλον, τῶν δὲ ἄλλων Λακεδαιμονίων βραδυτέρα ἐγίγνετο ἡ ἔφοδος, ἅρτι ἀφιγμένων ἀφ' ἑτέ-

---

C. 6. § 1. ἐπύθοντο τῆς. Gr. 47, 10 A. 13. Bei dieſem Verbum eine ſonſt auch bei Th. nicht vorkommende Fügung. vgl. zu I, 57, 3. — μέν. Als Gegenſatz bloß gedacht werden die verſchiedenen Anſichten der übrigen Peloponneſier. — οἱ Λ. Gr. 56, 9 A. 1.

§ 2. πρῲ für πρωΐ Bk. Die Einſylbigkeit bezeugen die Dramatiker, auch Ar. vgl. Lex. Soph. — τοῖς πολλοῖς für den größten Theil des Heeres. (Sch. u. Bd.) 8, 57, 1: ἀπορουμένοις πολλοῖς καὶ τῆς τροφῆς. — χειμών ſchlechtes Wetter. — παρά. zu 1, 23, 3 — καθεστηκυῖαν, ἐνεστῶσαν. (Sch.) die beſtehende, ſchon ſommerliche. — πολλαχόθεν aus vielen, (drei) Gründen. (Dſ.) Aehnlich πολλαχόθεν ὁρᾶν, διδάσκειν Dem. 22, 30. 24, 70. 29, 42. vgl. 30, 32 u. zu 1, 124, 1.

C. 7. Ἠιόνα nicht das am Strymon gelegene ſondern ein anderes in Pieria (Steph. B.) an der Grenze der Bottiäer und Chalkidier. (Bp.)

C. 8. § 1. τῶν ἄλλων im Gegenſatze zu οἱ ἐγγύτατα τῶν π-

ρας στρατιᾶς. περιήγγελλον δὲ καὶ κατὰ τὴν Πελοπόννησον βοηθεῖν ὅτι τάχιστα ἐπὶ Πύλον καὶ ἐπὶ τὰς ἐν τῇ Κερκύρᾳ ναῦς σφῶν τὰς ἑξήκοντα ἔπεμψαν, αἳ ὑπερενεχθεῖσαι τὸν Λευκαδίων ἰσθμὸν καὶ λαθοῦσαι τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς ἀφικνοῦνται ἐπὶ Πύλον· παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς στρατός. Δημοσθένης δὲ προσπλεόντων ἔτι τῶν Πελοποννη- 2
σίων ὑπεκπέμπει φθάσας δύο ναῦς ἀγγεῖλαι Εὐρυμέδοντι καὶ τοῖς ἐν ταῖς ναυσὶν ἐν Ζακύνθῳ Ἀθηναίους παρεῖναι ὡς τοῦ χωρίου κινδυνεύοντος. καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον κατὰ τὰ ἐπεσταλμένα ὑπὸ Δημοσθένους· οἱ δὲ Λα- 3
κεδαιμόνιοι παρεσκευάζοντο ὡς τῷ τειχίσματι προσβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν, ἐλπίζοντες ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον καὶ ἀνθρώπων ὀλίγων ἐνόντων. προσδεχόμενοι δὲ καὶ τὴν ἀπὸ Ζακύνθου τῶν Ἀττικῶν νεῶν βοήθειαν ἐν νῷ εἶχον, ἢν ἄρα μὴ πρότερον ἕλωσι, καὶ τοὺς ἔσπλους τοῦ λιμένος ἐμφράξαι, ὅπως μὴ ᾖ τοῖς Ἀθηναίοις ἐφορμίσασθαι ἐς αὐτόν. ἡ γὰρ νῆσος ἡ Σφα- 4
κτηρία καλουμένη τόν τε λιμένα, παρατείνουσα καὶ ἐγγὺς ἐπικειμένη, ἐχυρὸν ποιεῖ καὶ τοὺς ἔσπλους στενούς, τῇ μὲν δυοῖν νεοῖν διάπλουν κατὰ τὸ τείχισμα τῶν Ἀθηναίων καὶ τὴν Πύλον, τῇ δὲ πρὸς τὴν ἄλλην ἤπειρον ὀκτὼ ἢ ἐννέα·

ριοίκων. (Pr.) — στρατιᾶς. στρατείας A. Ps.; doch vgl. zu 1, 3, 4 — περιήγγελλον βοηθεῖν. zu 1, 116, 1. — τὰς ἑξήκοντα 4, 2, 2. — τὰς ἐν Ζακύνθῳ, die des Eurymedon und Sophokles. vgl. 5, 2. 8, 2. 13, 2. (Hk.) — ὑπερενεχθεῖσαι. zu 3, 15, 1. — τὰς ἐν Ζ. Ἀ. ναῦς, die des Eurymedon und Sophokles 13, 2. (Hk.) vgl. 2, 1 u. 5.

§. 2. ἀγγεῖλαι. Gr. 55, 3 A. 20. — ἐν Ζακύνθῳ verdächtigt Kr. Denn sonst würde Th. wohl ταῖς ἐν Ζ. gesagt haben. — τοῦ χωρίου, τῆς Πύλου. (Sch.) — αἱ νῆες, αἱ δύο. (Sch.)

§ 3. εἰργασμένον καὶ ἐνόντων. Gr. 56, 14 A. 2. — βοήθειαν ist auch hier nicht für ἔφοδον zu nehmen, sondern heißt das zur Hülfe Kommen, nämlich den Athenern. (Dr.) — καὶ τούς selbst die. (Ps.) Vielleicht ist καί mit Va. zu tilgen. — ἔσπλους. δύο διὰ τὴν νῆσον γίνεται στόματα τοῦ λιμένος, ἃ διέσπλους (l. δὴ ἔσπλους) ὠνόμασεν. (Sch.) — μὴ ᾖ, μὴ δυνατὸν γένηται. (Sch.)

§ 4. ἡ νῆσος ἡ Σ. Gr. 50, 7 A. 2. — παρατείνουσα, παρὰ τὸν λιμένα. (Hk.) Das Wort steht hier intransitiv: sich erstreckend. — ὀκτὼ ἢ ἐννέα. ιη' ἢ ιθ' vermuthet Bl. nach Leakes Angaben über die Oertlichkeit. Im Laufe von Jahrtausenden kann das Meer die

ὑλώδης τε καὶ ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν καὶ μέγεθος
5 περὶ πεντεκαίδεκα σταδίους μάλιστα. τοὺς μὲν οὖν ἔσπλους
ταῖς ναυσὶν ἀντιπρώροις βύζην κλῄσειν ἔμελλον· τὴν δὲ νῆ-
σον ταύτην φοβούμενοι μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποι-
ῶνται ὁπλίτας διεβίβασαν ἐς αὐτὴν καὶ παρὰ τὴν ἤπειρον
ἄλλους ἔταξαν. οὕτω γὰρ τοῖς Ἀθηναίοις τήν τε νῆσον
6 πολεμίαν ἔσεσθαι τήν τε ἤπειρον, ἀπόβασιν οὐκ ἔχουσαν· τὰ
γὰρ αὐτῆς τῆς Πύλου ἔξω τοῦ ἔσπλου πρὸς τὸ πέλαγος,
ἀλίμενα ὄντα, οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς
αὐτῶν, σφεῖς δὲ ἄνευ τε ναυμαχίας καὶ κινδύνου ἐκπολιορ-
κήσειν τὸ χωρίον κατὰ τὸ εἰκός, σίτου τε οὐκ ἐνόντος καὶ
7 δι' ὀλίγης παρασκευῆς κατειλημμένου. ὡς δ' ἐδόκει αὐτοῖς
ταῦτα, καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας, ἀποκλη-
ρώσαντες ἀπὸ πάντων τῶν λόχων. καὶ διέβησαν μὲν καὶ
ἄλλοι πρότερον κατὰ διαδοχήν, οἱ δὲ τελευταῖοι καὶ ἐγκατα-
λειφθέντες εἴκοσι καὶ τετρακόσιοι ἦσαν καὶ Εἵλωτες οἱ περὶ
αὐτούς· ἦρχε δ' αὐτῶν Ἐπιτάδας ὁ Μολόβρου.

Einfahrten wohl erweitert haben. — μέγεθος in Anſehung der Länge.

§ 5. βύζην, ἀθρόως, οἷον βύσαντες ταῖς ναυσὶ τὸν ἔσπλουν. (Sch.) Arr. 1, 19, 3: ἀντιπρώρους βύζην τὰς τριήρεις ὁρμίσαντες ἀποκεκλείκασαν τὸν λιμένα. (Dr.) Ein ſeltenes Wort. Bekker An. p. 612. 942. — τὴν νῆσον φοβούμενοι μὴ ἐξ αὐτῆς. Gr. 61, 6 A. 6. — ἐξ αὐτῆς ὁρμώμενοι οἱ Ἀθηναῖοι. (Sch.) — ἔσεσθαι, ἐνόμισαν οὐκ ἤλπισαν aus φοβούμενοι. (Ba.) Gr. 65, 11 A. 7. — ἀπόβασιν Landungsplatz.

§ 6. τά gehört zu πρὸς τὸ πέλαγος: die nach der offenen See zu gelegenen Parthieen von Pylos ſelbſt. Zu faſſen iſt es mit Bs. als Subjectsac. zu ἕξειν. — ἔξω τοῦ ἔσπλου außerhalb der Einfahrt Ba., außer der Einfahrt Hl. — οὐχ ἕξειν, οὐ παρέξειν προσόρμισιν τοῖς Ἀθηναίοις. (Sch.) werde keinen Punct haben, gewähren. vgl. zu 2, 41, 2. — διά, μετά. (Sch.) 7, 40, 3: διὰ πολλοῦ θορύβου ἀνήγοντο. — κατειλημμένον, τοῦ χωρίου; κατειλημμένον hatte auch ich, wie Dobree u. Bk., vermuthet. So ſetzt der abſoluten Caſus ein regierter 20, 3. Gr. 56, 14 A. 2.

§ 7. ὡς δ' ἐδόκει, καί. zu 2, 93, 3. — λόχοι waren üeben. 5, 68, 2. — κατὰ διαδοχήν ablöſungsweiſe. (Ba.) — ἐγκαταλειφθέντες. ἐγκαταληφθέντες gute Hſn; allein gefangen hatten auf der Inſel nur 392 nach 38, 4. Kr. z. Dion. p. 296.

Δημοσθένης δέ, ὁρῶν τοὺς Λακεδαιμονίους μέλλοντας 9
προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ, παρεσκευάζετο καὶ αὐτός, καὶ τὰς τριήρεις αἷπερ ἦσαν αὐτῷ ὑπὸ τῶν καταλειφθεισῶν ἀνασπάσας ὑπὸ τὸ τείχισμα προσεσταύρωσεν, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὥπλισεν ἀσπίσι τε φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, 2
ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι. ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προεἰπὼν ἀμύνασθαι τὸν πεζόν, ἢν προσβάλλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων 3
ἑξήκοντα ὁπλίτας καὶ τοξότας ὀλίγους ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν, ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι· οὔτε 4

C. 9. § 1. αἷπερ ἦσαν. nur drei vgl. 5, 2 mit 8, 2. (Hf.) — προσεσταύρωσε, νεωλκήσας ὀρθὰς πρὸ τοῦ τείχους προσέφραξεν. ἔνιοι δὲ ὅτι ξύλοις ὀρθοῖς προσωχύρωσεν αὐτάς. (Sch.) Πρὸς — geht wohl auf die Verbindung mit der Feſte; doch will Dobree und wohl ſchon Stephanus, wie auch mir eingefallen, προσταύρωσε, was er durch 7, 25, 4 erklärt: σταυροὺς πρὸ τῶν νεῶν καταπηγνύναι. — ὥπλισεν, wie 8, 17, 1. vgl. 3, 27. — φαύλαις, ταῖς ἐπιτυχούσαις καὶ εὐτελέσιν. (Sch.) Dreier Endungen iſt das Adj. gewöhnlich. vgl. 6, 31, 2, Plat. Theä. 179, d, Rep. 519, a, Dem. 18, 266. 20, 164. 24, 205, Xen. Hell. 5, 3, 8, Cur. Arch. 22, Bell. 9. Doch ſteht auch ἡ φαῦλος Thuk. 6, 21, 1, Cur. Hipp. 435, Kresph. 1. — οἰσυΐνας Schilde von Weidengeflecht, wie Xen. Hell. 2, 4, 25 u. öfter. (Bl.)

§ 2. Μεσσηνίων von denen zu Naupaktos, zufällig hieher gekommen. (Hf.) — ἄοπλος auch 94, 2 und gew. Xen.; ἄνοπλος hält Göttling zu Ar. Pol. p. 371 für neuere Form. — ἐπὶ τὰ τετειχισμένα μάλιστα. Denn die ſchwächſten Theile vertheidigte er ſelbſt mit einer erleſenen Schaar vorkämpfend § 3.

§ 3. ἐς χωρία — iſt nähere Beſtimmung zu ᾗ. (Hf.) — χαλεπά, δυσβατά. (Sch.) — ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι ſo würden ſie, glaubte er, bereit ſein ſich dahin locken zu laſſen Reiſke und Py., der jedoch ἐπισπᾶσθαι (paſſiv) will. vgl. zu 1, 27, 2, wie jener ἐπισπάσθαι vermuthet.

γὰρ αὐτοὶ ἐλπίζοντές ποτε ναυσὶ κρατηθήσεσθαι οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν ἀλώσιμον τὸ χωρίον γίγνεσθαι. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας ἔταξε τοὺς ὁπλίτας ὡς εἶρξων, ἢν δύνηται, καὶ παρεκελεύσατο τοιάδε.

10 "Ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὸς ἡμᾶς δεινόν, μᾶλλον δὲ ἀπερισκέπτως εὔελπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ 2 τούτων ἂν περιγενόμενος. ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται. ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι καὶ μὴ τῷ πλήθει αὐτῶν κατα- 3 πλαγέντες τὰ ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι. τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ὃ μενόντων ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν

---

§ 4. αὐτοί, οἱ περὶ Δημοσθένην. (Sch.) — ἰσχυρόν erg. τὸ τεῖχος. — βιαζομένοις, βιαίως (σὺν βίᾳ) ποιοῦσιν. vgl. 11, 4. 36, 1. 7, 22, 3. 70, 7. 72, 2. Gr. 46, 6 A. 3. — γίγνεσθαι hängt von ἐλπίζοντες ab: erwartend daß, wenn jene die Landung erzwungen, der Platz erobert werden könne. (Sch. u. Hf.) — κατὰ τοῦτο an dieſem Puncte Pſ., deshalb Dobree. — χωρήσας für χωρίσας mehrere und einige gute Hſn.

C. 10. § 1. ἄνδρες οἱ. Gr. 45, 2 A. 7. — ξυναράμενοι, ξυνκαψάμενοι. (Sch.) zu 2, 71, 2. — ἐν τῇ τοιᾷδε. Gr. 50, 4 A. 6. — βουλέσθω maße ſich an. Xen. Hell. 1, 6, 5: εἰ τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι, οὐ κωλύω. — ἐκλογιζόμενος, ἐξαριθμούμενος. (Sch.) genau berechnend. (Ds.) — δεῖ für ἤ einige Hſn.; in den beſten fehlt jenes, in allen dieſes. Erg. ἕκαστος aus οὐδείς. Gr. 61, 4 A. 2. — ἀπερισκέπτως auch 6, 57, 3. 65, 1; das Adj. 4, 108, 3. — χωρῆσαι. χωρήσας mehrere ſchlecht Hſn. — καὶ ἐκ τούτων auch aus dieſer Lage, Gefahr. (Hſ.) — ἄν. Gr. 69, 7 A. 1, 4. — περιγενόμενος ἐκ, wie 1, 141, 4 u. 2, 49, 5. (Bl.)

§ 2. ἐνδεχόμενα geſtattend. vgl. 4, 92, 2. (Arn.) — κινδύνου gewagten Kampf. — πρὸς ἡμῶν ὄντα, ἡμῖν σύμμαχα καὶ ὠφέλιμα ὄντα. (Sch.) zu 2, 86, 3. — αὐτῶν, τῶν πολεμίων. (Sch.) — κρείσσω, πλεονεκτήματα. (Sch.)

§ 3. ἡμέτερον uns vortheilhaft. (Sch.) — δ fehlt in den meiſten Hſn.; vgl. jedoch 6, 10, 1. (Kr.) Möglich daß Thuk. bloß ſchrieb ἡμέτερον νομίζω μενόντων und ἡμῶν ξύμμαχον γίγνεται aus einem Scholion zu ἡμέτερον einſchlich. — ὑποχωρήσασι. ὑποχωρησάντων

ὂν εὔπορον ἔσεσθαι μηδενὸς πολέμιον τος, καὶ τὸν πολέμιον δεινότερον ἕξομεν μὴ ῥᾳδίως αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἣν καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι, ἀποβάντες δὲ ἐν τῷ ἴσῳ ἤδη. τό τε 4 πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· καὶ ὀλίγον γὰρ μαχεῖται, καίπερ πολὺ ὄν, ἀπορίᾳ τῆς προσορμίσεως, καὶ οὐκ ἐν γῇ στρατὸς ἐστιν ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ κωλύοντα· δεῖ ἐν τῇ θαλάσσῃ ξυμβῆναι, ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει. καὶ ἅμα ἔξεστι ὑμῖν, Ἀθηναίους ὄντας καὶ ἐπιστα- 5 μένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀποβασιν ὅτι, εἴ τις ὑπομένοι καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κω-

---

will Py., da der Sinn erfordert: wenn wir uns werden zurückgezogen haben, wird die Stelle den Feinden, wenn auch an ſich ſchwierig, leicht zugänglich ſein. Ich erkläre den Dativ: in Bezug auf uns, wenn wir gewichen. — εὔπορον ἔσεσθαι, εὐεπίβατον γενήσεσθαι τοῖς Λακεδαιμονίοις. (Sch.) — μηδενός. ἅτε μηδενός einige Hſn, eine (richtige) Erklärung. — τὸν πολέμιον. Gr. 44, 1 A. 6. — ἕξομεν, wenn wir nämlich zurückgewichen ſind und ihn haben ans Land kommen laſſen. (Sch.) — ῥᾳδίως für ῥᾳδίας viele, j. Th. ſehr gute Hſn. vgl. Gr. 62, 2 A. 3. — πάλιν. So ſprechen auch wir gelegentlich: zurück iſt der Weg nicht leicht. vgl. zu 2, 18, 2. — ἢν καὶ βιάζηται ſollte er auch geworfen werden. — ἐπὶ γὰρ —, ῥᾴστιον γάρ ἐστιν ἔν αὐτοῖς ὄντας ἐπὶ τῶν νεῶν ἀμύνεσθαι. (Sch.) Gr. 55, 3 A. 7. — γὰρ weiſt zurück auf δεινότερον ἕξομεν (ἀποβάντα). (Py.) — ἤδη, εἰσίν.

§ 4. κατ' ὀλίγον einem geringen Theile nach. vgl. 5, 9, 1. 6, 34, 4. — οὐκ ἐν γῇ στρατός ἐστιν es iſt nicht ein auf dem Lande befindliches Heer. Gr. 50, 8 A. 19. So ἐν νυκτὶ φροντίδες Soph. Trach. 149, σὺν αὐληρίσιν κῶμος Plat. Theät. 173, d, περὶ ταῦτας κόσμος Xen. Hell. 6, 1, 6. — ἐκ τοῦ ὁμοίου unter gleichen Umſtänden, caetoris paribus. (Hl.) vgl. zu 1, 143, 3. — ἀπὸ νεῶν, στρατός ein von Schiffen andringendes. — καίρια Gelegenes, Wind, Oertlichkeit ꝛc., um nämlich mit Erfolg anzugreifen. (Sch.) Aehnliches iſt 6, 23, 3 nach εὐτυχῆσαι zu ergänzen. (Arn.) Widerwärtigkeiten erklären Andre, ohne dieſe Bedeutung zu begründen. Auch würde dann εἰκός für δεῖ nöthig ſein. — δεῖ ἀπὸ τοῦ εἰωθέναι. (Sch.) Las dieſer etwa ἄκαιρα? periculosa Va. — πλῆθος eine Anzahl, die geringe war. (Sch.) vgl. 5, 6, 3. (Py.) Her. 1, 77: μεμιγμένοι κατὰ τὸ πλῆθος τὸ ἑωυτοῦ στράτευμα. (Bl.) Kr. zu Xen. An. 1, 6, 7.

§ 5. Ἀθηναίους. ὥσπερ διὰ τῆς προσηγορίας ἐνέφηνεν αὐτῶν τὸ ἄξίωμα τῆς κατὰ θάλατταν ἐπιστήμης. (Sch.) — ῥοθίου Brandung, Wogenſchwall, auch der durch Rudern bewirkte. — δεινότητος

τάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο, καὶ αὐτοὺς νῦν μεῖναί τε καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν σώζειν ὑμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον."

11 Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. οἱ δὲ Λακεδαιμόνιοι ἅραντες τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τειχίσματι καὶ ταῖς ναυσὶν ἅμα, οὖσαις τεσσαράκοντα καὶ τρισίν· ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους, Σπαρτιάτης·
2 προσέβαλλε δὲ ᾗπερ ὁ Δημοσθένης προσεδέχετο. καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο· οἱ δὲ κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι προσσχεῖν, καὶ ἀνακαύοντες ἐν τῷ μέρει τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παραικε-
3 λευσμῷ, εἴ πως ὠσάμενοι ἔλοιεν τὸ τείχισμα. πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ καὶ ὁρῶν τοῦ χωρίου χαλεποῦ ὄντος τοὺς τριηράρχους καὶ κυβερνήτας,

---

τητος hängt von φόβῳ, κατάπλου von δυνότητος, νεῶν von κατάπλους ab. (Sch.) — βιάζοιτο, ἡ ἀπόβασις, die Landung erzwungen werden dürfte. (Kr.) über die Prolepsis des Subjects Gr. 61, 6 A. 2. — καὶ αὐτούς auch ihr, wie ich. (Hf.) Diese Beziehung ist nicht recht passend; vielleicht ist καὶ αὐτοῦ zu lesen. (Kr.) Aus läßt es Ba. — ῥαχίαν οἱ Ἀττικοὶ τὴν ἀκτὴν καὶ τὸν τόπον αὐτὸν ᾧ προσαράττει τὸ κῦμα. Phot. p. 358.

C. 11. § 1. ἐπικαταβάντες. ἐπι — gegen. vgl. 6, 97, 4. 7, 23, 1. 35, 2. 84, 3. (Arn.) — Θρασυμηλίδας. Ueber den Namen Lobeck Parall. p. 6. — προσεδέχετο 9, 3.

§ 2. ναῦς. τὰς ναῦς? oder getilgt. — οὐκ ἦν —, οὐ δυνατὸν ἦν πλείοσι προσορμίσασθαι διὰ τὸ πετρώδες. (Sch.) — προσσχεῖν für προσχεῖν Bekker. — καὶ ἀναπαύοντες dürfte aus dem Sch. eingefälscht sein: ὀλίγαις ὥρμησαν ναυσὶ καὶ κατὰ διαδοχήν, ἢ τὰς ναῦς ἀναπαύοντες ἢ αὐτοὶ ἀναπαυόμενοι. Oder schrieb Th. κατ' ἀναπαύλας, wie 2, 75, 2? — ἐν τῷ μέρει wie die Reihe jede Abtheilung traf. Kr. zu Xen. An. 3, 4, 23. Dieser Bedeutung nach kann der Ausdruck nicht wohl mit Py. zu ἀναπαύοντες gezogen werden. Denn Xen. Hell. 6, 2, 29: κατὰ μέρος τοὺς ναύτας ἀνέπαυεν (Arn.) ist verschieden; ἐν τῷ μέρει würde auch dort nicht statthaft sein. — ὡσάμενοι, τοὺς ἐναντίους δηλονότι. (Sch.) Da die Feinde kurz vorher nicht erwähnt sind, so erklärt Py. eindringend. Doch gebraucht Th. es so nie und die Feinde können leicht gedacht werden.

§ 3. φανερώτατος, σπουδαιότατος καὶ ἐπίδηλος ὑπὲρ ἅπαντας

εἴ πῃ καὶ δοκοίη δυνατὸν εἶναι σχεῖν, ἀποκινοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσιν, ἐβόα [λέγων] ὡς οὐκ εἰκὸς εἴη ξύλων φειδομένους τοὺς πολεμίους ἐν τῇ χωρίᾳ περιδεῖν τεῖχος πεποιημένους, ἀλλὰ τάς τε σφετέρας ναῦς βιαζομένους τὴν ἀπόβασιν καταγνύναι ἐκέλευεν καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι, ὀκείλαντας δὲ καὶ παντὶ τρόπῳ ἀποβάντας τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι. καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχεν 12
καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν ἐχώρει ἐπὶ τὴν ἀποβάθραν· καὶ πειρώμενος ἀποβαίνειν ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων, καὶ τραυματισθεὶς πολλὰ ἐλειποψύχησέ τε καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν, καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν 2
οἱ Ἀθηναῖοι ἀνελόμενοι ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν ἀδύνατοι δ' ἦσαν ἀποβῆναι τῶν τε χωρίων χαλεπότητι καὶ τῶν Ἀθηναίων μενόντων καὶ οὐδὲν ὑποχωρούντων. ἐς 3

(Sch.) Kr. zu Xen. An. 7, 7, 22 zweite Ausg. — *σχεῖν*, *προσσχεῖν*. (Sch.) — *τῶν νεῶν* mit *φυλασσομένους* verbunden wäre beispiellos; verschieden ist *ἀφυλακτεῖν* mit dem Ge. Xen. Cyr. 1, 6, 5. Richtiger wohl der Sch.: *ἤγουν νηὰς τῶν νεῶν*. vgl. Gr. 47, 15 A. 5. Zu verbinden aber ist es wohl mit *ξυντρίψωσιν*. — *λέγων* tilgt Kr. So *βοᾶν ὡς* 6, 28, 2. 7, 48, 4.

C. 12. § 1. *ἐπέσπερχεν*, *ἐπεσπούδαζεν*. (Sch.) Ueber den doppelten Ac. Gr. 46, 11 A. 2. Das Wort ist der gew. attischen Prosa fremd und auch von Th. sonst nicht gebraucht. vgl. Gr. B. 2 § 40 unter *σπέρχω*. App. Mithr. 49: *ἐπῆγεν τὸν στρατὸν πυρσῶν καὶ ἐπέσπερχεν*. — *ἀποβάθραν*, *ἡ ἀπὸ τῆς νεὼς ἐπὶ τὴν γῆν ἔξοδος ἀποβάθρα καλεῖται*. (Sch.) vgl. Bekker Anecd. p. 12. Eine Art Landungsleiter (*σκάλα* Sch. Luc. Kat. 5) die man auswerfen und zurückziehen konnte (Seidler zu Eur. Iph. T. 1319), auch zum Entern gebraucht nach Her. 9, 98. vgl. *ἐπιβάθρα* mit Bezug auf das Besteigen des Schiffes bei Diod. 12, 62. — *πολλά* ist der Ac. nach der Analogie von *τραυματίζειν τραύματα*. Gr. 46, 11 A. 2. — *παρεξειρεσία ἐστὶν ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος οὐκέτι κώπαις χέχρηνται· ἔστι δὲ τοῦτο τὸ ἀπρόστατον τῆς πρύμνης καὶ τῆς πρῴρας*. (Sch.) — *ἐλειποψύχησε*. *ἐλιποψύχησε* einige Hss., was Schäfer vorzieht z. Dem. 3 p. 400.

§ 3. *προσβολῆς* hängt von *ὃ* ab. Gr. 47, 9 A. 5. vgl. 7 A. 3. — *οἱ δ' ἄλλοι*, *οἱ Λακεδαιμόνιοι*. (Sch.) vgl. zu 3, 73. — *πε-*

τοῦτό τε περιέστη ἡ νύχη ὥστε Ἀθηναίους μὲν ἐκ γῆς τε καὶ ταύτης Λακωνικῆς ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν πολεμίαν οὖσαν ἐπ' Ἀθηναίους ἀποβαίνειν· ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν ἠπειρώταις μάλιστα εἶναι καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ θαλάσσιοις τε καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

13 Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τι προσβολὰς ποιησάμενοι ἐπέπαυντο· καὶ τῇ τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινας ἐς Ἀσίνην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν, ἀποβάσεως δὲ 2 μάλιστα οὔσης ἐλεῖν μηχαναῖς. ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται πεντήκοντα· προσεβοήθησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου καὶ Χῖαι τέσσαρες. ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων τήν τε νῆσον, ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες ὅπῃ καθορμίσωνται, τότε μὲν ἐς Πρώτην τὴν νῆσον, ἣ οὐ πολὺ ἀπέχει, ἐρῆμος

ρι έστη, περιεσπάσθη. (Sch.) vgl. 1, 120, 4 u. Dem. 3, 9: εἰς τοῦτο περιστήσειαι τὰ πράγματα. (Gb.) — ἀποβαίνειν, ζητεῖν ἀποβαίνειν. (Sch.) — ἐπὶ πολὺ ἐποίει τῆς δόξης es bewirkte einen gro ßen Theil des Ruhmes für die einen der Umstand daß si — . Schömann; ähnlich Morus zu Isokr. Paneg. 15. Mir scheint ἐπὶ πολύ Subject. vgl. zu 4, 3, 2: ein Weithin des Rufes, d. h. ein weithin verbreitete Ansicht, machte den einen d. h. legte ihnen bei. — τοῖς μέν, τοῖς Λακεδαιμονίοις, τοῖς δέ, τοῖς Ἀθηναίοις. (Sch.) vgl. 5, 56, 2.

C. 13. § 1. εἰς μηχανάς, ἐπιτήδεια πρὸς μηχανὰς ποιηθησομένας πρὸς καθαίρεσιν τειχῶν. (Sch.) — παρέπεμψαν. παρα — neben der Küste. (Py.) — ἐλπίζοντες heißt zum ersten Gliede gedacht so v. a. νομίζοντες. (Abr.) Da das Wort diese Bedeutung bei Attikern nicht hat, so scheint hier nur der Hauptbegriff ἐλεῖν berücksichtigt, für den Nebenbegriff ἔχειν wird dem Leser überlassen ein νομίζοντες zu ergänzen. — μάλιστα zieht Kr. zu ἐλεῖν; Andre (Ba.) erklären: da dort am Leichtesten zu landen war.

§ 2. πεντήκοντα für τεσσαράκοντα eine Hs., wie A. Ps. vermuthete. vgl. 23, 3. Es befanden sich zu Zakynthos sieben und dreißig nach 2, 1. vgl. mit 5, 2 u. 8, 2. Es mußten also mit den demnächst erwähnten mehr als vierzig sein (Bd.); und eben die größere Anzahl zu erklären folgt der Satz mit γάρ. Sexaginta Ba.

οὖσα, ἔκλευσαν καὶ φίλιόν τινα τῇ δ' ὑστεραίᾳ παρασκευασά- 3
μενοι ὡς ἐπὶ ναυμαχίαν ἀνήγοντο, ἣν μὲν ἀντεκπλεῖν ἐβούλοντο σφίσιν ἐς τὴν εὐρυχωρίαν, εἰ δὲ μή, ὡς αὐτοὶ ἐκπλευσούμενοι. καὶ οἱ μὲν οὔτε ἀντανήγοντο οὔτε ἃ διενοήθησαν, φράξαι τοὺς ἔσπλους, ἔτυχον ποιήσαντες, ἡσυχάζοντες δ' ἐν τῇ γῇ τάς τε ναῦς ἐκόμων καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι ὅτι οὐ σμικρῷ ναυμαχήσοντες. οἱ δ' Ἀθη- 14
ναῖοι γνόντες καθ' ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ' αὐτούς, καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους προσπεσόντες ἐς φυγὴν κατέστησαν καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος ἔτρωσαν μὲν πολλάς, πέντε δ' ἔλαβον καὶ μίαν τούτων αὐτοῖς ἀνδράσιν· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. αἱ δὲ καὶ πληρούμεναι ἔτι πρὶν ἀνάγεσθαι ἐκόπτοντο· καί τινας καὶ ἀναδούμενοι κενὰς εἵλκον τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. ἃ ὁρῶντες 2
οἱ Λακεδαιμόνιοι καὶ περιαλγοῦντες τῷ πάθει, ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν, καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθείλκον ἐπιλαμβανόμενοι τῶν νεῶν· καὶ ἐν τούτῳ κεκωλῦσθαι

---

§ 3. εὐρυχωρίαν. Als Nachſatz ſchwebt vor ὡς (ἐν τῇ εὐρυχωρίᾳ) ναυμαχήσοντες. vgl. zu 3, 3, 3. — οἱ μέν, οἱ Λακεδαιμόνιοι. (Sch.) — ἃ für ὅ. Gr. 44, 4 A. 3. vgl. 57, 10 A. 7. — διενοήθησαν 4, 8, 3. — μικρός für σμικρός einige Hſn. Dieſes ſtand noch 7, 75, 4. Sonſt haben bei Th. die Hſn. überall faſt einſtimmig μικρός. (Py.) Der Hafen gehört zu den größten Europas.

C. 14. § 1. γνόντες, τὴν βουλὴν ἐκείνων σημανόν. (Sch.) — ὡς διὰ βραχέος wie es bei einer geringen Entfernung natürlich war, zu den folgenden Verben gehörig. — ἔτρωσαν von Schiffen ſelten, auch Her. 8, 18, τρῶμα 6, 16, καταπρώσκειν Dieb. 13, 10, καταπαυματίζειν Th. 7, 41, 2. 8, 10, 3. 42, 3 — ἐν τῇ γῇ für εἰς τὴν γῆν, weil das Perfect zugleich das Beharren anzeigt. Nur in Verbindung mit dieſem Tempus gebrauchten die Attiker ἔν für εἰς. Gr. 68, 12 A. 2 u. Heindorf zu Plat. Soph. § 98. — ἐκόπτοντο erhielten Stöße mit den Schiffſchnäbeln. vgl. 8, 13, 1. 105, 3. (Dr.) — περιαλγεῖν ein ſeltenes Wort, erſt bei Spätern öfter vorkommend. (Bl.) περί — ſehr wie in περιχαρής.

§ 2. ὅτι περ gerade weil, eine ſehr ſeltene Verbindung. (Bl.) — ἐν τούτῳ —, ἐν τούτῳ ἐδόκει κεκωλῦσθαι ἕκαστος τὰ πράγματα ἐν ᾧ καστοι μὴ ἐῤῥέθησαν. (Sch.) Es dürfte zu erklären ſein: dabei, laubte jeder, ſei ein Hinderniß eingetreten wobei nicht uch er irgend welcher Begebenheit beigewohnt, Theil daran

ἐδόκει ἕκαστος ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. ἐγένετό τε ὁ θόρυβος μέγας καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου
3 περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως, ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν, οἵ τε Ἀθηναῖοι κραιοῦντες καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν ἀπὸ νεῶν ἐπεζομάχουν. πολύν τε πόνον παρασχόντες ἀλλήλοις καὶ τραυματίσαντες διεκρίθησαν καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς πλὴν τῶν τὸ
4 πρῶτον ληφθεισῶν διέσωσαν. καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον οἱ μὲν τροπαῖόν τε ἔστησαν καὶ νεκροὺς ἀπέδοσαν καὶ ναυαγίων ἐκράτησαν, καὶ τὴν νῆσον εὐθὺς περιέπλεον καὶ ἐν φυλακῇ εἶχον ὡς τῶν ἀνδρῶν ἀπειλημμένων· οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ.

15 Ἐς δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον, ἔδοξεν αὐτοῖς ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον βουλεύειν παραχρῆμα ὁρῶντας
2 ὅ τι ἂν δοκῇ. καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι καὶ κινδυνεύειν οὐκ ἐβούλοντο ἢ ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς ἢ ὑπὸ πλήθους βιασθέντας κρατηθῆναι, ἔδοξεν αὐτοῖς πρὸς τοὺς στρατηγοὺς τῶν Ἀθηναίων, ἢν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς

---

genommen habe. vgl. 2, 8, 3. — τινί. τις Pp. — ἀντηλλαγμένον ohne καί Ba.: commutata amborum ad naves forma dimicandi. — τρόπου. Der Ge. ſteht hier wohl in ſofern ἀντηλλαγμένου eine Entſtehung bezeichnet. — περὶ τὰς ναῦς iſt mit ἐγένετο zu verbinden. (Pe.)

§ 3. ἐπὶ πλεῖστον ἐπεξελθεῖν ſo viel als möglich verfolgen. (Pl.) Dio C. 66, 19: τῇ παρούσῃ οἱ εὐτυχίᾳ ἐπὶ πᾶν ἐπιξελθεῖν ἐπεθέμην. (Bl.) — τὰς κενὰς ναῦς § 1.

§ 4. νεκρούς. zu 1, 54, 2. — καί vor ἀπό gehört zu πάντων. Gr. 69, 32 A. 18: auch von allen übrigen ſchon zur Hülfe gekommen. vgl. 8, 1.

C. 15. § 1. τὰ τέλη, τοὺς ἄρχοντας τῶν Σπαρτιατῶν. (Sch.) zu 1, 10, 6. — καταβάντας. Gr. 58, 4 A. 1. — παραχρῆμα für πρὸς τὸ χρῆμα die beſten Hſn. Vielleicht iſt πρὸς τὸ χρῆμα ὁρῶντας Gl. ſſem. (Kr.)

§ 2. κρατηθῆναι. ἢ κρατηθῆναι mehrere ſehr gute Hſn., wobei Hermann erklärt: daß ſie durch Hunger oder von der Maſſe überwältigt umkämen (τι παθεῖν) oder gefangen würden. — τὰ περὶ Πύλον, weil man auch σπένδεσθαί τι ſagen kann. (Matth. § 421 A. 4.) vgl. zu 3, 24, 3.

Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως καὶ τοὺς ἄνδρας ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι. δεξαμένων δὲ τῶν στρα- 16
τηγῶν τὸν λόγον ἐγίγνοντο σπονδαὶ τοιαίδε· Λακεδαιμονίους μὲν τὰς ναῦς ἐν αἷς ἐναυμάχησαν καὶ τὰς ἐν τῇ Λακωνικῇ πάσας, ὅσαι ἦσαν μακραί, παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν, Ἀθηναίους δὲ τοῖς ἐν τῇ νήσῳ 2
ἀνθφάσι σῖτον ἑᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων καὶ δύο κοτύλας οἴνου καὶ κρέας, θεράποντι δὲ τούτων ἡμίσεα· ταῦτα δὲ ὁρώντων τῶν Ἀθηναίων ἐσπέμπειν καὶ πλοῖον μηδὲν ἐσπλεῖν λάθρᾳ· φυλάσσειν δὲ καὶ 3
τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον, ὅσα μὴ ἀποβαίνοντας, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ Πελοποννησίων στρατῷ μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν. ὅ τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. ἐσπεῖσθαι δὲ αὐτὰς μέχρι οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις· ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους καὶ πάλιν κομίσαι. ἐλθόντων δὲ τάς τε σπονδὰς 4
λελύσθαι ταύτας καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας οἵασπερ ἂν παραλάβωσιν. αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο καὶ αἱ νῆες παρεδόθησαν οὖσαι περὶ ἑξήκοντα καὶ οἱ πρέσβεις ἀπεστάλησαν. ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας ἔλεξαν τοιάδε.

C. 16. § 1. ἐγίγνοντο. Das Ipf. wie 4, 65, 2. 8, 36, 2. (Pv.) die Verhandlungen mit andeutend. — παραδοῦναι. So ſteht der Inf. in Vertragsdocumenten auch wo der Begriff einer Feſtſetzung nicht, wie hier durch ἐγίγνοντο σπονδαί, beſtimmt ausgedrückt iſt. vgl. 4, 118. 5, 18. 23. 47. 79. 8, 37. 58.

§ 2. μεμαγμένον zu Brod verbacken. (Bv.) — δύο χοίνικας ἑκάστῳ. Kr. zu Xen. An. 1, 5, 6 gr. Ausg. u. Clinton F. H. p. 395, u. Als Uebermaß drei Ar. Ekkl. 424.

§ 3. ὅσα μή. zu 1, 111, 1. — ὅ τι — καὶ ὁτιοῦν. Ein doppelter Ac. nach der Analogie von παραβαίνειν τὰς συνθήκας ὀλίγον; alſo: welchen dieſer Vertragspuncte die Einen oder die Andern auch nur im Geringſten überträten. Sō ἔστιν ἃ παραβαίνειν τὰς σπονδάς 4, 123, 1. Ueber καὶ ὁτιοῦν vgl. 23, 2 und zu 1, 77, 2. — τότε weil ὅ τι ἄν ſo viel iſt als ἐάν τι. — ἐσπεῖσθαι. zu 3, 111, 1. — μέχρι οὗ ἐπανέλθωσιν. zu 1, 137, 1.

§ 4. ὁμοίας οἵασπερ. Kr. 51, 13 A. 16.

ὑλώδης τε καὶ ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν καὶ μέγεθος
5 περὶ πεντεκαίδεκα σταδίους μάλιστα. τοὺς μὲν οὖν ἔσπλους
ταῖς ναυσὶν ἀντιπρώροις βύζην κλῄσειν ἔμελλον· τὴν δὲ νῆ-
σον ταύτην φοβούμενοι μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποι-
ῶνται ὁπλίτας διεβίβασαν ἐς αὐτὴν καὶ παρὰ τὴν ἤπειρον
ἄλλους ἔταξαν. οὕτω γὰρ τοῖς Ἀθηναίοις τήν τε νῆσον
6 πολεμίαν ἔσεσθαι τήν τε ἤπειρον, ἀπόβασιν οὐκ ἔχουσαν· τὰ
γὰρ αὐτῆς τῆς Πύλου ἔξω τοῦ ἔσπλου πρὸς τὸ πέλαγος,
ἀλίμενα ὄντα, οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς
αὑτῶν, σφεῖς δὲ ἄνευ τε ναυμαχίας καὶ κινδύνου ἐκπολιορ-
κήσειν τὸ χωρίον κατὰ τὸ εἰκός, σίτου τε οὐκ ἐνόντος καὶ
7 δι' ὀλίγης παρασκευῆς κατειλημμένου. ὡς δ' ἐδόκει αὐτοῖς
ταῦτα, καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας, ἀποκλη-
ρώσαντες ἀπὸ πάντων τῶν λόχων. καὶ διέβησαν μὲν καὶ
ἄλλοι πρότερον κατὰ διαδοχήν, οἱ δὲ τελευταῖοι καὶ ἐγκατα-
λειφθέντες εἴκοσι καὶ τετρακόσιοι ἦσαν καὶ Εἵλωτες οἱ περὶ
αὐτούς· ἦρχε δ' αὐτῶν Ἐπιτάδας ὁ Μολόβρου.

Einfahrten wohl erweitert haben. — μέγεθος in Ansehung der Länge.

§ 5. βύζην, ἀθρόως, οἷον βύσαντες ταῖς ναυσὶ τὸν ἔσπλουν. (Sch.) Arr. 1, 19, 3: ἀντιπρώρους βύζην τὰς τριήρεις ὁρμίσαντες ἀποκεκλείκεσαν τὸν λιμένα. (Dr.) Ein seltenes Wort. Bekker An. p. 612. 942. — τὴν νῆσον φοβούμενοι μὴ ἐξ αὐτῆς. Gr. 61, 6 A. 6. — ἐξ αὐτῆς ὁρμώμενοι οἱ Ἀθηναῖοι. (Sch.) — ἔσεσθαι, ἐνόμισαν oder ἤλπισαν aus φοβούμενοι. (Ba.) Gr. 65, 11 A. 7. — ἀπόβασιν Landungsplatz.

§ 6. τά gehört zu πρὸς τὸ πέλαγος: die nach der offenen See zu gelegenen Parthieen von Pylos selbst. Zu fassen ist es mit Ps. als Subjectsac. zu ἕξειν. — ἔξω τοῦ ἔσπλου außerhalb der Einfahrt Va., außer der Einfahrt Hl. — οὐχ ἕξειν, οὐ παρέξειν προσώρμισιν τοῖς Ἀθηναίοις. (Sch.) werde keinen Punct haben, gewähren. vgl. zu 2, 41, 2. — διά, μετά. (Sch.) 7, 40, 3: διὰ πολλοῦ θορύβου ἀνήγοντο. — κατειλημμένου, τοῦ χωρίου; κατειλημμένον hatte auch ich, wie Dobree u. Bk., vermuthet. So folgt dem absoluten Casus ein regierter 20, 3. Gr. 56, 14 A. 2.

§ 7. ὡς δ' ἐδόκει, καί. zu 2, 93, 3. — λόχοι waren sieben. 5, 68, 2. — κατὰ διαδοχήν ablösungsweise. (Ba.) — ἐγκαταλειφθέντες. ἐγκαταληφθέντες gute Hsn; allein gefangen wurden auf der Insel nur 392 nach 38, 4. Kr. z. Dion. p. 296.

Δημοσθένης δέ, ὁρῶν τοὺς Λακεδαιμονίους μέλλοντας 9
προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ, παρεσκευάζετο καὶ αὐτός, καὶ τὰς τριήρεις αἵπερ ἦσαν αὐτῷ ἀπὸ τῶν καταλειφθεισῶν ἀνασπάσας ὑπὸ τὸ τείχισμα προσεσταύρωσεν, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὥπλισεν ἀσπίσι τε φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, 2
ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι. ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προειπὼν ἀμύνασθαι τὸν πεζόν, ἢν προσβάλλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων 3
ἑξήκοντα ὁπλίτας καὶ τοξότας ὀλίγους ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν ϑάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν, ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα, σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προϑυμήσεσθαι· οὔτε 4

C. 9. § 1. *αἵπερ ἦσαν.* nur drei vgl. 5, 2 mit 8, 2. (Hf.) — *προσεσταύρωσε, νεωλκήσας ὀρθὰς πρὸ τοῦ τείχους προσέφραξεν. ἔνιοι δὲ ὅτι ξύλοις ὀρθοῖς προσωχύρωσεν αὐτάς.* (Sch.) *Προς* — geht wohl auf die Verbindung mit der Feſte; doch will Dobree und wohl ſchon Stephanus, wie auch mir eingefallen, *προισταύρωσε*, was er durch 7, 25, 4 erklärt: *σταυροὺς πρὸ τῶν νεῶν καταπηγνύναι.* — *ὥπλισεν*, wie 8, 17, 1. vgl. 3, 27. — *φαύλαις, ταῖς ἐπιτυχούσαις καὶ εὐτελέσιν.* (Sch.) Dreier Endungen iſt das Adj. gewöhnlich. vgl. 6, 31, 2, Plat. Theä. 179, d, Rep. 519, a, Dem. 18, 266. 20, 164. 24, 205, Xen. Hell. 5, 3, 8, Cur. Arch. 22, Bell. 9. Doch ſteht auch *ἡ φαῦλος* Thuk. 6, 21, 1, Eur. Hipp. 435, Kresph. 1. — *οἰσυΐνας* Schilde von Weidengeflecht, wie Xen. Hell. 2, 4, 25 u. öfter. (Bl.)

§ 2. *Μεσσηνίων* von denen zu Naupaktos, zufällig hieher gekommen. (Hf.) — *ἄοπλος* auch 94, 2 und gew. Xen.; *ἄνοπλος* hält Göttling zu Ar. Pol. p. 371 für neuere Form. — *ἐπὶ τὰ τετειχισμένα μάλιστα.* Denn die ſchwächſten Theile vertheidigte er ſelbſt mit einer erleſenen Schaar vorkämpfend § 3.

§ 3. *ἐς χωρία* — iſt nähere Beſtimmung zu *ᾗ*. (Hf.) — *χαλεπά, δυσβατά.* (Sch.) — *ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προϑυμήσεσθαι* ſo würden ſie, glaubte er, bereit ſein ſich dahin locken zu laſſen Reiſke und Py., der jedoch *ἐπισπάσεσθαι* (paſſiv) will. vgl. zu 1, 27, 2, wie jener *ἐπισπέσθαι* vermuthet.

γὰρ αὐτοὶ ἐλπίζοντές ποτε ναυσὶ κρατηθήσεσθαι οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνοις τε βιαζομένοις τὴν ἀπόβασιν ἀλώσιμον τὸ χωρίον γίγνεσθαι. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας ἔταξε τοὺς ὁπλίτας ὡς εἶρξων, ἢν δύνηται, καὶ παρεκελεύσατο τοιάδε.

10 "Ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὸς ἡμᾶς δεινόν, μᾶλλον δὲ ἀπερισκέπτως εὐέλπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ
2 τούτων ἂν περιγενόμενος. ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα κινδύνου τοῦ ταχίστου προσδεῖται. ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι καὶ μὴ τῷ πλήθει αὐτῶν κατα-
3 πλαγέντες τὰ ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι. τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ὃ μενόντων ἡμῶν ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ καίπερ χαλεπὸν

---

§ 4. αὐτοί, οἱ περὶ Δημοσθένην. (Sch.) — ἰσχυρόν erg. τὸ τεῖχος. — βιαζομένοις, βιαίως (σὺν βίᾳ) ποιοῦσιν. vgl. 11, 4. 36, 1. 7, 22, 3. 70, 7. 72, 2. Gr. 46, 6 A. 3. — γίγνεσθαι hängt von ἐλπίζοντες ab: erwartend daß, wenn jene die Landung erzwungen, der Platz erobert werden könne. (Sch. u. Hf.) — κατὰ τοῦτο an dieſem Puncte Ps., deshalb Dobree. — χωρήσας für χωρίσας mehrere und einige gute Hſn.

C. 10. § 1. ἄνδρες οἱ. Gr. 45, 2 A. 7. — ξυναράμενοι, ξυνεγαψάμενοι. (Sch.) zu 2, 71, 2. — ἐν τῇ τοιᾷδε. Gr. 50, 4 A. 6. — βουλέσθω maße ſich an. Xen. Hell. 1, 6, 5: εἴ τις ἐμπειρότερος περὶ τὰ ναυτικὰ βούλεται εἶναι, οὐ κωλύω. — ἐκλογιζόμενος, ἐξαριθμούμενος. (Sch.) genau berechnend. (Ds.) — δέ für ἤ einige Hſn.; in den beſten fehlt jenes, in allen dieſes. Erg. ἕκαστος aus οὐδείς. Gr. 61, 4 A. 2. — ἀπερισκέπτως auch 6, 57, 3. 65, 1; das Adj. 4, 108, 3. — χωρῆσαι. χωρήσας mehrere ſchlechte Hſn. — καὶ ἐκ τούτων auch aus dieſer Lage, Gefahr. (Hl.) — ἄν. Gr. 69, 7 A. 1, 4. — περιγενόμενος ἐκ, wie 1, 141, 4 u. 2, 49, 5. (Bl.)

§ 2. ἐνδεχόμενα geſtattend. vgl. 4, 92, 2. (Arn.) — κινδύνου gewagten Kampf. — πρὸς ἡμῶν ὄντα, ἡμῖν σύμμαχα καὶ ὠφέλιμα ὄντα. (Sch.) zu 2, 86, 3. — αὐτῶν, τῶν πολεμίων. (Sch.) — κρείσσω, πλεονεκτήματα. (Sch.)

§ 3. ἡμέτερον uns vortheilhaft. (Sch.) — ὃ fehlt in den meiſten Hſn.; vgl. jedoch 6, 10, 1. (Kr.) Möglich daß Thuk. bloß ſchrieb ἡμέτερον νομίζω μενόντων und ἡμῶν ξύμμαχον γίγνεται aus einem Scholion zu ἡμέτερον einſchlich. — ὑποχωρήσασι. ὑποχωρησάντων

ὂν εὔπορον ἔσται μηδενὸς κωλύοντος, καὶ τὸν πολέμιον δεινότερον ἕξομεν μὴ ῥᾳδίως αὐτῷ πάλιν οὔσης τῆς ἀναχωρήσεως, ἣν καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι, ἀποβάντες δὲ ἐν τῷ ἴσῳ ἤδη. τό τε 4
πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· κατ' ὀλίγον γὰρ μαχεῖται, καίπερ πολὺ ὄν, ἀπορίᾳ τῆς προσορμίσεως, καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια· δεῖ ἐν τῇ θαλάσσῃ ξυμβῆναι, ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει. καὶ ἅμα ἀξιῶ ὑμᾶς, Ἀθηναίους ὄντας καὶ ἐπιστα- 5
μένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν ὅτι, εἴ τις ὑπομένοι καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος κω-

---

will Py., da der Sinn erfordert: wenn wir uns werden zurückgezogen haben, wird die Stelle den Feinden, wenn auch an ſich ſchwierig, leicht zugänglich ſein. Ich erkläre den Dativ: in Bezug auf uns, wenn wir gewichen. — *εὔπορον ἔσται, εὐεπίβατον γενήσεται τοῖς Λακεδαιμονίοις.* (Sch.) — *μηδενός.* *ἄτε μηδενός* einige Hſn, eine (richtige) Erklärung. — *τὸν πολέμιον.* Gr. 44, 1 A. 6. — *ἕξομεν*, wenn wir nämlich zurückgewichen ſind und ihn haben ans Land kommen laſſen. (Sch.) — *ῥᾳδίως* für *ῥᾳδίας* viele, z. Th. ſehr gute Hſn. vgl. Gr. 62, 2 A. 3. — *πάλιν.* So ſprechen auch wir gelegentlich: zurück iſt der Weg nicht leicht. vgl. zu 2, 18, 2. — *ἢν καὶ βιάζηται* ſollte er auch geworfen werden. — *ἐπὶ γάρ* —, *ῥᾴστιον γάρ ἐστιν ἔτι αὐτοὺς ὄντας ἐπὶ τῶν νεῶν ἀμύνασθαι,* (Sch.) Gr. 55, 3 A. 7. — *γάρ* weiſt zurück auf *δεινότερον ἕξομεν* (*ἀποβάντα*). (Py.) — *ἤδη, εἰσίν.*

§ 4. *κατ' ὀλίγον* einem geringen Theile nach. vgl. 5, 9, 1. 6, 34, 4. — *οὐκ ἐν γῇ στρατός ἐστιν* es iſt nicht ein auf dem Lande befindliches Heer. Gr. 50, 8 A. 19. So *ἐν νυκτὶ φροντίδες* Soph. Trach. 149, *σὺν αὐλητρίσιν κῶμοι* Plat. Theät. 173, d, *περὶ ταφὰς κόσμος* Xen. Hell. 6, 1, 6. — *ἐκ τοῦ ὁμοίου* unter gleichen Umſtänden, caeteris paribus. (Hl.) vgl. zu 1, 143, 3. — *ἀπὸ νεῶν, στρατός* ein von Schiffen andringendes. — *καίρια* Gelegenes, Wind, Oertlichkeit ꝛc., um nämlich mit Erfolg anzugreifen. (Sch.) Aehnliches iſt 6, 23, 3 nach *εὐτυχῆσαι* zu ergänzen. (Arn.) Widerwärtigkeiten erklären Andre, ohne dieſe Bedeutung zu begründen. Auch würde dann *εἰκός* für *δεῖ* nöthig ſein. — *δεῖ ἀντὶ τοῦ εἰωθέναι.* (Sch.) Was dieſer etwa *ἄκαιρα*? periculosa Ba. — *πλήθει* Anzahl, die geringe war. (Sch.) vgl. 5, 6, 3. (Py.) Her. 1, 77: *μεμιγθεὶς κατὰ τὸ πλῆθος τὸ ἑωυτοῦ στράτευμα.* (Bl.) Kr. zu Xen. An. 1, 6, 7.

§ 5. *Ἀθηναίους. ὥσπερ διὰ τῆς προσηγορίας ἐνέφηνεν αὐτῶν τὸ ἀξίωμα τῆς κατὰ θάλατταν ἐπιστήμης.* (Sch.) — *ῥοθίου* Brandung, Wogenſchwall, auch der durch Rudern bewirkte. — *δεινό-*

τάπλου ὑποχωροίη, οὐκ ἄν ποτε βιάζοιτο, καὶ αὐτοὺς νῶν μεῖναί τε καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν σώζειν ὑμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον."

11 Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον καὶ ἐπικαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. οἱ δὲ Λακεδαιμόνιοι ἅραντες τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τειχίσματι καὶ ταῖς ναυσὶν ἅμα, οὔσαις τεσσαράκοντα καὶ τρισίν· ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους, Σπαρτιάτης·

2 προσέβαλλε δὲ ᾗπερ ὁ Δημοσθένης προσεδέχετο. καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο· οἱ δὲ κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι προσσχεῖν, καὶ ἀναπαύοντες ἐν τῷ μέρει τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμίᾳ τε πάσῃ χρώμενοι καὶ παρακε-

3 λευσμῷ, εἴ πως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα. πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ καὶ ὁρῶν τοῦ χωρίου χαλεποῦ ὄντος τοὺς τριηράρχους καὶ κυβερνήτας,

---

τητος hängt von φόβῳ, κατάπλου von δεινότητος, νεῶν von κατάπλου ab. (Sch.) — βιάζοιτο, ἡ ἀπόβασις, die Landung erzwungen werden dürfte. (Kr.) über die Prolepsis des Subjects Gr. 61, 6 A. 2. — καὶ αὐτούς auch ihr, wie ich. (Hf.) Dieſe Beziehung iſt nicht recht paſſend; vielleicht iſt καὶ αὐτοῦ zu leſen. (Kr.) Aus läßt es Ba. — ῥαχίαν οἱ Ἀττικοὶ τὴν ἀκτὴν καὶ τὸν τόπον αὐτὸν ᾧ προσαράττει τὸ κῦμα. Phot. p. 358.

C. 11. § 1. ἐπικαταβάντες. ἐπι — gegen. vgl. 6, 97, 4. 7, 23, 1. 35, 2. 84, 3. (Arn.) — Θρασυμηλίδας. Ueber den Namen Lobeck Parall. p. 6. — προσεδέχετο 9, 3.

§ 2. ναῦς. τὰς ναῦς? oder gelilgt. — οὐκ ἦν —, οὐ δυνατὸν ἦν πλείοσι προσορμίσασθαι διὰ τὸ πετρώδες. (Sch.) — προσσχεῖν für προσχεῖν Bekker. — καὶ ἀναπαύοντες dürfte aus dem Sch. eingefälſcht ſein: ὀλίγαις ὥρμησαν ναυσὶ καὶ κατὰ διαδοχήν, ἢ τὰς ναῦς ἀναπαύοντες ἢ αὐτοὶ ἀναπαυόμενοι. Oder ſchrieb Th. κατ' ἀναπαύλας, wie 2, 75, 2? — ἐν τῷ μέρει wie die Reihe jede Abtheilung traf. Kr. zu Xen. An. 3, 4, 23. Dieſer Bedeutung nach kann der Ausdruck nicht wohl mit Py. zu ἀναπαύοντες gezogen werden. Denn Xen. Hell. 6, 2, 29: κατὰ μέρος τοὺς ναύτας ἀνέπαυεν (Arn.) iſt verſchieden; ἐν τῷ μέρει würde auch dort nicht ſtatthaft ſein. — ὠσάμενοι, τοὺς ἐναντίους δηλονότι. (Sch.) Da die Feinde kurz vorher nicht erwähnt ſind, ſo erklärt Py. eindringend. Doch gebraucht Th. es ſo nie und die Feinde können leicht gedacht werden.

§ 3. φανερώτατος, σπουδαιότατος καὶ ἐπιδηλος ὑπὲρ ἅπαντας.

εἴ πῃ καὶ δοκοίη ἐυνατὸν εἶναι σχεῖν, ἀποκτοῦντας καὶ φυλασσομένους τῶν νεῶν μὴ ξυντρίψωσιν, ἐβόα [λέγων] ὡς οὐκ εἰκὸς εἴη ξύλων φειδομένους τοὺς πολεμίους ἐν τῇ χωρῃ περιιδεῖν τεῖχος πεποιημένους, ἀλλὰ τάς τε σφετέρας ναῦς βιαζομένους τὴν ἀπόβασιν καταγνύναι ἐκέλευεν καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι, ὀκείλαντας δὲ καὶ παντὶ τρόπῳ ἀποβάντας τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι. καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχεν 12
καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν ἐχώρει ἐπὶ τὴν ἀποβάθραν· καὶ πειρώμενος ἀποβαίνειν ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων, καὶ τραυματισθεὶς πολλὰ ἐλειποψύχησέ τε καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν, καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν 2
οἱ Ἀθηναῖοι ἀνελόμενοι ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν ἀδύνατοι δ' ἦσαν ἀποβῆναι τῶν τε χωρίων χαλεπότητι καὶ τῶν Ἀθηναίων μενόντων καὶ οὐδὲν ὑποχωρούντων. ἐς 3

(Sch.) Kr. zu Xen. An. 7, 7, 22 zweite Ausg. — σχεῖν, προσσχεῖν. (Sch.) — τῶν νεῶν mit φυλασσομένους verbunden wäre beispiellos; verschieden ist ἀφυλακτεῖν mit dem Ge. Xen. Cyr. 1, 6, 5. Richtiger wohl der Sch.: ἤγουν τινὰς τῶν νεῶν. vgl. Gr. 47, 15 A. 5. Zu verbinden aber ist es wohl mit ξυντρίψωσιν. — λέγων tilgt Kr. So βοᾶν ὡς 6, 28, 2. 7, 48, 4.

C. 12. § 1. ἐπέσπερχεν, ἐπεσπούδαζεν. (Sch.) Ueber den doppelten Ac. Gr. 46, 11 A. 2. Das Wort ist der gew. attischen Prosa fremd und auch von Th. sonst nicht gebraucht. vgl. Gr. B. 2 § 40 unter σπέρχω. App. Mithr. 49: ἐπῆνει τὸν στρατὸν περιὼν καὶ ἐπέσπερχεν. — ἀποβάθραν, ἡ ἀπὸ τῆς νεὼς ἐπὶ τὴν γῆν ἔξοδος ἀποβάθρα καλεῖται. (Sch.) vgl. Bekker Anecd. p. 12. Eine Art Landungsleiter (σκάλα Sch. Luc. Kat. 5) die man auswerfen und zurückziehen konnte (Seidler zu Eur. Iph. T. 1319), auch zum Entern gebraucht nach Her. 9, 98. vgl. ἐπιβάθρα mit Bezug auf das Besteigen des Schiffes bei Diod. 12, 62. — πολλά ist der Ac. nach der Analogie von τραυματίζειν τραύματα. Gr. 46, 11 A. 2. — παρεξειρεσία ἐστὶν ὃ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος οὐκέτι κώπαις χέχρηνται· ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύμνης καὶ τῆς πρῴρας. (Sch.) — ἐλειποψύχησε. ἐλιποψύχησε einige Hss., was Schäfer vorzieht z. Dem. 3 p. 400.

§ 3. προσβολῆς hängt von ὃ ab. Gr. 47, 9 A. 5. vgl. 7 A. 3. — οἱ δ' ἄλλοι, οἱ Λακεδαιμόνιοι. (Sch.) vgl. zu 3, 73. — πε-

τοῦτό τε περιέστη ἡ τύχη ὥστε Ἀθηναίους μὲν ἐκ γῆς τε καὶ ταύτης Λακωνικῆς ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυτῶν πολεμίαν οὖσαν ἐπ' Ἀθηναίους ἀποβαίνειν· ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν ἠπειρώταις μάλιστα εἶναι καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ θαλάσσιοις τε καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

13 Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας μέρος τι προσβολὰς ποιησάμενοι ἐπέπαυντο· καὶ τῇ τρίτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινας ἐς Ἀσίνην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν, ἀποβάσεως δὲ 2 μάλιστα οὔσης ἑλεῖν μηχαναῖς. ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται πεντήκοντα· προσεβοήθησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου καὶ Χῖαι τέσσαρες. ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων τήν τε νῆσον, ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες ὅπῃ καθορμίσωνται, τότε μὲν ἐς Πρώτην τὴν νῆσον, ἣ οὐ πολὺ ἀπέχει, ἐρῆμος

ρι έστη, περιστράφη. (Sch.) vgl. 1, 120, 4 u. Dem. 3, 9: εἰς τοῦτο περιστήσεται τὰ πράγματα. (Gb.) — ἀποβαίνειν, ζητῶν ἀποβαίνειν. (Sch.) — ἐπὶ πολὺ ἐποίει τῆς δόξης es bewirkte einen großen Theil des Ruhmes für die einen der Umstand daß sie —. Schömann; ähnlich Morus zu Isokr. Paneg. 15. Mir scheint ἐπὶ πολύ Subject. vgl. zu 4, 3, 2: ein Weithin des Rufes, d. h. eine weithin verbreitete Ansicht, machte den einen d. h. legte ihnen bei. — τοῖς μέν, τοῖς Λακεδαιμονίοις, τοῖς δέ, τοῖς Ἀθηναίοις. (Sch.) vgl. 5, 56, 2.

C. 13. § 1. εἰς μηχανάς, ἐπιτήδεια πρὸς μηχανὰς ποιηθησομένας πρὸς καθαίρεσιν τειχῶν. (Sch.) — παρέπεμψαν. παρα — neben der Küste. (Py.) — ἐλπίζοντες heißt zum ersten Gliede gedacht so v. a. νομίζοντες. (Abr.) Da das Wort diese Bedeutung bei Attikern nicht hat, so scheint hier nur der Hauptbegriff ἑλεῖν berücksichtigt, für den Nebenbegriff ἔχειν wird dem Leser überlassen ein νομίζοντες zu ergänzen. — μάλιστα zieht Kr. zu ἑλεῖν; Andre (Ba.) erklären: da dort am Leichtesten zu landen war.

§ 2. πεντήκοντα für τεσσαράκοντα eine Hs., wie A. Ps. vermuthete. vgl. 23, 3. Es befanden sich zu Zakynthos sieben und dreißig nach 2, 1. vgl. mit 5, 2 u. 8, 2. Es mußten also mit den demnächst erwähnten mehr als vierzig sein (Bd.); und eben die größere Anzahl zu erklären folgt der Satz mit γάρ. Sexaginta Ba.

οὖσα, ἔπλευσαν καὶ ηὐλίσαντο, τῇ δ' ὑστεραίᾳ παρασκευασά- 3
μενοι ὡς ἐπὶ ναυμαχίαν ἀνήγοντο, ἢν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν, εἰ δὲ μή, ὡς αὐτοὶ ἐπεσπλευσούμενοι. καὶ οἱ μὲν οὔτε ἀντανήγοντο οὔτε ἃ διενοήθησαν, φράξαι τοὺς ἔσπλους, ἔτυχον ποιήσαντες, ἡσυχάζοντες δ' ἐν τῇ γῇ τάς τε ναῦς ἐπλήρουν καὶ παρεσκευάζοντο, ἢν ἐσπλέῃ τις, ὡς ἐν τῷ λιμένι ὄντι οὐ σμικρῷ ναυμαχήσοντες. οἱ δ' Ἀθη- 14
ναῖοι γνόντες καθ' ἑκάτερον τὸν ἔσπλουν ὥρμησαν ἐπ' αὐτούς, καὶ τὰς μὲν πλείους καὶ μετεώρους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους προσπεσόντες ἐς φυγὴν κατέστησαν καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος ἔτρωσαν μὲν πολλάς, πέντε δ' ἔλαβον καὶ μίαν τούτων αὐτοῖς ἀνδράσιν· ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ καταπεφευγυίαις ἐνέβαλλον. αἱ δὲ καὶ πληρούμεναι ἔτι πρὶν ἀνάγεσθαι ἐκόπτοντο· καί τινας καὶ ἀναδούμενοι κενὰς εἷλκον τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. ἃ ὁρῶντες 2
οἱ Λακεδαιμόνιοι καὶ περιαλγοῦντες τῷ πάθει, ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν, καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις ἀνθεῖλκον ἐπιλαμβανόμενοι τῶν νεῶν· καὶ ἐν τούτῳ κεκωλῦσθαι

---

§ 3. *εὐρυχωρίαν*. Als Nachſatz ſchwebt vor *ὡς* (*ἐν τῇ εὐρυχωρίᾳ*) *ναυμαχήσοντες*. vgl. zu 3, 3, 3. — *οἱ μέν, οἱ Λακεδαιμόνιοι*. (Sch.) — *ἃ* für *ὅ*. Gr. 44, 4 A. 3. vgl. 57, 10 A. 7. — *διενοήθησαν* 4, 8, 3. — *μικρός* für *σμικρός* einige Hſn. Dieſes ſtand noch 7, 75, 4. Sonſt haben bei Th. die Hſn. überall faſt einſtimmig *μικρός*. (Pp.) Der Hafen gehört zu den größten Europas.

C. 14. § 1. *γνόντες, τὴν βουλὴν ἐκείνων δηλονότι*. (Sch.) — *ὡς διὰ βραχέος* wie es bei einer geringen Entfernung natürlich war, zu den folgenden Verben gehörig. — *ἔτρωσαν* von Schiffen ſelten, auch Her. 8, 18, *τρῶμα* 6, 16, *καταστρώσκειν* Diod. 13, 40, *καταστρωματίζειν* Th. 7, 41, 2. 8, 10, 3. 42, 3 — *ἐν τῇ γῇ* für *ἐς τὴν γῆν*, weil das Perfect zugleich das Beharren anzeigt. Nur in Verbindung mit dieſem Tempus gebrauchten die Attiker *ἐν* für *ἐς*. Gr. 68, 12 A. 2 u. Heindorf zu Plat. Soph. § 98. — *ἐκόπτοντο* erhielten Stöße mit den Schiffsſchnäbeln. vgl. 8, 13, 1. 105, 3. (Dr.) — *περιαλγεῖν* ein ſeltenes Wort, erſt bei Spätern öfter vorkommend. (Bl.) *Περι* — ſehr wie in *περιχαρής*.

§ 2. *ὅτι περ* gerade weil, eine ſehr ſeltene Verbindung. (Bl.) — *ἐν τούτῳ* —, *ἐν τούτῳ ἐδόκει κεκωλῦσθαι ἕκαστος τὰ πράγματα ἐν ᾧ ἕκαστοι μὴ εὑρέθησαν*. (Sch.) Es dürfte zu erklären ſein: dabei, glaubte jeder, ſei ein Hinderniß eingetreten wobei nicht auch er irgend welcher Begebenheit beigewohnt, Theil daran

ἐδόκει ἕκαστος ᾧ μή τινι καὶ αὐτὸς ἔργῳ παρῆν. ἐγένετό τε ὁ θόρυβος μέγας καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου
3 περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως, ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν, οἵ τε Ἀθηναῖοι κραιοῦντες καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν ἀπὸ νεῶν ἐπεζομάχουν. πολύν τε πόνον παρασχόντες ἀλλήλοις καὶ τραυματίσαντες διεχρίθησαν καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς πλὴν τῶν τὸ
4 πρῶτον ληφθεισῶν διέσωσαν. καταστάντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον οἱ μὲν τροπαῖόν τε ἔστησαν καὶ νεκροὺς ἀπέδοσαν καὶ ναυαγίων ἐκράτησαν, καὶ τὴν νῆσον εὐθὺς περιέπλεον καὶ ἐν φυλακῇ εἶχον ὡς τῶν ἀνδρῶν ἀπειλημμένων· οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ.

15 Ἐς δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον, ἔδοξεν αὐτοῖς ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον βουλεύειν παραχρῆμα ὁρῶντας
2 ὅ τι ἂν δοκῇ. καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι καὶ κινδυνεύειν οὐκ ἐβούλοντο ἢ ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς ἢ ὑπὸ πλήθους βιασθέντας κρατηθῆναι, ἔδοξεν αὐτοῖς πρὸς τοὺς στρατηγοὺς τῶν Ἀθηναίων, ἣν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς

---

genommen habe. vgl. 2, 8, 3. — τινί. τις Vy. — ἀντηλλαγμένον ohne καί Va.: commutata amborum ad naves forma dimicandi. — τρόπου. Der Ge. ſteht hier wohl in ſofern ἀντηλλαγμένου eine Entſtellung bezeichnet. — περὶ τὰς ναῦς iſt mit ἐγένετο zu verbinden. (Pe.)

§ 3. ἐπὶ πλεῖστον ἐπεξελθεῖν ſo viel als möglich verfolgen. (Hl.) Dio C. 66, 19: τῇ παρούσῃ οἱ εὐτυχίᾳ ἐπὶ πᾶν ἐπεξελθεῖν ἐπιθύμει. (Bl.) — τὰς κενὰς ναῦς § 1.

§ 4. νεκρούς. zu 1, 54, 2. — καί vor ἀπό gehört zu πάντων. Gr. 69, 32 A. 18: auch von allen übrigen ſchon zur Hülfe gekommen. vgl. 8, 1.

C. 15. § 1. τὰ τέλη, τοὺς ἄρχοντας τῶν Σπαρτιατῶν. (Sch.) zu 1, 10, 6. — καταβάντας. Gr. 58, 4 A. 1. — παραχρῆμα für πρὸς τὸ χρῆμα die beſten Hſn. Vielleicht iſt πρὸς τὸ χρῆμα ὁρῶντες Gloſſem. (Kr.)

§ 2. κρατηθῆναι. ἢ κρατηθῆναι mehrere ſehr gute Hſn., wobei Hermann erklärt: daß ſie durch Hunger oder von der Maſſe überwältigt umkämen (τι παθεῖν) oder gefangen würden. — τὰ περὶ Πύλον, weil man auch σπένδεσθαί τι ſagen kann. (Matth. § 421 A. 4.) vgl. zu 3, 24, 3.

Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως καὶ τοὺς ἄνδρας ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι. δεξαμένων δὲ τῶν στρα- 16
τηγῶν τὸν λόγον ἐγίγνοντο σπονδαὶ τοιαίδε· Λακεδαιμονίους μὲν τὰς ναῦς ἐν αἷς ἐναυμάχησαν καὶ τὰς ἐν τῇ Λακωνικῇ πάσας, ὅσαι ἦσαν μακραί, παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν, Ἀθηναίους δὲ τοῖς ἐν τῇ νήσῳ 2
ἀνθράσι σῖτον ἑᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων καὶ δύο κοτύλας οἴνου καὶ κρέας, θεράποντι δὲ τούτων ἡμίσεα· ταῦτα δὲ ὁρώντων τῶν Ἀθηναίων ἐκπέμπειν καὶ πλοῖον μηδὲν ἐκπλεῖν λάθρᾳ· φυλάσσειν δὲ καὶ 3
τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσσον, ὅσα μὴ ἀποβαίνοντας, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ Πελοποννησίων στρατῷ μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν. ὅ τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. ἐκπεῖσθαι δὲ αὐτὰς μέχρι οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις· ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους καὶ πάλιν κομίσαι. ἐλθόντων δὲ τάς τε σπονδὰς 4
λελύσθαι ταύτας καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας οἵασπερ ἂν παραλάβωσιν. αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο καὶ αἱ νῆες παρεδόθησαν οὖσαι περὶ ἑξήκοντα καὶ οἱ πρέσβεις ἀπεστάλησαν. ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας ἔλεξαν τοιάδε.

C. 16. § 1. ἐγίγνοντο. Das Ipf. wie 4, 65, 2. 8, 36, 2. (Pv.) die Verhandlungen mit andeutend. — παραδοῦναι. So ſteht der Inf. in Vertragsdocumenten auch wo der Begriff einer Feſtſetzung nicht, wie hier durch ἐγίγνοντο σπονδαί, beſtimmt ausgedrückt iſt. vgl. 4, 118. 5, 18. 23. 47. 79. 8, 37. 58.

§ 2. μεμαγμένον zu Brod verbacken. (Pv.) — δύο χοίνικας ἑκάστῳ. Kr. zu Xen. An. 1, 5, 6 gr. Ausg. u. Clinton F. H. p. 395, u. Als Uebermaß drei Ar. Ekkl. 424.

§ 3. ὅσα μή. zu 1, 111, 1. — ὅ τι — καὶ ὁτιοῦν. Ein doppelter Ar. nach der Analogie von παραβαίνειν τὰς συνθήκας ὀλίγον; alſo: welchen dieſer Vertragspuncte die Einen oder die Andern auch nur im Geringſten überträten. So ἔσην ἃ παραβαίνειν τὰς σπονδάς 4, 123, 1. Ueber καὶ ὁποῦν vgl. 23, 2 und zu 1, 77, 2. — τότε weſt ὅ τι ἄν ſo viel iſt als ἐάν τι. — ἐκπεῖσθαι. zu 3, 111, 1. — μέχρι οὗ ἐπανέλθωσιν. zu 1, 137, 1.

§ 4. ὁμοίας οἵασπερ. Gr. 51, 13 A. 16.

17 "Ἔπεμψαν ἡμᾶς Λακεδαιμόνιοι ὦ Ἀθηναῖοι περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας ὅ τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν τὸ αὐτὸ πείθωμεν καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν ὡς ἐκ τῶν
2 παρόντων κόσμον μάλιστα μέλλῃ οἴσειν. τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν οὐ μὲν βραχεῖς ἀρχῶσι μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν προύργου λόγοις τὸ δέον πράσσειν. λύβετε δὲ αὐτοὺς μὴ πολεμίως μηδ' ὡς ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς
3 βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. ὑμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν καὶ δόξαν, καὶ μὴ παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ

C. 17. § 1. ὅ τι ist zum ersten Satze Ac., zum zweiten Ne. Plat. Apol. 40, a: ξυμβέβηκέ μοι ταυτὶ ἅ γε δὴ οἰηθείη ἄν τις καὶ νομίζεται ἴσχατα κακῶν εἶναι. vgl. dort Engelhardt. (Pp.) — τὸ αὐτό idem, zugleich. (Ba.) — ὡς ἐκ τῶν παρόντων wie es aus, unter den gegenwärtigen Verhältnissen möglich ist. vgl. Hermann zu Soph. Aj. 533.

§ 2. μακροτέρους. περιττὸν τὸ μακροτέρους. (Sch.) κόμην πανὸν ἐκτενῶ Eur. Bacch. 831. (Lobeck parall. Gr. Gr. p. 532.) Serb. Trach. 679: μείζον' ἐκτενῶ λόγον. Gr. 57, 4 A. 2. — οὐ παρὰ τὸ εἰωθός was nicht gegen unsere Gewohnheit ist, der man freilich meistentheils nur kurze Aeußerungen gemäß glaubt. (Sch.) Da Schriftsteller scheint sich selbst hier rechtfertigen zu wollen daß er Spartiaten eine ausführliche Rede halten läßt. — μηκυνοῦμεν. zu 2, 43, 1. — πλείοσι δέ, χρῆσθαι. (Ba.) — ἀλλ' steht dem οὐ παρὰ τὸ εἰωθός entgegen. (Pp.) — οὐ ὀρχῶσι ohne ἄν, wie 4, 18, 2. Gr. 54 15 A. 3. — λόγοις scheint mir der Stellung nach zum Folgenden zu gehören. Der Sinn: da wo die Umstände veranlassen daß man etwas von Wichtigkeit entwickelnd durch Worte das Erforderliche bewerkstellige. — λάβετε, ἀκούσατε τῶν λόγων. (Sch.) — δέ nach λάβετε ist vielleicht zu tilgen und in dieses ὑποχώριον ὂν anzuschließen. Doch könnte man auch ἀλλά verdächtigen. (Kr.) — πολεμίως, διαθέσει πολεμικῇ, δυσμενῶς, ὡς πολεμίων (πολέμιοι?) ἀκούοντες. (Sch.) zu 3, 56, 2. — μηδ' ὡς. μηδὲ λάβετε ὡς. — ὡς ἀξύνετοι διδασκόμενοι als ob ihr wegen eines von uns vorausgesetzten Mangels an Einsicht bei euch belehrt würdet. — ὑπόμνησιν τοῦ zu 1, 137, 4.

§ 3. καλῶς θέσθαι, ἐπαινετῶς διοικῆσαι. (Sch.) anzulegen, zu benutzen. (Reiske.) zu 1, 25, 1. 76, 1 (unter 75, 3.) vgl. 1, 41, 3 u. 4, 18, 2. — ἔχουσι, indem (so daß) ihr behaltet. (Pp.) — καὶ μὴ παθεῖν ohne daß ihr euch zu Schulden kommen lasset (Ba.), regiert von ἔξεστι. (Sch.) — τι ἀγαθὸν λαμβάνειν.

πλέονος ἐλπίδι ὀρέγονται διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβε- 4
βήκασιν, δίκαιοί εἰσι καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις· ὃ τῇ τε ὑμετέρᾳ πόλει δι' ἐμπειρίαν καὶ ἡμῖν μάλιστ' ἂν ἐκ τοῦ εἰκότος προσείη. γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν ξυμ- 18
φορὰς ἀποβάντες, οἵτινες ἄξίωμα μέγιστον τῶν Ἑλλήνων ἔχοντες ἥκομεν παρ' ὑμᾶς, πρότερον αὐτοὶ κυριώτεροι νομί-
ζοντες εἶναι δοῦναι ἐφ' ᾧ νῦν ἀφιγμένοι ὑμᾶς αἰτούμεθα. καίτοι οὔτε δυνάμεως ἐνδείᾳ ἐπάθομεν αὐτὸ οὔτε μείζονος προσγενομένης ὑβρίσαντες, ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώ-
μῃ σφαλέντες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει. ὥστε 2
οὐκ εἰκὸς ὑμᾶς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν προσγεγενημένων καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑ-
μῶν ἔσεσθαι. σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς

ἐπὶ τοῦ εὐπραγοῦντος κεῖται. (Sch.) — τοῦ. Gr. 50, 2 A. 8. — τοῦ πλέονος ὀρέγονται trachten nach dem Größeren; wobei ſie denn oft auch das Vorhandene einbüßen, was der Redner nur denken läßt. (Sch.) — ἐλπίδι mit Hoffnung, ἐλπίζοντες αὐτοῦ τεύξεσθαι. (Sch.) — τὰ παρόντα εὐτυχῆσαι. Gr. 46, 5 A. 4.

§ 4. ἐπ' ἀμφότερα, ἐπί τε τὰ ἀγαθὰ καὶ τὰ κακά. (Sch.) zu 1, 83, 2. — δίκαιοί εἰσι —, τούτους μὴ πιστεύειν ταῖς εὐπραγίαις προσήκει. (Sch.) Gr. 55, 3 A. 10. — καὶ ἀπιστότατοι auch am meiſten mistrauiſch, wie ſie ſchon ſelbſt Glückswechſel erfahren. Als Steigerung des Superlativs nimmt καί Fritzſche Quaestt. Lucc. p. 8. vgl. Gr. 69, 32 A. 18. — ὅ, τὸ μὴ πιστεύειν ταῖς εὐπραγίαις. (Sch.) — δι' ἐμπειρίαν. Denn die Athener hatten ſchon Tyrannen gehabt und manche Niederlagen erlitten. Den Ausdruck auch auf ἡμῖν zu beziehen dürfte die Stellung kaum geſtatten.

C. 18. § 1. κυριώτεροι εἶναι in höherm Grade als ihr in unſerer Macht zu haben. Plat. Symp. 218: οἶμαί μοι συλλήπτορα οὐδένα κυριώτερον εἶναι σοῦ. Unten 20, 3 τὸ πλέον κύριοι. — ἐφ' ἅ. Gr. 60, 5 A. 5. τὰς σπονδὰς λέγει. (Sch.) vgl. 2, 59, 1. (Hf.) — αὐτό, daß wir bittend vor Euch auftreten. — οὔτε ἐνδείᾳ οὔτε ὑβρίσαντες. Gr. 59, 2 A. 3. Die ὕβρις iſt wohl erwähnt in ſofern wie als Strafe derſelben Demüthigung erfolgt ſein könnte. — ἀπό von — aus, bei, im Beſitz. Wegen erklärt Mor. z. Iſokr. Pan. 22. — ἀεί heißt hier fortwährend, τῆς συνήθους δυνάμεως. (Sch.) — γνώμῃ σφαλέντες, weil unſere Berechnungen uns fehlgeſchlagen ſind. — ἐν ᾧ, ἐν τῷ δύνασθαι γνώμῃ σφαλῆναι. (Sch.) — ὑπάρχει kann betreffen. (Ps.)

§ 2. ῥώμην zu πόλεως bezogen heißt Macht, zu τῶν προσγενομένων Zuverläſſigkeit (nach Pp. Größe). — σωφρόνων ἀν-

ἀμφίβολον ἀσφαλῶς ἔθεντο — καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο — τόν τε πόλεμον νομίσωσι μὴ καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν,
3 τούτῳ ξυνεῖναι, ἀλλ' ὡς ἂν αἱ τύχαι αὐτῶν ἡγήσωνται. καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες, διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο. ὃ νῦν ὑμῖν ὦ Ἀθηναῖοι καλῶς ἔχει πρὸς ἡμᾶς πρᾶξαι καὶ μή ποτε ὕστερον, ἢν ἄρα, μὴ πεισθόμενοι, σφαλῆτε, ἃ πολλὰ ἐνδέχεται, νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι, ἐξὸν ἀπίνδυνον δόκησιν ἰσχύος καὶ

ὀρῶν οἵτινες, σώφρονές εἰσιν οἵτινες. (Sch.) Gr. 51, 13 A. 11. Zm. An. 2, 5, 21: πονηρῶν ἐστιν οἵτινες ἐθέλουσι δι' ἐπιορκίας πράττειν τι. (Py.) Haases sehr abweichende Erklärung der ganzen Stelle lese man bei ihm selbst S. 76—88. — ἐς ἀμφίβολον auf, für ungewisse Fälle. (Hl.) — ἀσφαλῶς ἔθεντο sicher begründen. I, 76, 1: τὰ ξυμφέροντα εὖ τίθεσθαι. — νομίσωσι, ἀπὸ κοινοῦ τὸ οἵτινες ἂν (Sch.), welches ἄν hier fehlt. vgl. Schäfer z. Dem. 4 p. 193. Aehnlich folgt zuweilen nach ἤν mit dem Conjunctiv ein Indicativ oder Optativ. Herm. zu Eur. Iph. A. 1179 u. Xen. ἱππρ. 7, 4. — ἂν προσφέροιντο dürften begegnen. Plat. Rep. 604, d: ὀρθότατα ἂν τις πρὸς τὰς τύχας οὕτω προσφέροιτο. vgl. 6, 44, 4. — καθ' ὅσον — μεταχειρίζειν einem wie großen oder kleinen Theile nach man ihn handhaben will, so daß man ihn nach Belieben abbrechen oder beschränken könnte. vgl. zu 1, 13, 2. — μέρος, von Ba. nicht übersetzt, verdächtigt Kr. — ξύνεστι πόλεμός τινι ist freilich mehr poetisch. vgl. Lex. Soph. Doch deshalb wird man Pys. ξυμβαίνειν nicht billigen. — αὐτῶν, die Vorfälle des Krieges durch καθ' ὅσον ꝛc. angedeutet. Bd. vermuthet αὐτῷ, τῷ πολέμῳ.

§ 3. ἐλάχιστ' ἂν — καταλύοιντο solche Männer, οἱ σώφρονες ἄνδρες, die (während sie) am wenigsten Unfälle erleiden, weil sie nicht den Erfolgen desselben, des Krieges, (ταῖς κατὰ πόλεμον εὐπραγίαις Sch.) vertrauend sich überheben, dürften wohl im Glück am liebsten Frieden schließen. (Bl. u. Py.) Ueber ἐλάχιστα πταίοντες Gr. 46, 5 A. 4. vgl. I, 122, 1. 6, 33, 6; über ἄν — ἄν. Gr. 69, 7 A. 3; über καταλύεσθαι I, 81, 2. 5, 15, 2. 17, 3. 6, 13, 3. 36, 3. 8, 58, 5. vgl. Kr. zu Xen. An. 1, 2, 10. — ὃ, ἐν εὐπραγίᾳ καταλύσασθαι καὶ ἀποθέσθαι τὸν πόλεμον. (Sch.) — ἃ πολλὰ hängt von dem zu ἐνδέχεται zu ergänzenden σφάλλεσθαι ab: in Dingen in denen Unglück zu haben möglich ist, deren es viele gibt. Xen. Mem. 4, 7, 9: παρὰ τῶν εἰδότων μαθόντες ὅσα ἐνδέχεται. — νομισθῆναι hängt von καλῶς ἔχει ab (Pr.): es ist für Euch ehrenvoll daß niemals geglaubt werde ihr hättet durch Glück auch die jetzigen Erfolge errungen. (Pö.) — ἀκίνδυνον —, ἄνευ κινδύνων εὐβουλίας τε καὶ ἀνδρίας

ξυνέσεως ἐς τὸ ἔπειτα καταλιπεῖν. Λακεδαιμόνιοι δὲ ὑμᾶς 19
προκαλοῦνται ἐς σπονδὰς καὶ διάλυσιν πολέμου, διδόντες
μὲν εἰρήνην καὶ ξυμμαχίαν καὶ ἄλλην φιλίαν πολλὴν καὶ οἰ-
κειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τοὺς ἐκ τῆς
νήσου ἄνδρας καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις μὴ διακιν-
δυνεύεσθαι, εἴτε βίᾳ διαφύγοιεν παρατυχούσης τινὸς σωτη-
ρίας εἴτε καὶ ἐκπολιορκηθέντες μᾶλλον ἂν χειρωθεῖεν. νο- 2
μίζομέν τε τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βε-
βαίως οὐκ ἦν ἀνταμυνόμενός τις καὶ ἐπικρατήσας τὰ πλέω
τοῦ πολέμου κατ' ἀνάγκην ὅρκοις ἐγκαταλαμβάνων μὴ ἀπὸ
τοῦ ἴσου ξυμβῇ, ἀλλ' ἦν, παρὸν τὸ αὐτὸ δρᾶσαι πρὸς τὸ
ἐπιεικὲς καὶ ἀρετῇ, αὐτὸν νικήσας παρὰ ἃ προσεδέχετο με-

δόξαν τοῖς μετὰ ταῦτα ἀνθρώποις καταλιπεῖν, ἰσχύος μὲν διὰ τὸ μεῖναι ὑμῖν τὴν εὐτυχίαν καὶ μὴ μεταβληθῆναι, εὐτυχίας δὲ ὅτι ἐσπείσασθε ἐν τῷ εὐτυχεῖν, εἰδότες τὸ τῆς τύχης ἄστατον. (Sch.)

C. 19. § 1. διδόντες anbietend, wie 21, 1. — ὑπάρχειν. Gr. 55, 3 A. 20. Xen. An. 1, 6, 6: τοῦτον ὁ ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον εἶναι ἐμοί. — τοὺς ἐκ mit Bezug auf die beabſichtigte Wegführung. vgl. Gr. 50, 8 A. 14. — διακινδυνεύεσθαι εἰ daß die Gefahr beſtanden werde ob. (Ba.) — παρατυχούσης, παραπεσούσης. (Sch.) wie 8, 11, 2. vgl. 4, 103, 3. — μᾶλλον viel-mehr. (Ba.) Richtiger mehr als ſchon jetzt. (Ba.)

§ 2. οὐκ. Gr. 67, 10 A. 6. — καί vor ἐπικρατήσας könnte fehlen. vgl. zu 1, 1, 1. — τὰ πλέω τοῦ πολέμου in den meiſten Vorfällen des Krieges. 7, 63, 1: τὰ πλείω τῷ πεζῷ ἐπικρατεῖν. Gr. 46, 5 A. 4. — ὅρκοις ἐγκαταλαμβάνων, ἀναγκάσας δι' ὅρκων τοὺς ἐναντίους ἄκοντας ξυμβῆναι καὶ μὴ δικαίως. (Sch.) — μὴ ἀπὸ τοῦ ἴσου unter ungleichen Verhältniſſen, alſo ſeinerſeits συνθήκας ποιήσας πλεονεκτικὰς καὶ ἀδίκους καὶ ἀνίσους. (Sch.) vgl. zu 1, 77, 2. — τὸ αὐτὸ δρᾶσαι, die Feindſchaft zu erledigen. Auf die Anwendung von Gewalt oder μὴ ἀπὸ τοῦ ἴσου ξυμβῆναι beziehen es Pſ. u. A. — πρὸς τὸ ἐπιεικές der Milde gemäß, mit Milde verbinden dieſelben mit νικήσας, ich mit δρᾶσαι, dem κατ' ἀνάγκην entgegengeſetzt. 2, 53, 1: ταχείας τὰς ἐπαυρέσεις καὶ πρὸς τὸ τερπνὸν ποιεῖσθαι. 7, 37, 1: ταῦτα πρὸς τὴν ἑαυτῶν ἐπιστήμην τε καὶ δύναμιν ἐπινοήσαντες. — ἀρετῇ mit Wohlwollen. zu 2, 51, 3. vgl. 40, 4 u. 4, 19, 3. — αὐτόν für αὐτό Kr.; ſonſt αὐτός, einige Hſn. αὐτόν. — παρὰ ἃ für παρὰ ταῦτα ἃ. Gr. 50, 13 A. 6. — προσεδέχετο, ὁ κεκρατημένος meint der Sch., was jedoch nicht füglich ergänzt werden kann. Eben ſo wenig wird es ſtatthaft ſein den Ausdruck paſſiv zu nehmen, wenn man nicht προσεδέδεκτο lieſet. Eine ähnliche Verfälſchung 8, 66, 1. (Kr.)

3 τρίως ξυναλλαγῇ. ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βιασθεὶς ἀλλ' ἀνταποδοῦναι ἀρετήν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν οἷς ξυνέθετο. καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν οἱ ἄνθρωποι ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα
20 καὶ παρὰ γνώμην διακινδυνεύειν. ἡμῖν δὲ καλῶς, εἴπερ ποτέ, ἔχει ἀμφοτέροις ἡ ξυνναλλαγή, πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀΐδιον ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν, ὑμᾶς δὲ στερηθῆναι
2 ὧν νῦν προκαλούμεθα. ἔτι δ' ὄντων ἀκρίτων καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προσγιγνομένης, ἡμῖν δὲ πρὸ αἰσχροῦ τινος ξυμφορᾶς μετρίως κατατιθεμένης διαλλαγώμεν, καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα καὶ τοῖς

---

§ 3. ἑτοιμότερος, τοῦ βιασθέντος σπείσασθαι. (Sch.) — αἰσχύνῃ, αἰσχυνόμενός τι παραβῆναι. (Sch.) Denn da würde er als Undankbarer erſcheinen. — μειζόνως im höhern Maße mit Bezug auf das μεγάλας ἔχθρας und im Gegenſatze zu μέτρια διενεχθέντας. vgl. zu 1, 130, 2. — τοῦτο δρῶσιν, προθύμως ἐμμένουσι ταῖς συνθήκαις· ὡς γὰρ ἐκ μεγάλων ἐχθρῶν ἐκφυγόντες ἀσμένως φέρουσι τὸ ἡσυχάζειν, κέρδος νομίζοντες τὸ μὴ πάλιν κινδυνεύειν πρὸς μείζω μαχόμενοι. — τὰ μέτρια, περὶ τῶν εὐπαλῶν καὶ μετρίων. (Sch.) τὰς μετρίας διαφοράς. Gr. 46, 5 A. 4. — ἀκουσίως findet ſich öfter. Lob. Phryn. p. 6. — ἑκοῦσιν wird aus dieſer Stelle angeführt in Bekkers Anecd. p. 126. auch gut. Gr. 57, 5 A. 2. vgl. Lob. Parall. p. 54. — ἀνθησσᾶσθαι gegenſeitig nachzugeben. (Ps.) — παρὰ γνώμην, παρὰ προαίρεσιν. (Sch.) wider ſein nach Einſicht und Ueberlegung gefälltes Urtheil, am Erfolge ſelbſt verzweifelnd. (Hl.)

C. 20. § 1. τι ἀνήκεστον ein unerſetzlicher und zugleich tief verletzender Nachtheil. — διὰ μέσου γενόμενον als Zwiſchenvorfall und eventuelles Hinderniß. 5, 26, 2: ἡ διὰ μέσου ξύμβασις. Gemeint iſt die mögliche Gefangennehmung der Eingeſchloſſenen. — ὑμῖν. ἡμῖν Haaſe. — ἰδίαν, von Seiten der Verwandten der einz Gefangenen. (Arn.) — ἔχειν, ἡμᾶς. — ὧν, (τούτων ἅ,) εἰρήνης. (Sch.) So τὰ εἰρημένα προκαλεῖσθαι 5, 37, 4, σπονδάς Ar. Ritter 796. (Dr.) vgl. 22, 3 u. zu 1, 39, 1.

§ 2. ἀκρίτων iſt Neutrum. vgl. zu 1, 7, 1 und Her. 7, 37: ἐπινεμέλων ἐόντων. (Arn.) — προσγιγνομένης, nämlich durch die Ausſöhnung. — πρὸ αἰσχροῦ τινος, πρὶν αἰσχροῦ τινος πεισθῆναι. ἀντὶ τοῦ πρὶν ἁλῶναι τοὺς ἄνδρας. (Sch.) — ξυμφορᾶς μετρίως κατατιθεμένης indem ein Unfall leidlich beſeitigt wird.

ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν· οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται. πολεμοῦνται μὲν γὰρ 3
ἀσαφῶς ὁποτέρων ἀρξάντων· καταλύσεως δὲ γενομένης, ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοί ἐστε, τὴν χάριν ὑμῖν προσθήσουσιν. ἢν τε γνῶτε, Λακεδαιμονίοις ἔξεστιν ὑμῖν φίλους γενέσθαι βεβαίως, αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε μᾶλλον ἢ βιασαμένοις. καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε ὅσα εἰκὸς εἶναι· ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ λεγόντων τό γε ἄλλο Ἑλληνικὸν ἴστε ὅτι ὑποδεέστερον ὂν τὰ μέγιστα τιμήσει."

Οἱ μὲν οὖν Λακεδαιμόνιοι τοσαῦτα εἶπον, νομίζοντες 21
τοὺς Ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ σπονδῶν μὲν ἐπιθυμεῖν, σφῶν δὲ ἐναντιουμένων κωλύεσθαι, διδομένης δὲ εἰρήνης ἀσμένως δέξεσθαί τε καὶ τοὺς ἄνδρας ἀποδώσειν. οἱ δὲ 2
τὰς μὲν σπονδάς, ἔχοντες τοὺς ἄνδρας ἐν τῇ νήσῳ, ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι, ὁπόταν βούλωνται, ποιεῖσθαι

(Müller.) vgl. 1, 121, 1. — οἳ καὶ ἐν τούτῳ die auch hierin, an der Aussöhnung. (Sch.) καί bezieht sich auf den ganzen Gedanken. (Pp.) Vielleicht: nicht bloß an der Aussöhnung mit uns sondern auch an der allgemeinen ἀνάπαυσις κακῶν.

§ 3. πολεμοῦνται. zu 3, 82, 1. — ἀσαφῶς ὁποτέρων ἀρξάντων, incertum utris auctoribus, ungewiß, mit Ungewißheit darüber, welche von beiden angefangen haben; über das Relativ als Subject des abs. Ge. Kr. zu Xen. An. 4, 7, 25. u. Gr. 60, 10 A. 2. — γενομένης. γινομένης oder γιγνομένης einige Hss. — γνῶτε, πεισθῆτε. (Sch.) σωφρονῆτε. (Pp.) so entscheidet. (Hl.) — αὐτῶν τε προκαλεσαμένων — χαρισαμένοις τε, dies auf ὑμῖν bezogen. (Dr.) vgl. Gr. 56, 14 A. 2. — εἶναι, ἀντὶ τοῦ συμβήσεσθαι. (Sch.) Gr. 53, 1 A. 10. — τὰ μέγιστα τιμήσει wird das von uns beiden Bestimmte aufs höchste anerkennen. Gr. 46, 5 A. 4. Xen. Hell. 7, 1, 35: δεύτερα ἐτιμᾶτο. Eur. Hel. 455: ὦ δαῖμον ὡς ἀνάξι' ἠτιμώμεθα.

C. 21. § 1. ἐν τῷ πρὶν χρόνῳ 2, 59, 1. (Hf.) — ἐπιθυμεῖν wie κωλύεσθαι imperfectisch. Gr. 53, 2 A. 9. Zu diesen Infinitiven ist aus νομίζοντες, das eigentlich nur zu δέξεσθαι und ἀποδώσειν, den Hauptbegriffen, paßt, etwa εἰδότες zu denken. — ἀσμένως. ἀσμένους mehrere gute Hss. vgl. jedoch Kr. z. Dion. p. 38.

§ 2. ἑτοῖμος ist gew. dreier Endungen, auch bei Th. 4, 123, 2. 6, 86, 4. 87, 4. 93, 3. 7, 33, 3. zw. 8, 26, 2; zweier auch Dem. 8, 15. 46 u. zuweilen bei Spätern. — ποιεῖσθαι ist wohl nach dem Sch. mit ἑτοίμους zu verbinden. Gr. 55, 3 A. 7. — τοῦ. Gr. 50, 2 A. 8.

3 πρὸς αὐτούς, τοῦ δὲ πλέονος ὠρέγοντο. μάλιστα δὲ αὐτοὺς
ἐνῆγε Κλέων ὁ Κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν
χρόνον ὢν καὶ τῷ πλήθει πιθανώτατος· καὶ ἔπεισεν ἀποκρί-
νασθαι ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ
4 νήσῳ παραδόντας πρῶτον κομισθῆναι Ἀθήναζε, ἐλθόντων
δὲ ἀποδόντας Λακεδαιμονίους Νίσαιαν καὶ Πηγὰς καὶ Τροι-
ζῆνα καὶ Ἀχαΐαν, ἃ οὐ πολέμῳ ἔλαβον ἀλλ' ἀπὸ τῆς προ-
τέρας ξυμβάσεως Ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφοράς
καὶ ἐν τῷ τότε δεομένων τι μᾶλλον σπονδῶν, κομίσασθαι
τοὺς ἄνδρας καὶ σπονδὰς ποιήσασθαι ὁπόσον ἂν δοκῇ χρό-
22νον ἀμφοτέροις. οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν οὐδὲν ἀν-
τεῖπον, ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι, οἵτινες λέ-
γοντες καὶ ἀκούοντες περὶ ἑκάστου ξυμβήσονται κατὰ ἡσυχίαν
2 ὅ τι ἂν πείθωσιν ἀλλήλους. Κλέων δὲ ἐνταῦθα δὴ πολὺς
ἐνέκειτο, λέγων γιγνώσκειν μὲν καὶ πρότερον οὐδὲν ἐν νῷ
ἔχοντας δίκαιον αὐτούς, σαφὲς δ' εἶναι καὶ νῦν, οἵτινες τῷ
μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι
ξύνεδροι βούλονται γίγνεσθαι· ἀλλὰ εἴ τι ὑγιὲς διανοοῦνται,
3 λέγειν ἐκέλευσεν ἅπασιν. ὁρῶντες δὲ οἱ Λακεδαιμόνιοι οὔτε
σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμ-
φορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους δια-
βληθῶσιν εἰπόντες καὶ οὐ τυχόντες, οὔτε τοὺς Ἀθηναίους
ἐπὶ μετρίοις ποιήσοντας ἃ προυκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν
23 Ἀθηνῶν ἄπρακτοι. ἀφικομένων δὲ αὐτῶν διελύοντο εὐθὺς
αἱ σπονδαὶ αἱ περὶ Πύλον, καὶ τὰς ναῦς οἱ Λακεδαιμόνιοι

---

§ 3. ἐνῆγε, κατέπειθεν. (Sch.) zu 1, 67, 2. vgl. Lex. Her. — καὶ vor τῷ verdächtigt Kr.

§ 4. τῆς πρ. ξυμβάσεως 1, 115, 1. — τι μᾶλλον. Gr. 48, 15 A. 11.

§. 22. § 1. ξυνέδρους, τοὺς διαλεξομένους περὶ τούτων καὶ συνδοκιμάσοντας. (Sch.) vgl. § 2. — ξυμβήσονται ὅ τι. vgl. zu 2, 5, 4. — κατ' ἡσυχίαν im Gegenſatze zu der unruhigen Ekkleſia.

§ 2. πολύς. Gr. 57, 5 A. 1. Her. 7, 158: Γέλων πολλὸς ἐνέκειτο. (Bl.) Ar. Ri. 760: πρὸς ταῦθ' ὅπως ἕξει πολὺς καὶ λαμπρὸς ἐς τὸν ἄνδρα. — ὑγιές. zu 3, 75, 3. — διαβληθῶσιν, ψευσθῶσιν, μισηθῶσιν. (Sch.) zu 3, 109, 3.

§ 3. εἴ τι für εἴ τι Pp. — μή ſchließt ſich an οὔτε — εἰπεῖν an.

ἀπήτουν, καθάπερ ξυνέκειτο· οἱ δ' Ἀθηναῖοι ἐγκλήματα ἔχοντες ἐπιδρομήν τε τῷ τειχίσματι παράσπονδον καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι ὅτι δὴ εἴρητο, ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι ἀντέλεγόν τε καὶ ἀδίκημα 2
ἐπικαλέσαντες τὸ τῶν νεῶν ἀπελθόντες ἐς πόλεμον καθίσταντο. καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν δυοῖν νεοῖν ἐναντίαιν ἀεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέρας — τῆς δὲ νυκτὸς καὶ ἅπασαι 3
περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος, ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακήν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο — Πελοποννήσιοι δὲ ἐν τῇ ἠπείρῳ στρατοπεδευόμενοι καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες καιρὸν εἴ τις παραπέσοι ὥστε τοὺς ἄνδρας σῶσαι.

Ἐν τούτῳ δὲ οἱ ἐν τῇ Σικελίᾳ, Συρακόσιοι καὶ οἱ ξύμ- 24
μαχοι, πρὸς ταῖς ἐν Μεσσήνῃ φρουρούσαις ναυσὶ τὸ ἄλλο ναυτικὸν ὃ παρεσκευάζοντο προσκομίσαντες τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς Μεσσήνης. καὶ μάλιστα ἐνῆγον οἱ Λοκροὶ τῶν 2

C. 23. §. 1. *ξυνέκειτο, ἐν ταῖς ξυνθήκαις ἣν διδομένων.* (Sch.) vgl. 4, 68, 3. 111, 1 u. zu 3, 70, 2. Erg. *ἀποδιδόναι* aus *ἀπήτουν*. — *ἐπιδρομὴν τῷ.* Gr. 48, 12 A. 4. — *ἰσχυριζόμενοι, ἐπερειδόμενοι καὶ ὡς ἰσχυρὸν πάνυ προτείνοντες.* (Sch.) vgl. zu 3, 44, 2. — *εἴρητο* im Vertrage 16, 3.

§ 2. *τὸ τῶν νεῶν* den Vorfall mit den Schiffen. — *τὰ* faßt Pflugk zu Eur. Her. 1054 als Ac. (Py.) — *Ἀθηναῖοι μέν* als ob *ἐπολέμουν* vorherginge. vgl. 5, 70, Her. 8, 74 u. Pflugk zu Eur. Herakl. 39 u. Hel. 289. (Py.) — *νεοῖν* fehlt in den beſten Hſn.; allein daß es aus *περιπλεῖν* zu ergänzen ſei wird durch ein zweites Beiſpiel der Art ſchwerlich zu erweiſen ſein.

§. 3. *περιώρμουν.* Poll. 1, 122: *ἐν κύκλῳ — προσκαθῆσθαι πολιορκητικῶς ἀπὸ νεῶν*, vielmehr *ναυσίν*; nach Bl. ein ſehr ſeltenes Wort, was nur zufällig ſcheint. — *τὰ πρὸς τὸ πέλαγος* hängt als Object von *περιώρμουν* ab. vgl. zu 3, 6, 1. — *ὁπότε ἄνεμος εἴη* bezieht ſich bloß auf *πλὴν τὰ πρὸς τὸ πέλαγος*. Nur wenn ein Wind wehte, wurde die Seeſeite nicht blokirt. (Pſ.) — *ἑβδομήκοντα.* zu 13, 2. — *παραπέσοι.* Xen. *ἱππρ.* 7, 4: *ὁπότε καιρὸς παραπέσοι.* Pol. 1, 75, 9: *καιροῦ παραπεσόντος.* (Bl.) — *ὥστε* mit Bezug auf *καιρόν*. (Blume zu Lyk. 19, 4.)

C. 24. §. 1. *πρὸς ταῖς* außer den. (Pſ.) — *παρεσκευάζοντο.* Ueber das Ipf. zu 2, 23, 1; über die Sache 4, 1, 2.

Ῥηγίνων κατὰ ἔχθραν, καὶ αὐτοὶ δὲ ἐσβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν. καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς Ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς, ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον
3 πολιορκεῖσθαι. εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ Ῥήγιον ἤλπιζον πεζῇ τε καὶ νάυσὶν ἐφορμοῦντες ῥᾳδίως χειρώσασθαι καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι· ξύνεγγυς γὰρ κειμένου τοῦ τε Ῥηγίου ἀκρωτηρίου τῆς Ἰταλίας τῆς τε Μεσσήνης τῆς Σικελίας, τοῖς Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορ-
4 μεῖν καὶ τοῦ πορθμοῦ κρατεῖν. ἔστι δὲ ὁ πορθμὸς ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης ᾗπερ βραχύτατον Σικελία τῆς ἠπείρου ἀπέχει, καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ᾗ Ὀδυσσεὺς λέγεται διαπλεῦσαι. διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν, τοῦ τε Τυρσηνικοῦ καὶ τοῦ Σικελικοῦ, ἐσπίπτουσα ἡ θάλασσα ἐς αὐτὸ καὶ ῥοώδης οὖσα εἰ-
25κότως χαλεπὴ ἐνομίσθη. ἐν τούτῳ οὖν τῷ μεταξὺ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶν ὀλίγῳ πλείοσιν ἢ τριάκοντα ἠναγκάσθησαν ὑπὲ τῆς ἡμέρας ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος, ἀντεπαναγόμενοι πρός τε Ἀθηναίων ναῦς ἑκκαίδεκα καὶ Ῥηγίνας ὀκτώ. καὶ νικηθέντες ὑπὸ τῶν Ἀθηναίων διὰ τάχους ἀπέπλευσαν ὡς ἕκαστοι ἔτυχον ἐς τὰ οἰκεῖα στρατό-

---

§ 2. ἐβούλοντο, die Syrakoſier und ihre Verbündeten. vgl. 25, 1. (Hudſon.) — ὁρῶντες τοῖς Ἀθηναίοις ὀλίγας ναῦς ohne οὔσας. vgl. 25, 2. 2, 45, 1 u. Gr. 56, 7 A. 4. — ταῖς δὲ πλείοσι mit denen unter Eurymedon und Sophokles. (Dd.) — τὴν νῆσον, τὴν Σφακτηρίαν. (Sch.)

§ 3. πεζῇ zu 1, 109, 3. Doch kann es auch mit ἐφορμοῦντες verbunden werden. 6, 90, 3: τῷ πεζῷ ἅμα ἐκ γῆς ἐφορμαῖς. — χειρώσασθαι für χειρώσεσθαι die beſten Hſn. vgl. Gr. 53, 7 A. 10. — πράγματα. πράγματ' ἄν? vgl. jedoch zu 3, 95, 1. Direct könnte hier γίγνονται ſtehen. — ξύνεγγυς. Ein ſeltenes Wort, auch bei Xen. nur Hell. 6, 5, 17. — τῆς Σικελίας hängt von dem zu ergänzenden ἀκρωτηρίου ab. (Hl.) Nicht nöthig. Gr. 47, 5 A. 5.

§ 4. τοῦτο, dieſes, dieſer Theil des Meeres. (Sch.) Gr. 61, 7 A. 4. — διαπλεῦσαι, διὰ στενότητα δή. καί? Erklären läßt ſich nur ſo: wegen der Enge und weil das Meer ꝛc. — αὐτό auf τοῦτο bezogen. (Py.) — χαλεπή, εἰς τὸ πλεῦσαι δηλονότι. (Sch.)

C. 25. § 1. ἠναγκάσθησαν fanden ſich veranlaßt. (Hl.) vgl. 59, 2. 8, 41, 3. — ἔτυχον würd' ich gern entbehren. — οἰκεῖα. Beide Lager gehörten den Syrakoſiern und ihren Verbündeten an. Nur auf ſie bezieht ſich auch ἕκαστοι. (Arn.)

πεδα, τό τε ἐν τῇ Μεσσήνῃ καὶ ἐν τῷ Ῥηγίῳ, μίαν ναῦν ἀπολέσαντες· καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ.

Μετὰ δὲ τοῦτο οἱ μὲν Λοκροὶ ἀπῆλθον ἐκ τῆς Ῥηγίνων, 2
ἐπὶ δὲ τὴν Πελωρίδα τῆς Μεσσήνης συλλεγεῖσαι αἱ τῶν Συρακοσίων καὶ ξυμμάχων νῆες ὥρμουν καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι καὶ Ῥηγῖνοι ὁρῶντες τὰς ναῦς κενὰς ἐνέβαλον καὶ χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν αὐτοῖς ἀπώλεσαν τῶν ἀνδρῶν ἀποκολυμβησάντων. καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐσβάντων ἐς τὰς ναῦς καὶ 3
παραπλεόντων ἀπὸ κάλω ἐς τὴν Μεσσήνην, αὖθις προσβαλόντες οἱ Ἀθηναῖοι ἀποσιμωσάντων ἐκείνων καὶ προεμβαλόντων ἑτέραν ναῦν ἀπολλύουσιν. καὶ ἐν τῷ παράπλῳ καὶ 4
τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα. καὶ οἱ μὲν Ἀθηναῖοι Καμαρίνης ἀγγελθείσης προδίδοσθαι Συρακοσίοις ὑπ' Ἄρχίου καὶ τῶν μετ' αὐτοῦ ἔπλευσαν ἐκεῖσε, Μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ γῆν καὶ ταῖς ναυσὶν 5
ἅμα ἐστράτευσαν ἐπὶ Νάξον τὴν Χαλκιδικὴν ὅμορον οὖσαν. καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς Ναξίους ἐδῄουν

---

§ 2. τὴν Πελωρίδα. Gr. 47, 5 A. 6. — συλλεγεῖσαι, für ξυλ. alle Hſn. — χειρὶ σιδηρᾷ. vgl. 7, 62, 3. — αὐτοῖς. αὐτοί aus ſchlechtern Hſn. Py. Denn ſonſt ſei κεναί und τῶν ἀνδρῶν ἀποκολυμβησάντων unvereinbar. Allein unſtreitig hatten die Syrakoſier geeilt ihre Flotte zu bemannen als ſie die Athener anrücken ſahen. Denn was hätte dieſe ſonſt hindern können ſich mehrerer oder aller Schiffe zu bemächtigen? Viel natürlicher iſt es doch wohl daß die Ueberfallenen als die Ueberfallenden ein Schiff verlieren. Daß ἀπώλεσαν verlieren heißen müſſe weil es § 1 ſo heiße ſetzt eine Regel voraus an die ſich die Alten nie gebunden haben.

§ 3. ἀπὸ κάλω, τῷ λεγομένῳ παρόλκῳ· οἱ γὰρ παρ' αὐτὴν τὴν γῆν πλέοντες οὐ δύνανται ἐρέττειν. (Sch.) ἐκ κάλων ἔλκοντες τὰς ναῦς. Poll. 1, 113. Durch Hülſe erklärt das ἀπό Morus zu Iſokr. Pan. 22. — ἀποσιμωσάντων, ὑπαναχωρησάντων καὶ μετεωρισάντων τὰς ναῦς, ἵνα ἐκ πολλοῦ διαστήματος δυνηθῶσι μετὰ μείζονος ὁρμῆς ἐμβάλλειν τοῖς Ἀθηναίοις. (Sch.) — ἑτέραν kann ſehr wohl ein ſyrakoſiſches ſein, da das § 1 in einem frühern Treffen verlorene hier nicht mehr in Betracht kommt. — ἀπολλύουσι für — ασι findet ſich öfter ſicher. vgl. 7, 51, 2. 8, 10, 3, zw. 8, 42, 3 u. 106, 3. (Py.) vgl. Gr. 36, 9 A. 2 u. Matth. § 207.

§ 4. οὐκ wollte Reiſke tilgen; allein man kann immer noch οὐκ ἔλασσον ἔχειν, wenn man auch ein Paar Schiffe verloren hat.

τὴν γῆν, τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν Ἀκεσίνην ποταμὸν τὴν γῆν ἐδῄουν, τῷ δὲ πεζῷ πρὸς τὴν
6 πόλιν ἐσέβαλλον. ἐν τούτῳ δὲ οἱ Σικελοὶ ὑπὲρ τῶν ἄκρων πολλοὶ κατέβαινον βοηθοῦντες ἐπὶ τοὺς Μεσσηνίους. καὶ οἱ Νάξιοι ὡς εἶδον, θαρσήσαντες καὶ παρακελευόμενοι ἐν ἑαυτοῖς ὡς οἱ Λεοντῖνοι σφίσι καὶ ἄλλοι Ἕλληνες ξύμμαχοι ἐς τιμωρίαν ἐπέρχονται, ἐκδραμόντες ἄφνω ἐκ τῆς πόλεως προσπίπτουσι τοῖς Μεσσηνίοις, καὶ τρέψαντες ἀπέκτειναν τε ὑπὲρ χιλίους καὶ οἱ λοιποὶ χαλεπῶς ἀπεχώρησαν ἐπ' οἶκον· καὶ γὰρ οἱ βάρβαροι ἐν ταῖς ὁδοῖς ἐπιπεσόντες τοὺς πλεί-
7 στους διέφθειραν. καὶ αἱ νῆες σχοῦσαι ἐς τὴν Μεσσήνην ὕστερον ἐπ' οἶκον ἕκασται διεκρίθησαν. Λεοντῖνοι δὲ εὐθὺς καὶ οἱ ξύμμαχοι μετὰ Ἀθηναίων ἐς τὴν Μεσσήνην ὡς κεκακωμένην ἐστράτευον, καὶ προσβάλλοντες οἱ μὲν Ἀθηναῖοι κατὰ τὸν λιμένα ταῖς ναυσὶν ἐπείρων, ὁ δὲ πεζὸς πρὸς τὴν
8 πόλιν. ἐπεκδρομὴν δὲ ποιησάμενοι οἱ Μεσσήνιοι καὶ Λοκρῶν τινες μετὰ τοῦ Δημοτέλους, οὗ μετὰ τὸ πάθος ἐγκατελείφθησαν φρουροί, ἐξαπιναίως προσπεσόντες τρέπουσι τοῦ στρατεύματος τῶν Λεοντίνων τὸ πολὺ καὶ ἀπέκτειναν πολ-
9 λούς. ἰδόντες δὲ οἱ Ἀθηναῖοι καὶ ἀποβάντες ἀπὸ τῶν νεῶν ἐβοήθουν, καὶ κατεδίωξαν τοὺς Μεσσηνίους πάλιν ἐς τὴν πόλιν, τεταραγμένοις ἐπιγενόμενοι· καὶ τροπαῖον στήσαντες ἀνεχώρησαν ἐς τὸ Ῥήγιον. μετὰ δὲ τοῦτο οἱ μὲν ἐν τῇ Σικελίᾳ Ἕλληνες ἄνευ τῶν Ἀθηναίων κατὰ γῆν ἐστράτευον ἐπ' ἀλλήλους.

26 Ἐν δὲ τῇ Πύλῳ ἔτι ἐπολιόρκουν τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους οἱ Ἀθηναῖοι, καὶ τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον τῶν Πελοποννησίων κατὰ χώραν ἔμενεν. ἐπίπονος δ' ἦν τοῖς

---

§ 5. ἐσέβαλλον, προσέβαλλον Py. Vielleicht: ſie machten gegen die Stadt zu einen Einfall.

§ 6. οἱ Σικελοί, οἱ Σικελοὶ οἱ Kr. So las wohl der Sch.: ἀντὶ τοῦ οἱ ἐπὶ τῶν ἄκρων ὄντες καὶ τῶν ὀρεινῶν, ὡς ἐκεῖ οἰκούντων αὐτῶν. — ἐν wie 5, 69, 3 u. 8, 76, 2. — ἑαυτοῖς für ἀλλήλους. Gr. 51, 2 A. 16. — ἄλλοι für οἱ ἄλλοι einige Hſn.

§ 7. ἐπ' οἴκου διεκρίθησαν, ἀπέπλευσαν ἐπ' οἴκου, διακριθεῖσαι. (Sch.) — ἔπειρων für ἐπειρῶντο die beſten Hſn. vgl. zu 1, 61, 3. zu 4, 43, 3. — πρός. 43, 3: ἐπὶ τὴν Σολύγειαν κώμην πειράσων. (Arn.)

Ἀθηναίοις ἡ φυλακὴ σίτου τε ἀπορίᾳ καὶ ὕδατος· οὐ γὰρ 2
ἦν κρήνη ὅτι μὴ μία ἐν αὐτῇ τῇ ἀκροπόλει τῆς Πύλου, καὶ
αὕτη οὐ μεγάλη, ἀλλὰ διαμώμενοι τὸν κάχληκα οἱ πλεῖστοι
ἐπὶ τῇ θαλάσσῃ ἔπινον οἷον εἰκὸς ὕδωρ. στενοχωρία τε ἐν
ὀλίγῳ στρατοπεδευομένοις ἐγίγνετο, καὶ τῶν νεῶν οὐκ ἐχου-
σῶν ὅρμον αἱ μὲν σῖτον ἐν τῇ γῇ ᾑροῦντο κατὰ μέρος, αἱ
δὲ μετέωροι ὥρμουν. ἀθυμίαν τε πλείστην ὁ χρόνος παρεῖχε 3
παρὰ λόγον ἐπιγιγνόμενος, οὓς ᾤοντο ἡμερῶν ὀλίγων ἐκπο-
λιορκήσειν ἐν νήσῳ τε ἐρήμῃ καὶ ὕδατι ἁλμυρῷ χρωμένους.
αἴτιον δὲ ἦν οἱ Λακεδαιμόνιοι προειπόντες ἐς τὴν νῆσον
ἐσάγειν σῖτόν τε τὸν βουλόμενον ἀληλεσμένον καὶ οἶνον καὶ
εἴ τι ἄλλο βρῶμα, οἷον ἂν ἐς πολιορκίαν ξυμφέρῃ, τάξαντες
ἀργυρίου πολλοῦ καὶ τῶν Εἱλώτων τῷ ἐσαγαγόντι ἐλευθε-
ρίαν ὑπισχνούμενοι. καὶ ἐσῆγον ἄλλοι τε παρακινδυνεύοντες 4
καὶ μάλιστα οἱ Εἵλωτες, ἀπαίροντες ἀπὸ τῆς Πελοποννήσου
ὁπόθεν τύχοιεν καὶ καταπλέοντες ἔτι νυκτὸς ἐς τὰ πρὸς τὸ
πέλαγος τῆς νήσου. μάλιστα δὲ ἐτήρουν ἀνέμῳ καταφέρε-
σθαι· ῥᾷον γὰρ τὴν φυλακὴν τῶν τριήρων ἐλάνθανον, ὁπότε

C. 26. § 2. ὅτι μή, εἰ μή. (Sch.) vgl. 94, 2. 7, 42, 6. Gr. 65, 5 A. 11. — διαμώμενοι, διασκάπτοντες. βούλεται δὲ εἰπεῖν ὅτι διαστέλλοντες τὸν κάχληκα καὶ βόθρους ἐπὶ τὸν αἰγιαλὸν ποιοῦντες ηὕρισκον ὕδωρ οἷον ἄν τις εἰς ἀνάγκην πίοι δι' ἄκραν δίψαν. (Sch) — οἷον εἰκὸς ὕδωρ Wasser wie es natürlich ist daß man es trank, fand, nämlich schlecht. — ἐν ὀλίγῳ auf beschränktem Raume. (Sch.) Gr. 43, 4 A. 2. — ὅρμον nämlich an der Insel. Denn der Hafen von Pylos war groß genug. (Pp.) — μετέωροι, ἐπ' ἀγκυρῶν. (Sch.)

§ 3. λόγον, προσδοκίαν. (Sch.) — ἐπιγιγνόμενος. Gr. 50, 11 A. 3. — οὓς. zu 1, 140, 6. — ἐν νήσῳ τε καὶ χρωμένους. Gr. 59, 2 A. 3. — αἴτιον δὲ ἦν οἱ Λ. προειπόντες, wie 8, 9, 3. Gr. 63, 6. — ἀληλεσμένον auch Her. 7, 23, ἀληλεμένον Bekker mit einigen Hsn. (Pp.) Das Metrum erfordert σ bei Athen. p. 642, a. (Bl.) vgl. Gr. 40 unter ἀλέω. — εἴ τι. Gr. 60, 10 A. 2. — τάξαντες, τὸ εἰσάγειν. (Sch.) da sie es angesetzt, da sie einen Preis darauf gesetzt hatten. — ἀργυρίου Ge. des Preises, wie § 5. Dem. 53, 13: τίθημι τὴν συνοικίαν ἑκκαίδεκα μνῶν. eb. εἰσπράττω αὐτὸν τὸ ἀργύριον οὗ ἡ συνοικία ἐτέθη.

§ 4. τύχοιεν. Gr. 56, 4 A. 2. — ἔτι νυκτός. zu 3, 112, 2. — τῆς νήσου hängt von τά ab. Anders in den Stellen zu 2, 96, 3. — ἐτήρουν paßten es ab daß sie. — τριήρων betonen hier und

πνεῦμα ἐκ πόντου εἴη· ἄπορον γὰρ ἐγίγνετο περιορμεῖν, τοῖς δὲ ἀφειδὴς ὁ κατάπλους καθεστήκει· ἐπώκελλον γὰρ τὰ πλοῖα τετιμημένα χρημάτων, καὶ οἱ ὁπλῖται περὶ τὰς καταρσεις τῆς νήσου ἐφύλασσον. ὅσοι δὲ γαλήνῃ κινδυνεύσειαν ἡλίσκοντο. ἐσένεον δὲ καὶ κατὰ τὸν λιμένα κολυμβηταὶ ὕφυδροι, καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην καὶ λίνου σπέρμα κεκομμένον· ὧν τὸ πρῶτον λανθανόντων φυλακαὶ ὕστερον ἐγένοντο. παντί τε τρόπῳ ἑκάτεροι ἐτεχνῶντο οἱ μὲν ἐσπέμπειν τὰ σιτία, οἱ δὲ μὴ λανθάνειν σφᾶς.

27 Ἐν δὲ ταῖς Ἀθήναις πυνθανόμενοι περὶ τῆς στρατιᾶς ὅτι ταλαιπωρεῖται καὶ σῖτος τοῖς ἐν τῇ νήσῳ ὅτι ἐσπλεῖ, ἠπόρουν καὶ ἐδεδοίκεσαν μὴ σφῶν χειμὼν τὴν φυλακὴν ἐπιλάβοι, ὁρῶντες τῶν τε ἐπιτηδείων τὴν περὶ τὴν Πελοπόννησον κομιδὴν ἀδύνατον ἐσομένην ἅμα ἐν χωρίῳ ἐρήμῳ καὶ οὐδ' ἐν θέρει οἷοί τε ὄντες ἱκανὰ περιπέμπειν, τόν τε ἔφορμον χω-
2 ρίων ἀλιμένων ὄντων οὐκ ἐσόμενον, ἀλλ' ἢ σφῶν ἀνέντων τὴν φυλακὴν περιγενήσεσθαι τοὺς ἄνδρας ἢ τοῖς πλοίοις ἃ τὸν σῖτον αὐτοῖς ἦγε χειμῶνα τηρήσαντας ἐκπλεύσεσθαι.

---

an andern Stellen die beſten Hſn. (Bp.) — ἐγίγνετο. τότε iſt, wenn nicht ausgefallen, doch zu denken. (Kr.)

§ 5. ἀφειδής ohne Schonung der Fahrzeuge. (Acac.) Selten von Sachen, wie hier und Aeſch. Ag. 188. (Bl.) — καταρσεις λέγει τοὺς ἐπιτηδείους εἰς καταγωγὴν τόπους καὶ εἰς τὸ προσορμίζεσθαι. (Sch.) Ein ſeltenes Wort, erſt bei Spätern wiederkehrend. (Bl.) — ἐφύλασσον, φρουροὶ ἦσάν τινες τῶν πολιορκουμένων, ἵνα εὐθὺς ἀπολάβωσι τὰς τροφάς. (Sch.) — δὲ γαλήνῃ. δ' ἐν γαλήνῃ Kr. So ſelbſt Dichter, wie Soph. El. 899. Anders Eur. Danae 4: εὐτυχεῖ λαμπρᾷ γαλήνῃ. — ὕφυδροι. Ein ſeltenes Wort. (Bl.) — μήκωνα, ἧς ὁ μὲν ὀπὸς θανάσιμος, ὡς λέγεται, τὸ δὲ σῶμα γλυκύτατον, δύναται δὲ πείνης ἀπαλλάττειν μιγνυμένη μέλιτι. (Sch.) — λίνου. τοῦτο δίψαν θεραπεύει πρὸς ὀλίγον τινὰ χρόνον. (Sch.) — κεκομμένον, ἀληλεσμένον. (Sch.) — φυλακαὶ ἐγένοντο. Gr. 52, 8 A. 1 u. Kr. zu Xen. An. I, 2, 17.

C. 27. § 1. ἐσπλεῖ zu 3, 51, 2. — σφῶν. zu 1, 25, 2. — ἐπιλάβοι. zu 2, 51, 4. — κομιδή Zuführung, Zufuhr. (Hl.) — ἅμα gehört zum ganzen Satze, den es dem folgenden τόν τε ἔφορμον zugeſellt. — ἐν χωρίῳ ἐρήμῳ kurz für: da ſie, die Athener zu Pylos, ſich in einer öden Gegend befanden. (Arn.) — καὶ verbindet ἐσομένην und ὄντες, das gleichfalls zu ὁρῶντες gehört: ἑώρων οὐχ οἷοί τε ὄντες. (Gö.)

§ 2. ἀλλ' ἤ. Aus ὁρῶντες iſt hier etwa νομίζοντες zu ergänzen. (Bp.) Gr. 65, 11 A. 7. — ἢ σφῶν — ἄνδρας daß die Männer

πάντων δὲ ἐφοβοῦντο μάλιστα τοὺς Λακεδαιμονίους, ὅτι ἔχοντάς τι ἰσχυρὸν αὐτοὺς ἐνόμιζον οὐκέτι σφίσιν ἐπικηρυκεύεσθαι· καὶ μετεμέλοντο τὰς σπονδὰς οὐ δεξάμενοι. Κλέων 3
δὲ γνοὺς αὐτῶν τὴν ἐς αὐτὸν ὑποψίαν περὶ τῆς κωλύμης τῆς ξυμβάσεως οὐ τἀληθῆ ἔφη λέγειν τοὺς ἐξαγγέλλοντας. παραινούντων δὲ τῶν ἀφιγμένων, εἰ μὴ σφίσι πιστεύουσι, κατασκόπους τινὰς πέμψαι, ῥηθὲν κατάσκοπος αὐτὸς μετὰ Θεογένους ὑπὸ Ἀθηναίων, καὶ γνοὺς ὅτι ἀναγκασθήσεται ἢ ταὐτὰ λέγειν οἷς διέβαλλεν ἢ τἀναντία εἰπὼν ψευδὴς φανήσεσθαι, παρῆνει τοῖς Ἀθηναίοις, ὁρῶν αὐτοὺς καὶ ὡρμημένους τι τὸ πλέον τῇ γνώμῃ στρατεύειν, ὡς χρὴ κατασκόπους μὲν μὴ πέμπειν μηδὲ διαμέλλειν καιρὸν παριέντας, εἰ δὲ 4
δοκεῖ αὐτοῖς ἀληθῆ εἶναι τὰ ἀγγελλόμενα, πλεῖν ἐπὶ τοὺς ἄνδρας. καὶ ἐς Νικίαν τὸν Νικηράτου στρατηγὸν ὄντα ἀπεσήμαινεν, ἐχθρὸς ὢν καὶ ἐπιτιμῶν, ῥᾴδιον εἶναι παρασκευῇ, εἰ ἄνδρες εἶεν οἱ στρατηγοί, πλεύσαντας λαβεῖν τοὺς ἐν τῇ νήσῳ, καὶ αὐτός γ' ἄν, εἰ ἦρχεν, ποιῆσαι τοῦτο.

Ὁ δὲ Νικίας τῶν τε Ἀθηναίων τι ὑποθορυβησάντων ἐς 28
τὸν Κλέωνα ὅ τι οὐ καὶ νῦν πλέει, εἰ ῥᾴδιόν γε αὐτῷ φαί-

---

entweder dadurch daß ſie die Bewachung aufgäben entkommen würden; σφῶν ἀνέντων gehört nur zu περιγενήσεσθαι, nicht auch zu ἐκπλεύσεσθαι. — τι ἰσχυρόν irgend eine Sicherheit, Gewähr die Männer zu retten. (Sl.) vgl. zu 3, 6, 1.

§ 3. ὑποψίαν περί. Gr. 50, 9 A. 9. — ἐξαγγέλλοντας. ἐσαγγέλλοντας Kr. gemäß dem Gebrauche des Th. vgl. 1, 116, 3. 131, 1. 3, 3, 3. 6, 41, 1. 52, 1. — ἢ φανήσεσθαι könne, meint Pp., allenfalls mit ὅτι ἀναγκασθήσεται verbunden werden; doch könne es auch mit gewechſelter Conſtruction ſich an γνούς anſchließen. Allein das letztere wird die Stellung des erſten ἤ nicht geſtatten. — αὐτοὺς καί. καὶ αὐτούς ſchon von ſelbſt, auch ohne ſeine Ermunterung, eine Hſ. Bei der La. des Textes iſt καί auf den ganzen Gedanken zu beziehen. — τι bei τὸ πλέον ſteht wohl wie 1, 140, 6.

§ 4. ἐπὶ τοὺς ἄνδρας. Xen. An. 6, 4, 21: ἴωμεν ἐπὶ τοὺς ἄνδρας. vgl. Kr. eb. 3, 1, 23. — ἐπεσήμαινεν, ἀποσκώπτων ἐδήλου. (Sch.) deutete hin, wie ἀποβλέπειν εἴς τι (Arn.) ὑπεσήμαινεν Bl. — ἐχθρός, τῷ Νικίᾳ. (Sch.) — ἐπιτιμῶν mit Tadel äußernd. (Pp.) Ich verbinde ῥᾴδιον εἶναι mit ἀπεσήμαινεν, wie wohl auch der Sch.

C. 28. §. 1. ὑποθορυβησάντων, μετὰ θορύβου εἰπόντων. (Sch.) Wohl von Aeußerungen in der Volksverſammlung ſelbſt. — ἐς τὸν Κλέωνα. Ein auffallender Ausdruck. Vielleicht ἐς τὸ Κλέωνος zu der Aeußerung des Kleon. (Kr.) — ὅ τι. Die La. iſt ὅτι. Der Sinn

νεται, καὶ ἅμα ὁρῶν αὐτὸν ἐπιτιμῶντα, ἐκέλευεν ἥν τινα
2 βούλεται δύναμιν λαβόντα τὸ ἐπὶ σφᾶς εἶναι ἐπιχειρεῖν. ὁ
δὲ τὸ μὲν πρῶτον, οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι,
ἑτοῖμος ἦν, γνοὺς δὲ τῷ ὄντι παραδωσείοντα ἀνεχώρει καὶ
οὐκ ἔφη αὐτὸς ἀλλ' ἐκεῖνον στρατηγεῖν, δεδιὼς ἤδη καὶ οὐκ
ἂν οἰόμενός οἱ αὐτὸν τολμῆσαι ὑποχωρῆσαι. αὖθις δὲ ὁ
Νικίας ἐκέλευε καὶ ἐξίστατο τῆς ἐπὶ Πύλῳ ἀρχῆς καὶ μάρ-
3 τυρας τοὺς Ἀθηναίους ἐποιεῖτο. οἱ δέ, οἷον ὄχλος φιλεῖ
ποιεῖν, ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν καὶ ἐξα-
νεχώρει τὰ εἰρημένα, τόσῳ ἐπεκελεύοντο τῷ Νικίᾳ παραδι-
δόναι τὴν ἀρχὴν καὶ ἐκείνῳ ἐπεβόων πλεῖν. ὥστε οὐκ ἔχων
ὅπως τῶν εἰρημένων ἔτι ἐξαπαλλαγῇ, ὑφίσταται τὸν πλοῦν,
καὶ παρελθὼν οὔτε φοβεῖσθαι ἔφη Λακεδαιμονίους πλεύ-
σεσθαί τε λαβὼν ἐκ μὲν τῆς πόλεως οὐδένα, Λημνίους δὲ
καὶ Ἰμβρίους τοὺς παρόντας καὶ πελτασιὰς οἳ ἦσαν ἔκ τε
Αἴνου βεβοηθηκότες καὶ ἄλλοθεν τοξότας τετρακοσίους·
4 ταῦτα δὲ ἔχων, ἔφη, πρὸς τοῖς ἐν Πύλῳ στρατιώταις ἐντὸς
ἡμερῶν εἴκοσιν ἢ ἄξειν Λακεδαιμονίους ζῶντας ἢ αὐτοῦ
ἀποκτενεῖν. τοῖς δὲ Ἀθηναίοις ἐνέπεσε μέν τι καὶ γέλωτος
τῇ κουφολογίᾳ αὐτοῦ, ἀσμένοις δ' ὅμως ἐγίγνετο τοῖς σώ-
φροσι τῶν ἀνθρώπων, λογιζομένοις δυοῖν ἀγαθοῖν τοῦ ἑτέ-

---

ist wohl: warum er, Nikias, nicht noch jetzt hinschiffe. — πλέειν. Zwei schlechte Hss. πλεῖ. Gr. 32, 3 A. 1. — αὐτῷ. αὐτό? — τὸ ἐπὶ σφᾶς εἶναι. Gr. 68, 41 A. 9. vgl. Pors. zu Eur. Or. 1338. (Bl.) — σφᾶς, τοὺς στρατηγούς. (Sch.) Gr. 58, 4 A. 3.

§ 2. ἀφιέναι sein und seiner Amtsgenossen Recht aufgebe, findet sich sonst wohl nicht so, weshalb man ἐφιέναι vermuthen möchte. Einigermaßen ähnlich jedoch Her. 6, 62: ἀπιέναι ἀπάγεσθαι. — ἀνεχώρει, ἀνεδίδετο. (Sch.) vgl. § 3. — καὶ οὐκ — ὑποχωρῆσαι ist wohl aus einem Sch. zu οἰόμενος αὐτὸν λόγῳ μόνον ἀφιέναι. — ἐξίστατο, παρεχώρει. (Sch.)

§ 3. ἐξανεχώρει τὰ εἰρημένα, ἀνεδίδετο ποιῶν ἅπερ ὑπέσχετο 27, 4. (Sch.) vgl. zu 2, 88, 2. — τόσῳ hat Thuk. nur noch 8, 24, 4. vgl. Gr. 25, 10 A. 4. Auch hier ist μᾶλλον zu denken. — ἐξαπαλλαγῇ, ἐξυπαλλαγῇ? — ἔκ τε. ἐκ τῆς zwei schlechte Hss. Doch ist τε wohl nur lässig gestellt für καὶ πελτασιάς τε οἳ ἦσαν ἐξ Αἴνου βεβοηθηκότες καὶ ἄλλοθεν τοξότας (λαβών). (Ba.) — τοξότας. καὶ τοξότας A. Bs.

§ 4. κουφολογία findet sich sonst nicht leicht. — ἀσμένοις. Gr. 48, 6 A. 4. — ἐγίγνετο. Gr. 61, 5 A. 6.

ρου τεύξεσθαι, ἢ Κλέωνος ἀπαλλαγήσεσθαι, ὃ μᾶλλον ἤλπι-
ζον, ἢ σφαλεῖσι γνώμης Λακεδαιμονίους σφίσι χειρώσασθαι.
Καὶ πάντα διαπραξάμενος ἐν τῇ ἐκκλησίᾳ καὶ ψηφισα- 29
μένων Ἀθηναίων αὐτῷ τὸν πλοῦν τῶν τε ἐν Πύλῳ στρατηγῶν
ἕνα προσελόμενος, Δημοσθένην, τὴν ἀναγωγὴν διὰ τάχους
ἐποιεῖτο. τὸν δὲ Δημοσθένην προσέλαβε πυνθανόμενος τὴν
ἀπόβασιν αὐτὸν ἐς τὴν νῆσον διανοεῖσθαι. οἱ γὰρ στρατιῶ- 2
ται κακοπαθοῦντες τοῦ χωρίου τῇ ἀπορίᾳ καὶ μᾶλλον πολι-
ορκούμενοι ἢ πολιορκοῦντες ὥρμηντο διακινδυνεῦσαι. καὶ
αὐτῷ ἔτι ῥώμην καὶ ἡ νῆσος ἐμπρησθεῖσα παρέσχεν. πρό-
τερον μὲν γὰρ αὐτῆς οὔσης ὑλώδους ἐπὶ τὸ πολὺ καὶ ἀτρι-
βοῦς διὰ τὴν ἀεὶ ἐρημίαν ἐφοβεῖτο καὶ πρὸς τῶν πολεμίων
τοῦτο ἐνόμιζε μᾶλλον εἶναι· πολλῷ γὰρ ἂν στρατοπέδῳ 3
ἀποβάντι ἐξ ἀφανοῦς χωρίου προσβάλλοντας αὐτοὺς βλάπτειν.
σφίσι μὲν γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ παρασκευὴν ὑπὸ
τῆς ὕλης οὐκ ἂν ὁμοίως δῆλα εἶναι, τοῦ δὲ αὐτῶν στρατο-
πέδου καταφανῆ ἂν εἶναι πάντα τὰ ἁμαρτήματα, ὥστε προς-
πίπτειν ἂν αὐτοὺς ἀπροσδοκήτως ᾗ βούλοιντο· ἐπ' ἐκείνοις 4
γὰρ ἂν εἶναι τὴν ἐπιχείρησιν. εἰ δ' αὖ ἐς δασὺ χωρίον βιά-
ζοιτο ὁμόσε ἰέναι, τοὺς ἐλάσσους ἐμπείρους δὲ τῆς χώρας
κρείττους ἐνόμιζε τῶν πλεόνων ἀπείρων· λανθάνειν τε ἂν τὸ
ἑαυτῶν στρατόπεδον πολὺ ὂν διαφθειρόμενον, οὐκ οὔσης τῆς
προσόψεως ᾗ χρῆν ἀλλήλοις ἐπιβοηθεῖν. ἀπὸ δὲ τοῦ Αἰτω- 30

C. 29. § 1. διαπραξάμενος καὶ ψηφισαμένων. Gr. 55, 14 A. 2. — προσελόμενος nachdem er dazu gewählt, für das Unternehmen; von seiner Seite nur ein Vorschlag, vom Volke bestätigt. — ἀναγωγή, ὁ τῶν νεῶν ἔκπλους. (Suidas.) ἀγωγήν die besten Hsn., auch 6, 29, 3, was doch in diesem Sinne mir nicht zulässig scheint. — τὴν ἀπόβασιν die auch von ihm beabsichtigte Landung. vgl. Xen. An. 3, 1, 10. — ἐς τήν. Gr. 50, 9 A. 9.

§ 2. τῇ ἀπορίᾳ, τῇ ἐνδείᾳ τῶν ἀναγκαίων. (Sch.) auch des Wassers. — ῥώμην παρεῖχε, ἐπέρρωσεν. (Sch.) zu 2, 8, 1. — ἐμπρησθεῖσα. zu 1, 2, 2.

§ 3. αὐτούς, τοὺς Λάκωνας. (Sch.) — σφίσι, τοῖς Ἀθηναίοις. (Sch.) Gr. 58, 4 A. 3. — παρασκευήν. Gr. 58, 3 A. 1. — δῆλα. Gr. 58, 2 (3) A. 4. — αὐτῶν für αὐτῶν Bk. Gr. 47, 9 A. 12 u. 58, 4 A. 3. — αὐτούς, τοὺς Λακεδαιμονίους. (Sch.)

§ 4. βιάζοιτο ist activ zu nehmen; für die passive Bedeutung würde der Begriff ἀναγκάζοιτο erfordern. — ἀπείρων δέ wäre concinner. — προσόψεως. προόψεως Pp. vgl. zu 2, 89, 6.

λικοῦ πάθους, ὃ διὰ τὴν ὕλην μέρος τι ἐγένετο, οὐχ ἥκιστα αὐτὸν ταῦτα ἐσῄει. τῶν δὲ στρατιωτῶν ἀναγκασθέντων διὰ τὴν στενοχωρίαν τῆς νήσου τοῖς ἐσχάτοις προσίσχοντας ἀριστοποιεῖσθαι διὰ προφυλακῆς καὶ ἐμπρήσαντός τινος κατα μικρὸν τῆς ὕλης ἄκοντος καὶ ἀπὸ τούτου πνεύματος ἐπιγενο-
2 μένου τὸ πολὺ αὐτῆς ἔλαθε κατακαυθέν. οὕτω δὴ τούς τε Λακεδαιμονίους μᾶλλον κατιδὼν πλείους ὄντας, ὑπονοῶν πρότερον ἐλάσσοσι τὸν σῖτον αὐτοῦ ἐσπέμπειν, τότε ὡς ἐπ' ἀξιόχρεως τοὺς Ἀθηναίους μᾶλλον σπουδὴν ποιεῖσθαι, τήν τε νῆσον εὐαποβατωτέραν οὖσαν, τὴν ἐπιχείρησιν παρεσκευάζετο, στρατιάν τε μεταπέμπων ἐκ τῶν ἐγγὺς ξυμμάχων καὶ τὰ ἄλλα ἑτοιμάζων.

3 Κλέων δὲ ἐκείνῳ τε προπέμψας ἄγγελον ὡς ἥξων καὶ ἔχων στρατιὰν ἣν ᾔτήσατο ἀφικνεῖται ἐς Πύλον. καὶ ἅμα γενόμενοι πέμπουσι πρῶτον ἐς τὸ ἐν τῇ ἠπείρῳ στρατόπεδον κήρυκα, προκαλούμενοι εἰ βούλοιντο ἄνευ κινδύνου τοὺς ἐν τῇ νήσῳ ἄνδρας σφίσι τά τε ὅπλα καὶ σφᾶς αὐτοὺς κελεύειν παραδοῦναι, ἐφ' ᾧ φυλακῇ τῇ μετρίᾳ τηρήσονται, ἕως ἄν τι
31 περὶ τοῦ πλέονος ξυμβαθῇ. οὐ προσδεξαμένων δὲ αὐτῶν μίαν μὲν ἡμέραν ἐπέσχον, τῇ δ' ὑστεραίᾳ ἀνηγάγοντο μὲν

C. 30. § 1. μέρος τι ist Ac. (Dr.) vgl. 2, 64, 2. Einem bedeutenden Theile nach erklärt Arn. — αὐτόν. Gr. 48, 11 A. 4. — τῶν στρατιωτῶν der Athener. (Sch.) — τῆς νήσου hängt von τοῖς ἐσχάτοις ab. (Ba.) — κατὰ μικρὸν τῆς ὕλης wie τοῦ οἰκοδομήματος ἐπὶ μέγα 2, 76, 3. (Pp.)

§ 2. μᾶλλον als früher. — αὐτοῦ für αὐτόσε, wie ἵναπερ ὥρμητο 74, 2. (Ba.) Doch vermuthet Ba. αὐτούς, Andere αὐτοὺς πέμπειν; vielleicht αὐτόσε πέμπειν. — τότε. τότε δέ Pp., νομίζων aus ὑπονοῶν ergänzend. Ich glaube die Worte τότε — ποιεῖσθαι sind nach οὖσαν zu stellen und zu erklären: da rüstete er sich wie zu etwas das schon verdiente daß die Athener sich im höhern Grade Mühe gäben zum Angriffe. (Kr.) Mit dem Inf. findet sich ἀξιόχρεως auch 5, 13 u. Her. 4, 126: ἀξιόχρεος δοκέεις εἶναι σεωυτῷ τοῖα ἐμοῖσι πρήγμασι ἀντιωθῆναι. — μεταπέμπων. zu 1, 112, 1.

§ 3. καὶ ἔχων verbindet Beck falsch mit ἥξων. (Pp.) Dagegen spricht schon die Stellung des τέ. — ἅμα γενόμενοι, συνελθόντες. (Sch.) — τῇ μετρίᾳ, ἤγουν φιλανθρώπῳ. (Sch.) — τηρήσονται. Gr. 55, 3 A. 6 zweite Ausg. — περὶ τοῦ πλέονος, περὶ τῶν ἄλλων πραγμάτων ἕως τέλεως σπονδαὶ γένωνται καὶ παντὸς τοῦ πολέμου ἀπαλλαγή. (Sch.) 4, 117, 1: ξυμβῆναι τὰ πλείω. (Arn.)

νυκτὸς ἐπ' ὀλίγας ναῦς τοὺς ὁπλίτας πάντας ἐπιβιβάσαντες,
πρὸ δὲ τῆς ἕω ὀλίγον ἀπέβαινον τῆς νήσου ἑκατέρωθεν, ἔκ
τε τοῦ πελάγους καὶ πρὸς τοῦ λιμένος, ὀκτακόσιοι μάλιστα
ὄντες ὁπλῖται, καὶ ἐχώρουν δρόμῳ ἐπὶ τὸ πρῶτον φυλακτή-
ριον τῆς νήσου. ὧδε γὰρ διετετάχατο· ἐν ταύτῃ μὲν τῇ 2
πρώτῃ φυλακῇ ὡς τριάκοντα ἦσαν ὁπλῖται, μέσον δὲ καὶ
ὁμαλώτατόν τε καὶ περὶ τὸ ὕδωρ οἱ πλεῖστοι αὐτῶν καὶ Ἐπι-
τάδας ὁ ἄρχων εἶχεν, μέρος δέ τι οὐ πολὺ αὐτὸ τοὔσχατον
ἐφύλασσε τῆς νήσου τὸ πρὸς τὴν Πύλον, ὃ ἦν ἔκ τε θαλάσσης
ἀπόκρημνον καὶ ἐκ τῆς γῆς ἥκιστα ἐπίμαχον· καὶ γάρ τι καὶ 3
ἔρυμα αὐτόθι ἦν παλαιὸν λίθων λογάδην πεποιημένον, ὃ
ἐνόμιζον σφίσιν ὠφέλιμον ἂν εἶναι, εἰ καταλαμβάνοι ἀνα-
χώρησις βαιοτέρα.

Οὕτω μὲν τεταγμένοι ἦσαν. οἱ δὲ Ἀθηναῖοι τοὺς μὲν 32
πρώτους φύλακας, οἷς ἐπέδραμον, εὐθὺς διαφθείρουσιν ἔν
τε ταῖς εὐναῖς ἔτι, ἀναλαμβάνοντας τὰ ὅπλα, καὶ λαθόντες
τὴν ἀπόβασιν, οἰομένων αὐτῶν τὰς ναῦς κατὰ τὸ ἔθος ἐς
ἔφορμον τῆς νυκτὸς πλεῖν. ἅμα δὲ ἕῳ γιγνομένῃ καὶ ὁ ἄλ- 2
λος στρατὸς ἀπέβαινον, ἔκ μὲν νεῶν ἑβδομήκοντα καὶ ὀλίγῳ

C. 31. § 2. πρώτῃ ist mir verdächtig. — μέσον, τὸ μέσον τῆς νήσου. (Sch.) Ueber die Auslaſſung des Artikels Gr. 50, 2 A. 13. — τε verdächtigt Kr. — περὶ τὸ ὕδωρ ſubſtantivirt. Gr. 50, 8 A. 19. Gemeint iſt wohl eine Vertiefung die das ἁλμυρὸν ὕδωρ 26, 3 enthielt. — αὐτό für αὐτοῦ Ba. — ἔκ τε, ἔκ τε τῆς einige Hſn. Unnöthig. Xen. Hell. 5, 3, 26: μήτε ἐκ τῆς γῆς μήτε κατὰ θάλασσαν. vgl. eb. 6, 2, 8. (Pp.)

§ 3. λίθων. Luc. Bilder 3: λίθου τοῦτο ἐποίησας. w. Geſch. 1, 7 u. Philopſ. 17. 20: χαλκοῦ, σιδήρου πεποιημένος. Ueber ἔκ oder den Da. Lamb. Ell. p. 688. 693. vgl. Gr. 47, 8 A. 3. — λογάδην gehört zu λίθων. Plut. Otho 6: τὴν γυναῖκα παρέπεμπον αὐτῷ λογάδην ἱππεῖς. — καταλαμβάνοι. Gr. 52, 1 A. 3. — βαιοτέρα. zu 2, 33, 3.

C. 32. § 1. ἔν τε ταῖς εὐναῖς ἔτι verbindet Kr. mit εὐθύς; Benedict mit καὶ λαθόντες. Bl. verdächtigt τέ. Ueber ἔτι zu 3, 112, 2. Haaſe vermuthet ἔτι καί oder ἔτι ἤ oder daß τέ vor τὰ ὅπλα hinzuzufügen oder daß καί vor λαθόντες vor ἀναλαμβάνοντας zu verſetzen ſei. — ἀναλαμβάνοντας καὶ λαθόντες. Gr. 56, 14 A. 2. vgl. 3, 66, 2. — λαθόντες, ἀθρόαν ποιήσαντες. (Sch.) — ἐς für εἰς eine ſchlechte Hſ.

§ 2. ἀπέβαινον. ἐπέβαινον die meiſten und beſten Hſn. —

πλειόνων πάντες πλὴν Θαλαμίων, ὡς ἕκαστοι ἐσκευασμένοι, τοξόται τε ὀκτακόσιοι καὶ πελτασταὶ οὐκ ἐλάσσους τούτων, Μεσσηνίων τε οἱ βεβοηθηκότες καὶ ἄλλοι ὅσοι περὶ Πύλον
3 κατεῖχον πάντες πλὴν τῶν ἐπὶ τοῦ τείχους φυλάκων. Δημοσθένους δὲ τάξαντος διέστησαν κατὰ διακοσίους τε καὶ πλείους, ἔστι δ' ἣ ἐλάσσους, τῶν χωρίων τὰ μετεωρότατα λαβόντες, ὅπως ὅτι πλείστη ἀπορία ᾖ τοῖς πολεμίοις πανταχόθεν κεκυκλωμένοις καὶ μὴ ἔχωσι πρὸς ὅ τι ἀντιτάξωνται, ἀλλ' ἀμφίβολοι γίγνωνται τῷ πλήθει, εἰ μὲν τοῖς πρόσθεν ἐπίοιεν, ὑπὸ τῶν κατόπιν βαλλόμενοι, εἰ δὲ τοῖς πλαγίοις,
4 ὑπὸ τῶν ἑκατέρωθεν παρατεταγμένων. κατὰ νώτου τε ἀεὶ ἔμελλον αὐτοῖς, ἢ χωρήσειαν, οἱ πολέμιοι ἔσεσθαι ψιλοὶ καὶ οἱ ἀπορώτατοι, τοξεύμασι καὶ ἀκοντίοις καὶ λίθοις καὶ σφενδόναις ἐκ πολλοῦ ἔχοντες ἀλκήν, οἷς μηδὲ ἐπελθεῖν οἷόν τε ἦν· φεύγοντές τε γὰρ ἐκράτουν καὶ ἀναχωροῦσιν ἐπέκειντο. τοιαύτῃ μὲν γνώμῃ ὁ Δημοσθένης τό τε πρῶτον τὴν ἀπόβα-
33 σιν ἐπενόει καὶ ἐν τῷ ἔργῳ ἔταξεν· οἱ δὲ περὶ τὸν Ἐπιτάδαν, καὶ ὅπερ ἦν πλεῖσιον τῶν ἐν τῇ νήσῳ, ὡς εἶδον τό τε πρῶτον φυλακτήριον διεφθαρμένον καὶ στρατὸν σφίσιν ἐπιόντα, ξυνετάξαντο καὶ τοῖς ὁπλίταις τῶν Ἀθηναίων ἐπῆσαν, βου-

---

ὡς ἕκαστοι die Einen ſo, die andern ſo. zu 1, 3, 4. — ἐσκευασμένοι, ὡπλισμένοι. (Sch.) — τοξόται τε. vielmehr τοξόται δέ (Kr.) vgl jedoch zu 1, 144, 2. — κατεῖχον intranſitiv wie 8, 28, 2. (Arn.) vgl. 8, 100, 2.

§ 3. διέστησαν, ἐτάχθησαν μεμερισμένως. (Sch.) — κεκυκλωμένοις. κεκωλυμένοις die meiſten und beſten Hſn. — ἀμφίβολοι, ἑκατέρωθεν, πανταχόθεν βαλλόμενοι. (Sch.) βαλλόμενοι ἀμφοτέρωθεν 36, 3. vgl. 2, 76, 2. Erſt bei Spätern findet ſich das Wort in dieſer Bedeutung wieder, wie Arr. An. 3, 15, 1. 18, 8. 5, 9, 2. anceps proelium Caes. b. G. 7, 77. — τῷ πλήθει, ὑπὸ τοῦ πλήθους (Sch.)

§ 4. οἱ ἀπορώτατοι, πρὸς οὓς οὐδένα πόρον ἔστιν εὑρεῖν. Suidas und Harpokr., auf eine Stelle des Iſäus ſich berufend. οἱ κἀς (μεγίστην) ἀπορίαν καθιστάντες τοὺς ἀντιτεταγμένους τοῖς τοξεύμασι (καὶ ἀκοντίοις). (Sch.) Nehulich Her. 6, 44. 9, 49 u. ἀπορίη 4, 83. 134. (Dobree.) vgl. Engelh. zu Plat. Apol. 2. (Py.) Vielleicht ſchrieb Th. οἱ εὐπορώτατοι. — ἐκ πολλοῦ. zu 2, 89, 6. πόρρωθεν γὰρ τὸ τόξον ἰσχύει. (Sch.) und das ἀκόντιον. — μηδέ wäre weniger auffallend, wenn man ἦν tilgte und ἐσὶν ergänzte. Gr. 67, 4 A. 3.

C. 33. § 1. ὅπερ ἦν πλεῖσιον was die Hauptmaſſe war. (Ba.) vgl. 31, 2.

λόμενοι ἐς χεῖρας ἐλθεῖν· ἐξ ἐναντίας γὰρ οὗτοι καθεστή- 2
κεσαν, ἐκ πλαγίου δὲ οἱ ψιλοὶ καὶ κατὰ νώτου. τοῖς μὲν
οὖν ὁπλίταις οὐκ ἠδυνήθησαν προσμῖξαι οὐδὲ τῇ σφετέρᾳ
ἐμπειρίᾳ χρήσασθαι· οἱ γὰρ ψιλοὶ ἑκατέρωθεν βάλλοντες
εἶργον, καὶ ἅμα ἐκεῖνοι οὐκ ἀντεπῆεσαν ἀλλ' ἡσύχαζον· τοὺς 3
δὲ ψιλούς, ἧ μάλιστα αὐτοῖς προσθέοντες προσκέοιντο, ἔτρε-
πον· καὶ οἳ ὑποστρέφοντες ἠμύνοντο, ἄνθρωποι κούφως τε
ἐσκευασμένοι καὶ προλαμβάνοντες ῥᾳδίως τῆς φυγῆς χωρίων
τε χαλεπότητι καὶ ὑπὸ τῆς πρὶν ἐρημίας τραχέων ὄντων, ἐν
οἷς οἱ Λακεδαιμόνιοι οὐκ ἠδύναντο διώκειν ὅπλα ἔχοντες.

Χρόνον μὲν οὖν τινα ὀλίγον οὕτω πρὸς ἀλλήλους ἠκρο- 34
βολίσαντο· τῶν δὲ Λακεδαιμονίων οὐκέτι ὀξέως ἐπεκθεῖν ἦ
προσπίπτοιεν δυναμένων, γνόντες αὐτοὺς οἱ ψιλοὶ βραδυτέ-
ρους ἤδη ὄντας τῷ ἀμύνασθαι καὶ αὐτοὶ τῇ τε ὄψει τοῦ
θαρσεῖν τὸ πλεῖστον εἰληφότες πολλαπλάσιοι φαινόμενοι καὶ
ξυνειθισμένοι μᾶλλον μηκέτι δεινοὺς αὐτοὺς ὁμοίως σφίσι
φαίνεσθαι, ὅτι οὐκ εὐθὺς ἄξια τῆς προσδοκίας ἐπεπόνθεσαν,
ὥσπερ ὅτε πρῶτον ἀπέβαινον τῇ γνώμῃ δεδουλωμένοι ὡς
ἐπὶ Λακεδαιμονίους, καταφρονήσαντες καὶ ἐμβοήσαντες ἁθρόοι

---

§ 2. ἐξ ἐναντίας auch Xen. Cyr. 7, 1, 20 im Gegenſatze zu ἐκ πλαγίου (Bl.) vgl. 35, 2. 7, 44, 4 u. Plat. Phäd. 113. — ἐμπειρίᾳ im Hoplitenkampf.

§ 3. καὶ οἳ für καὶ οἱ Hk. u. einige Hſn. Gr. 50, 1 A. 5. — κούφως τε ἐσκευασμένοι, ψιλῇ ὁπλίσει ὡπλισμένοι. (Sch.) Das τέ entſpricht dem nächſten καί. — τῆς φυγῆς. So Her. 3, 105: προλαμβάνειν τῆς ὁδοῦ. (Bl.) 9, 66: προτερέων τῆς ὁδοῦ. vgl. zu 2, 91, 3 u. 4, 47, 2. — χωρίων τε χαλεπότητι wegen der Schwierigkeiten des Terrains iſt an προλαμβάνοντες anzuſchließen. — ὄντων, τῶν χωρίων. vgl. Gr. 59, 2 A. 3. — ὅπλα Hoplitenwaffen.

C. 34. § 1. προσπίπτοιεν, οἱ ψιλοί. (Sch.) — τῷ ἀμύνασθαι durch die Vertheidigung. (Pö.) 7, 43, 5: ὅπως τῇ παρούσῃ ὁρμῇ τοῦ περαίνεσθαι ὧν ἕνεκα ἦλθον μὴ βραδεῖς γένωνται. An beiden Stellen möcht' ich den Da. durch mit, in erklären. — τῇ ὄψει ἀνεθάρσουν 6, 31, 1. vgl. 6, 49, 1. (Kr.) — πλεῖστον. πιστόν Dobree. vgl. 3, 31, 2. — ὁμοίως iſt mit ὥσπερ zu verbinden. (Bl.) vgl. Plat. Phäd. 87, b u. Xen. An. 6, 3, 31. — ὅτε πρῶτον als ſie eben erſt. — δεδουλωμένοι, ἱσταπεινωμένοι φόβῳ. (Sch.) vgl. 7, 71, 3 u. zu 2, 61, 3. vgl. Kr. z. Dion. p. 136. — ὡς ἐπὶ Λ. iſt auf ἀπέβαινον zu beziehen: mit Bangigkeit landeten ſie, wie es bei einer Landung gegen die im Landgefecht für unwiderſtehlich geltenden Lakedämonier natürlich war.

ὥρμησαν ἐπ' αὐτοὺς καὶ ἔβαλλον λίθοις τε καὶ τοξεύμασι
2 καὶ ἀκοντίοις, ὡς ἕκαστός τι πρόχειρον εἶχεν. γενομένης δὲ
τῆς βοῆς ἅμα τῇ ἐπιδρομῇ ἔκπληξίς τε ἐνέπεσεν ἀνθρώποις
ἀήθεσι τοιαύτης μάχης καὶ ὁ κονιορτὸς τῆς ὕλης νεωστὶ κε-
καυμένης ἐχώρει πολὺς ἄνω, ἄπορόν τε ἦν ἰδεῖν τὸ πρὸ
αὐτοῦ ὑπὸ τῶν τοξευμάτων. καὶ λίθων ἀπὸ πολλῶν ἀνθρώ-
3 πων μετὰ τοῦ κονιορτοῦ ἅμα φερομένων. τό τε ἔργον ἐν-
ταῦθα χαλεπὸν τοῖς Λακεδαιμονίοις καθίστατο· οὔτε γὰρ οἱ
πῖλοι ἔστεγον τὰ τοξεύματα, δοράτιά τε ἐναποκέκλαστο βαλ-
λομένων, εἶχόν τε οὐδὲν σφίσιν αὐτοῖς χρήσασθαι ἀποκεκλη-
μένοι μὲν τῇ ὄψει τοῦ προορᾶν, ὑπὸ δὲ τῆς μείζονος βοῆς
τῶν πολεμίων τὰ ἐν αὑτοῖς παραγγελλόμενα οὐκ ἐσακούοντες,
κινδύνου τε πανταχόθεν περιεστῶτος καὶ οὐκ ἔχοντες ἐλπίδα
καθ' ὅ τι χρὴ ἀμυνομένους σωθῆναι.

35 Τέλος δὲ τραυματιζομένων ἤδη πολλῶν διὰ τὸ ἀεὶ ἐν
τῷ αὐτῷ ἀναστρέφεσθαι, ξυγκλήσαντες ἐχώρησαν ἐς τὸ
ἔσχατον ἔρυμα τῆς νήσου, ὃ οὐ πολὺ ἀπεῖχεν, καὶ τοὺς ἑαυ-
τῶν φύλακας. ὡς δὲ ἐνέδοσαν, ἐνταῦθα ἤδη πολλῷ ἔτι
2 πλέονι βοῇ τεθαρσηκότες οἱ ψιλοὶ ἐπέκειντο· καὶ τῶν Λακε-
δαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐγκατελαμβάνοντο ἀπέ-
θνησκον, οἱ δὲ πολλοὶ διαφυγόντες ἐς τὸ ἔρυμα μετὰ τῶν
ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν ὡς ἀμυνούμενοι ᾗπερ ἦν

---

§ 2. πολύς. Gr. 57, 5 A. 1. — ὑπό vor.

§ 3. πῖλοι εἰσὶ τὰ ἐξ ἐρίου πηκτὰ ἐνδύματα, ὥσπερ θωράκιά τινα, ἃ ἐνδυόμεθα. (Sch.) Eine Art Filzpanzer. vgl. Poll. 7, 11. (Lev.) — ἔστεγον. zu 2, 94, 3. — ἐναποκέκλαστο, ἐν τοῖς πίλοις. (Bé.) — βαλλομένων, τῶν Λακεδαιμονίων. Gr. 47, 4 A. 3. — εἶχον — χρήσασθαι sie wußten nicht was ſie mit ſich ſelbſt anfangen, wohin ſie ſich wenden ſollten. (St.) — ἐλπίδα iſt mir verdächtig. (Kr.)

C. 35. § 1. ξυγκλήσαντες, συνασπίσαντες, πυκνωθέντες, συναχθέντες. (Sch.) Unſer ſchließen gebraucht die militäriſche Sprache eben ſo intranſitiv. — ἐνέδοσαν, ὑπεχώρησαν. (Sch. zu 2, 79, 5.) vgl. 2, 81, 4. 4, 35, 1. 37, 1. 129, 5. 5, 10, 9. 72, 3. 73, 1; ἀλλήλοις 4, 44, 1. Auffallend findet ſich das Wort auch in dieſer Bedeutung nie z. B. bei Xenophon.

§ 2. ταύτῃ, ἐν τῷ ἐρύματι. (Sch.) — παρὰ πᾶν. παρὰ πᾶν μέρος τοῦ ἐρύματος ὅσον ἦν μέρος ἐπιμαχον, τουτέστι καθ' ὃ ἐδύναντο οἱ Ἀθηναῖοι προσελθόντες μάχεσθαι. (Sch.)

ἐπίμαχον. καὶ οἱ Ἀθηναῖοι ἐπισπόμενοι περιοδον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐκ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας ὥσασθαι ἐπειρῶντο. καὶ χρόνον μὲν πολὺν καὶ τῆς 3
ἡμέρας τὸ πλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου οἱ δὲ μὴ ἐνδοῦναι· ῥᾷον δ' οἱ Λακεδαιμόνιοι ἠμύναντο ἢ ἐν τῷ πρίν, οὐκ οὔσης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια.

Ἐπειδὴ δὲ ἀπέραντον ἦν, προσελθὼν ὁ τῶν Μεσσηνίων 36
στρατηγὸς Κλέωνι καὶ Δημοσθένει ἄλλως ἔφη πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν περιιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. λαβὼν δὲ ἃ ᾔτησατο ἐκ τοῦ 2
ἀφανοῦς ὁρμήσας, ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου προβαίνων καὶ ᾗ οἱ Λακεδαιμόνιοι χωρίου ἰσχύϊ πιστεύσαντες οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθεν, καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξεν, τοὺς δὲ ἃ προσεδέχοντο ἰδόντας πολλῷ μᾶλλον ἐπέρρωσεν. καὶ οἱ Λακεδαιμόνιοι βαλλόμενοί τε ἀμφοτέ- 3
ρωθεν ἤδη καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπτώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις — ἐκεῖνοί τε γὰρ

---

§ 3. ἐξελάσασθαι von ſich zurücktreiben, wie 7, 5, 3. ἠλάσατο τὰς βοῦς Plat. Gorg. p. 484, b (sibi).

C. 36. § 1. ἀπέραντον ἦν, τὸ ἔργον τοῦ πολέμου. (Sch.) Gr. 43, 4 A. 13. — ἄλλως, ματαίως. (Sch.) — σφᾶς. Gr. 58, 4 A. 3. — ψιλῶν hier Peltaſten. vgl. 32, 2. (Pp.) — περιιέναι um herumzugehen. Gr. 55, 3 A. 20.

§ 2. ἐκ τοῦ ἀφανοῦς, ἐκ τοῦ μὴ βλεπομένου τοῖς πολεμίοις. (Sch.) vgl. 1, 51, 1. 4, 96, 4. — παρεῖκον für παρῆκον die beſten Hſn. ἐνδιδὸν καὶ ἀνάβασιν παρέχον. (Sch.) Der Sinn: je nachdem es an einzelnen Stellen (ἀεί) der ſteilen Klippen möglich war. (Hl.) vgl. zu 3, 1, 1. — προβαίνων für προσβαίνων einige Hſn. — καὶ ᾗ — ἐφύλασσον iſt mit κατὰ τὸ ἀεὶ παρεῖκον zu verbinden. (Pp.) — τοὺς μέν, τοὺς Λακεδαιμονίους. — τοὺς δέ, τοὺς Ἀθηναίους. (Sch.)

§ 3. ξύμπτωμα von Phrynichos gemißbilligt findet ſich bis zum Ariſtoteles nur noch bei Dem. 56, 43. (Lob. Phr. p. 248.) — τῷ ἐν Θ. Dieſer Dativ hängt von τῷ αὐτῷ ab: τὸ αὐτὸ ξύμπτωμα τῷ ἐν Θ. (ξυμπτώματι). — ἐκεῖνοί τε — οὗτοί τε. Aehnlich 5, 17, 3 u. Cur.

τῇ ἀτραπῷ περιελθόντων τῶν Περσῶν διεφθάρησαν, οὗτοί τε — ἀμφίβολοι ἤδη ὄντες οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν ὑπεχώρουν καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων.

37 Γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης ὅτι εἰ καὶ ὁπόσον-οὖν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως τοῦ κηρύγματος ἀκούσαντες ἐκικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ. ἐκήρυξάν τε εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς
38 Ἀθηναίοις ὥστε βουλεῦσαι ὅ τι ἂν ἐκείνοις δοκῇ· οἱ δὲ ἀκούσαντες παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προσίεσθαι τὰ κεκηρυγμένα. μετὰ δὲ

Iph. T. 1367: κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν, οὗτοί τε. In den letzten Worten wiederhole man etwas geändert περιελθόντων τῶν πολεμίων, τῶν Ἀθηναίων, διεφθάρησαν. Daß dies Verbum hier nicht paſſe behaupte wer da glaubt daß ein Heer nur dann untergehe wenn es bis auf den letzten Mann niedergemetzelt wird. (Kr.) — ἀμφίβολοι ἤδη ὄντες nimmt nach der Parentheſe das βαλλόμενοι ἀμφοτέρωθεν ἤδη wieder auf. Doch ſcheint Arrian in dieſer Stelle das ἀμφίβολοι etwa gedeutet zu haben: nicht wiſſend wohin man ſich wenden ſolle, da er, wohl ſie nachahmend, ſagt An. 2, 23, 3: ὡς πανταχόθεν βαλλομένους τοὺς Τυρίους ἀμφιβόλους ἐν τῷ δεινῷ γίγνεσθαι. 4, 29, 4: ὡς ἀμφοτέρωθεν βαλλομένους τοὺς Ἰνδοὺς ἀμφιβόλους γίγνεσθαι. Andre, keine Parentheſe geſtattend, nehmen ein für mich ſehr abentheuerliches Satzgewirre an.

C. 37. Γνούς. γνόντες würde man wegen ἔπαυσαν erwarten. (Gb.) Gr. 63, 4. — ὅτι als ob folgen ſollte διαφθαρήσονται. Aehnlich Plat. Gorg. 481, d: αἰσθάνομαί σου — ὅτι — οὐ δυναμένου ἀνταλέγειν. Häufiger ſteht ὅτι oder ὡς bei folgendem Infinitiv ſo pleonaſtiſch. — καὶ ὁπόσονοῦν auch nur im mindeſten. zu 4, 16, 3. — ἀκούσαντες, οἱ Λακεδαιμόνιοι. (Sch.) — ἡσσηθεῖεν τοῦ δεινοῦ. Plat. Geſ. 635: ταὐτὸν πείσονται τοῖς ἡττωμένοις τῶν φόβων. Xen. Cyr. 6, 1, 36: θεοὺς ἀκούω ἔρωτος ἡσσᾶσθαι. Und ſo häufig. Gr. 47, 19 A. 1. — εἰ erkläre ich, wie vorher εἴ πως verſuchend ob. Doch kann man auch nach βούλοιντο intervungiren, ſo daß παραδοῦναι von ἐκήρυξαν abhinge. vgl. Kr. zu Xen. An. 4, 1, 13.

C. 38. § 1. παρῆκαν ſenkten (Hl.) Ueber die Form Gr. 36, 8 A. 1. — προσίεσθαι daß ſie darauf eingingen. vgl. 4, 108, 3. Der Inf., meint Pv., um zwei Participia zu vermeiden. vgl. 4, 47, 1. Doch ſcheuen die Griechen dergleichen ſonſt nicht. vgl. Gr. 56,

ταῦτα γενομένης τῆς ἀναχωχῆς ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης καὶ ἐκείνων Σιύφων ὁ Φάρυκος, τῶν πρότερον ἀρχόντων τοῦ μὲν πρώτου τεθνηκότος, Ἐπιτάδου, τοῦ δὲ μετ' αὐτὸν Ἱππαγρέτου ἐφῃρημένου ἐν τοῖς νεκροῖς ἔτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφῃρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. ἔλεγε 2
δὲ ὁ Σιύφων καὶ οἱ μετ' αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ὅ τι χρὴ σφᾶς ποιεῖν. καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρίς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι οἱ Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐτοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας. οἱ δὲ καθ' ἑ- 3
αυτοὺς βουλευσάμενοι τὰ ὅπλα παρέδοσαν καὶ σφᾶς αὐτούς. καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι τροπαῖον στήσαντες ἐν τῇ νήσῳ τἆλλα διεσκευάζοντο ὡς ἐς πλοῦν καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν, οἱ δὲ Λακεδαιμόνιοι κήρυκα πέμψαντες τοὺς νεκροὺς διεκομίσαντο.

Ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ζῶντες ἐλήφθησαν τοσοίδε· 4
εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ

---

7 A. 8. — ἐφῃρημένου zum eventuellen Nachfolger gewählt. zu 3, 100, 2. Ueber die Stellung Gr. 50, 10 A. 3. — κατὰ νόμον gehört zu ἐφῃρημένος. (Dr.) — εἴ für den Fall daß. — πάσχοιεν, ἀποθάνοιεν. (Sch.)

§ 2. ἔλεγε. Gr. 63, 4. — διακηρυκεύσασθαι. διά — ſcheint bloß das Hinüber anzudeuten. vgl. Kr. zu Xen. An. 1, 6, 2. — ἐκείνων ſcheint auf die Lakedämonier bezogen von οὐδένα abzuhängen, ſo daß τῶν Ἀθηναίων zu ἀφέντων zu ergänzen oder vielmehr aus dem Folgenden auch hieher zu beziehen iſt. (Sch.) — ἀφέντων, ὥστε ἐξελθεῖν διακηρυκεύεσθαι πρὸς τοὺς ἐν Πύλῳ. (Sch.) — τελευταῖος. Gr. 57, 5 A. 3. vgl. 1, 140, 4; ohne Artikel 1, 85, 3. 119. 7, 2, 1. — ὑμᾶς αὐτούς. Gr. 51, 2 A. 8. — μηδὲν αἰσχρὸν ποιοῦντας. αἰνίττεται ὡς ὅτι μᾶλλον βέλτιόν ἐστιν πεισθῆναι ἢ αἰχμαλώτους ληφθῆναι, ὡς νόμος Λακεδαιμονίοις. (Sch.)

§ 4. σταδία, ἃ καὶ συστάδην λέγεται καὶ ἐκ χειρός Strabo 10. (Bl.) ἔγχη σταδαῖα Aeſch. Perſ. 236. vgl. zu 7, 81, 5.

ἄλλοι ἀπέθανον. καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθά-
39 ρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν. χρόνος δὲ ὁ ξύμπας ἐγένετο ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν, ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης, ἑβδομήκοντα ἡμέραι καὶ δύο. τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν αἷς οἱ πρέσβεις περὶ τῶν σπονδῶν ἀπῆεσαν, ἐσιτοδοτοῦντο, τὰς δὲ ἄλλας τοῖς
2 ἐσπλέουσι λάθρᾳ διετρέφοντο. καὶ ἦν σῖτος ἐν τῇ νήσῳ καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδιεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν.

Οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος, καίπερ μανιώδης οὖσα, ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ
40 εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥσπερ ὑπέσχη. παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς Ἕλλησιν ἐγένετο· τοὺς γὰρ Λακεδαιμονίους οὔτε λιμῷ οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα παραδοῦναι, ἀλλὰ ἔχοντας
2 καὶ μαχομένους ὡς ἐδύναντο ἀποθνήσκειν. ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους καί τινος ἐρομένου ποτὲ ὕστερον τῶν Ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί, ἀπεκρίναπο αὐτῷ πολλοῦ ἂν ἄξιον εἶναι

C. **39**. § 1. ἀπὸ τῆς ναυμαχίας 4, 11. — ἐσιτοδοτοῦντο erhielten von den Athenern Speiſen geliefert. Ein nur ſonſt nicht vorgekommenes Wort. — τοῖς ἐσπλέουσι nehm' ich mit Ba. als Neutrum: von dem heimlich Eingeführten. vgl. zu 3, 114, 1.

§ 2. ἦν war noch vorhanden (Abr.) möchte ich tilgen, wenn nicht ἃ nach βρώματα hinzuzufügen iſt. — ἢ πρὸς τὴν ἐξουσίαν als er gekonnt hätte. (Sch.) Ueber πρός Gr. 68, 39 A. 5. — ὑπέσχη, ὑπέσχετο. (Sch.) übernahm, ſich verpflichtete. vgl. 8, 29, 1.

C. **40**. §. 1. γνώμην, προσδοκίαν. (Sch.) — ἠξίουν verlangten Daß der Satz nicht als allgemeiner Gedanke ausgeſprochen ſondern auf den vorliegenden Fall bezogen werde zeigen τούς und das Ipf. ἐδύναντο. Daß dabei nicht μήτε ſondern οὔτε ſteht erklärt ſich aus οὐκ ἀξιῶ. Gr. 67, 1 A. 2 u. 7 A. 3. — ὡς. ἕως laſen der Sch. u. Ba.

§ 2. ἀπιστοῦντες. Ein abſ. No., als ob etwa folgen ſollte: erhielten ſie als Antwort. (Pr.) Gr. 56, 9 A 4. — μή. zu 1, 10, 1. — δι' ἀχθηδόνα, ἀχθόμενος ἐπὶ τῇ τῶν Λακεδαιμονίων συμφορᾷ (Sch.) um den Gefragten zu kränken Ba. u. A., wohl rich-

τὸν ἄτρακτον, λέγων τὸν οἰστόν, εἰ τοὺς ἀγαθοὺς διεγίγνωσκεν, δήλωσιν ποιούμενος ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.

Κομισθέντων δὲ τῶν ἀνδρῶν οἱ Ἀθηναῖοι ἐβούλευσαν 41
δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν μέχρι οὗ τι ξυμβῶσιν, ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν ἐσβάλλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο, καὶ οἱ ἐκ τῆς Ναυπάκτου Μεσσήνιοι ὡς ἐς πατρίδα 2
ταύτην, ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς, πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους ἐλήϊζόν τε τὴν Λακωνικὴν καὶ πλεῖστα ἔβλαπτον, ὁμόφωνοι ὄντες. οἱ δὲ Λα- 3
κεδαιμόνιοι ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας καὶ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλά, καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτοὺς καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. οἱ δὲ μειζόνων τε ὠρέγοντο καὶ πολλάκις φοιτώντων αὐτοὺς 4
ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

Τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς 42
τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα καὶ δισχιλίοις

---

tig. Aehnlich ſteht διά zu 4, 102, 2 u. 5, 53, 2. (Arn.) — ἄτρακτον, τὸ ξύλον τοῦ βέλους. (Galen.) Bei Dramatikern auch Pfeil, alſo in dieſem Sinne wohl dialektiſch, namentlich doriſch. Wa. u. A. meinen es ſei verächtlich gewählt. — τοῖς τε. Den Da. ziehe ich mit Ba. zu ἐντυγχάνων.

C. 41. § 1. μέχρι οὗ. zu 4, 16, 3. — τι ξυμβῶσιν. zu 2, 5, 4.

§ 2. ὡς ἐς πατρίδα ταύτην, ἐς ταύτην ὡς ἐς πατρίδα. Gr. 68, 8. — ἔστι — γῆς. Schon geſagt 4, 3, 2. (Pp.) — ἐλήϊζον. zu 3, 85, 1. — τὴν Λακωνικήν, wozu Meſſenien gehörte. zu 2, 25, 1. — ὁμόφωνοι ὄντες könnte aus 4, 3, 3 beigeſchrieben ſein, doch mag auch Th. ſelbſt es hier aus demſelben Grunde wie dort zugefügt haben. (Dr.) Ueber den Nutzen bei Ueberfällen 3, 112, 3.

§ 3. ἀμαθεῖς die nicht erfahren hatten. (Ba.) ἀπαθεῖς St. Rand, auch mir eingefallen. — ἐπὶ μακρότερον in weiterer Ausdehnung, etwa auf die Perioiken. — ἔνδηλοι εἶναι, οὐ ῥᾳδίως φέροντες. Gr. 56, 16 A.

§ 4. φοιτώντων. Gr. 47, 4 A. 2 u. 3. — ταῦτα μέν —. zu 2, 54, 4.

ὁπλίταις ἑαυτῶν καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι καὶ Ἄνδριοι καὶ Καρύστιοι, ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου
2 ἱρίτος αὐτός. πλέοντες δὲ ἅμα ἕῳ ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου ὑπὲρ οὗ ὁ Σολύγιος λόφος ἐστίν, ἐφ' ὃν Δωριῆς τὸ πάλαι ἱδρυθέντες τοῖς ἐν τῇ πόλει Κορινθίοις ἐπολέμουν, οὖσιν Αἰολεῦσιν,
3 καὶ κώμη νῦν ἐπ' αὐτοῦ Σολύγεια καλουμένη ἐστίν. ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου ἔνθα αἱ νῆες κατέσχον ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει, ἡ δὲ Κορινθίων πόλις ἑξήκοντα, ὁ δὲ Ἰσθμὸς εἴκοσι. Κορίνθιοι δὲ προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ ἤξει τῶν Ἀθηναίων ἐκ πλείονος, ἐβοήθησαν ἐς Ἰσθμὸν πάντες πλὴν τῶν ἔξω Ἰσθμοῦ· καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν Λευκαδίᾳ ἀπῆσαν αὐτῶν πεντακόσιοι
4 φρουροί· οἱ δ' ἄλλοι παρεσκευάζοντο ἐπιτηρεῖν τοὺς Ἀθηναίους οἱ κατασχήσουσιν. ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς καταπλεύσαντες καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις
43 αὐτῶν ἐν Κεγχρειᾷ, ἣν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμύωνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος. καὶ Βάττος μὲν ὁ ἕτερος τῶν στρατηγῶν, δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες, λαβὼν λόχον ἦλθεν ἐπὶ τὴν Σολύγειαν κώμην, φυλάξων ἀτείχιστον οὖσαν, Λυκόφρων δὲ τοῖς ἄλλοις ξυνέβαλλεν. καὶ πρῶτον

C. 42. §. 1. ἑαυτῶν, im Gegenſatze zu den bundesgenoſſiſchen.

§ 2. ἅμα ἕῳ verbinde ich mit ἔσχον, weil πλέοντες nicht für ἀποπλεύσαντες ſtehen kann. Die Annäherung erfolgte noch Nachts § 4: νυκτὸς κατέπλευσαν; aber das eigentliche Anlegen und Landen erſt ἅμα ἕῳ. — αὐτοῦ. Gr. 60, 6 A. 2.

§ 3. εἴκοσι. λ' oder lieber μ' für κ' will Bl. — ἐκ πλείονος will St. mit προπυθόμενοι verbinden. vgl. 8, 88, 1. 91, 1. (Dr.) Wohl richtig. — καὶ ἐν Ἀ. für καὶ ἐν Ἀ. δέ. Gr. 69, 32 A. 9. — ἀπῆσαν für ἀπῆσσαν Ba., was hier und Xen. Hell. 7, 5, 10 zu erhalten, wenn es heißen kann: ſie waren fortgegangen. vgl. Kr. zu Xen. An. 1, 7, 8.

§ 4. τοὺς Ἀ. οἱ. zu 3, 105, 2. — σημεῖα Feuerzeichen, die Ankunft der Feinde ſignaliſirend. vgl. 4, 111, 1 mit § 2. (Dr.) — Κρομμυῶνα betont Pp. nach einigen Hſn. u. andern Schriftſtellern.

C. 43. § 1. τοῖς ἄλλοις mit den übrigen Truppen der

μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο, ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. καὶ ἦν ἡ μάχη καρτερὰ καὶ ἐν χερσὶ 2
πᾶσα. καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων, οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι, ἐδέξαντό τε τοὺς Κορινθίους καὶ ἐώσαντο μόλις· οἱ δὲ ὑποχωρήσαντες πρὸς αἱμασιάν, ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν, βάλλοντες τοῖς λίθοις καθύπερθεν ὄντες καὶ παιωνίσαντες ἐπῆσαν αὖθις, δεξαμένων δὲ τῶν Ἀθηναίων ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. λόχος δέ τις τῶν Κορινθίων ἐπιβοηθήσας τῷ εὐω- 3
νύμῳ κέρᾳ ἑαυτῶν ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας καὶ ἐπέδιωξεν ἐς τὴν θάλασσαν· πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι. τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο ξυνεχῶς, μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ' οἷ ὁ Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο· ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν.

Χρόνον μὲν οὖν πολὺν ἀντεῖχον οὐκ ἐνδιδόντες ἀλλήλοις· 41
ἔπειτα, ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑτέρων οὐκ ἐχόντων ἵππους, ἐτράποντο οἱ Κορίνθιοι καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον καὶ ἔθεντο τὰ ὅπλα καὶ οὐκέτι κατέβαινον ἀλλ' ἡσύχαζον. ἐν δὲ τῇ τροπῇ 2
ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἱ πλεῖστοί τε αὐτῶν ἀπέθανον

Korinthier. (Ba.) — *εὐθὺς ἀποβεβηκότι* ſobald er gelandet war. (Hſ.) Gr. 56, 10 A. 3.

§ 2. *ἐν χερσίν.* vgl. unten u. 6, 70, 1. Sonſt von den Kämpfenden, mit *εἶναι* 3, 108, 1, *γίγνεσθαι* 7, 5, 2, *ἀποκτείνειν* 3, 66, 2. 5, 3, 2, *διαφθείρεσθαι* 4, 57, 3. 113, 1. 5, 10, 10, *κατακόπτεσθαι* 4, 96, 2. — *αἱμασιάν* eine ſteinerne Mauer, wie immer vor Polybius. Steph. Theſ. (Pp.) — *πᾶν.* Kr. zu Xen. An. 4, 4, 1. — *τοῖς λίθοις.* Kr. zu Xen. An. 5, 7, 19. — *παιωνίσαντες.* zu 1, 50, 5. Der Päan zum Angriff hieß Ἐνυάλιος. (Sch.)

§ 3. *ξυνεχῶς* für *συνεχῶς* Pp. — *πειράσειν* für *πεῖραν ποιήσεσθαι* (Ba.) vgl. 4, 25, 7. (Pp.)

C. 44. § 1. *τῶν ἑτέρων, τῶν Κορινθίων.* (Sch.) zu 3, 73. vgl. 4, 48, 4. 5, 5, 1. — *οὐκέτι* nicht abermals mit Bezug auf *ἐπῆσαν αὖθις.* (Pp.)

§ 2. *οἱ πλεῖστοι* die meiſten der überhaupt gebliebenen Korinthier, nicht des Flügels. Denn es waren im Ganzen ja nur 212 ge-

καὶ Λυκόφρων ὁ στρατηγός. ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ οὐ κατὰ δίωξιν πολλὴν οὐδὲ ταχείας φυγῆς γενομένης, 3 ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη. οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς ἐπῆσαν ἐς μάχην, τούς τε νεκροὺς ἐσκύλευον καὶ τοὺς ἑαυτῶν ἀνῃροῦντο, τροπαῖόν τε εὐθέως ἔστησαν. τοῖς δ' ἡμίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ ἐκάθηντο φύλακες, μὴ ἐπὶ τὸν Κρομμύωνα πλεύσωσιν, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον καὶ ὡς ἔγνωσαν, ἐβοήθουν 4 εὐθύς. ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν Κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον. ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξύμπαντας αὐτοὺς ἐπιόντας καὶ νομίσαντες τῶν [ἐγγὺς] ἀστυγειτόνων Πελοποννησίων βοήθειαν ἐπιέναι ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς πλὴν δυοῖν, οὓς ἐγκατέλιπον, οὐ δυνάμενοι 5 εὑρεῖν. καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους, ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι τοὺς νεκροὺς οὓς ἐγκατέλιπον ὑποσπόνδους ἀνείλοντο. ἀπέθανον δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα.

45 Ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι ἔπλευσαν αὐθημερὸν ἐς Κρομμύωνα τῆς Κορινθίας· ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους. καὶ καθορμισάμενοι τὴν 2 τε γῆν ἐδῄωσαν καὶ τὴν νύκτα ηὐλίσαντο. τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν πρῶτον καὶ ἀπόβασίν τινα ποιησάμενοι ἀφίκοντο ἐς Μεθώνην τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος, καὶ ἀπολαβόντες τὸν τῆς χερσονήσου 3 ἰσθμὸν ἐτείχισαν, ἐν ᾧ ἡ Μεθώνη ἐστί, καὶ φρούριον κατασησάμενοι ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε Τροιζηνίαν

---

fallen § 5. (Bl) vgl. 7, 30, 2. (Arn.) — *τούτῳ τῷ πρόπῳ. τούτου τῇ τροπῇ*? Von Ba. nicht überſetzt.

§ 3. *τούτοις.* Gr. 51, 5 A. 1. — *κονίορτον.* Kr. zu Xen. An. 1, 8, 8. — *ὡς* iſt wiederholt damit man nicht *κονίορτον* als Object zu *ἔγνωσαν* denke. (Ba.) — *ἔγνωσαν*, die Sache. (Ba.)

§ 4. *πρεσβύτεροι. οἱ πρ.* Kr. — *ἐγγύς* verbächtigen Dobree u. Kr. vgl. 4, 92, 3, wo *ἐγγύς* ſynonym, u. Aeſch. Ag. 300.

γῆν καὶ Ἀλιάδα καὶ Ἐπιδαυρίαν. ταῖς δὲ ναυσίν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἴκου.

Κατὰ δὲ τὸν αὐτὸν χρόνον ὃν ταῦτα ἐγίγνετο καὶ Εὐρυ- 46
μέδων καὶ Σοφοκλῆς ἐπειδὴ ἐκ τῆς Πύλου ἀπῆραν ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει τῆς Ἰστώνης Κερκυραίων καθιδρυμένους, οἳ τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς καὶ πολλὰ ἔβλαπτον. προσβα- 2
λόντες δὲ τὸ μὲν τείχισμα εἷλον, οἱ δὲ ἄνδρες καταπεφευγότες ἀθρόοι πρὸς μετέωρόν τι ξυνέβησαν ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν τὰ ὅπλα παραδόντων τὸν Ἀθηναίων δῆμον διαγιῶναι. καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι οὗ Ἀθήναζε πεμφθῶσιν, ὥστε, ἐάν τις ἁλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. οἱ δὲ τοῦ 3
δήμου προστάται τῶν Κερκυραίων, δεδιότες μὴ οἱ Ἀθηναῖοι τοὺς ἐλθόντας οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδε τι. τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους, ὑποπέμψαντες φίλους καὶ διδάξαντες ὡς κατ' εὔνοιαν δὴ λέγειν ὅτι κράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν Κερκυραίων. ὡς δὲ ἔπεισαν 47
καὶ μηχανησαμένων τὸ πλοῖον ἐκπλέοντες ἐλήφθησαν, ἐλέ-

C. 45. § 3. ἐξετείχισαν, εἰς τέλος ἤγαγον τὸ τεῖχος τοῦ χωρίου. (Sch.)

C. 46. § 1. ὃν fehlt in den beſten Hſn.; andere καθ' ὅν. — τῆς Ἰστώνης. τῇ Ἰστώνῃ Dobree. vgl. 3, 85, 2. 4, 70, 2. 8, 105, 2. vgl. Gr. 50, 7 A. 2 u. 7. — τότε zurückweiſend auf 3, 85, 2. vgl. zu 1, 101, 2.

§ 2. παραδοῦναι, als ἀνδράποδα ohne Weiteres. — ἐάν für ἄν eine Hſ. Dies ſcheint Th. ſo nicht gebraucht zu haben. (Bp.)

§ 3. τοὺς ἐλθόντας wie wir die Angekommenen für: ſie, wenn ſie angekommen. vgl. zu 3, 81, 3. — πείθουσι. Auch hiezu gehört dem Sinne nach der Satz mit ὅτι, wiewohl ſyntaktiſch an λέγειν angeſchloſſen. (Hf.) — ὑποπέμπειν heimlich ſchicken, wie Xen. An. 2, 4, 22. (Bl.) vgl. dort Kr. — διδάξαντες, τοὺς ὑποπέμπτους. (Sch.) — δή, δῆθεν. (Sch.) Gr. 69, 17 A. 2 E.

C. 47. § 1. ἐλήφθησαν, οἱ πεισθέντες. (Bß.) Gr. 51, 5 A.

λυντό τε αἱ σπονδαὶ καὶ τοῖς Κερκυραίοις παρεδέδοντο οἱ πάντες. ξυνελάβοντο δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέσθαι καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων, κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι ὑπ' ἄλλων κομισθέντας, διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιῆσαι.

2 Παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι ἐς οἴκημα μέγα καθεῖρξαν, καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας διῆγον διὰ δυοῖν στοίχοιν ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ
48 τοὺς σχολαίτερον προσιόντας. καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες καὶ διαφθείραντες· ᾤοντο γὰρ αὐτοὺς μετασήσοντάς ποι ἄλλοσε ἄγειν· ὡς δὲ ἤσθοντο καί τις αὐτοῖς ἐδήλωσεν, τούς τε Ἀθηναίους ἐπεκαλοῦντο καὶ ἐκέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς διαφθείρειν, ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, οὐδ' ἐσιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα.
2 οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ' αὐτοὶ διενοοῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος καὶ διελόντες τὴν ὀροφὴν ἔβαλλον τῷ κεράμῳ καὶ ἐτόξευον κάτω.

---

3. — παρεδέδοντο für παρεδίδοντο die beſten Hſn., das unvergängliche Eintreten bezeichnend. Gr. 53, 4 A. 2. — ξυνελάβοντο τοῦ. Gr. 47, 15. — ἀκριβῆ τὴν πρόφασιν, πιθανὴν καὶ πιστὴν τὴν ἀπάτην. (Sch.) genau, buchſtäblich wahr. vgl. 1, 22, 1. 5, 26, 4. 6, 51, 1. (Weil.) das Vorgeben nämlich daß die Strategen ſie dem Volke ausliefern wollten. — βούλεσθαι. zu 4, 38, 1.

§ 2. τῆς ὁδοῦ. zu 4, 33, 3. Soph. Oed. K. 1165: αἰτεῖν ἀπελθὼν ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ. Ar. Vö. 1011: ὑπακοκίνει τῆς ὁδοῦ. Frie. 1155: τῆς αὐτῆς ὁδοῦ Χαρινάδην τις βωσάτω. Her. 7, 124 u. 9, 89: τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ. — προσιόντας, zu den beiden Reihen von Hopliten; προϊόντας Dr.

E. 48. §. 1. μετασήσοντας für μετασήσαντας Schäfer. — αὐτούς ſie ſelbſt, die Athener. (Arn.)

§ 2. διελόντες riſſen auf. (Ba.) Eben ſo Xen. Hell. 6, 5,

οἱ δὲ ἐφυλάσσοντό τε ὡς ἠδύναντο, καὶ ἅμα οἱ πολλοὶ σφᾶς 2
αὐτοὺς διέφθειρον, οἰστούς τε οὓς ἀφίεσαν ἐκεῖνοι ἐς τὰς
σφαγὰς καθιέντες καὶ ἐκ κλινῶν τινων, αἳ ἔτυχον αὐτοῖς
ἐνοῦσαι, τοῖς σπάρτοις καὶ ἐκ τῶν ἱματίων παραιρήματα
ποιοῦντες ἀπαγχόμενοι, παντὶ τρόπῳ τὸ πολὺ τῆς νυκτός, ἐπε-
γένετο γὰρ νὺξ τῷ παθήματι, ἀναλοῦντες σφᾶς αὐτοὺς καὶ
βαλλόμενοι ὑπὸ τῶν ἄνω, διεφθάρησαν. καὶ αὐτοὺς οἱ Κερ- 3
κυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἁμάξας ἐπιβα-
λόντες ἀπήγαγον ἔξω τῆς πόλεως. τὰς δὲ γυναῖκας, ὅσαι ἐν
τῷ τειχίσματι ἑάλωσαν, ἠνδραποδίσαντο. τοιούτῳ μὲν τρόπῳ
οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν,
καὶ ἡ στάσις πολλὴ γενομένη ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε 4
κατὰ τὸν πόλεμον τόνδε· οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέ-
ρων ὅ τι καὶ ἀξιόλογον. οἱ δὲ Ἀθηναῖοι ἐς τὴν Σικελίαν,
ἵνα περ τὸ πρῶτον ὥρμηντο, ἀποπλεύσαντες μετὰ τῶν ἐκεῖ
ξυμμάχων ἐπολέμουν.

Καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι καὶ Ἀκαρνᾶνες ἅμα 49
τελευτῶντος τοῦ θέρους στρατευσάμενοι Ἀνακτόριον Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ· καὶ ἐκπέμψαντες Κορινθίους αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. καὶ τὸ θέρος ἐτελεύτα.

---

9. (Bl.) — σφαγὴν καλοῦσι τὸ κατὰ τὴν κλεῖδα τοῦ ἀνθρώπου μέρος, δι' οὗ καθιᾶσι τὰ σιδήρια οἱ θέλοντες ἑαυτοὺς ἀνελεῖν. (Sch.) — ἐκ vor κλινῶν ist mir verdächtig. Va.: cubilium suorum funibus. Erhängen an Bettstellen (Hl. u. A.) ist mir nicht recht denkbar. — παραιρήματα Streifen, Schleifen. (Sch.) — ποιοῦντες wird durch καί mit σπάρτοις verbunden, so v. a. σπάρτοις καὶ παραιρήμασιν ἃ ἐποίουν. Gr. 59, 2 A. 3. — παντί. παντί τε Pp. Allein es ist eine Verkettung wie 1, 16. — ἀναλοῦντες für ἀναδοῦντες Hl.

§ 3. φορμηδόν, τοὺς μὲν κατὰ μῆκος αὐτῶν τιθέντες, ἄλλους δὲ πλαγίως ἐπιβάλλοντες. (Sch.) vgl. zu 2, 75, 2.

§ 4. ὅσα γε. Thukydides scheint also noch Unruhen die nach dem Kriege erfolgten erlebt zu haben. (Ullrich.) — τῶν ἑτέρων, der Aristokraten. vgl. zu 4, 44, 1. — ἵνα περ, bei einem Verbum der Bewegung, wie 74, 2 u. 6, 98, 2. vgl. Lex. Soph. In der attischen Prosa nicht gewöhnlich.

C. 49. αὐτοί. zu 1, 100, 3. — ἀπὸ πάντων, ἀφ' ἑκάστης πόλεως Ἀκαρνανίας. (Sch.)

50 Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀριστείδης ὁ Ἀρχίππου, εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγός, αἱ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην, ἄνδρα Πέρσην, παρὰ βασιλέως πορευόμενον ἐς Λακεδαίμονα, ξυλλαμ-
2 βάνει ἐν Ἠιόνι τῇ ἐπὶ Στρυμόνι. καὶ αὐτοῦ κομισθέντος οἱ Ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων ἀνέγνωσαν, ἐν αἷς πολλῶν ἄλλων γεγραμμένων κεφάλαιον ἦν πρὸς Λακεδαιμονίους οὐ γιγνώσκειν ὅ τι βούλονται· πολλῶν γὰρ ἐλθόντων πρέσβεων οὐδένα
3 ταὐτὰ λέγειν· εἰ οὖν βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας ὡς αὐτόν. τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον καὶ πρέσβεις ἅμα· οἱ πυθόμενοι αὐτόθι βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα, κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν, ἐπ' οἴκου ἀνεχώρησαν.

51 Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ καινὸν κελευσάντων Ἀθηναίων καὶ ὑποπτευσάντων ἐς αὐτούς τι νεωτεριεῖν, ποιησάμενοι μέντοι πρὸς Ἀθηναίους πίστεις καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

C. 50. § 2. *μεταγράψαμενοι*, *μεθερμηνεύσαντες*. (Sch.) — *Ἀσσυρίων γραμμάτων*. Sie bezeichnen doch wohl nicht bloß aſſyriſches Alphabet ſondern auch aſſyriſche Sprache. vgl. Her. 4, 87. Keilſchrift verſteht Heeren Ideen 1 S. 609. — *ταὐτά* was die vorigen. Her. 9, 54: *ἐπιστάμενοι τὰ Λακεδαιμονίων φρονήματα ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων*.

§ 3. *σαφές*. Gr. 43, 4 A. 10. — *πέμψαι*. Gr. 65, 11 A. 9.

C. 51. *καὶ ὑποπτευσάντων*. Über *καί* zu 1, 1, 1. (Kr.) vgl. Benſeler z. Iſokr. Areop. p. 298. (Pv.) — *ἐς αὐτούς*, ſonſt *ἐκ αὐτοῖς*, verbindet man mit *νεωτεριεῖν*: daß ſie, die Chier, gegen ſie, die Athener, untreu ſein würden. Allein *νεωτερίζειν ἐς τινα* heißt etwas Anderes 2, 3, 1. Daher möchte ich *ἐς αὐτούς* in Bezug auf ſie, die Chier, mit *ὑποπτευσάντων* verbinden. So *ὑπόπτης* und *ὑποψία ἐς τινα* 6, 60, 1. 61, 3. vgl. zu 6, 92, 1. Mit einem bloßen perſönlichen Ac. (5, 35, 1) iſt das Wort bei Attikern ſelten. — *ποιησάμενοι πίστεις* ſchloſſen einen Vertrag, wie Xen. Hell. 1, 3, 4. 12. — *βεβαιότητα ἐκ τῶν δυνατῶν* verbinde ich: ſie verſchafften ſich (*ποιησάμενοι*) eine nach Möglichkeit ſichere Garantie. Eine völlig

Τοῦ δ' ἐπιγιγνομένου θέρους εὐθὺς τοῦ τε ἡλίου ἐκλιπές 52
τι ἐγένετο περὶ νουμηνίαν καὶ τοῦ αὐτοῦ μηνὸς ἱσταμένου
ἔσεισεν. καὶ οἱ Μυτιληναίων φυγάδες καὶ τῶν ἄλλων Λε-
σβίων, ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου καὶ μισθωσά-
μενοι ἔκ τε Πελοποννήσου ἐπικουρικὸν καὶ αὐτόθεν ξυναγεί-
ραντες, αἱροῦσι Ῥοίτειον· καὶ λαβόντες δισχιλίους στατῆρας
Φωκαΐτας ἀπέδοσαν πάλιν, οὐδὲν ἀδικήσαντες. καὶ μετὰ 2
τοῦτο ἐπὶ Ἀνταν δρον στρατεύσαντες προδοσίας γενομένης
λαμβάνουσι τὴν πόλιν. καὶ ἦν αὐτῶν ἡ διάνοια τάς τε ἄλλας
πόλεις τὰς ἀκταίας καλουμένας, ἃς πρότερον Μυτιληναίων
νεμομένων Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν, καὶ πάντων μά-
λιστα τὴν Ἀνταν δρον, καὶ κρατυνάμενοι αὐτήν — ναῦς τε 3
γὰρ εὐπορία ἦν ποιεῖσθαι, αὐτόθεν ξύλων ὑπαρχόντων καὶ
τῆς Ἴδης ἐπικειμένης, καὶ τῇ ἄλλῃ παρασκευῇ — ῥᾳδίως
ἀπ' αὐτῆς ὁρμώμενοι τήν τε Λέσβον, ἐγγὺς οὖσαν, κακώσειν
καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσασθαι. καὶ
οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.

Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ καὶ δισ- 53
χιλίοις ὁπλίταις ἱππεῦσί τε ὀλίγοις καὶ τῶν ξυμμάχων Μι-
λησίους καὶ ἄλλους τινὰς ἀγαγόντες ἐστράτευσαν ἐπὶ Κύθηρα·

---

zufrieden ſtellende ließ ſich freilich von den übermächtigen Athenern nicht erlangen.

C. 52. § 1. *ἐκλιπές.* Arr. An. 3, 7, 6: *τῆς σελήνης τὸ πολὺ ἐκλιπὲς ἐγένετο.* — *ἐγένετο* in der ſiebenten Stunde nach Mitternacht des ein und zwanzigſten Merz. — *μηνός, Ἑκαταμβολιῶνος.* — *ἱσταμένου* anfangend, d. h. in der erſten Dekade. Ideler Chronol. 1 S. 280. — *ἔσεισε, σεισμὸς ἐγένετο.* (St.) Gr. 61, 4 A. 4. — *ἐπικουρικόν.* Gr. 43, 4 A. 17. vgl. 8, 25, 2. 55, 3 (Bl.) — *αὐτόθεν, ἐκ τῆς ἠπείρου.* (Sch.) — *Φωκαΐτας*, aus dem ſchlechteſten Golde geprägt. Heſych. *Φωκαΐς.*

§ 2. *ἀκταίας* 3, 50, 3. — *πάντων.* Gr. 47, 28 A. 12.

§ 3. *κρατυνάμενοι κακώσειν*, indem *διενοοῦντο* aus *ἦν αὐτῶν ἡ διάνοια* gedacht wird. (Ba.) — *ποιεῖσθαι.* Gr. 50, 6 A. 4. — *αὐτόθεν* verbindet man ſonſt mit *ποιεῖσθαι.* — *καὶ τῆς. καὶ ἐκ τῆς* Ba.? — *καὶ τῇ ἄλλῃ παρασκευῇ* erg. *εὐπορία ἦν.* (Hf.) Hart! Gut vermuthet Py. *καὶ τὴν ἄλλην παρασκευήν*, was verfälſcht wurde, weil vor Py. dieſe Worte nach der Parentheſe ſtanden. Für *παρασκευῇ* die beſten Hſn. *σκευῇ.* — *χειρώσασθαι.* zu 1, 81, 2.

C. 53. § 1. *καὶ ἀγαγόντες.* zu 1, 26, 3.

ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος ὁ
2 Διοτρέφους καὶ Αὐτοκλῆς ὁ Τολμαίου. τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ Λακωνικῇ κατὰ Μαλέαν· Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων καὶ κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης διέβαινεν αὐτόσε κατὰ ἔτος, ὁπλιτῶν τε φρουρὰν
3 διέπεμπον ἀεὶ καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο. ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προσβολή, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ἢπερ μόνον οἷόν τ' ἦν κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς
54 τὸ Σικελικὸν καὶ Κρητικὸν πέλαγος. κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ, δέκα μὲν ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ πόλιν, Σκάνδειαν καλουμένην, αἱροῦσι, τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μαλέαν τετραμμένα ἐχώρουν ἐπὶ τὴν [ἐπὶ θαλάσσῃ] πόλιν τῶν Κυθηρίων, καὶ εὗρον [εὐθὺς] αὐτοὺς
2 ἐστρατοπεδευμένους ἅπαντας. καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι κατέφυγον ἐς τὴν ἄνω πόλιν, καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρχοντας Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν πλὴν θανάτου. ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ
3 λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων, διὸ καὶ θᾶσσον καὶ ἐπιτηδειότερον τό τε παραυτίκα καὶ τὸ ἔπειτα τὰ τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς· ἀνέστησαν γὰρ ἂν οἱ Ἀθηναῖοι

---

§ 2. *εἰσί*, οἱ Κυθήριοι. Gr. 59, 4 A. 3. — *τῶν περιοίκων* aus der Klaſſe der Perioiken. (Kiſt.) Gr. 47, 9. *Κυθηροδίκης ἀρχή*. zu 1, 96, 2. — *ἐπεμπον*, οἱ Σπαρτιᾶται.

§ 3. *προσβολή*, πρόσορμισις καὶ καταγωγή. (Sch.) zu 4, 1, 1. — *ἀνέχει*, ἀνατείνει καὶ ἀναπέπταται. (Sch.) zu 1, 46, 3.

C. 54. § 1. *ἐπὶ θαλάσσῃ* zum zweiten Male mit dem Artikel als Beſtimmung einer Stadt iſt auffallend. Auch ſcheint der Sch. es nicht geleſen zu haben. vgl. Pauſ. 3, 23, 1: *Κύθηρα ἡ πόλις ἀπὸ Σκανδείας σταδίους ὡς δέκα.* — *εὐθύς* iſt verdächtig. Kr. z. Dion. p. 132.

§ 2. *τὴν ἄνω πόλιν*, *τὴν τῶν Κυθηρίων*, im Gegenſatze zu *Σκάνδεια*. Denn daß die Stadt der Kytherier neben einer obern Stadt noch außer Skandeia einen Hafenort gehabt iſt nach § 4 nicht füglich anzunehmen. Auch kannten Pauſ. und der Sch. nur zwei Orte. — *πλὴν θανάτου* nur daß man ſie nicht tödte. Kr. zu Xen. An. 2, 4, 27.

§ 3. *ἐπιτηδειότερον*, *συμφερόντως* (*μᾶλλον*). (Sch.) vgl. zu 1, 19. — *τά* fehlt in den beſten Hſn. — *ἄν*, von Hl. ergänzt iſt nach

Κυθηρίους, Λακεδαιμονίους τε ὄντας καὶ ἐπὶ τῇ Λακωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης. μετὰ δὲ τὴν ξύμβασιν οἱ Ἀθη- 4
ναῖοι τήν τε Σκάνδειαν τὸ ἐπὶ τῷ λιμένι πόλισμα παραλα-
βόντες καὶ τῶν Κυθήρων φυλακὴν ποιησάμενοι ἔπλευσαν ἔς
τε Ἀσίνην καὶ Ἔλος καὶ τὰ πλεῖστα τῶν περὶ θάλασσαν, καὶ
ἀποβάσεις ποιούμενοι καὶ ἐναυλιζόμενοι τῶν χωρίων οὗ
καιρὸς εἴη ἐδῄουν τὴν γῆν ἡμέρας μάλιστα ἑπτά.

Οἱ δὲ Λακεδαιμόνιοι ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ 55
Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν
ἀποβάσεις τοιαύτας ποιήσεσθαι, ἀθρόᾳ μὲν οὐδαμοῦ τῇ
δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν χώραν φρουρὰς διέπεμψαν,
ὁπλιτῶν πλῆθος, ὡς ἑκασταχόσε ἔδει, καὶ τὰ ἄλλα ἐν φυ- 2
λακῇ πολλῇ ἦσαν, φοβούμενοι μὴ σφίσι νεώτερόν τι γένηται
τῶν περὶ τὴν κατάστασιν, γεγενημένου μὲν τοῦ ἐπὶ τῇ νήσῳ
πάθους ἀνελπίστου καὶ μεγάλου, Πύλου δὲ ἐχομένης καὶ
Κυθήρων καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος
καὶ ἀπροφυλάκτου, ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακο- 3
σίους κατεστήσαντο καὶ τοξότας, ἔς τε τὰ πολεμικά, εἴπερ
ποτέ, μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο, ξυνεσιῶτες παρὰ τὴν
ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ
τούτῳ πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς

Py. eingeſchoben. vgl. 4, 57, 4 und über γὰρ ἄν Gr. 54, 12 A. 9. — οὕτως deiktiſch mit Bezug auf 4, 53, 3. — τε ὄντας καὶ ἐπικειμένης. Gr. 55, 14 A. 2.

§ 4. παραλαβόντες empfingen. (Ba.) nämlich von den Milеſiern § 1. (Py) — περί. παρά? — καιρὸς εἴη gelegen war. (Py.) vgl. 4, 90, 3. Erg. ἐναυλίζεσθαι. Gr. 55, 4 A. 11.

C. 55. § 1. ὁπλιτῶν πλῆθος möcht' ich zu ὡς ziehen: eine Anzahl wie. — ἑκασταχόσε erg. πέμπειν aus διαπέμπειν.

§ 2. νεώτερόν τι. Ohne Zweifel fürchteten ſie die Heloten. vgl. 41, 3. (Hk.) — τὴν κατάστασιν, τὴν πολιτείαν αὐτῶν καὶ τὴν χώραν. (Sch.) vgl. 2, 68, 2. — ἀπροφύλακτος πόλεμος Krieg vor dem man ſich nicht hüten kann kennt Bl. nur noch aus Dio C. 89, 21.

§ 3. εἴπερ — ἐγένοντο ſie wurden, wenn irgend jemals, im höchſten Grade widerwillig, widerwilliger als ſchon ſonſt. — σφῶν. zu 1, 25, 2. — οἷς — πράξειν, οἱστισιν, τοῖς Ἀθηναίοις, τὸ μὴ ἐπιχειρεῖν ἀεί τι πράττειν καινὸν ὑστέρησις ἐδόκει τῶν προσδοκηθέντων. (Sch.) welche Alles was ſie nicht wirklich verſuchten als einen Abgang an dem was ſie nach ihrer

4 ἦν τῆς δοκήσεώς τι πράξειν. καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς ἔκπληξιν μεγίστην παρεῖχεν, καὶ ἐδεδίεσαν μή ποτε μὔθις ξυμφορά τις αὐτοῖς περιτύχῃ οἵα καὶ ἐν τῇ νήσῳ. ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ἦσαν καὶ πᾶν ὅ τι κινήσειαν ᾤοντο ἁμαρτήσεσθαι διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν.

56 Τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν, ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ
2 ἐν τῷ τοιούτῳ· μία δὲ φρουρά, ἥπερ καὶ ἠμύνατο περὶ Κυτήρων καὶ Ἀφροδισίαν, τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν, καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι καὶ ὅπλα ἐλήφθη, τροπαῖόν τε στήσαντες οἱ Ἀθηναῖοι ἀπί-
3 πλευσαν ἐς Κύθηρα. ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ δῃώσαντες μέρος τι τῆς γῆς ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἥ ἐστι μὲν τῆς Κυνοσουρίας γῆς καλουμένης,
4 μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς· νεμόμενοι δὲ αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν

Meinung ausrichten könnten aufsahen. (Hl.) ἐλλιπές eben so 4, 63, 1. vgl. 1, 70, 4.

§ 4. τὰ τῆς τύχης. Soph. Oed. T. 977: τὰ τῆς τύχης κραιό, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής. Eur. Alk. 785: τὰ τῆς τύχης γὰρ ἀφανὲς οἱ προβήσεται. (Elmsley) — ἐδεδίεσαν. Gr. 40 unter δι — . — πᾶν dem ὅ τι angeähnlicht. Gr. 51, 10 A. 10. Doch kann es auch von ἁμαρτήσεσθαι abhängen, wenn man dies in der Bedeutung schlecht machen auffaßt, wie 3, 47, 1. 4, 114, 5. vgl. 1, 38, 3. 39, 2. 42, 2. 2, 65, 7. 3, 42, 4. — κινήσειαν unternähmen. (Ba.) vgl. Schweb. zum Onos. p. 120 (Pp.) — γνώμην ἀνεχέγγυον Gesinnung welche die verbürgende Sicherheit des Gelingens nicht besitzt. zu 3, 46, 1. Der früher dauernd Glückliche wird am meisten durch Unglück entmuthigt.

56. § 1. δῃοῦσι. Eig. Dativ des Bezuges: in Rücksicht auf die Athener welche verheerten. Gr. 48, 5 A. 1. — καὶ ἐν τῷ τοιούτῳ und in solcher Lage (Pö.), Stimmung. vgl. 4, 55, 4. (Hf.) Ich wittere, wie auch Hl., eine Lücke.

§ 2. ἥπερ καὶ die eben. vgl. 1, 15, 2. 82, 2. — ἐφόβησεν, εἰς φυγὴν ἔβαλεν. (Sch.) vgl. 7, 30, 1. 79, 4; aber φοβήσαντες ἐπιφ. 2, 79, 5.

§ 3. δέ nach μεθορία ist mir verdächtig.

διά τε τὰς ὑπὸ τῶν σεισμῶν σφίσι γενομένας καὶ τῶν Εἱλώ-
ιων τὴν ἐπανάστασιν εὐεργεσίας καὶ ὅτι Ἀθηναίων ὑπα-
κούοντες ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν. προς- 57
πλεύντων οὖν ἔτι τῶν Ἀθηναίων οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ
τῇ θαλάσσῃ ὃ ἔτυχον οἰκοδομοῦντες τεῖχος ἐκλείπουσιν, ἐς
δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν, ἀπέχουσαν
σταδίους μάλιστα δέκα τῆς θαλάσσης. καὶ αὐτοῖς τῶν Λα- 2
κεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυν-
ετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν δεομένων
τῶν Αἰγιγνητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κα-
ταικλῄεσθαι· ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα, ὡς οὐκ ἐνόμιζον
ἀξιόμαχοι εἶναι, ἡσύχαζον. ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόν- 3
τες καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ αἱροῦσι τὴν Θυ-
ρέαν καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν,
τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες
ἀφίκοντο ἐς τὰς Ἀθήνας καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς
ἦν τῶν Λακεδαιμονίων, Τάνταλον τὸν Πατροκλέους· ἐζω-
γρήθη γὰρ τετρωμένος. ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων 4
ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μετασῖσαι.
καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς
τὰς νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυ-
τῶν φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι
πάντας ὅσοι ἑάλωσαν διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν,
Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαι-
μονίους καταθῆσαι.

Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Κιμαριναίοις καὶ Γε- 58
λῴοις ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ

---

§ 4. τὸν σεισμόν 1, 101, 1 u. 2, 27, 2. — πρὸς τὴν ἐκεί-
νων γνώμην ἀεὶ ἔστασαν, ὁμόφρονες καὶ φίλοι τοῖς Λακεδαιμο-
νίοις ὄντες. (Sch) vgl. 6, 34, 7 u. Musgrave zu Soph. Ant. 299.

C. 57. § 1. δέκα. Dreimal ſo viel nach Leake.

§ 3. ἄρχοντα Befehlshaber der lakoniſchen Beſatzung, wie 69, 3. 5, 3, 2. vgl. 3, 100, 2. (Arn.)

§ 4. νήσους, wie 3, 72. 5, 84, 1. (Hf.) vgl. 1, 115, 3. 3, 28, 3. 35. — τάλαντα. Gr. 60, 2 A. 2. — προτέραν. πρότερον? Gr. 50, 8 A. 10. vgl. 1, 32, 3. 4. — παρὰ τούς mit καταθῆσαι verbunden umfaßt mit das Hinbringen. vgl. zu 3, 3, 3. — ἐν τῇ νήσῳ. ἐκ τῆς νήσου Lindau und Dd. Gemeint ſind die von Sphakteria.

ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν, ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις, ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγείεν. καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοιτο ἐπ' ἀμφότερα, διαφερομένων καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτούς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.

59 "Οὔτε πόλεως ὢν ἐλαχίστης ὦ Σικελιῶται τοὺς λόγους ποιήσομαι οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος
2 τῇ Σικελίᾳ πάσῃ. καὶ περὶ μὲν τοῦ πολεμεῖν, ὡς χαλεπόν, τί ἄν τις πᾶν τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ, ἢν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται. ξυμβαίνει δὲ τοῖς μὲν τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦ-
3 σθαι· αὐτὰ δὲ ταῦτα εἰ μὴ ἐν καιρῷ τύχοιεν ἑκάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι. ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν ἄξιον γένοιτο'

C. 58. ἐπ' ἀμφότερα für und gegen die Einigung. — ἀξιούντων Ansprüche machten. — ἐς τὸ κοινόν verbindet man nach Abr. mit εἶπεν. An der ersten Stelle steht es weil im Vorigen enthalten ist daß er vorher die Einzelnen zu der Zusammenkunft bewogen.

C. 59. § 1. πόλεως ὤν. Gr. 47, 6 A. 5.

§ 2. ἀμαθίᾳ aus Unkunde der Uebel des Krieges, vgl. zu 1, 80, 1. — ἀναγκάζεται. zu 4, 25, 1. — αὐτό, τὸ πολεμεῖν (Dk.) — τοῖς μὲν — οἱ δέ einige — andere der Kriegführenden. — πρὸ τοῦ, ὑπὲρ τοῦ. (Sch.) — ἐλασσοῦσθαι, πλεονεκτηθῆναι παρὰ τῶν ἄλλων. (Sch.)

§ 3. ἐν vor καιρῷ fehlt in den besten Hss.; sprachwidrig. (Pr.) Gr. 48, 2 A. 6 u. 9. Denn wohl dynamisch steht der bloße Da. Sch. Oed. T. 1516: πάντα γὰρ καιρῷ καλά. Der Sinn: wenn man aus Ueberschätzung der erwarteten Vortheile oder aus dem Streben nichts zu verlieren zur Unzeit Krieg führt und die Verfolgung desselben betreibt. — τῶν ξυναλλαγῶν zu Aussöhnungen. Gr. 47, 7 A. 2. — ὃ ist zunächst Object zu πειθομένοις: wenn wir uns davon, daß solche Rathschläge nützlich sind, überzeugen, so dürfte es ꝛc (Hl.) — γάρ stellt den vorhergehenden Satz mit βουλευόμενοι in Bezug: Rathschlägen zu horchen ist jetzt nüt-

τὰ γὰρ ἔθνη ἅπαντα οὐ βουλόμενα δὴ δέεσθαι τῶν πρώτων ἐπολεμήσαμεν καὶ τῶν περὶ ἐκείνης διαλλαγῶν πειρώμεθα ποιεῖσθαι, καὶ ἢν ἄρα μὴ πραγματικὴ ἡμῶν ἐκείνην ἔχοντα ἀπιστῶσιν, πλὴν πολεμησόμεθα. πολλὰ γὰρ καὶ 69
χρὴ ὧδε καὶ περὶ τῶν ἄλλων φύσει, εἰ συμφέροιμεν, ἐ ξυνοδος ἔσεσθαι, ἀλλ' εἰ ἐπιβουλεύσομέν τι τοῖς Σικελιώταις, ὡς ἐγὼ κρίνω, ἐπ' Ἀθηναίων ἀναγκασθῆναι ἐπὶ διαπόντου· καὶ διαλλαττόμεθ' οὐδὲν τῶν ἔργων λόγοις ἀναγκαιοτέροις περὶ τῶνδε Ἀθηναίους νομίσαι, εἰ δυνατὸν ἔσται μεγίστην τῶν Ἑλλήνων πόλιν ἐκ φιλικῆς ἡμῖν ἐχθρὰν ποιῆσαι, ἐλπίσας ναυτικὴ περόντες, καὶ ἀνάγκην ἐναύτην ξυμμαχίας τὸ μέγιστον εὐπορεῖσθαι ἐς τὸ ξυμφέρον παρέξουσιν. πόλεμον γὰρ αἱρο- 2
μένοις ἡμῖν καὶ ἐπιγιγνόμενον αὐτοῖς ἀνάγκη αἱ καὶ νῦν μὴ ἐκπολεμοῦντες αὐτοὶ ἐπιτηδειότατον, πόσον τε ἡμᾶς αὐ-

---

lich; denn wir beratschlagten ja auch als wir Krieg anfingen — δὲ gehört zu δέεσθαι (Sch.). Th. wenigstens hat das Adverbium in dieser Formel sonst nirgends vom Lacken gebraucht; und die Einschaltung des βουλόμενα δή mag an sich befremden. Daher scheint mir Dobree ein Glossem. Ueber οὐ βουλόμενα s. 6, 23, 3. vgl. 1, 43, 2. 85, 3. — δή eben, hier aber wohl nicht ohne Ironie: wie Jeglicher meinten. — τότε für nun Hf. — διαλλαγῶν unsere beiderseitigen Ansprüche einander streitig machend. — περιγιγνόμενα nehmen als Comparativ Ba. u. Pö., als Indicativ Kr. u. Kl. — προχωρεῖν von Sachen geht, gelingt. — ἴσον, τὸ προσῆκον ἑκάστῳ καὶ δίκαιον. (Sch.)

C. 69. § 1. ἔστιν. ἔσται Kr. Oder ξυνοδος heißt schlechthin Berathung, welcher Begriff wenigstens bei ἀλλ' εἰ zu denken ist. — διαλλαττόμεθ. Ein bei Attikern seltenes Wort, doch auch bei Dem. 14, 40 48, 2. (Bl.) — νομίσαι hängt wieder von χρὴ ab. — μεγίστην τῶν Ἑλλήνων. Gr. 47, 28 A. 7. — τὸ φίλιον πολέμιον die natürliche Feindseligkeit der ionischen Athener gegen die meist dorischen Sikelioten. vgl. 6, 79, 2. — εὐπορεῖσθαι, πλοίων. (Sch.) zu 1, 37, 3. vgl. 6, 6, 1 u. 79, 2. — ἐς τὸ ξυμφέρον καθίστασθαι gestalten zu ihrem Nutzen (Pr.), indem sie eben durch ihre erklärte Feindseligkeit gegen einen Theil der Sikelioten andere sich zu Bundesgenossen erwerben.

§ 2. ἄνδρας οἱ. Ken. An. 2, 3, 4: ἔλεγον ὅτι καὶ στρατιὰν ἔχοιεν, ἄνδρας οἵους ἐκεῖνοι ἐκτῶντο. — τοὺς μὴ ἐκπολεμοῦντας für τοὺς μὴ ἐκπολεμοῦντας die besten Hss. vgl. 4, 92, 5. Bald. in Gor. Phön. 292 u. Hipp. 526. (Gb.) Gr. 48, 11 A. 6. — αὐτοὶ aus eignem Antriebe. (Kiß.) — ἐκπολεμοῦντες ziehen mit einem

τοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκός, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλέονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς τάδε πάντα πειρά-
61 σασθαι ὑπὸ σφᾶς ποιεῖσθαι. καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπικτωμένους μᾶλλον ἢ τὰ ἑτοῖμα βλάπτοντας ξυμμάχους τε ἐπάγεσθαι καὶ τοὺς κινδύνους προσλαμβάνειν, νομίσαι τε στάσιν μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι ξύμ-
2 παντες μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν. ἃ χρὴ γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν, παρεσκευάσθαι δὲ μηδενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές.
3 οὐ γὰρ τοῖς ἔθνεσιν, ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν, ἀλλὰ ἰῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδικοῦ γένους

Heere in ihr Land. — τέλεσι, δαπάναις. (Sch.) — τῆς ἀρχῆς in ihrer Herrſchaft nimmt Hk. partitiv. vgl. 7, 56, 3. Richtiger vergleicht Arn. Heſ. ε, 577: Ἡώς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου. Gr. 47, 21. — προκόπτω fördere, bin förderlich. vgl. 7, 56, 3 u. Pflugk z. Eur. Heſ. 961. Kein häufiger Gebrauch.

C. 61. § 1. τὰ μὴ προσήκοντα, τὰ ἀλλότρια. (Sch.) — ἐπικτωμένους und βλάπτοντας meint Py. könne wegen der Stellung des τέ nicht zu ξυμμάχους ſondern nur zu ἑκάστους gehören, was ich bezweifele. — τὰ ἑτοῖμα. zu 1, 70, 3. Beſchädigung der eignen Macht iſt von übermächtigen Bundesgenoſſen, wie die Athener, ſicher zu erwarten. — κινδύνους προσλαμβάνειν auch 6, 78, 3. (Py.) Das προς — heißt hier wohl nicht noch dazu (zu den Bundesgenoſſen Py.), ſondern bloß zu: ſich zuziehen. vgl. 5, 111, 3. 6, 18, 7 mit 1, 82, 2. 4, 86, 1. — διέσταμεν ſind getrennt, indem einige Städte es mit den Athenern, andere mit den Peloponneſiern halten. vgl. 1, 18, 6 u. 6, 79, 2.

§ 2. παρεσκευάσθαι, δόξαν εἶναι. (Sch.) So auch 4, 95, 1. 6, 34, 8. 78, 1. (Dr.) vgl. Morus z. Longin. 9 (Add.) — ἡμῶν. Gr. 47, 9 u. zu 4, 126, 3. — Ἰάδι. zu 1, 131, 1. — ἀσφαλές, ἐν ἀσφαλείᾳ καθεστάναι. (Sch.) vgl. 1, 34, 2. 39, 3.

§ 3. δίχα πέφυκε von verſchiedenem Stamme ſind. (Kl.) — ἑτέρου iſt mit ἔχθει zu verbinden: aus Feindſchaft gegen das Eine, den doriſchen Stamm. — ἐπίασιν mit Präſensbedeutung? Gr. 38, 3 A. 3. Doch kann man es auch auf den erſt erwarteten Hauptangriff beziehen. — ἐν τῇ τοῦ X. γένους παρακλήσει bei der Herbeirufung, Einladung von Seiten des

παρακλήσει· τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. καὶ τοὺς μὲν Ἀθηναίους ταῦτα πλεο- 4
νεκτεῖν τε καὶ προνοεῖσθαι πολλὴ ξυγγνώμη, καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσιν· πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας, τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν. τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ 5
πρὸς ἀλλήλους ξυμβαίημεν· οὐ γὰρ ἀπὸ τῆς αὐτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνη δὲ διαφοραὶ ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασιν."

"Καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ 62
βουλευομένοις εὑρίσκεται· τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιή-

---

chalkidiſchen Stammes. — τὸ δίκαιον die pflichtmäßige Unterſtützung. — μᾶλλον τῆς ξυνθήκης mehr als es der Vertrag erforderte. (Hl., der nur μᾶλλον falſch mit προθύμως verbindet.)

§ 4. προνοεῖσθαι dies vorbereitende Maßregeln ergreifen. — ἑτοιμοτέροις als ſie zu herrſchen. (Hl.) — πέφυκε iſt von Natur geneigt. — τοῦ εἴκοντος. Gr. 43, 4 A. 17. — τὸ ἐπιόν die feindlich entgegen Tretenden. — μηδὲ τοῦτό τις. Bei τις ſchwebt ein ὅς aus ὅσοι vor: καὶ ὅστις μὴ τοῦτο. Gr. 60, 6 A. 1. — τοῦτο, τὸ θέσθαι. Gr. 51, 7 A. 4. — τὸ κοινῶς φοβερόν das uns allen drohende Uebel. (Hl.) ἡ δούλωσις ἡ παρὰ τῶν Ἀθηναίων ἐπιβουλευομένη πᾶσιν ὁμοίως. (Sch.) — πρεσβύτατον für das Wichtigſte. (Sch.) Die Erkl. zum Liv. 1, 32. (Gb.)

§ 5. αὐτοῦ, τοῦ κοινῶς φοβεροῦ. — οὐ γὰρ — ἐπικαλεσαμένων. Daher ſind ſie nicht zu fürchten, wenn wir ausgeſöhnt ihnen kein ὁρμητήριον in unſerm Lande gewähren. (Ds.) — οὕτως, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν. (Sch.) — πόλεμος πολέμῳ heimiſcher Krieg durch Mitkämpfen der Athener. — οἱ ἐπίκλητοι, οἱ Ἀθηναῖοι. (Sch.) — εὐπρεπῶς, μετὰ προφάσεως εὐπρεποῦς. (Sch.) — εὐλόγως, διὰ τὸ ξυμβῆναι. (Sch). vgl. 3, 82, 4. 6, 79, 2.

62. § 1. τὸ πρός in Bezug auf das Verhältniß zu. — ὁμολογουμένην. Gr. 50, 12 A. 1. — ἄριστον. Gr. 43, 4 A. 11. — καὶ ἐν ἡμῖν auch unter uns, wie er überhaupt wün-

σασθαι; ἢ δοκεῖτε, εἰ τῷ τι ἔστιν ἀγαθὸν ἢ εἰ τῷ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος τὸ μὲν παύσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασώσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει λόγων
2 ἂν τις διέλθοι ὡσπερ περὶ τοῦ πολεμεῖν; ἃ χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὐτοῦ τινὰ σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν. καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς ὅτι πλείους ἤδη, καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσον οὐκ ἡμύναντο ἀλλ' οὐδ' ἐσώθησαν, τοῖς δ' ἀντὶ τοῦ πλέον ἔχειν προσκαταλιπεῖν τὰ αὐ-
3 τῶν ξυνέβη. τιμωρία μὲν οὖν εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδι-

---

schenswerth ist. — παύσαι, ξυνδιασώσαι für παῦσαι, ξυνδιασῶσαι Hl.; über das fehlende ὅτι zu 1, 3, 1. — τὸ μέν, τὸ κακόν. Gr. 50, 1 A. 2. — ἔχειν. Uebergang zum Inf., wie öfter. Die Erkl zu Xen. An. 3, 1, 11. Cyr. 4, 2, 38. Ba. vermißt hier μή; allein Thuk spricht als ob er das οὔ nicht mit μᾶλλον sondern mit δοκεῖτε verbunden hätte. (Pp) — ὥσπερ περὶ τοῦ πολεμεῖν mag ein Leser beigeschrieben haben der sich an 4, 59, 2 erinnerte. (Kr.)

§ 2. ἀπ' αὐτῶν vermittelst der Erwägung und Bethätigung meiner Warnungen. — βεβαίως mit Gewißheit gehört zu οἴεται. (Sch.) Verschieden ist doch βεβαίως εἰδέναι 1, 134, 1 oder πιστεύειν 1, 132, 1. vgl. 6, 16, 6. Ich verbinde es also mit πρᾶξαι. 4, 112, 2: κατ' ἄκρας καὶ βεβαίως ἑλεῖν αὐτήν. vgl. 4, 114, 1. 6, 91 5: βεβαιότατα ἂν τις οὕτω τοὺς πολεμίους βλάπτοι. 4, 126, 3: οἷς βεβαίως τι πρόσεσιν ἀγαθόν. vgl. 8, 21, 4. — τῷ δικαίῳ durch seine gerechte Sache. So Ceb. K. 580: τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν. — τῷ παρ' ἐλπίδα durch den unerwarteten Gang der Ereignisse, wie 7, 66, 3. vgl. zu 2, 89, 3. — μὴ χαλεπῶς σφαλλέσθω möge er sich nicht schwer täuschen, er sehe zu daß er nicht tüchtig anlaufe. (Hl. nach Ps) — πλείους ἤδη schon mehrere vor und außer ihm. vgl. zu 2, 77, 3. — καὶ τιμωρίαις μετιόντες sowohl wenn sie mit Strafen verfolgten. — ἕτεροι ist dem ἐλπίσαντες nachgestellt, weil dies zu betonen ist. — οὐχ ὅσον οὐ, οὐ μόνον οὐ. (Sch.) Ein seltener Ausdruck für οὐχ ὅτι, οὐχ ὅπως, einige Male von Dio C. nachgeahmt. (Pp.) — τινί τι Kr. — προσκαταλιπεῖν, προσζημιωθῆναι. (Sch) Ungewöhnlich. (Pp.)

§ 3. τιμωρία so v. a. ὁ τιμωρούμενος, was man nothwendig zu ἀδικεῖται denken muß. (Ba) — οὐ δικαίως, in sofern er es nicht als ein Recht geltend machen kann, sondern es dem Laufe der Dinge überlassen muß: δίκαιον μὲν τὸν ἀδικηθέντα εὐτυχῆσαι κατὰ τὴν

κεῖται· οὐδὲ ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ, πάντων τε σφαλερώτατον ὂν ὅμως καὶ χρησιμώτατον φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες προμηθίᾳ μᾶλλον ἐπ' ἀλλήλους ἐρχόμεθα. καὶ 63
νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον δέος καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας Ἀθηναίους, κατ' ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης ὧν ἕκαστός τι ᾠήθημεν πράξειν ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν, καὶ 2
αὐτοὶ μάλιστα μὲν ἐς ἀΐδιον ξυμβῶμεν, εἰ δὲ μή, χρόνον ὡς πλεῖστον σπεισάμενοι τὰς ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα. τὸ ξύμπαν τε δὴ γνῶμεν πειθόμενοι μὲν ἐμοὶ

εἰσπραξιν τῆς τιμωρίας, οὐ μὴν καὶ ἀποβαῖνον οὕτως. (Sch.) — τὸ ἀστάθμητον. zu 3, 59, 1. — κρατεῖ, τὴν ἰσχὺν ἔχει. (Sch.) Soph. Oed. T. 977: τί ἂν φοβοῖτ' ἄνθρωπος ᾧ τὰ τῆς τύχης κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής. — ἐξ ἴσου, eben ſo der Stärkere wie der Schwächere. — προμηθείᾳ mit Vorſicht, nicht leichtſinnig uns in einen Kampf ſtürzend. Die beſten Hſſ. προμηθίᾳ, wie die Tragiker, z. B. Eur. Ion 448. 1094, Hek. 795. 1137. vgl. Ellendt Lex. Soph.

C. 63. § 1. καὶ νῦν. Gr. 69, 32 A. 8. — τοῦ ἀφανοῦς τούτου auf τὸ ἀστάθμητον τοῦ μέλλοντος zurückweiſend hängt von δέος ab. — ἀτέκμαρτον δέος eine nicht berechenbare Furcht nennt er ſie wohl in ſofern es ungewiß iſt ob ſie im Laufe der Ereigniſſe ſich als gegründet oder als unnöthig geweſen erweiſen werde. Ein χρηστήριον ἀτέκμαρτον bei Her. 5, 92 vorher ἄσημον; ἄνθρωπος ἀστάθμητος ὄρνις πετόμενος, ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν ταὐτῷ μένων. ἐνιαυτὸς ἀ. Pind. Pyth. 10, 98 (63), μοῖρα Aeſch. Perſ. 874, φυγαὶ καὶ διώξεις Plat. Geſ. 638, a. — τὸ ἤδη. τοὺς ἤδη Reiske, wie nothwendig ſein dürfte. Denn διὰ τὸ παρόντας für διὰ τὸ παρεῖναι wäre denn doch wohl ungriechiſch. — κατ' ἀμφότερα aus beiden Rückſichten, die genannten Gründe zuſammenfaſſend. — τὸ ἐλλιπὲς τῆς γνώμης die Nichtbefriedigung unſerer Wünſche. vgl. 4. 55, 3. — ὧν, τούτων ὧν, das τούτων von ἐλλιπές regiert. — τι Manches für τις die beſten Hſſ. — ταῖς κωλύμαις ταύταις, die eben genannten Gründe. (Hf.) vgl. zu 1, 92, 1. — εἰρχθῆναι. γενέσθαι würde man erwarten (Ba.); allein es iſt eine Art von Proleyſis, εἰρχθη τὸ ἐλλιπὲς τῆς γνώμης für εἰρχθη τὸ τῆς γνώμης ὥστε ἐλλιπὲς εἶναι. Nicht hart ſchien die Form εἰρχθη. vgl. 5, 49, 1, Dem. 59, 66, Aeſch. 1, 16 u. Lobeck Parall. 1 p. 36.

§ 2. ἐς ἀΐδιον. zu 2, 64, 3. — ἐς αὖθις auf ein ander Mal. Gr. 66, 1 A. 3. Plat. Euthyphr. 15, e: ἐς αὖθις, ὦ Σώκρατες, νῦν γὰρ σπεύδω ποι, wo der Begriff wir wollen verſparen, aufſchieben zu ergänzen — γνῶμεν ἔχοντες. Gr. 56, 7 A. 5. — πόλιν,

πόλιν ἔχοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες
3 τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα· ἢν
δ' ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρή-
σασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς
ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ κατ' ἀνάγκην γιγνόμεθα."
64 "Καὶ ἐγὼ μέν, ἅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν τε με-
γίστην παρεχόμενος καὶ ἐπιὼν τῷ μᾶλλον ἢ ἀμυνούμενος
ἀξιῶ προειδόμενος αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους
οὕτω κακῶς δρᾶν ὥστε αὐτὸς τὰ πλείω βλάπτεσθαι, μηδὲ
μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως
αὐτοκράτωρ εἶναι καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς
2 ἠσσᾶσθαι. καὶ τοὺς ἄλλους δικαιῶ ταὐτό μοι ποιῆσαι,
ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν.
οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἠσσᾶσθαι, ἢ Δωριέα

τὴν ἰδίαν. (Sch.) — αὐτοκράτορες, δεσπόται τῆς ἑαυτῶν πόλεως. (Sch.) vgl. 3, 62, 3. — ἐξ ἴσου gleichmäßig, Gleiches mit Gleichem vergeltend. — ἀρετῇ mit Tüchtigkeit, kräftig gegen Feinde, reichlich gegen Freunde. — ἀμυνούμεθα. ἐπὶ τῶν δύο σημασιῶν ἔλαβεν αὐτό, καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. (Sch.) zu 1, 42, 1.

§ 3. οὐ περὶ τοῦ τιμωρήσασθαί τινα. λείπει ὁ ἀγὼν ἡμῖν ἔσται. (Sch.) Lieber λόγος ἔσται ergänzen will Hl. — καὶ gehört zu ἄγαν. Gr. 69, 32 A. 18. — τύχοιμεν. ἀπὸ κοινοῦ τὸ (τοῦ?) τιμωρήσασθαί τινα. (Sch.) vgl. zu 3, 42, 3. — μὲν ἄν, γιγνοίμεθα aus γιγνόμεθα. Hermann de part. ἄν p. 42. (Pp.) Die alte La. γιγνοίμεθα dürfte doch die richtige sein. — οἷς οὐ χρή, τοῖς Συκελιώταις. (Sch.)

C. 64. § 1. παρεχόμενος darbietend, dem Verbande. (Kist.) — προειδόμενος für προειδομένους Reiske. ἤτοι προγόντας τὰ πράγματα ἢ προνοοῦντες ἑαυτῶν. Sch., der also auch die La. αὐτῶν hatte. Mit dem Augment auch Aesch. 1, 165. vgl. Dem. 19, 233 und bei Spätern, z. B. Polyb., so häufig daß mit Schäfer z. Plut. 5 p. 69 das Augment überall zu tilgen bedenklich ist. Erklären will Pp. bedacht auf die erwähnten Gefahren, um sie abzuwenden. Wohl richtig: der Ge. ist partitiv. — ξυγχωρεῖν Zugeständnisse machen. (Kist.) — αὐτός für αὐτούς Reiske. — τῆς τε — τύχης daß ich eben so über das Glück, dessen Herr ich nicht bin, wie über den eigenen Geist Vollgewalt habe. (Bs. u. Ba.) Die Stellung eben so 6, 78, 3. (Bl.) — ἠσσᾶσθαι nachzugeben. (Ps.) vgl. § 2 u. 5, 111, 4. vgl. 4, 19, 3.

§ 2. μοι. Gr. 48, 13 A. 8. ἐμοί? — τοῦτο παθεῖν, ἠσσᾶσθαι. Gr. 57, 10 A. 8. Benutzt wird die Zweideutigkeit des Wortes. — — οἰκείους Stammverwandte, wozu ἡ Δωριέα ἡ Χαλκιδέα

τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τό γε ξύμπαν γειτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας· οἳ πολεμήσομέν τε, οἷμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν, καθ' ἡμᾶς αὐτοὺς λόγοις κοινοῖς χρώμενοι. τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας 3
ἀθρόοι ἀεί, ἢν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ καθ' ἑκάστους βλαπτόμενοι ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα οὐδὲ διαλλαπάς. τάδε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην."

Ταιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος πειθόμενοι οἱ Σι- 65
κελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου ἔχοντες ἃ ἕκαστοι ἔχουσιν, τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν· οἱ δὲ τῶν Ἀθηναίων 2
ξύμμαχοι παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας εἶπον ὅτι ξυμβήσονται καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν ἐποιοῦντο τὴν ὁμολογίαν, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. ἐλθόν- 3
τας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον,

---

eine Appoſition bilden. — τό γε für τὸ δέ ſcheint nothwendig, wenn man nicht eine Lücke annehmen will. Ba.: cum omnes invicem confines simus. vgl. auch zu 3, 82, 5. — περιῤῥύτου, um ſo mehr alſo auf uns ſelbſt hingewieſen. — ὄνομα. zu 1, 122, 4. — ξυμβῇ, καιρὸς γένηται. (Sch.) — κοινοῖς, συμβατικοῖς. (Sch.) vgl. 5, 37, 2 u. κοινολογεῖσθαι. — τάδε ποιοῦντες, wenn wir ſeine Anerbietungen herbeiziehen.

C. 65. § 1. κατὰ σφᾶς αὐτούς, μὴ κοινολογησάμενοι τοὺς λόγους τοῖς Ἀθηναίοις. (Sch.) — ξυνηνέχθησαν τῇ γνώμῃ, ὡμολόγησαν ἀλλήλοις. (Sch.) Häufig gebraucht das Verbum von Uebereinſtimmung Her.; über den Ao. Gr. 53, 5 A. 1. — γνώμῃ, σχέσει. (Sch.) — ἔχοντες ἃ ἕκαστοι ἔχουσι. zu 1, 140, 3. — Μοργαντίνην. ἔστι Σικελικὸν πόλισμα. (Sch.) Es muß wohl ein Ort an den Grenzmarken der Syrakuſier und Kamarinäer geweſen ſein. (Bl.) — ταχτόν, ὡρισμένον. (Sch.)

§ 2. κατὰ σφᾶς, τοὺς Ἀθηναίους. (Sch.) — ἐπαινεσάντων zu ſtimmten. (Ba.) vgl. zu 3, 38, 4.

Εὐρυμέδοντα, χρήματα ἐπράξαντο, ὡς ἐξὸν αὐτοῖς τὰ ἐν Σι-
κελίᾳ καταστρέψασθαι δώροις πεισθέντες ἀποχωρήσειαν.
4 *οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι μηδὲν ἐναν-*
τιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα
μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι.
αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία αὐτοῖς
ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

66 *Τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει πιεζόμε-*
νοι ὑπό τε Ἀθηναίων τῷ πολέμῳ, ἀεὶ κατὰ ἔτος ἕκαστον
δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν
σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ στασιασάντων ἐκπε-
σόντες ὑπὸ τοῦ πλήθους χαλεποὶ ἦσαν λῃστεύοντες, ἐποιοῦντο
λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας μὴ
2 *ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. οἱ δὲ φίλοι τῶν ἔξω τὸν*
θροῦν αἰσθόμενοι φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ
ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. γνόντες δὲ οἱ τοῦ δήμου
προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν
μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς
τῶν Ἀθηναίων στρατηγούς, Ἱπποκράτην τε τὸν Ἀρίφρονος
καὶ Δημοσθένης τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν
πόλιν, καὶ νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς
3 *ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν. ξυνέβησάν τε πρῶτα μὲν*

---

§ 3. *ὡς ἀποχωρήσειαν.* Xen. An. 1, 1, 3: *διαβάλλει τὸν Κῦρον ὡς ἐπιβουλεύοι αὐτῷ.* vgl. Gr. 65, 8 A. 1.

§ 4. *τῇ.* τῇ τε die beſten Hſn. — *αἰτία. αἴτιον* Kr. vgl. 1, 11, 1. 3, 82, 8. 93, 2. 4, 26, 3. 8, 9, 3. — *τῶν πλειόνων, ἐν τοῖς πλείοσιν πράγμασιν.* (Sch.) — *ὑποτιθεῖσα.* zu 1, 138, 2.

C. 66. § 1. *ἀεί*, wie 2, 85, 3. (Pp.) — *φυγάδων.* Vielleicht die 3, 68, 2 erwähnten. (Pp.) — *στασιασάντων, τῶν Μεγαρέων.* (Bl.) — *ἀμφοτέρωθεν*, von Seiten der Athener und der Verbannten.

§ 2. *τῶν ἔξω, τῶν φυγάδων.* (Sch.) — *τὸν θροῦν, τὸν λόγον τὸν γιγνόμενον περὶ τῶν φυγάδων, τοῦ δεῖν δέξασθαι αὐτούς.* (Sch.) — *ἠξίουν* hielten ſich für verpflichtet. — *τοῦ λόγου ἔχεσθαι* die Ausführung des Vorſchlages zu betreiben. — *μετὰ σφῶν καρτερεῖν* mit ihnen, den Vorſtehern, ausdauern, ohne die Verbannten zurückzurufen. (Pp.) — *ἢ κατελθεῖν.* Gr. 69, 30 A. 2. vgl. 5, 53, 2. 6, 60, 3.

τὰ μακρὰ τείχη εἶλεῖν Ἀθηναίους — ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν — ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων, ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ᾧ ὂν δ' ἤδη ἔμελλον προσχωρήσειν τούτου γεγενημένου.

Οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν 67
λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς Μινῴαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις, ὧν Ἱπποκράτης ἦρχεν, ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη καὶ ἀπεῖχεν οὐ πολύ· οἱ δὲ μετὰ τοῦ Ἀγησσθένους 2
τοῦ ἑτέρου στρατηγοῦ Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸ Ἐνυάλιον, ὃ ἐστιν ἔλασσον ἄποθεν. καὶ ἤσθετο οὐδεὶς εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην. καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. ἀκάτιον ἀμ- 3

---

§ 3. ἦν δέ, τὰ μακρὰ τείχη oder διάστημα. (A. Ps.) Dieſes ſcheint Py., jenes mir richtig. Gr. 47, 8 A. 1. — ὀκτώ. δέκα καὶ ὀκτώ Strabo 9, 1 p. 391, wo Py. δέκα καί tilgen will. — βεβαιότητος ἕνεκα um ſich ihrer Treue zu verſichern. (Hl.) — τὴν ἄνω πόλιν. αὐτὰ τὰ Μέγαρα λέγει. (Sch.) vgl. zu 1, 93, 5. — ἔμελλον προσχωρήσειν es war zu erwarten daß ſie zu den Athenern übergehen würden. Gr. 53, 8 A. 3. — τούτου, die Eroberung der langen Mauern.

C. 67. § 1. ἀπό von Seiten. — παρεσκεύαστο. zu 1, 46, 1. — Μινῴαν. Die Betonung Μίνωαν, die hier mehrere der beſten Hſn. bieten, hat keine Analogie. (Göttling Acc. S. 139.) Wenig Gewähr hat das ſtumme ν. — ἐπλίνθευον τὰ τείχη, πλίνθους λαμβάνοντες ἐτείχιζον. (Sch.) Eine ſonſt ſchwerlich vorkommende Fügung. Denn ἐπλίνθευον τὴν γῆν Her. 1, 179 iſt unähnlich. — καί ohne ὅ. zu 1, 106.

§ 2. ἕτεροι außerdem. Kr. zu Xen. An. 1, 4, 2. — τό für τόν Meiske. vgl. Lob. zu Soph. Aj. 178. — περίπολοι. τῶν φυλάκων οἱ μὲν ἱδρυμένοι καλοῦνται, οἱ δὲ περίπολοι· ἱδρυμένοι μὲν οὖν εἰσιν οἱ ἀεὶ παρακαθεζόμενοι καὶ πολιορκοῦντες, περίπολοι δὲ οἱ περιερχόμενοι καὶ περιπολοῦντες τὰ φρούρια ἐν τῷ φυλάττειν. (Sch.) Dies war das Geſchäft der Jünglinge vom 18 bis zum 20 Jahre. Harpokr. u. d. W. u. Poll. 8, 105. — ἔλασσον als der Graben. (Py.) — ἄποθεν εἶναι iſt ſelten. (Bl.) — εἰδέναι. ἐσιέναι? Oder vielmehr εἰδέναι τὴν νύκτα ταύτην iſt zu tilgen. Ein Komma mit Py. (u. Ps.) nach εἰδέναι geſetzt würde demnächſt für καί ein δέ erwarten laſſen. vgl. zu 1, 5, 2. — τοιόνδε ohne ν wie 6, 88, 1. vgl. Kr. zu Xen. An. 4, 7, 10 gr. A.

4 ἦν τῆς δοκήσεώς τι πράξειν. καὶ ἅμα τὰ τῆς τύχης πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς ἔκπληξιν μείζω παρεῖχεν, καὶ ἐδεδίεσαν μή ποτε μὴ ὕθις ξυμφορά τις αὐτοῖς περιτύχῃ οἷα καὶ ἐν τῇ νήσῳ. ἀτολμότεροι δὲ δι' αὐτὸ ἐς τὰς μάχας ἦσαν καὶ πᾶν ὅ τι κινήσειαν ᾤοντο ἁμαρτήσεσθαι διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν.

56 Τοῖς δ' Ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν, ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι καὶ
2 ἐν τῷ τοιούτῳ· μία δὲ φρουρά, ἥπερ καὶ ἠμύνατο περὶ Κυθήριαν καὶ Ἀφροδισίαν, τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν, καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι καὶ ὅπλα ἐλήφθη, τροπαῖόν τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέ-
3 πλευσαν ἐς Κύθηρα. ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηρὰν καὶ δῃώσαντες μέρος τι τῆς γῆς ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἥ ἐστι μὲν τῆς Κυνοσουρίας γῆς καλουμένης,
4 μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς· νεμόμενοι δὲ αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνοικεῖν

Meinung ausrichten könnten aufgeben. (Hl.) ἐλλιπές eben so 4, 63, 1. vgl. 1, 70, 4.

§ 4. τὰ τῆς τύχης. Soph. Oed. T. 977: τὰ τῆς τύχης κρατεῖ. πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής. Eur. Alk. 785: τὰ τῆς τύχης γὰρ ἀφανὲς οἱ προβήσεται. (Elmsley) — ἐδεδίεσαν. Gr. 40 unter δέω. — πᾶν dem ὅ τι angeähnlicht. Gr. 51, 10 A. 10. Doch kann es auch von ἁμαρτήσεσθαι abhängen, wenn man dies in der Bedeutung schlecht machen auffaßt, wie 3, 47, 1. 4, 114, 5. vgl. 1, 38, 3. 39, 2. 42, 2. 2, 65, 7. 3, 42, 4. — κινήσειαν unternähmen. (Ba.) vgl. Schweb. zum Dnos. p. 120 (Pp.) — γνώμην ἀνεχέγγυον Gesinnung welche die verbürgende Sicherheit des Gelingens nicht besitzt. zu 3, 46, 1. Der früher dauernd Glückliche wird am meisten durch Unglück entmuthigt.

C. 56. § 1. δῃοῦσι. Eig. Dativ des Bezuges: in Rücksicht auf die Athener welche verheerten. Gr. 48, 5 A. 1. — καὶ ἐν τῷ τοιούτῳ und in solcher Lage (Bs.), Stimmung. vgl. 4, 55, 4. (Hf.) Ich wittere, wie auch Hl., eine Lücke.

§ 2. ἥπερ καὶ die eben. vgl. 1, 15, 2. 82, 2. — ἐφόβησεν, εἰς φυγὴν ἔβαλεν. (Sch.) vgl. 7, 30, 1. 79, 4; aber φοβήσαντες ἔπεμψαν 2, 79, 5.

§ 3. δέ nach μεθορία ist mir verdächtig.

διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ τῶν Εἱλώ-
ιων τὴν ἐπανάστασιν εὐεργεσίας καὶ ὅτι Ἀθηναίων ὑπα-
κούοντες ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν. προς- 57
πλεύντων οὖν ἔτι τῶν Ἀθηναίων οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ
τῇ θαλάσσῃ ὃ ἔτυχον οἰκοδομοῦντες τεῖχος ἐκλείπουσιν, ἐς
δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν, ἀπέχουσαν
σταδίους μάλιστα δέκα τῆς θαλάσσης. καὶ αὐτοῖς τῶν Λα- 2
κεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυν-
ετείχιζε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν δεομένων
τῶν Αἰγιγνητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος κα-
ταχλῄεσθαι· ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα, ὡς οὐκ ἐνόμιζον
ἀξιόμαχοι εἶναι, ἡσύχαζον. ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόν- 3
τες καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ αἱροῦσι τὴν Θυ-
ρέαν καὶ τήν τε πόλιν κατέκαυσαν καὶ τὰ ἐνόντα ἐξεπόρθησαν,
τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες
ἀφίκοντο ἐς τὰς Ἀθήνας καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς
ἦν τῶν Λακεδαιμονίων, Τάνταλον τὸν Πατροκλέους· ἐζω-
γρήθη γὰρ τετρωμένος. ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων 4
ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι.
καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς
τὰς νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους οἰκοῦντας τὴν ἑαυ-
τῶν φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι
πάντας ὅσοι ἑάλωσαν διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν,
Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαι-
μονίους καταδῆσαι.

Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Κυμαριναίοις καὶ Γε- 58
λῴοις ἐκεχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ

---

§ 4. τὸν σεισμόν 1, 101, 1 u. 2, 27, 2. — πρὸς τὴν ἐκεί-
νων γνώμην ἀεὶ ἔστασαν, ὁμόφρονες καὶ φίλοι τοῖς Λακεδαιμο-
νίοις ὄντες. (Sch) vgl. 6, 34, 7 u. Musgrave zu Soph. Ant. 299.

C. 57. § 1. δέκα. Dreimal ſo viel nach Leake.

§ 3. ἄρχοντα Befehlshaber der lakoniſchen Beſatzung, wie 69, 3. 5, 3, 2. vgl. 3, 100, 2. (Arn.)

§ 4. νήσους, wie 3, 72. 5, 84, 1. (Hf.) vgl. 1, 115, 3. 3, 28, 3. 35. — τάλαντα. Gr. 60, 2 A. 2. — προτέραν. πρότερον? Gr. 50, 8 A. 10. vgl. 1, 32, 3. 4. — παρὰ τούς mit καταδῆσαι verbunden umfaßt mit das Hinbringen. vgl. zu 3, 3, 3. — ἐν τῇ νήσῳ. ἐκ τῆς νήσου Lindau und Dd. Gemeint ſind die von Sphakteria.

ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν, ἀπὸ πασῶν τῶν πόλεων πρέσβεις, ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν. καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτούς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.

59 "Οὔτε πόλεως ὧν ἐλαχίστης ὦ Σικελιῶται τοὺς λόγους ποιήσομαι οὔτε πονουμένης μάλιστα τῷ πολέμῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος 2 τῇ Σικελίᾳ πάσῃ. καὶ περὶ μὲν τοῦ πολεμεῖν, ὡς χαλεπόν, τί ἄν τις πᾶν τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾶν, οὔτε φόβῳ, ἢν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται. ξυμβαίνει δὲ τοῖς μὲν τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦ-3 σθαι· αὐτὰ δὲ ταῦτα εἰ μὴ ἐν καιρῷ τύχοιεν ἑκάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι. ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν ἄξιον γένοιτο·

C. 58. ἐπ' ἀμφότερα für und gegen die Einigung. — ἀξιούντων Anſprüche machten. — ἐς τὸ κοινόν verbindet man nach Abr. mit εἶπεν. An der erſten Stelle ſteht es weil im Vorigen enthalten iſt daß er vorher die Einzelnen zu der Zuſammenkunft bewogen.

C. 59. § 1. πόλεως ὧν. Gr. 47, 6 A. 5.

§ 2. ἀμαθίᾳ aus Unkunde der Uebel des Krieges. vgl. zu 1, 80, 1. — ἀναγκάζεται. zu 4, 25, 1. — αὐτό, τὸ πολεμεῖν (Hk.) — τοῖς μὲν — οἱ δέ einige — andere der Kriegführenden. — πρὸ τοῦ, ὑπὲρ τοῦ. (Sch.) — ἐλασσοῦσθαι, πλεονεκτηθῆναι παρὰ τῶν ἄλλων. (Sch.)

§ 3. ἐν vor καιρῷ fehlt in den beſten Hſn.; ſprachwidrig. (Py.) Gr. 48, 2 A. 6 u. 9. Denn wohl dynamiſch ſteht der bloße Da. Sorh. Oed. T. 1516: πάντα γὰρ καιρῷ καλά. Der Sinn: wenn man aus Ueberſchätzung der erwarteten Vortheile oder aus dem Streben nichts zu verlieren zur Unzeit Krieg führt und die Verfolgung deſſelben betreibt. — τῶν ξυναλλαγῶν zu Anſöhnungen. Gr. 47, 7 A. 2. — ὃ iſt zunächſt Object zu πειθομένοις: wenn wir uns davon, daß ſolche Rathſchläge nützlich ſind, überzeugen, ſo dürfte es ꝛc (Hl.) — γὰρ ſtellt den vorhergehenden Satz mit βουλευόμενοι in Bezug: Rathſchlägen zu horchen iſt jetzt nütz-

τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι δὴ θέσθαι τό τε πρῶτον ἐπολεμήσαμεν καὶ νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι, καὶ ἢν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν. καίτοι γνῶναι 60
χρὴ ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ' εἰ ἐπιβουλευομένην τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω, ὑπ' Ἀθηναίων δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακτὰς πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε Ἀθηναίους νομίσαι, οἳ δύναμιν ἔχοντες μεγίστην τῶν Ἑλλήνων τάς τε ἁμαρτίας ἡμῶν τηροῦσιν, ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι ἐννόμῳ ξυμμαχίας τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίστανται. πόλεμον γὰρ αἱρο- 2
μένων ἡμῶν καὶ ἐπαγομένων αὐτούς, ἄνδρας οἳ καὶ τοὺς μὴ ἐπικαλουμένους αὐτοὶ ἐπιστρατεύουσιν, κακῶς τε ἡμᾶς αὖ-

---

lich; denn wir berathſchlagten ja auch als wir Krieg anfingen. — εὖ gehört zu θέσθαι (Sch.) Th. wenigſtens hat das Adverbium in dieſer Formel ſonſt nirgends vom Verbum getrennt; und die Einſchiebung des βουλευόμενοι δή wäre an ſich äußerſt hart. Daher ſcheint mir θέσθαι ein Gloſſem. Ueber εὖ βουλεύεσθαι π 6, 23, 3. vgl. 1, 43, 2. 85, 3. — δή eben, hier aber wohl nicht ohne Ironie: wie Jegliche meinten. — τό τε für τότε Hk. — δι' ἀντιλογιῶν unſere beiderſeitigen Anſprüche einander ſtreitig machend. — πειρώμεθα nehmen als Conjunctiv Va. u. Ps., als Indicativ Abr. u. Hl. — προχωρήσῃ von Statten geht, gelingt. — ἴσον, τὸ προσῆκον ἑκάστῳ καὶ δίκαιον. (Sch.)

C. 60. § 1. ἔσται. ἔσην Kr. Oder ξύνοδος heißt ſchlechtweg Berathung, welcher Begriff wenigſtens bei ἀλλ' εἰ zu denken iſt. — διαλλακτάς. Ein bei Attikern ſeltenes Wort, doch auch bei Dem. 14, 40. 48, 2. (Bl.) — νομίσαι hängt wieder von χρή ab. — μεγίστην τῶν Ἑλλήνων. Gr. 47, 28 A. 7. — τὸ φύσει πολέμιον die natürliche Feindſeligkeit der ioniſchen Athener gegen die meiſt doriſchen Sikelioten. vgl. 6, 79, 2. — εὐπρεπῶς, πιθανῶς. (Sch.) zu 1, 37, 3. vgl. 6, 6, 1 u. 79, 2. — ἐς τὸ ξυμφέρον καθίστανται geſtalten zu ihrem Nutzen (Pp.), indem ſie eben durch ihre erklärte Feindſeligkeit gegen einen Theil der Sikelioten andere ſich zu Bundesgenoſſen erwerben.

§ 2. ἄνδρας οἵ. Xen. An. 2, 3, 4: ἔλεγον ὅτι περὶ σπονδῶν ἥκοιεν, ἄνδρες οἵτινες ἱκανοὶ ἔσονται. — τοὺς μὴ ἐπικαλουμένους für τοῖς μὴ ἐπικαλουμένοις die beſten Hſn. vgl. 4, 92, 5. Valck. zu Eur. Phön. 292 u. Hipp. 526. (Gb.) Gr. 48, 11 A. 6. — αὐτοί aus eignem Antriebe. (Kiſt.) — ἐπιστρατεύουσι ziehen mit einem

τοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκός, ὅταν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλέονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς τάδε πάντα πειρά-
61 σασθαι ὑπὸ σφᾶς ποιεῖσθαι. καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπικτωμένους μᾶλλον ἢ τὰ ἑτοῖμα βλάπτοντας ξυμμάχους τε ἐπάγεσθαι καὶ τοὺς κινδύνους προσλαμβάνειν, νομίσαι τε στάσιν μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι ξύμ-
2 παντες μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν. ἃ χρὴ γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν, παρεστάναι δὲ μηδενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές.
3 οὐ γὰρ τοῖς ἔθνεσιν, ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν, ἀλλὰ ἰῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. ἐδήλωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδικοῦ γένους

Heere in ihr Land. — τέλεσι, δαπάναις. (Sch.) — τῆς ἀρχῆς in ihrer Herrſchaft nimmt Hk. partitiv. vgl. 7, 56, 3. Richtiger vergleicht Arn. Heſ. ε, 577: Ἧς τοι προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου. Gr. 47, 21. — προκόπτω fördere, bin förderlich. vgl. 7, 56, 3 u. Pflugk z. Eur. Heſ. 961. Kein häufiger Gebrauch.

C. 61. § 1. τὰ μὴ προσήκοντα, τὰ ἀλλότρια. (Sch.) — ἐπικτωμένους und βλάπτοντας meint Pp. könne wegen der Stellung des τέ nicht zu ξυμμάχους ſondern nur zu ἑκάστους gehören, was ich bezweifele. — τὰ ἑτοῖμα. zu 1, 70, 3. Beſchädigung der eignen Macht iſt von übermächtigen Bundesgenoſſen, wie die Athener, ſicher zu erwarten. — κινδύνους προσλαμβάνειν auch 6, 78, 3. (Pp.) Das προς — heißt hier wohl nicht noch dazu (zu den Bundesgenoſſen Pp.), ſondern bloß zu: ſich zuziehen. vgl. 5, 111, 3. 6, 18, 7 mit 1, 82, 2. 4, 86, 1. — διέσταμεν ſind getrennt, indem einige Städte es mit den Athenern, andere mit den Peloponneſiern halten. vgl. 1, 18, 6 u. 6, 79, 2.

§ 2. παρεστάναι, δόξαν εἶναι. (Sch.) So auch 4, 95, 1. 6, 34, 8. 78, 1. (Dr.) vgl. Morus z. Longin. 9 (Add.) — ἡμῶν. Gr. 47, 9 u. zu 4, 126, 3. — Ἰάδι. zu 1, 131, 1. — ἀσφαλές, ἐν ἀσφαλείᾳ καθεστάναι. (Sch.) vgl. 1, 34, 2. 39, 3.

§ 3. δίχα πέφυκε von verſchiedenem Stamme ſind. (Hl.) — ἑτέρου iſt mit ἔχθει zu verbinden: aus Feindſchaft gegen das Eine, den doriſchen Stamm. — ἐπίασιν mit Präſensbedeutung? Gr. 38, 3 A. 3. Doch kann man es auch auf den erſt erwarteten Hauptangriff beziehen. — ἐν τῇ τοῦ Χ. γένους παρακλήσει bei der Herbeirufung, Einladung von Seiten des

παρακλήσει· τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. καὶ τοὺς μὲν Ἀθηναίους ταῦτα πλεο- 4
νεκτεῖν τε καὶ προνοεῖσθαι πολλὴ ξυγγνώμη, καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσιν· πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. ὅσοι δὲ γιγνώσκοντες αὐτὰ μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας, τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν. τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ 5
πρὸς ἀλλήλους ξυμβαίημεν· οὐ γὰρ ἀπὸ τῆς αὐτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνη δὲ διαφοραὶ ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκλητοι εὐπρεπῶς ἄδικοι ἐλθόντες εὐλόγως ἄπρακτοι ἀπίασιν."

"Καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ 62
βουλευομένοις εὑρίσκεται· τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιή-

---

chalkidischen Stammes. — τὸ δίκαιον die pflichtmäßige Unterstützung. — μᾶλλον τῆς ξυνθήκης mehr als es der Vertrag erforderte. (Hl., der nur μᾶλλον falsch mit προθύμως verbindet.)

§ 4. προνοεῖσθαι dies vorbereitende Maßregeln ergreifen. — ἑτοιμοτέροις als sie zu herrschen. (Hl.) — πέφυκε ist von Natur geneigt. — τοῦ εἴκοντος. Gr. 43, 4 A. 17. — τὸ ἐπιόν die feindlich entgegen Tretenden. — μηδὲ τοῦτό τις. Bei τὸ schwebt ein ὅς aus ὅσοι vor: καὶ ὅστις μὴ τοῦτο. Gr. 60, 6 A. 1. — τοῦτο, τὸ θέσθαι. Gr. 51, 7 A. 4. — τὸ κοινῶς φοβερόν das uns allen drohende Uebel. (Hl.) ἡ δούλωσις ἡ παρὰ τῶν Ἀθηναίων ἐπιβουλευομένη πᾶσιν ὁμοίως. (Sch.) — πρεσβύτατον für das Wichtigste. (Sch.) Die Erkl. zum Liv. 1, 32. (Gb.)

§ 5. αὐτοῦ, τοῦ κοινῶς φοβεροῦ. — οὐ γὰρ — ἐπικαλεσαμένων. Daher sind sie nicht zu fürchten, wenn wir ausgesöhnt ihnen kein ὁρμητήριον in unserm Lande gewähren. (Ds.) — οὕτως, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν. (Sch.) — πόλεμος πολέμῳ heimischer Krieg durch Mitkämpfen der Athener. — οἱ ἐπίκλητοι, οἱ Ἀθηναῖοι. (Sch.) — εὐπρεπῶς, μετὰ προφάσεως εὐπρεποῦς. (Sch.) — εὐλόγως, διὰ τὸ ξυμβῆναι. (Sch.) vgl. 3, 82, 4. 6, 79, 2.

C. 62. § 1. τὸ πρός in Bezug auf das Verhältniß zu. — ὁμολογουμένην. Gr. 50, 12 A. 1. — ἄριστον. Gr. 43, 4 A. 11. — καὶ ἐν ἡμῖν auch unter uns, wie er überhaupt wün-

σασθαι; ἢ δοκεῖτε, εἰ τῷ τι ἔστιν ἀγαθὸν ἢ εἰ τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον ἢ πόλεμος τὸ μὲν παύσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασώσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει λόγων
2 ἂν τις διέλθοι ὥσπερ περὶ τοῦ πολεμεῖν; ἃ χρὴ σκεψαμένους μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὐτοῦ τινὰ σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν. καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς ὅτι πλείους ἤδη, καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσον οὐκ ἠμύναντο ἀλλ' οὐδ' ἐσώθησαν, τοῖς δ' ἀντὶ τοῦ πλέον ἔχειν προσκαταλιπεῖν τὰ αὑ-
3 τῶν ξυνέβη. τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδι-

---

schenswerth ist. — *παύσαι, ξυνδιασώσαι* für *παῦσαι, ξυνδιασῶσαι* Hl.; über das fehlende *ὅτι* zu 1, 3, 1. — *τὸ μέν, τὸ κακόν.* Gr. 50, 1 A. 2. — *ἔχειν.* Uebergang zum Inf., wie öfter. Die Erkl zu Xen. An. 3, 1, 11. Cyr. 4, 2, 38. Ba. vermißt hier *μή*; allein Thuk spricht als ob er das *οὔ* nicht mit *μᾶλλον* sondern mit *δοκεῖτε* verbunden hätte. (Pp) — *ὥσπερ περὶ τοῦ πολεμεῖν* mag ein Leser beigeschrieben haben der sich an 4, 59, 2 erinnerte. (Kr.)

§ 2. *ἀπ' αὐτῶν* vermittelst der Erwägung und Bethätigung meiner Warnungen. — *βεβαίως* mit Gewißheit gehört zu *οἴεται.* (Sch.) Verschieden ist doch *βεβαίως εἰδέναι* 1, 134, 1 oder *πιστεύειν* 1, 132, 1. vgl. 6, 16, 6. Ich verbinde es also mit *πράξειν.* 4, 112, 2: *κατ' ἄκρας καὶ βεβαίως ἑλεῖν αὐτήν.* vgl. 4, 114, 1. 6, 91 5: *βεβαιότατα ἂν τις οὕτω τοὺς πολεμίους βλάπτοι.* 4, 126, 3: *οἷς βεβαίως τι πρόσεισιν ἀγαθόν.* vgl. 8, 24, 4. — *τῷ δικαίῳ* durch seine gerechte Sache. So Oed. K. 880: *τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.* — *τῷ παρ' ἐλπίδα* durch den unerwarteten Gang der Ereignisse, wie 7, 66, 3. vgl. zu 2, 89, 3. — *μὴ χαλεπῶς σφαλλέσθω* möge er sich nicht schwer täuschen, er sehe zu daß er nicht tüchtig anlaufe. (Hl. nach Ps) — *πλείους ἤδη* schon mehrere vor und außer ihm. vgl. zu 2, 77, 3. — *καὶ τιμωρίαις μετιόντες* sowohl wenn sie mit Strafen verfolgten. — *ἕτεροι* ist dem *ἐλπίσαντες* nachgestellt, weil dies zu betonen ist. — *οὐχ ὅσον οὐ, οὐ μόνον οὐ.* (Sch.) Ein seltener Ausdruck für *οὐχ ὅτι, οὐχ ὅπως*, einige Male von Dio C. nachgeahmt. (Pp.) — *τινί τι* Kr. — *προσκαταλιπεῖν, προσζημιωθῆναι.* (Sch) Ungewöhnlich. (Pp.)

§ 3. *τιμωρία* so v. a. *ὁ τιμωρούμενος*, was man nothwendig zu *ἀδικεῖται* denken muß. (Ba) — *οὐ δικαίως*, in sofern er es nicht als ein Recht geltend machen kann, sondern es dem Laufe der Dinge überlassen muß: *δίκαιον μὲν τὸν ἀδικηθέντα εὐτυχῆσαι κατὰ τὴν*

κεῖται· οὐδὲ ἰσχὺς βέβαιον, διότι καὶ ἐλπὶ. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ, πάντων τε σφαλερώτατον ὂν ὅμως καὶ χρησιμώτατον φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες προμηθίᾳ μᾶλλον ἐπ' ἀλλήλους ἐρχόμεθα. καὶ 63
νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον δέος καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας Ἀθηναίους, καὶ ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης ὧν ἕκαστός τι ᾠήθημεν πράξειν ταῖς κωλύμαις ταύταις ἱκανῶς νομίσαντες εἰρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν, καὶ 2
αὐτοὶ μάλιστα μὲν ἐς ἀΐδιον ξυμβῶμεν, εἰ δὲ μή, χρόνον ὡς πλεῖστον σπεισάμενοι τὰς ἰδίας διαφορὰς ἐς αὖθις ἀναβαλώμεθα. τὸ ξύμπαν τε δὴ γνῶμεν πειθόμενοι μὲν ἐμοὶ

εἰσπραξιν τῆς τιμωρίας, οὐ μὴν καὶ ἀποβαῖνον οὕτως. (Sch.) — τὸ ἀστάθμητον. zu 3, 59, 1. — κρατεῖ, τὴν ἰσχὺν ἔχει. (Sch.) Soph. Oed. T. 977: τί ἂν φοβοῖτ' ἄνθρωπος ᾧ τὰ τῆς τύχης κρατεῖ, πρόνοια δ' ἐστὶν οὐδενὸς σαφής. — ἐξ ἴσου, eben ſo der Stärkere wie der Schwächere. — προμηθείᾳ mit Vorſicht, nicht leichtſinnig uns in einen Kamrf ſtürzend. Die beſten Hſn. προμηθίᾳ, wie die Tragiker, z. B. Eur. Ion 448. 1094, Hek. 795. 1137. vgl. Ellendt Lex. Soph.

C. 63. § 1. καὶ νῦν. Gr. 69, 32 A. 8. — τοῦ ἀφανοῦς τούτου auf τὸ ἀστάθμητον τοῦ μέλλοντος zurückweiſend hängt von δέος ab. — ἀτέκμαρτον δέος eine nicht berechenbare Furcht nennt er ſie wohl in ſofern es ungewiß iſt ob ſie im Laufe der Ereigniſſe ſich als gegründet oder als unnöthig geweſen erweiſen werde. Ein χρηστήριον ἀτέκμαρτον bei Her. 5, 92 vorher ἄσημον; ἄνθρωπος ἀστάθμητος ὀρνις πετόμενος, ἀτέκμαρτος, οὐδὲν οὐδένος' ἐν ταὐτῷ μένων. ἐνιαυτὸς ἀ. Pind. Pyth. 10, 98 (63), μοῖρα Aeſch. Perſ. 874, φυγαὶ καὶ δωρεαὶ Plat. Geſ. 638, a. — τὸ ἤδη τοὺς ἤδη Reiske, wie nothwendig ſein dürfte. Denn διὰ τὸ παρόντας für διὰ τὸ παρεῖναι wäre denn doch wohl ungriechiſch. — καὶ' ἀμφότερα aus beiden Rückſichten, die genannten Gründe zuſammenfaſſend. — τὸ ἐλλιπὲς τῆς γνώμης die Nichtbefriedigung unſerer Wünſche. vgl. 4. 55, 3. — ὧν, τούτων ὧν, das τούτων von ἐλλιπές regiert. — τι Manches für τις die beſten Hſn. — ταῖς κωλύμαις ταύταις, die eben genannten Gründe. (Hf.) vgl. zu 1, 92, 1. — εἰρχθῆναι. γενέσθαι würde man erwarten (Ba.); allein es iſt eine Art von Prolepſis, εἰρχθῆ τὸ ἐλλιπὲς τῆς γνώμης für εἰρχθῆ τὸ τῆς γνώμης ὥστε ἐλλιπὲς εἶναι. Nicht hart ſchien die Form εἰρχθῆ. vgl. 5, 49, 1, Dem. 59, 66, Aeſch. 1, 16 u. Lobeck Parall. 1 p. 36.

§ 2. ἐς ἀΐδιον. zu 2, 64, 3. — ἐς αὖθις auf ein ander Mal. Gr. 66, 1 A. 3. Plat. Euthyphr. 15, e: ἐς αὖθις, ὦ Σώκρατες, νῦν γὰρ σπεύδω ποι, wo der Begriff wir wollen verſparen, aufſchieben zu ergänzen — γνῶμεν ἔχοντες. Gr. 56, 7 A. 5. — πόλιν,

πόλιν ἔξοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες
3 τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα· ἢν
δ' ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρή-
σασθαί τινα, ἀλλὰ καὶ ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς
ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρὴ κατ' ἀνάγκην γιγνόμεθα."
64 "Καὶ ἐγὼ μέν, ἅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν τε με-
γίστην παρεχόμενος καὶ ἐπιών τῳ μᾶλλον ἢ ἀμυνούμενος
ἀξιῶ προειδόμενος αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους
οὕτω κακῶς δρᾶν ὥστε αὐτὸς τὰ πλείω βλάπτεσθαι, μηδὲ
μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως
αὐτοκράτωρ εἶναι καὶ ἧς οὐκ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς
2 ἡσσᾶσθαι. καὶ τοὺς ἄλλους δικαιῶ ταὐτό μοι ποιῆσαι,
ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν.
οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα

τὴν ἰδίαν. (Sch.) — αὐτοκράτορες, δεσπόται τῆς ἑαυτῶν πόλεως. (Sch.) vgl. 3, 62, 3. — ἐξ ἴσου gleichmäßig, Gleiches mit Gleichem vergeltend. — ἀρετῇ mit Tüchtigkeit, kräftig gegen Feinde, reichlich gegen Freunde. — ἀμυνούμεθα. ἐπὶ τῶν δύο σημασιῶν ἔλαβεν αὐτό, καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. (Sch.) zu 1, 42, 1.

§ 3. οὐ περὶ τοῦ τιμωρήσασθαί τινα. λείπει ὁ ἀγὼν ἡμῖν ἔσται. (Sch.) Lieber λόγος ἔσται ergänzen will Hl. — καί gehört zu ἄγαν. Gr. 69, 32 A. 18. — τύχοιμεν. ἀπὸ κοινοῦ τὸ (τοῦ?) τιμωρήσασθαί τινα. (Sch.) vgl. zu 3, 42, 3. — μὲν ἄν, γιγνοίμεθα aus γιγνόμεθα. Hermann de part. ἄν p. 42. (Vp.) Die alte Lα. γιγνοίμεθα dürfte doch die richtige sein. — οἷς οὐ χρή, τοῖς Συκελιώταις. (Sch.)

C. 64. § 1. παρεχόμενος darbietend, dem Verbande. (Kiſt.) — προειδόμενος für προειδομένους Reiske. ἤτοι προγόντας τὰ πράγματα ἢ προνοοῦντες ἑαυτῶν. Sch., der alſo auch die Lα. αὐτῶν hatte. Mit dem Augment auch Aeſch. 1, 165. vgl. Dem. 19, 233 und bei Spätern, z. B. Polyb., ſo häufig daß mit Schäfer z. Plut. 5 p. 69 das Augment überall zu tilgen bedenklich iſt. Erklären will Vp. bedacht auf die erwähnten Gefahren, um ſie abzuwenden. Wohl richtig; der Ge. iſt partitiv. — ξυγχωρεῖν Zugeſtändniſſe machen. (Kiſt.) — αὐτός für αὐτούς Reiske. — τῆς τε — τύχης daß ich eben ſo über das Glück, deſſen Herr ich nicht bin, wie über den eigenen Geiſt Vollgewalt habe. (Ps. u. Ba.) Die Stellung eben ſo 6, 78, 3. (Bl.) — ἡσσᾶσθαι nachzugeben. (Ps.) vgl. § 2 u. 5, 111, 4. vgl. 4, 19, 3.

§ 2. μοι. Gr. 48, 13 A. 8. ἐμοί? — τοῦτο παθεῖν, ἡσσᾶσθαι. Gr. 57, 10 A. 8. Benutzt wird die Zweideutigkeit des Wortes. — — οἰκείους Stammverwandte, wozu ἢ Δωριέα ἢ Χαλκιδέα

τινὰ Δωριέως ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τό γε ξύμπαν γειτονας ὄντας καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας· οἳ πολεμήσομέν τε, οἶμαι, ὅταν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν, καθ' ἡμᾶς αὐτοὺς λόγοις κοινοῖς χρώμενοι. τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας 3
ἀθρόοι ἀεί, ἢν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ καθ' ἑκάστους βλαπτόμενοι ξύμπαντες κινδυνεύομεν· ξυμμάχους δὲ οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα οὐδὲ διαλλακτάς. τάδε γὰρ ποιοῦντες ἔν τε τῷ παρόντι δυοῖν ἀγαθοῖν οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην."

Ταιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος πειθόμενοι οἱ Σι- 65
κελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου ἔχοντες ἃ ἕκαστοι ἔχουσιν, τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν· οἱ δὲ τῶν Ἀθηναίων 2
ξύμμαχοι παρακαλέσαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας εἶπον ὅτι ξυμβήσονται καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν ἐποιοῦντο τὴν ὁμολογίαν, καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. ἐλθόν- 3
τας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον,

---

eine Appoſition bilden. — τό γε für τὸ δέ ſcheint nothwendig, wenn man nicht eine Lücke annehmen will. Ba.: cum omnes invicem confines simus. vgl. auch zu 3, 82, 5. — περιῤῥύτου, um ſo mehr alſo auf uns ſelbſt hingewieſen. — ὄνομα. zu 1, 122, 4. — ξυμβῇ, καιρὸς γένηται. (Sch.) — κοινοῖς, συμβατικοῖς. (Sch.) vgl. 5, 37, 2 u. κοινολογεῖσθαι. — τάδε ποιοῦντες, wenn wir keine Auswärtigen herbeiziehen.

C. 65. § 1. „κατὰ σφᾶς αὐτούς, μὴ κοινολογησάμενοι τοὺς λόγους τοῖς Ἀθηναίοις. (Sch.) — ξυνηνέχθησαν τῇ γνώμῃ, ὡμολόησαν ἀλλήλοις. (Sch.) Häufig gebraucht das Verbum von Uebereinſtimmung Her.; über den Ao. Gr. 53, 5 A. 1. — γνώμῃ, σκέψει. (Sch.) — ἔχοντες ἃ ἕκαστοι ἔχουσι. zu 1, 140, 3. — Μοργαντίνην. ἐστι Σικελικὸν πόλισμα. (Sch.) Es muß wohl ein Ort an den Grenzmarken der Syrakoſier und Kamarinäer geweſen ſein. (Bl.) — τακτόν, ὡρισμένον. (Sch.)

§ 2. κἀκείνοις, τοῖς Ἀθηναίοις. (Sch.) — ἐπαινεσάντων zuſtimmten. (Ba.) vgl. zu 3, 38, 4.

Εὐρυμέδοντα, χρήματα ἐπράξαντο, ὡς ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι δώροις πεισθέντες ἀποχωρήσειαν.
4 οὕτω τῇ παρούσῃ εὐτυχίᾳ χρώμενοι ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνδεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

66 Τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει πιεζόμενοι ὑπό τε Ἀθηναίων τῷ πολέμῳ, ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων πανστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ στασιασάντων ἐκπεσόντες ὑπὸ τοῦ πλήθους χαλεποὶ ἦσαν ληστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας μὴ
2 ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. οἱ δὲ φίλοι τῶν ἔξω τὸν θροῦν αἰσθόμενοι φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους δείσαντες πρὸς τοὺς τῶν Ἀθηναίων στρατηγούς, Ἱπποκράτην τε τὸν Ἀρίφρονος καὶ Δημοσθένης τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ νομίζοντες ἑλάσσω σφίσι τὸν κίνδυνον ἢ τοὺς
3 ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν. ξυνέβησάν τε πρῶτα μὲν

---

§ 3. ὡς ἀποχωρήσειαν. Xen. An. 1, 1, 3: διαβάλλει τὸν Κῦρον ὡς ἐπιβουλεύοι αὐτῷ. vgl. Gr. 65, 8 A. 1.

§ 4. τῇ π. die beſten Hſn. — αἰτία. αἴτιον Kr. vgl. 1, 11, 1. 3, 82, 8. 93, 2. 4, 26, 3. 8, 9, 3. — τῶν πλειόνων, ἐν τοῖς πλείοσιοις πράγμασιν. (Sch.) — ὑποτιθεῖσα. zu 1, 138, 2.

C. 66. § 1. ἀεί, wie 2, 85, 3. (Pp.) — φυγάδων. Vielleicht die 3, 68, 2 erwähnten. (Pp.) — στασιασάντων, τῶν Μεγαρέων. (Bl.) — ἀμφοτέρωθεν, von Seiten der Athener und der Verbannten.

§ 2. τῶν ἔξω, τῶν φυγάδων. (Sch.) — τὸν θροῦν, τὸν λόγον τὸν γιγνόμενον περὶ τῶν φυγάδων, τοῦ δεῖν δέξασθαι αὐτούς. (Sch.) — ἠξίουν hielten ſich für verpflichtet. — τοῦ λόγου ἔχεσθαι die Ausführung des Vorſchlages zu betreiben. — μετὰ σφῶν καρτερεῖν mit ihnen, den Vorſtehern, ausdauern, ohne die Verbannten zurückzuweiſen. (Pp.) — ἢ κατελθεῖν. Gr. 69, 30 A. 2. vgl. 5, 53, 2. 6, 60, 3.

τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους — ἦν δὲ σταδίων μάλιστα ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν — ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων, ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ῥᾴδιον δ' ἤδη ἔμελλον προσχωρήσειν τούτου γεγενημένου.

Οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν 67
λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα πλεύσαντες ἐς Μινῴαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις, ὧν Ἱπποκράτης ἦρχεν, ἐν ὀρύγματι ἐκαθέζοντο, ὅθεν ἐπλίνθευον τὰ τείχη καὶ ἀπεῖχεν οὐ πολύ· οἱ δὲ μετὰ τοῦ Λημοσθένους 2
τοῦ ἑτέρου στρατηγοῦ Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι ἐνήδρευσαν ἐς τὸ Ἐνυάλιον, ὅ ἐστιν ἔλασσον ἄποθεν. καὶ ἤσθετο οὐδεὶς εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι τὴν νύκτα ταύτην. καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε ἐποίησαν. ἀκάτιον ἀμ- 3

---

§ 3. *ἦν δέ, τὰ μακρὰ τείχη* oder *διάστημα*. (A. Ps.) Dieſes ſcheint Py., jenes mir richtig. Gr. 47, 8 A. 1. — *ὀκτώ. δέκα καὶ ὀκτώ* Strabo 9, 1 p. 391, wo Py. *δέκα καὶ* tilgen will. — *βεβαιότητος ἕνεκα* um ſich ihrer Treue zu verſichern. (Hl.) — *τὴν ἄνω πόλιν. αὐτὰ τὰ Μέγαρα λέγει.* (Sch.) vgl. zu 1, 93, 5. — *ἔμελλον προσχωρήσειν* es war zu erwarten daß ſie zu den Athenern übergehen würden. Gr. 53, 8 A. 3. — *τούτου*, die Eroberung der langen Mauern.

C. **67**. § 1. *ἀπό* von Seiten. — *παρεσκεύαστο*. zu 1, 46, 1. — *Μινῴαν*. Die Betonung *Μίνωαν*, die hier mehrere der beſten Hſn. bieten, hat keine Analogie. (Göttling Acc. S. 139.) Wenig Gewähr hat das ſtumme ι. — *ἐπλίνθευον τὰ τείχη, πλίνθους λαμβάνοντες ἐτείχιζον.* (Sch.) Eine ſonſt ſchwerlich vorkommende Fügung. Denn *ἐπλίνθευον τὴν γῆν* Her. 1, 179 iſt unähnlich. — *καί* ohne ὅ. zu 1, 106.

§ 2. *ἕτεροι* außerdem. Kr. zu Xen. An. 1, 4, 2. — *τό* für *τόν* Reiske. vgl. Lob. zu Soph. Aj. 178. — *περίπολοι. τῶν φυλάκων οἱ μὲν ἱδρυμένοι καλοῦνται, οἱ δὲ περίπολοι· ἱδρυμένοι μὲν οὖν εἰσιν οἱ ἀεὶ παρακαθεζόμενοι καὶ πολιορκοῦντες, περίπολοι δὲ οἱ περιερχόμενοι καὶ περιπολοῦντες τὰ φρούρια ἐν τῷ φυλάττειν.* (Sch.) Dies war das Geſchäft der Jünglinge vom 18 bis zum 20 Jahre. Harpokr. u. d. W. u. Poll. 8, 105. — *ἔλασσον* als der Graben. (Py.) — *ἄποθεν εἶναι* iſt ſelten. (Bl.) — *εἰδέναι. ἐσέναι?* Oder vielmehr *εἰδέναι τὴν νύκτα ταύτην* iſt zu tilgen. Ein Komma mit Py. (u. Ps.) nach *εἰδέναι* geſetzt würde demnächſt für *καί* ein *δέ* erwarten laſſen. vgl. zu 1, 5, 2. — *τοιόνδε* ohne ν wie 6, 88, 1. vgl. Kr. zu Xen. An. 4, 7, 10 gr. A.

φηρικὸν ὡς λῃσταί, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν
τῶν πυλῶν, εἰώθεσαν ἐπὶ ἁμάξῃ, πείθοντες τὸν ἄρχοντα,
διὰ τῆς τάφρου κατακομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν
4 καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι, πάλιν αὐτὸ ἐπὶ ἁμάξῃ
κομίσαντες ἐς τὸ τεῖχος κατὰ τὰς πύλας ἐσῆγον, ὅπως τοῖς
ἐκ τῆς Μινώας Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ φυλακή, μὴ ὄντος
5 ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός. καὶ τότε πρὸς ταῖς
πύλαις ἤδη ἦν ἡ ἅμαξα, καὶ ἀνοιχθεισῶν κατὰ τὸ εἰωθὸς
ὡς τῷ ἀκατίῳ οἱ Ἀθηναῖοι, ἐγίγνετο γὰρ ἀπὸ ξυνθήματος
τὸ τοιοῦτον, ἰδόντες ἔθεον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμε-
νοι φθάσαι πρὶν ξυγκλῃσθῆναι πάλιν τὰς πύλας καὶ ἕως
ἔτι ἡ ἅμαξα ἐν αὐταῖς ἦν, κώλυμα οὖσα προσθεῖναι· καὶ
αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες Μεγαρῆς τοὺς κατὰ πύλας
6 φύλακας κτείνουσιν. καὶ πρῶτον μὲν οἱ περὶ τὸν Λημοσθένην
Πλαταιῆς τε καὶ περίπολοι ἐσέδραμον οὗ νῦν τὸ τροπαῖόν
ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν, ἤσθοντο γὰρ οἱ ἐγγύτατα
Πελοποννήσιοι, μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς
ἐκράτησαν καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπιφερομένοις

---

§ 3. ἀμφηρικόν, ἑκατέρωθεν ἐρεσσόμενον, ἐν ᾧ ἕκαστος τῶν ἐλαυνόντων δικαιοῖ ἐρέσσει. (Sch.) — ἅμάξῃ. ἁμάξης? Jenes wird aus § 4 entſtanden ſein. Oder iſt ἐπί zu tilgen? — ἐκ πολλοῦ verbindet Hl. mit εἰώθεσαν. Es gehört zu beiden Verben. — τεθεραπευκότες τὴν ἄνοιξιν hatten die Oeffnung vorbereitet; ein ungewöhnlicher Ausdruck vgl. zu 6, 61, 4. — τὸν ἄρχοντα der peloponneſiſchen Beſatzung. (Kiſt.) vgl. 69, 3. — τάφρου ein längs dem einen Mauerarme nach dem Meere führender Canal.

§ 4. ἐς τὸ τεῖχος will Py., vorher interpungirend, mit ἐσῆγον verbinden. Allein dann hätte es eine zu betonte Stellung; ἐς wird alſo wohl bis heißen. — τοῖς ἔξ, weil das Folgende den Begriff der Beobachtung von — aus enthält. vgl. zu 3, 29, 1. — ἀφανὴς ἀσαφής Py. Aber unbeutlich paßt nicht. Paſſend wäre ἀφανές mit Tilgung des ἡ φυλακή. Der Sch. erklärt ὅπως ἀφανὲς δῆθεν ᾖ τοῖς Ἀθηναίοις τὸ χρὴ φυλάττεσθαι. — δή vorgeblich. Gr. 69, 17 A. 2. — καὶ τότε und ſo auch damals (Gr. 69, 32 A. 8), ὅτε προσέβοηθουν τὰ Μέγαρα. (Sch.)

§ 5. ὡς τῷ ἀκατίῳ, ὡς τοῦ ἀκατίου μέλλοντος ἐσκομίζεσθαι. (Sch.) — ἀπὸ ξυνθήματος nach Verabredung mit den Megarern; über ἀπό zu 2, 90, 3. vgl. 6, 61, 2. 7, 22, 1 u. 8, 99, 2. — ἔθεον δρόμῳ. Kr. zu Xen. An. 1, 8, 18. vgl 5, 10, 6. 6, 100, 2. — ξυγκλῃσθῆναι. Einige Hſſ. ohne σ, was aber bei dem Ao. u. den Verbalien nicht fehlt. (Py.) — καί vor ἕως verbindet πρὶν ξυγκλῃσθῆναι und ἕως ἦν. — προσθεῖναι. συγκλεισθῆναι. (Sch.) So

βεβαίους τὰς πύλας παρέσχον· ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων 68
ἤδη ὁ ἀεὶ ἐντὸς γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος. καὶ οἱ
Πελοποννήσιοι φρουροὶ τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο
ὀλίγοι καὶ ἀπέθανόν τινες αὐτῶν, οἱ δὲ πλείους ἐς φυγὴν
κατέστησαν, φοβηθέντες ἐν νυκτί τε πολεμίων προσπεπτωκότων
καὶ τῶν προδιδόντων Μεγαρέων ἀντιμαχομένων νομίσαντες
τοὺς ἅπαντας σφᾶς Μεγαρέας προδεδωκέναι. ξυνέπεσε γὰρ 2
καὶ τὸν τῶν Ἀθηναίων κήρυκα ἀφ' ἑαυτοῦ γνώμης κηρῦξαι
τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων θησόμενον
τὰ ὅπλα. οἱ δ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι
νομίσαντες κοινῇ πολεμεῖσθαι κατέφυγον ἐς τὴν Νίσαιαν.

Ἅμα δὲ ἕῳ, ἑαλωκότων ἤδη τῶν τειχῶν καὶ τῶν ἐν τῇ 3
πόλει Μεγαρέων θορυβουμένων, οἱ πρὸς τοὺς Ἀθηναίους
πράξαντες καὶ ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνήδει, ἔφασαν
χρῆναι ἀνοίγειν τὰς πύλας καὶ ἐπεξιέναι ἐς μάχην. ξυνέκειτο 4
δὲ αὐτοῖς τῶν πυλῶν ἀνοιχθεισῶν ἐσπίπτειν τοὺς Ἀθηναίους,
αὐτοὶ δὲ διάδηλοι ἔμελλον ἔσεσθαι· λίπα γὰρ ἀλείψεσθαι,
ὅπως μὴ ἀδικῶνται. ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο
τῆς ἀνοίξεως· καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος κατὰ τὸ ξυγκει-
μενον τετρακισχίλιοι ὁπλῖται τῶν Ἀθηναίων καὶ ἱππῆς ἑξα-
κόσιοι οἱ τὴν νύκτα πορευόμενοι παρῆσαν. ἀλληλιμμένων δὲ 5
αὐτῶν καὶ ὄντων ἤδη περὶ τὰς πύλας καταγορεύει τις ξυνει-
δὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα. καὶ οἱ ξυστραφέντες

προσθεῖναι τὰς θύρας Her. 3, 78. (Hudson). Ueber den Inf. zu 1, 16. — πύλας. τὰς πόλας mehrere, auch einige gute Hſn. Aehnlich ἔξω πυλῶν Plut. Them. 1. Gr. 50, 2 A. 15.

C. 68. § 1. ἀντισχόντες, ἀντιστάντες. (Sch.) — ὀλίγοι. Gr. 50, 11 A. 1. — προσπεπτωκότων καὶ νομίσαντες. Gr. 56, 14 A. 2. — σφᾶς, ἡγουν τοὺς Πελοποννησίους. (Sch.)

§ 2. ξυνέπεσε, συνέβη. (Sch.) vgl. Isokr 5, 89: ἅπασι συνέπεσεν ἐξ ἀδόξων γενέσθαι λαμπροῖς. Kein häufiger Gebrauch. — ἀφ' ἑαυτοῦ γνώμης auch Dio C. 42, 53. 46, 52 u. öfter. (Py.) — ἰέναι hängt von κηρῦξαι ab. (Ba.) Gr. 55, 3 A. 13. — θησόμενον τὰ ὅπλα. zu 2, 2, 4. — οἱ δ', ἤγουν οἱ Πελοποννήσιοι. (Sch.)

§ 3. ἄλλοι. ἄλλο Abr.

§ 4. ἀσφάλεια τῆς ἀνοίξεως Gefahrloſigkeit der Oeffnung; weshalb? zeigt καὶ γάρ —. (Hl. u. Ba.) — οἱ vor τὴν iſt wohl mit ſchlechtern Hſn. zu tilgen. (Py.)

§ 5. τοῖς ἑτέροις. zu 3, 73. — καὶ οἱ. Gr. 50, 1 A. 5.

ἀθρόοι ἦλθον καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπεξιέναι — οὐδὲ γὰρ πρότερόν πω τοῦτο ἰσχύοντες μᾶλλον τολμῆσαι — οὔτε ἐς κίνδυνον φανερὸν τὴν πόλιν καταγαγεῖν· εἴ τε μὴ
6 πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἴσασι τὰ πρασσόμενα, ἀλλ' ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο, καὶ ἅμα περὶ τὰς πύλας παρέμενον φυλάσσοντες, ὥστε οὐκ ἐγένετο τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον.
69 γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ὅτι ἐναντίωμά τι ἐγένετο καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ πρὶν ἐπιβοηθῆσαί τινας ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προσχωρῆσαι — παρεγένετο δὲ σίδηρός τε ἐκ τῶν Ἀθηνῶν ταχὺ καὶ λιθουργοὶ
2 καὶ τἆλλα ἐπιτήδεια — ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους ὃ εἶχον καὶ διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας ἀπ' ἐκείνου ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας, τάφρον τε καὶ τείχη διελομένη ἡ στρατιὰ ἔκ τε τοῦ προαστείου λίθοις καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὕλην ἀπεστάυρουν εἴ πῃ δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ προαστείου ἐπάλξεις
3 λαμβάνουσαι αὐταὶ ὑπῆρχον ἔρυμα. καὶ ταύτην μὲν τὴν

— εἴ τε. zu 3, 28, 1. — αὐτοῦ dort, an den Thoren ſelbſt unter einander Pſ., unpaſſend. Vielmehr: ſein werde der Kampf ſein, er werde es mit ihnen zu thun bekommen. (Ba. u. Hl.)

§ 69. § 1. στρατηγοί, οἱ ἐκτὸς ἓν ὄντες τῶν Μεγάρων καὶ μήπω εἰσελθόντες. (Sch.) — τινάς. zu 3, 36, 4. — σίδηρος, λιθουργός. (Sch.) — ἐπιτήδεια. τὰ ἐπιτήδεια? Gr. 50, 9 A. 2.

§ 2. ἀρξάμενοι kann man füglich an περιετείχιζον anſchließen, wenn man mit Bk. παρεγένετο — ἐπιτήδεια, ſonſt durch Puncte abgeſondert, parenthetiſch nimmt. Bei der Verbindung mit ἀπεσταύρουν wäre δέ unpaſſend. — ὃ εἶχον, die langen Mauern vgl. Kr Stud. S. 169 f. A. 3. — διοικοδομήσαντες τὸ πρὸς M. zogen zwiſchen den beiden Mauerſchenkeln gegen M. zu eine Queermauer. (Pſ.) — ἐκείνου kann nicht auf die Queermauer bezogen werden, da ſie nicht ausdrücklich genannt iſt. (Py.) — τῆς Νισαίας kann mit θάλασσαν wegen des fehlenden Artikels wohl nicht verbunden werden; alſo nach Hf. mit ἑκατέρωθεν. (Py.) — διελομένη ἡ στρατιά. Ueber die Apoſtrophirung Gr. 57, 8 A. — τε nach ἔκ und καί vor κόπτοντες verdächtigt Py., um χρώμενοι an διελόμενοι, κόπτοντες an ἀπεσταύρουν anzuſchließen. Allein jenes τέ dürfte χρώμενοι mit διελομένη, dieſes καί aber ἀπεσταύρουν mit περιετείχιζον verbinden. — ὕλην. zu 2, 75, 2. vgl. Xen. An. 3, 5, 9. — δέοιτο. Py. nimmt τι als Subject und ergänzt ἀποσταυροῦν; kaum ſprachgemäß. Ich vermuthe δέοι. — αὐταί von ſelbſt.

ἡμέραν ὅλην εἰργάζοντο· τῇ δ' ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀποτετέλεστο, καὶ οἱ ἐν τῇ Νισαίᾳ δείσαντες, σίτου τε ἀπορίᾳ, ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο, καὶ τοὺς Πελοποννησίους οὐ νομίζοντες ταχὺ ἐπιβοηθήσειν τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητοῦ μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι ὅπλα παραδόντας, τοῖς δὲ Λακεδαιμονίοις, τῷ τε ἄρχοντι καὶ εἴ τις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους ὅ τι ἂν βούλωνται. ἐπὶ τούτοις ὁμο- 4
λογήσαντες ἐξῆλθον. καὶ οἱ Ἀθηναῖοι τὰ μακρὰ τείχη ἀπορρήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως καὶ τὴν Νίσαιαν παραλαβόντες τἆλλα παρεσκευάζοντο.

Βρασίδας δὲ ὁ Τέλλιδος Λακεδαιμόνιος κατὰ τοῦτον 70
τὸν χρόνον ἐτύγχανε περὶ Σικυῶνα καὶ Κόρινθον ὤν, ἐπὶ Θρᾴκης στρατιὰν παρασκευαζόμενος. καὶ ὡς ᾔσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας περί τε τοῖς ἐν τῇ Νισαίᾳ Πελοποννησίοις καὶ μὴ τὰ Μέγαρα ληφθῇ, πέμπει ἐς τε τοὺς Βοιωτοὺς κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι ἐπὶ Τρι- 2
ποδίσκον — ἔστι δὲ κώμη τῆς Μεγαρίδος ὄνομα τοῦτο ἔχουσα ὑπὸ τῷ ὄρει τῇ Γερανίᾳ — καὶ αὐτὸς ἔχων ἦλθεν ἐπιακοσίους μὲν καὶ δισχιλίους Κορινθίων ὁπλίτας, Φλιασίων δὲ τετρακοσίους, Σικυωνίων δὲ ἑξακοσίους καὶ τοὺς μεθ' αὑτοῦ ὅσοι ἦδη ξυνειλεγμένοι ἦσαν, οἰόμενος τὴν Νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον. ὡς δὲ ἐπύθετο, ἔτυχε γὰρ νυκτὸς ἐπὶ 3
τὸν Τριποδίσκον ἐξελθών, ἀπολέξας τριακοσίους τοῦ στρατοῦ, πρὶν ἔκπυστος γενέσθαι, προσῆλθε τῇ τῶν Μεγαρέων

---

§ 3. ὅσον οὐκ, παρὰ μικρόν. (Sch.) Gr. 67, 14 A. 4. — οἱ ἐν τῇ N., οἱ Πελοποννήσιοι δηλονότι. (Sch.) — ἐφ' ἡμέραν auf, für den Tag. Dem. 50, 23: ὁ στρατηγὸς οὐδὲ τὸ ἐφ' ἡμέραν αὐτοῖς τροφὴν διαρκῆ ἐδίδου. vgl. Seidler zu Eur. El. 426. — ἐχρῶντο, σιτῷ δηλονότι. (Sch.) — ἕκαστον jeder Peloponneſier mit Ausſchluß der Lakedämonier. (Hf.) — τοῖς δέ für τοῖς τε Pp., wie es ſcheint auch Hſn. autem Ba.

§ 4. ἀπορρήξαντες, indem ſie den Theil der an die Stadtmauer ſtieß niederriſſen. (Hl.)

C. 70. § 1. στρατιάν. στρατείαν A. Ps. vgl. 74, 2; dagegen zu 1, 3, 4. — περί τε — καὶ μή. Gr. 59, 2 A. 3.

§ 3. ἐπύθετο, ἁλῶναι aus ἀνάλωτον. (Ba.) — ἔτυχε γάρ bezieht ſich auf den ganzen Nachſatz. (Pp.) — ἔκπυστος. Ueber dies

πόλει λαθεῖν τοὺς Ἀθηναίους ὄντας περὶ τὴν θάλασσαν, βουλόμενος μὲν τῷ λόγῳ καὶ ἅμα, εἰ δύναιτο, ἔργῳ τῆς Νισαίας πειρᾶσαι, τὸ δὲ μέγιστον, τὴν τῶν Μεγαρέων πόλιν εἰσελθὼν βεβαιώσασθαι. καὶ ἠξίου δέξασθαι σφᾶς, λέγων
71 ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν. αἱ δὲ τῶν Μεγαρέων στάσεις φοβούμεναι οἱ μὲν μὴ τοὺς φεύγοντας σφίσιν ἐσαγαγὼν αὐτοὺς ἐκβάλῃ, οἱ δὲ μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπιθῆται σφίσι καὶ ἡ πόλις ἐν μάχῃ καθ' αὑτὴν οὖσα ἐγγὺς ἐφεδρευόντων Ἀθηναίων ἀπόληται, οὐκ ἐδέξαντο, ἀλλ' ἀμ-
2 φοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιιδεῖν· ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε Ἀθηναίων καὶ τῶν προσβοηθησάντων, καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν, οἷς τις εἴη εὔνους, κρατήσασι προσχωρῆσαι. ὁ δὲ Βρασίδας ὡς οὐκ ἔπειθεν, ἀνεχώρησε πάλιν ἐς τὸ ἄλλο στράτευμα.
72 Ἅμα δὲ τῇ ἕῳ οἱ Βοιωτοὶ παρῆσαν, διανενοημένοι μὲν καὶ πρὶν Βρασίδαν πέμψαι βοηθεῖν ἐπὶ τὰ Μέγαρα, ὡς οὐκ ἀλλοτρίου ὄντος τοῦ κινδύνου, καὶ ἤδη ὄντες πανστρατιᾷ Ἠλαταιᾶσιν· ἐπειδὴ δὲ καὶ ἦλθεν ὁ ἄγγελος, πολλῷ μᾶλλον ἐρρώσθησαν, καὶ ἀποστείλαντες διακοσίους καὶ δισχιλίους ὁπλίτας καὶ ἱππέας ἑξακοσίους τοῖς πλείοσιν ἀπῆλθον πάλιν.
2 παρόντος δὲ ἤδη ξύμπαντος τοῦ στρατεύματος, ὁπλιτῶν οὐκ ἔλασσον ἑξακισχιλίων, καὶ τῶν Ἀθηναίων τῶν μὲν ὁπλιτῶν περὶ τὴν Νίσαιαν ὄντων καὶ τὴν θάλασσαν ἐν τάξει, τῶν δὲ ψιλῶν ἀνὰ τὸ πεδίον ἐσκεδασμένων, οἱ ἱππῆς οἱ τῶν Βοιω-

---

seltene Verbale zu 3, 30, 1. περίπυστος App. Bürg. 2, 88. — τῷ λόγῳ vorgeblich, um ſeine wahren Pläne zu verdecken. — τὸ δὲ μέγιστον. Gr. 57, 10 A. 12. — εἰσελθών. ἐσελθών drei ſchlechte Hſn. — σφᾶς. Gr. 58, 4 A. 3.

C. 71. § 1. αἱ στάσεις οἱ μέν. zu 2, 47, 1. App. Hann. 27: ἡ πόλις οἱ μὲν ἐθρήνουν, αἱ δὲ γυναῖκες ἱκέτευον. — περιιδεῖν abwarten, wie περιορᾶσθαι 4, 73, 1. 6, 93, 1. 103, 2. 7, 33, 2, περισκοπεῖν 6, 49, 3. vgl. 1, 36, 2.

§ 2 αὐτούς ſie ſelbſt. (Pp.) Gr. 51, 6 A. 3. — οἷς τις für ὅστις Hl., z. Th. von Hſn. beſtätigt: denen welchen man wohl wollte, wenn ſie die Oberhand behielten, beitreten. Das κρατήσασι iſt ſtark zu betonen.

C. 72. § 1. πέμψαι 70, 1. — καὶ ὄντες iſt mit διανενοημένοι zu verbinden. — ἐρρώσθησαν. zu 2, 8, 1. — ἀποστείλαντες. Das Particip enthält den Hauptgedanken: ſie ſchickten zum Braſidas, während ſie ꝛc. — διακοσίους. χιλίους einige Hſn.

τῶν ἀπροσδοκήτοις ἐπιπεσόντες τοῖς ψιλοῖς ἔτρεψαν ἐπὶ τὴν θάλασσαν· ἐν γὰρ τῷ πρὸ τοῦ οὐδεμία βοήθειά πω τοῖς 3
Μεγαρεῦσιν οὐδαμόθεν ἐπῆλθεν. ἀντεπεξελάσαντες δὲ καὶ οἱ τῶν Ἀθηναίων ἐς χεῖρας ἦεσαν, καὶ ἐγένετο ἱππομαχία ἐπὶ πολύ, ἐν ᾗ ἀξιοῦσιν ἑκάτεροι οὐχ ἧσσους γενέσθαι. τὸν μὲν γὰρ ἵππαρχον τῶν Βοιωτῶν καὶ ἄλλους τινὰς οὐ πολλοὺς πρὸς αὐτῇ τῇ Νισαίᾳ προσελάσαντες οἱ Ἀθηναῖοι καὶ ἀποκτείναντες ἐσκύλευσαν, καὶ τῶν τε νεκρῶν τούτων κρατή- 4
σαντες ὑποσπόνδους ἀπέδοσαν καὶ τροπαῖον ἔστησαν· οὐ μέντοι ἔν γε τῷ παντὶ ἔργῳ βεβαίως οὐδέτεροι τελευτήσαντες ἀπεκρίθησαν, ἀλλ' οἱ μὲν Βοιωτοὶ πρὸς τοὺς ἑαυτῶν, οἱ δὲ ἐπὶ τὴν Νίσαιαν.

Μετὰ δὲ τοῦτο Βρασίδας καὶ τὸ στράτευμα ἐχώρουν 73
ἐγγυτέρω τῆς θαλάσσης καὶ τῆς τῶν Μεγαρέων πόλεως, καὶ καταλαβόντες χωρίον ἐπιτήδειον παρataξάμενοι ἡσύχαζον, οἰόμενοι σφίσιν ἐπιέναι τοὺς Ἀθηναίους, καὶ τοὺς Μεγαρέας ἐπισταμένοι περιορωμένους ὁποτέρων ἡ νίκη ἔσται. καλῶς 2
δὲ ἐνόμιζον σφίσιν ἀμφότερα ἔχειν, ἅμα μὲν τὸ μὴ ἐπιχειρεῖν προτέρους μηδὲ μάχης καὶ κινδύνου ἑκόντας ἄρξαι, ἐπειδή γε ἐν φανερῷ ἔδειξαν ἑτοῖμοι ὄντες ἀμύνεσθαι, καὶ αὐτοῖς ὥσπερ ἀκονιτὶ τὴν νίκην δικαίως ἂν τίθεσθαι· ἐν τῷ αὐτῷ δὲ καὶ πρὸς τοὺς Μεγαρέας ὀρθῶς ξυμβαίνειν. εἰ 3

---

§ 3. *γάρ* erklärt das *ἀπροσδοκήτοις ἐπιπεσόντες*: auch jetzt hatten ſie keinen Angriff erwartet; denn ꝛc. (St.) — *τῷ πρὸ τοῦ*. zu 1, 2, 2. — *Ἀθηναίων ἱππῆς ἐς* Kr. Denn die Ergänzung aus § 2 wäre hart. — *αὐτῇ τῇ Νισαίᾳ* für *αὐτὴν τὴν Νισαίαν* Arn. — *οἱ Ἀ. ἀποκτείναντες* A. Bs.

§ 4. *βεβαίως* mit entſchiedenem Erfolge, Sieg oder Niederlage. (Bs.) vgl. zu 4, 62, 2. Auch vom Unglück ſteht das Wort 8, 24, 4. — *τελευτήσαντες*. Gr. 56, 8 A. 5? Doch hab' ich vom Ao. weiter kein Beiſpiel der Art zur Hand. — *πρὸς τοὺς ἑαυτῶν, ἀπεκρίθησαν*. So *διεκρίθησαν πρός* 1, 18, 5. (Py.)

C. 73. § 1. *ὁποτέρων, εἴτε τῶν Ἀθηναίων εἴτε τῶν Λακεδαιμονίων*. (Sch.)

§ 2. *ἅμα μέν*. Dem entſpricht *ἐν τῷ αὐτῷ δέ*. (Hl.) zu 3, 11, 2. — *ἐπειδή γε*, was ſie nicht nöthig zu haben glaubten, da ſie ja. (Py.) — *τίθεσθαι* hängt von dem auch hier noch vorſchwebenden *ἐνόμιζον* ab. — *πρός*. *τὸ πρός* wäre concinner; ohne *τό* iſt bloß *ξυμβαίνειν* an *ἐνόμιζον* angeſchloſſen: auch in Bezug auf die Megarer treffe es ſich gut.

μὲν γὰρ μὴ ὤφθησαν ἐλθόντες, οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν, ἀλλὰ σαφῶς ἂν ὥσπερ ἡσσηθέντων στερηθῆναι εὐθὺς τῆς πόλεως· νῦν δὲ κἂν τυχεῖν αὐτοὺς Ἀθηναίους μὴ βουληθέντας ἀγωνίζεσθαι, ὥστε ἀμαχεὶ ἂν περιγενέσθαι αὐτοῖς
4 ὧν ἕνεκα ἦλθον· ὅπερ καὶ ἐγένετο. οἱ γὰρ Μεγαρῆς, ὡς οἱ Ἀθηναῖοι ἐτάξαντο μὲν παρὰ τὰ μακρὰ τείχη ἐξελθόντες, ἡσύχαζον δὲ καὶ αὐτοὶ μὴ ἐπιόντων, λογιζόμενοι καὶ οἱ ἐκείνων στρατηγοὶ μὴ ἀντίπαλον εἶναι σφίσι τὸν κίνδυνον, ἐπειδὴ καὶ τὰ πλείω αὐτοῖς προεχεχωρήκει, ἄρξασι μάχης πρὸς πλείονας αὖτῶν ἢ λαβεῖν νικήσαντας Μέγαρα ἢ σφαλέντας
5 τῷ βελτίστῳ τοῦ ὁπλιτικοῦ βλαφθῆναι, τοῖς δὲ ξυμπάσης τῆς δυνάμεως καὶ τῶν παρόντων μέρος ἕκαστον κινδυνεύειν εἰκότως ἐθέλειν τολμᾶν, χρόνον δὲ ἐπισχόντες, [καὶ] ὡς οὐδὲν ἀφ' ἑκατέρων ἐπεχειρεῖτο, ἀπῆλθον πρότεροι οἱ Ἀθηναῖοι

---

§ 3. *οὐκ ἂν ἐν τύχῃ γίγνεσθαι σφίσιν* impersonal: so würde die Sache, der Erfolg für sie nicht zweifelhaft gewesen sein. (Hl.) zu 1, 137, 4. — *ἡσσηθέντων*. Gr. 47, 4 A. 3. — *κἂν — ἀγωνίζεσθαι* es könne wohl auch kommen daß die Athener von selbst, unangegriffen, nicht kämpfen wollten. — *περιγενέσθαι*. zu 1, 144, 4.

§ 4. *καὶ αὐτοί* ebenfalls, wie die Lakedämonier. (Hl.) — *μὴ ἐπιόντων, τῶν Λακεδαιμονίων*. (Sch.) — *λογιζόμενοι οἱ στρατηγοί*. zu 1, 49, 3. — *μὴ ἀντίπαλον, μὴ ἴσον*, da ein Sieg ihnen nicht so große Vortheile bringen könnte als eine Niederlage Nachtheile herbeiführen müßte. (Sch.) — *τὰ πλείω* die Eroberung Niſäas und der langen Mauern, wodurch Megara vom Meer abgeschnitten war. (Pp.) — *αὐτοῖς, τοῖς Ἀθηναίοις* (Ba.), aus der Seele des Schriftstellers und daher nicht *σφίσιν*. — *ἄρξασι* auf *σφίσι* zu beziehen: sie beſtänden die nicht gleichgewichtliche Gefahr, wenn sie gegen ihnen Ueberlegene eine Schlacht angefangen, entweder ꝛc. — *αὖτῶν*. Gr. 47, 27 A. 2. — *τῷ βελτίστῳ* um den beſten Theil, etwa durch die Analogie von *ζημιοῦν χρήμασιν* 2, 65, 2 zu vertheidigen. vgl. 7, 66, 3 u. Gr. 48, 15 A. 9.

§ 5. *καὶ* vor *τῶν* will Reiske tilgen, Benedict in *ἐκ* ändern. Jenes billigend Pp.: (ferner erwägend) daß bei jenem jeder Theil der ganzen Macht der Anweſenden (oder auch: der von der ganzen Macht Anweſenden) natürlich bereit sei sich der Gefahr auszuſetzen, weil es nämlich nur geringe Theile von den Heeren der Staaten waren. — *χρόνον δέ*. *δέ* ſchließt *ἀπῆλθον* an *ἐτάξαντο* und *ἡσύχαζον* an; gleichfalls noch zum Vordersatze gehörig. — *καὶ* vor *ὡς*, von Hl. getilgt, vertheidigt Kiſt., weil *ἐπισχόντες* so viel sei als *ὡς ἐπέσχον*; hier aber wäre das sehr hart. — *οὐδὲν ἀφ' ἑκατέ-*

ἐς τὴν Νίσαιαν καὶ αὖθις οἱ Πελοποννήσιοι ὅθεν περ ὡρμήθησαν, οὕτω δὴ τῷ μὲν Βρασίδᾳ αὐτῷ καὶ τοῖς ἀπὸ τῶν 74
πόλεων ἄρχουσιν οἱ τῶν φευγόντων φίλοι Μεγαρῆς ὡς ἐπικρατήσαντι καὶ τῶν Ἀθηναίων οὐκέτι ἐθελησάντων μάχεσθαι, θαρσοῦντες μᾶλλον ἀνοίγουσί τε τὰς πύλας καὶ δεξάμενοι καταπεπληγμένων ἤδη τῶν πρὸς τοὺς Ἀθηναίους πραξάντων ἐς λόγους ἔρχονται. καὶ ὕστερον ὁ μὲν διαλυθέντων τῶν 2
ξυμμάχων κατὰ πόλεις ἐπανελθὼν καὶ αὐτὸς ἐς τὴν Κόρινθον τὴν ἐπὶ Θράκης στρατείαν παρεσκεύαζεν, ἵνα περ καὶ τὸ πρῶτον ὥρμητο· οἱ δὲ ἐν τῇ πόλει Μεγαρῆς ἀποχωρησάντων καὶ τῶν Ἀθηναίων ἐπ' οἶκου, ὅσοι μὲν τῶν πραγμάτων πρὸς τοὺς Ἀθηναίους μάλιστα μετέσχον, εἰδότες ὅτι ὤφθησαν εὐθὺς ὑπεξῆλθον, οἱ δὲ ἄλλοι κοινολογησάμενοι 3
τοῖς τῶν φευγόντων φίλοις κατάγουσι τοὺς ἐκ Πηγῶν, ὁρκώσαντες πίστεσι μεγάλαις μηδὲν μνησικακήσειν, βουλεύσειν δὲ τῇ πόλει τὰ ἄριστα. οἱ δὲ ἐπειδὴ ἐν ταῖς ἀρχαῖς ἐγένοντο καὶ ἐξέτασιν ὅπλων ἐποιήσαντο, διαστήσαντες τοὺς λόχους ἐξελέξαντο τῶν τε ἐχθρῶν καὶ οἳ ἐδόκουν μάλιστα ξυμπρᾶ-

---

ρων. οὐδὲν ἀφ' ἑτέρων Kr. Eben so hat ἑκάτερος 7, 42, 6 u. 59, 1 in vielen Hss. das richtige ἕτερος verdrängt. Aesch. 2, 179: οὐδὲ παρ' ἑτέρων δίκην εἰληφότες. vgl. zu 2, 67, 5. — πρότεροι für πρότερον eine Hs., wie ich conjicirt hatte. Gr. 57, 5 A. 3. — ὄθεν für ἐκεῖσε ὅθεν. Gr. 51, 13 A. 9.

C. 74. § 1. οὕτω δή fängt den Nachsatz an, indem das Subject οἱ Μεγαρῆς 73, 4 durch οἱ τῶν φευγόντων φίλοι Μεγαρῆς wieder aufgenommen wird. (Hl.) — τῷ μέν. μέν als ob folgen sollte τοὺς δὲ ἐκ Πηγῶν κατάγουσι. (Hk.) — ἐπικρατήσαντι statt ἐπικρατήσασι. Gr. 63, 4 A. 2. über καί Gr. 56, 14 A. 2. — δεξάμενοι, τὸν Βρασίδαν δηλονότι. (Sch.)

§ 2. ἵνα περ. zu 4, 48, 4. — τῶν πραγμάτων an den geheimen Umtrieben; über den fehlenden Artikel Gr. 50, 9 A. 9. — ὤφθησαν, ἐφωράθησαν. (Sch.)

§ 3. ὁρκώσαντες. ὁρκοῦν auch 5, 47, 11 u. 8, 75, 2; ὁρκίζειν ist bei den Attikern überhaupt nur an drei Stellen nachweislich. Lob. Phryn. p. 361. — πίστεις sind wohl hier u. 5, 30, 4 die Feierlichkeiten bei dem Eide, Verwünschungen gegen den Uebertreter u. dgl. — οἱ δέ, οἱ φυγάδες. (Sch.) — ἀρχαῖς Staatsämtern. Genaueres bei Schömann de com. p. 307 ss. u. K. F. Hermann Staatsalterthümer § 147. — ἐξέτασιν ὅπλων Musterung der Bewaffneten, wie 6, 96, 3. ἐν τοῖς ὅπλοις Xen. An. 5, 3, 3. Cyr. 2, 4, 1. (Dr.) — ἐχθρῶν καί, ἐχθρῶν τινας καὶ τούτους οἵ. Gr. 51, 13 A. 5.

4 ξαι τὰ πρὸς τοὺς Ἀθηναίους, ἄνδρας ὡς ἑκατόν, καὶ τούτων περὶ ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν, ὡς κατεγνώσθησαν, ἔκτειναν, καὶ ἐς ὀλιγαρχίαν τὰ μάλιστα κατέστησαν τὴν πόλιν. καὶ πλεῖστον δὴ χρόνον αὕτη ὑπ' ἐλαχίστων γενομένη ἐκ στάσεων μετάστασις ξυνέμεινεν.

75 Τοῦ δ' αὐτοῦ θέρους τῆς Ἀντάνδρου ὑπὸ τῶν Μυτιληναίων, ὥσπερ διενοοῦντο, μελλούσης κατασκευάζεσθαι, οἱ τῶν ἀργυρολόγων Ἀθηναίων στρατηγοὶ Λημόδοκος καὶ Ἀριστείδης, ὄντες περὶ Ἑλλήσποντον — ὁ γὰρ τρίτος αὐτῶν Λάμαχος δέκα ναυσὶν ἐς τὸν Πόντον ἐσεπεπλεύκει — ὡς ᾐσθάνοντο τὴν παρασκευὴν τοῦ χωρίου καὶ ἐδόκει αὐτοῖς δεινὸν εἶναι μή, ὥσπερ τὰ Ἄναια ἐπὶ τῇ Σάμῳ, γένηται,

2 ἔνθα οἱ φεύγοντες τῶν Σαμίων κατασταντες τοὺς τε Πελοποννησίους ὠφέλουν ἐς τὰ ναυτικὰ κυβερνήτας πέμποντες καὶ τοὺς ἐν τῇ πόλει Σαμίους ἐς ταραχὴν καθίστασαν καὶ τοὺς ἐξιόντας ἐδέχοντο, οὕτω δὴ ξυναγείραντες ἀπὸ τῶν ξυμμάχων στρατιὰν καὶ πλεύσαντες, μάχῃ τε νικήσαντες τοὺς ἐκ τῆς Ἀντάνδρου ἐπεξελθόντας, ἀναλαμβάνουσι τὸ χωρίον πάλιν.

3 καὶ οὐ πολὺ ὕστερον ἐς τὸν Πόντον ἐσπλεύσας Λάμαχος, ἐν τῇ Ἡρακλεώτιδι ὁρμίσας ἐς τὸν Κάληκα ποταμὸν ἀπόλλυσι τὰς ναῦς ὕδατος ἄνωθεν γενομένου καὶ κατελθόντος αἰφνι-

---

§ 4. φανεράν. Denn bei geheimer Abſtimmung hätte Manche ſich für Losſprechung zu erklären gewagt. Eine öfter vorkommende Politik. Lyſ. 13, 37. vgl. 12, 91, u. Xen. Hell. 2, 4, 9. vgl. Symp. 5, 8. — διενεγκεῖν. δια — mit Bezug auf die Trennung in für und wider. Xen. Symp. 5, 8: διαφερόντων τὰς ψήφους. — μετάστασιν Umwälzung, wie 6, 20, 1. 8, 74, 4. Iſokr. 6, 40: τὰ νῦν καθεστῶτα λήψεταί τινα μετάστασιν. Lyſ. 30, 10: ἀπολομένων τῶν νεῶν ἡ μετάστασις ἐπράττετο. An unſrer Stelle befaßt es mit die durch Umwälzung begründete Verfaſſung. vgl. 6, 20, 1.

C. 75. § 1. ὥσπερ διενοοῦντο 4, 52, 2. (Dr.) — ἀργυρολόγων erg. νεῶν, meinte Gb. vgl. 4, 50, 1. Aber warum ſoll es nicht Adj. zu Ἀθηναίων ſein? (Ba.) Doch könnte νεῶν auch ausgefallen ſein. vgl. 4, 50, 1. — ἐπὶ τῇ Σάμῳ, ἐγένετο. Gr. 62, 4 A. 1.

§ 2. κατασταντες. zu 3, 86, 2. — τοὺς ἐξιόντας, um ſich der atheniſchen Herrſchaft zu entziehen.

§ 3. ὁρμίσας. ὁρμήσας die beſten Hſn., kaum ſtatthaft. — ἄνωθεν, ἐξ οὐρανοῦ. (Bé.) Gr. 61, 4 A. 4. — αἰφνιδίου. Gr. 57, 5 A. 4. vgl. 6, 49, 2. 8, 14, 1. 28, 2 u. zu 4, 78, 4. Aus an-

δίου τοῦ ῥεύματος. αὐτός τε καὶ ἡ στρατιὰ πεζῇ διὰ Βιθυνῶν Θρᾳκῶν, οἱ εἰσι πέραν ἐν τῇ Ἀσίᾳ, ἀφικνεῖται ἐς Χαλκηδόνα τὴν ἐπὶ τῷ στόματι τοῦ Πόντου Μεγαρέων ἀποικίαν.

Ἐν δὲ τῷ αὐτῷ θέρει καὶ Δημοσθένης, Ἀθηναίων 76
στρατηγός τεσσαράκοντα ναυσὶν ἀφικνεῖται ἐς Ναύπακτον, εὐθὺς μετὰ τὴν ἐκ τῆς Μεγαρίδος ἀναχώρησιν. τῷ γὰρ Ἱπποκράτει καὶ ἐκείνῳ τὰ Βοιώτια πρύγματα ἀπό τινων ἀνδρῶν ἐν ταῖς πόλεσιν ἐπράσσετο, βουλομένων μεταστῆσαι τὸν κόσμον καὶ ἐς δημοκρατίαν ὥσπερ οἱ Ἀθηναῖοι τρέψαι· καὶ Πτοιοδώρου μάλιστ' ἀνδρὸς φυγάδος ἐκ Θηβῶν ἐσηγου- 2
μένου τάδε αὐτοῖς παρεσκευάσθη. Σίφας μὲν ἔμελλόν τινες προδώσειν· αἱ δὲ Σίφαι εἰσὶ τῆς Θεσπικῆς γῆς ἐν τῷ Κρισαίῳ κόλπῳ ἐπιθαλασσίδιοι. Χαιρώνειαν δέ, ἣ ἐς Ὀρχομενὸν τὸν Μινύειον πρότερον καλούμενον νῦν δὲ Βοιώτιον ξυντελεῖ, ἄλλοι ἐξ Ὀρχομενοῦ ἐνεδίδοσαν· καὶ οἱ Ὀρχομε- 3
νίων φυγάδες ξυνέπρασσον τὰ μάλιστα καὶ ἄνδρας ἐμισθοῦντο ἐκ Πελοποννήσου, ἔστι δὲ ἡ Χαιρώνεια ἔσχατον τῆς Βοιωτίας πρὸς τῇ Φανότιδι τῆς Φωκίδος, καὶ Φωκέων μετεῖχόν τινες. τοὺς δὲ Ἀθηναίους ἔδει Δήλιον καταλαβεῖν τὸ ἐν τῇ Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερόν, ἅμα δὲ ταῦτα ἐν ἡμέρᾳ ῥητῇ γίγνεσθαι, ὅπως μὴ ξυμβοηθήσωσιν ἐπὶ τὸ Δήλιον οἱ Βοιωτοὶ ἀθρόοι, ἀλλ' ἐπὶ τὰ σφέτερα αὐτῶν ἕκαστοι κινούμενα. καὶ εἰ κατορθοῖτο ἡ 4
πεῖρα καὶ τὸ Δήλιον τειχισθείη, ῥᾳδίως ἤλπιζον, εἰ καὶ μὴ

---

dern Attikern ist mir dieser Ausdruck nicht erinnerlich. — Βιθυνῶν ohne Artikel gegen Gr. 50, 7 A. 11, wohl nur weil gedacht werden kann: durch eine von bithynischen Thrakern bewohnte Strecke.

C. 76. § 1. κόσμον, πολιτείαν. (Sch.) vgl. 8, 48, 3. 67, 3, Arist. Pol. 5, 6, 7, Isokr. 12, 116: ὁ κόσμος ὁ τῆς πολιτείας. Dem. 25, 19: ὁ τῆς πόλεως καὶ τῶν νόμων κόσμος. — ὥσπερ οἱ Ἀ., δημοκρατοῦνται aus δημοκρατία oder ἐς δημοκρατίαν ἔτρεψαν. (Abr.)

§ 2. εἰσὶ τῆς. Gr. 47, 6 A. 9. — ξυντελεῖ. zu 2, 15, 2. — ἐνεδίδοσαν wollten übergeben. (Bu.) zu 1, 134, 1 u. zu 2, 65, 6.

§ 3. ἔσχατον. zu 1, 10, 1. 138, 6. — ἅμα gleichzeitig. (Hl.) vgl. 77, 1. — ἀθρόοι, παυδημεί. (Sch.) — κινούμενα, ταραττόμενα. (Sch.) vgl. 4, 89, 3.

§ 4. ῥᾳδίως gehört zu οὐ μενεῖν, statt dessen aber hier bloß der

παραυτίκα νεωτερίζοι τι τῶν κατὰ τὰς πολιτείας τοῖς Βοιωτοῖς, ἐχομένων τούτων τῶν χωρίων καὶ ληστευομένης τῆς γῆς καὶ οὔσης ἑκάστοις διὰ βραχέος ἀποστροφῆς οὐ μενεῖν καιὰ χώραν τὰ πράγματα, ἀλλὰ χρόνῳ τῶν Ἀθηναίων μὲν προσιόντων τοῖς ἀφεστηκόσι, τοῖς δὲ οὐκ οὔσης ἀθρόας τῆς
77 δυνάμεως καταστήσειν αὐτὰ ἐς τὸ ἐπιτήδειον. ἡ μὲν οὖν ἐπιβουλὴ τοιαύτη παρεσκευάζετο, ὁ δὲ Ἱπποκράτης αὐτὸς μὲν ἐκ τῆς πόλεως δύναμιν ἔχων, ὁπότε καιρὸς εἴη, ἔμελλε στρατεύειν ἐς τοὺς Βοιωτούς, τὸν δὲ Δημοσθένην προαπέστειλε ταῖς τεσσαράκοντα ναυσὶν ἐς τὴν Ναύπακτον, ὅπως ἐξ ἐκείνων τῶν χωρίων στρατὸν ξυλλέξας Ἀκαρνάνων τε καὶ τῶν ἄλλων ξυμμάχων πλέοι ἐπὶ τὰς Σίφας ὡς προδοθησομένας·
2 ἡμέρα δ' αὐτοῖς εἴρητο ᾗ ἔδει ἅμα ταῦτα πράσσειν. καὶ ὁ μὲν Δημοσθένης ἀφικόμενος, Οἰνιάδας δὲ ὑπό τε Ἀκαρνάνων πάντων κατηναγκασμένους καταλαβὼν ἐς τὴν Ἀθηναίων ξυμμαχίαν καὶ αὐτὸς ἀναστήσας τὸ ξυμμαχικὸν τὸ ἐκείνῃ πᾶν ἐπὶ Σαλύνθιον καὶ Ἀγραίους στρατεύσας πρῶτον καὶ προσποιησάμενος τἆλλα ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας, ὅταν δέῃ, ἀπαντησόμενος.

78 Βρασίδας δὲ κατὰ τὸν αὐτὸν χρόνον τοῦ θέρους πορευόμενος ἑπτακοσίοις καὶ χιλίοις ὁπλίταις ἐς τὰ ἐκ Θρᾴκης ἐπειδὴ ἐγένετο ἐν Ἡρακλείᾳ τῇ ἐν Τραχῖνι καὶ προπέμψαντος αὐτοῦ ἄγγελον ἐς Φάρσαλον παρὰ τοὺς ἐπιτηδείους, ἀξιοῦντος διάγειν ἑαυτὸν καὶ τὴν στρατιάν, ἦλθον ἐς Μελιτίαν τῆς Ἀχαΐας Πάναιρος τε καὶ Λῶρος καὶ Ἱπποκλείδας καὶ Τορύλαος καὶ Σιρόφακος, πρόξενος ὢν Χαλκιδέων, τότε δὴ
2 ἐπορεύετο. ἦγον δὲ καὶ ἄλλοι Θεσσαλῶν αὐτὸν καὶ ἐκ Λα-

Begriff: es werde gelingen vorſchwebt. — νεωτερίζοι intranſitiv, wie es ſonſt nicht nachgewieſen; νεωτερίζοιτο einige Hſn. — ἑκάστοις, τοῖς τῶν Ἀθηναίων ληισταῖς. (Sch.) Auch die zu den Athenern Abfallenden ſind gemeint. (Dſ.) Und wohl nur ſie. — διὰ βραχέος, οὐκ ἀπὸ πολλοῦ διαστήματος, διὰ τὸ πλησίον εἶναι τὰ στρατεύματα τῶν Ἀθηναίων. (Sch.) — ἀποστροφῆς, καταφυγῆς. (Sch.) vgl. Kr. zu Xen. An. 2, 4, 22; nämlich nach Delium, Chäronea und Siphä. (Arn.) — κατὰ χώραν, κατὰ τὴν οἰκείαν τάξιν. (Sch.) — τοῖς δέ, τοῖς Βοιωτοῖς. (Sch.) — ἐπιτήδειον. zu 1, 19; σφίσι konnte hinzugefügt werden. (Pp.)

C. 77. § 1. τοιαύτη. Gr. 57, 3 A. 5. — ταῖς. 76, 1.

§ 2. καταλαβών fand, traf an. (Hl.) — προσποιησά-

ρίσης Νικονίδας, Περδίκκᾳ ἐπιτήδειος ὤν. τὴν γὰρ Θεσσαλίαν ἄλλως τε οὐκ εὔπορον ἦν διιέναι ἄνευ ἀγωγοῦ καὶ μετὰ ὅπλων γε δή, καὶ τοῖς πᾶσί γε ὁμοίως Ἕλλησιν ὕποπτον κατεστήκει τὴν τῶν πέλας μὴ πείσαντας διιέναι· τοῖς τε Ἀθη- 3
ναίοις ἀεί ποτε τὸ πλῆθος τῶν Θεσσαλῶν εὔνουν ὑπῆρχεν. ὥστε εἰ μὴ δυναστείᾳ μᾶλλον ἢ ἰσονομίᾳ ἐχρῶντο τὸ ἐγχώριον οἱ Θεσσαλοί, οὐκ ἄν ποτε προῆλθεν, ἐπεὶ καὶ τότε πορευομένῳ αὐτῷ ἀπαντήσαντες ἄλλοι τῶν τἀναντία τούτοις βουλομένων ἐπὶ τῷ Ἐνιπεῖ ποταμῷ ἐκώλυον, καὶ ἀδικεῖν ἔφασαν ἄνευ τοῦ πάντων κοινοῦ πορευόμενον. οἱ δὲ ἄγοντες 4
οὔτε ἀκόντων ἔφασαν διάξειν, αἰφνιδίου τε παραγενόμενον ξένοι ὄντες κομίζειν. ἔλεγε δὲ καὶ αὐτὸς ὁ Βρασίδας τῇ Θεσσαλῶν γῇ καὶ αὐτοῖς φίλος ὢν ἰέναι, καὶ Ἀθηναίοις πολεμίοις οὖσι καὶ οὐκ ἐκείνοις ὅπλα ἐπιφέρειν, Θεσσαλοῖς τε οὐκ εἰδέναι καὶ Λακεδαιμονίοις ἔχθραν οὖσαν ὥστε τῇ ἀλλήλων γῇ μὴ χρῆσθαι, νῦν τε ἀκόντων ἐκείνων οὐκ ἄν προελθεῖν, οὐδὲ γὰρ ἂν δύνασθαι, οὐ μέντοι ἀξιοῦν γε εἴργεσθαι. καὶ οἱ μὲν ἀκούσαντες ταῦτα ἀπῆλθον, ὁ δὲ 5
κελευόντων τῶν ἀγωγῶν, πρίν τι πλέον ξυστῆναι τὸ κωλῦσον, ἐχώρει οὐδὲν ἐπισχὼν ὁρόμῳ. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ἢ

μενος unterwarf ſich den Salynthios und die Agräer. (Hl.) vgl. zu 1, 114, 2. Vor Hl. zog man τἆλλα hieher.

C. 78. § 1. καί vor προπέμψαντας verbindet ἐγένετο und ἦλθον. — ἐπορεύετο marſchirte aus Heraklea weiter.

§ 2. ἀγωγοῦ Geleiter, nicht Wegweiſer. (Bl.) — γε δή vollends. Ohne Interpunction nach δή Bk. Aber die Verbindung γε δὴ καί — γε iſt unerhört; auch zeigt die Stellung des τὴν Θεσσαλίαν vor ἄλλως τε daß Thuk. von dieſem Lande ſpeciell und namentlich etwas ausſagen wolle. (Py.) — ὕποπτον verdächtig Ps., wogegen das Folgende; alſo beſorglich, bedenklich, ſie ſcheuten es.

§ 3. τὸ ἐγχώριον, ἐγχωρίως. (Sch.) zu 1, 3, 4 S. 8 f. — ἄλλοι τῶν βουλομένων Andere, Leute aus der Zahl derer die da wollten. — τούτοις, τοῖς ἐάσασι Βρασίδαν διέναι. (Sch.) — ἄνευ. Gr. 68, 18 A.

§ 4. αἰφνίδιον παραγενόμενον aus αἰφνίδιος παραγίγνομαι. zu 75, 3. — καὶ αὐτοῖς. Kr. zu Xen. An. 1, 2, 20. — τῇ ἀλλήλων. Gr. 51, 3 A.

§ 5. ξυστῆναι τὸ κωλῦσον, συναθροισθῆναι τοὺς κωλύσοντας.

ἐκ τῆς Μελιτίας ἀφώρμησεν, ἐς Φάρσαλόν τε ἐτέλεσε καὶ ἐστρατοπεδεύσατο ἐπὶ τῷ Ἀπιδανῷ ποταμῷ, ἐκεῖθεν δὲ ἐς Φάκιον καὶ ἐξ αὐτοῦ ἐς Περαιβίαν. ἀπὸ δὲ τούτου ἤδη οἱ μὲν τῶν Θεσσαλῶν ἀγωγοὶ πάλιν ἀπῆλθον, οἱ δὲ Περαιβοὶ αὐτόν, ὑπήκοοι ὄντες Θεσσαλῶν, κατέστησαν ἐς Αἶον τῆς Περδίκκου ἀρχῆς, ὃ ὑπὸ τῷ Ὀλύμπῳ, Μακεδονίας πρὸς
79 Θεσσαλοὺς πόλισμα, κεῖται. τούτῳ τῷ τρόπῳ Βρασίδας Θεσσαλίαν φθάσας διέβραμε πρὶν τινα κωλύειν παρασκευάσασθαι καὶ ἀφίκετο ὡς Περδίκκαν καὶ ἐς τὴν Χαλκιδικήν. ἐκ γὰρ τῆς Πελοποννήσου, ὡς τὰ τῶν Ἀθηναίων εὐτύχει, δείσαντες οἵ τε ἐπὶ Θράκης ἀφεστῶτες Ἀθηναίων καὶ Περδίκκας ἐξήγαγον τὸν στρατόν, οἱ μὲν Χαλκιδῆς νομίζοντες ἐπὶ σφᾶς πρῶτον ὁρμήσειν τοὺς Ἀθηναίους — καὶ ἅμα αἱ πλησιόχωροι πόλεις αὐτῶν αἱ οὐκ ἀφεστηκυῖαι ξυνεπῆγον
2 κρύφα — Περδίκκας δέ, πολέμιος μὲν οὐκ ὢν ἐκ τοῦ φανεροῦ, φοβούμενος δὲ καὶ αὐτὸς τὰ παλαιὰ διάφορα τῶν Ἀθηναίων καὶ μάλιστα βουλόμενος Ἀρριβαῖον τὸν Λυγκηστῶν βασιλέα παραστήσασθαι. ξυνέβη δὲ αὐτοῖς, ὥστε ῥᾴον ἐκ τῆς Πελοποννήσου στρατὸν ἐξαγαγεῖν, ἢ τῶν Λακεδαιμο-
80 νίων ἐν τῷ παρόντι κακοπραγία. τῶν γὰρ Ἀθηναίων ἐγκειμένων τῇ Πελοποννήσῳ καὶ οὐχ ἧκιστα τῇ ἐκείνων γῇ ἤλ-

---

(Sch.) Gr. 43, 4 A. 17 u. 50, 4 A. 3. — ἀφώρμησεν, ſonſt ἀφωρμήθη. (Pp.) — ἐτέλεσε. zu 2, 97, 2.

§ 6. Περαιβοί, wie Il. β, 749. (Hudſon.) Eine gute Hſ. Περραιβοί, was vielleicht aufzunehmen. Aeſch. Hik. 253: ὁρίζομαι δὲ τήνδε Περραιβῶν χθόνα. — αὐτόν für αὐτῶν einige gute Hſſ. — κατέστησαν brachten, wie 4, 103, 3. Xen. An. 4, 8, 8. (Bl.) — πρός gegen — zu, versus. (Ba.)

C. 79. § 1. ἐξήγαγον zogen aus dem P. herbei; ἐπήγαγον oder ἐπηγάγοντο zu beſſern verbietet § 2. — πλησιόχωροι, wofür Thomas M. πρόσχωροι fordert, eben ſo 4, 92, 4, Ar. Vesp. 393, Xen. Cyr. 4, 5, 35. (Pp.)

§ 2. πολέμιος, τοῖς Ἀθηναίοις δηλονότι. (Sch.) vgl. 2, 29, 5. (Pp.) — διάφορα. zu 1, 56, 1. 68, 2. — αὐτοῖς, ἦγουν τῷ Περδίκκᾳ καὶ τοῖς ἐπὶ Θράκης ἀφεστῶσι τῶν Ἀθηναίων. (Sch.) vgl. 1, 33, 2. Etwas verſchieden ſteht der Da. bei dem perſönlich gebrauchten ξυμβαίνειν 2, 15, 1. 5, 98. 6, 33, 6. 103, 4.

C. 80. § 1. ἐγκειμένων von Pylos und Kythera aus. 4, 55 ff. (Pp.) — τῇ ἐκείνων γῇ, ἤγουν τῇ Λακωνικῇ. (Sch.) — ἀποστρε-

πιζον ἀποστρέψαι αὐτοὺς μάλιστα, εἰ ἀντιπαραλυποῖεν πέμψαντες ἐπὶ τοὺς ξυμμάχους αὐτῶν στρατιάν, ἄλλως τε καὶ ἑτοίμων ὄντων τρέφειν τε καὶ ἐπὶ ἀποστάσει σφᾶς ἐπικαλουμένων. καὶ ἅμα τῶν Εἱλώτων βουλομένοις ἦν ἐπὶ προφάσει ἐκπέμψαι, μή τι πρὸς τὰ παρόντα τῆς Πύλου ἐχομένης νεωτερίσωσιν, ἐπεὶ καὶ τόδε ἔπραξαν φοβούμενοι αὐτῶν τὴν 2
νεότητα καὶ τὸ πλῆθος· — ἀεὶ γὰρ τὰ πολλὰ Λακεδαιμονίοις πρὸς τοὺς Εἱλωτας τῆς φυλακῆς πέρι μάλιστα καθεστήκει — προεῖπον αὐτῶν ὅσοι ἀξιοῦσιν ἐν τοῖς πολεμίοις γεγενῆσθαι σφίσιν ἄριστοι, κρίνεσθαι, ὡς ἐλευθερώσοντες, πεῖραν ποιούμενοι καὶ ἡγούμενοι τούτους σφίσιν ὑπὸ φρονήματος, οἵπερ καὶ ἠξίωσαν πρῶτος ἕκαστος ἐλευθεροῦσθαι, μάλιστα ἂν καὶ ἐπιθέσθαι. καὶ προκρίναντες ἐς δισχιλίους, 3
οἱ μὲν ἐστεφανώσαντό τε καὶ τὰ ἱερὰ περιῆλθον ὡς ἠλευθερωμένοι, οἱ δὲ οὐ πολλῷ ὕστερον ἠφάνισάν τε αὐτοὺς καὶ οὐδεὶς ᾔσθετο ὅτῳ τρόπῳ ἕκασιος διεφθάρη. καὶ τότε προθύμως τῷ Βρασίδᾳ αὐτῶν ξυνέπεμψαν ἑπτακοσίους ὁπλίτας, τοὺς δ' ἄλλους ἐκ τῆς Πελοποννήσου μισθῷ πείσας ἐξήγαγεν.

ψαι. ἀποτρέψαι mehrere Hſn. vgl. zu 6, 18, 6. — ὄντων, τῶν Χαλκιδέων καὶ τοῦ Περδίκκου. (Sch.) — τῶν Εἱλώτων erg. τινάς. (Valck. zu Her. 5, 85.) — βουλομένοις, ἤγουν τοῖς Λακεδαιμονίοις. (Sch.) — πρός aus Rückſicht d. h. veranlaßt durch, wie 5, 14, 2. 8, 39, 2. 50, 1. Häufig iſt πρὸς ταῦτα (τάδε) deswegen, wie Eur. Hipp. 304, Andr. 950, Soph. Bruchſt. 284. Ar. Ri. 622: πρὸς τάδ' ὦ βέλτιστε θαρρήσας λέγε. 760: πρὸς ταῦθ' ὅπως ἔξει πολύς. vgl. Herm. z. Vig. 425.

§ 2. ἐπεί denn, wovor etwa zu ergänzen: dieſe Gefahr ſuchten ſie beſonders zu beſeitigen. vgl. zu 1, 12, 1. — νεότητα. σκαιότητα ei nige Hſn. Beide Wörter ſind unpaſſend. Man erwartet ein Synonymon von φρόνημα. — τὰ πολλὰ — καθεστήκει das Meiſte war den Lakedämoniern gegen die Heloten vorzugsweiſe um ſich vor ihnen zu hüten eingerichtet. (Ba.) — αὐτῶν ὅσοι. Gr. 47, 28 A. 2. — πολεμίοις Kriegsweſen. (Hl.) vgl. 1, 18, 7. 4, 126, 2. 6, 80, 1. — κρίνεσθαι ſich richten laſſen, ſich zur Auswahl ſtellen ſolle.

§ 3. προκρίναντες nur mit Bezug auf οἱ δέ als Hauptſubject. vgl. zu 3, 34, 3. — οἱ μέν, οἱ δισχίλιοι. (Sch.) — οἱ δέ, οἱ Λακεδαιμόνιοι. (Sch.) — καὶ τότε und ſo auch damals. Gr. 69, 32, A. 8. Die erwähnte Metzelei gehörte alſo wohl einer ganz andern Zeit an. — τοὺς ἄλλους ἐκ Π. ἐξήγαγεν, οἱ ἄλλοι οὓς ἐξήγαγεν ἐκ Π.

αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακεδαιμόνιοι ἀπέ-
81 στειλαν, προὐθυμήθησαν δὲ καὶ οἱ Χαλκιδῆς, ἄνδρα ἔν τε τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα καὶ ἐπειδὴ ἐξῆλθε πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. τό τε γὰρ παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέτριον ἐς τὰς πόλεις ἀπέσπασε τὰ πολλά, τὰ δὲ προδοσίᾳ εἶλε τῶν χωρίων, ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι ξυμβαίνειν τε βουλομένοις, ὅπερ ἐποίησαν, ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων καὶ
2 τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς τε τὸν χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον ἡ τότε Βρασίδου ἀρετὴ καὶ ξύνεσις, τῶν μὲν πείρᾳ αἰσθομένων τῶν δὲ ἀποῇ νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους. πρῶτος γὰρ ἐξελθὼν καὶ δόξας εἶναι κατὰ πάντα ἀγαθὸς ἐλπίδα ἐγκατέλιπε βέβαιον ὡς καὶ οἱ ἄλλοι τοιοῦτοί εἰσιν.

82 Τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θρᾴκης οἱ Ἀθηναῖοι πυθόμενοι τόν τε Περδίκκαν πολέμιον ποιοῦνται, νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμμάχων φυλακὴν πλέονα κατεστήσαντο. Περδίκκας δὲ Βρασίδαν καὶ τὴν στρατιὰν εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνάμεως στρατεύει ἐπὶ Ἀρριβαῖον τὸν Βρομεροῦ, Λυγκησιῶν

ἦσαν. vgl. Gr. 50, 11 A. 1. — βουλόμενον μάλιστα beſonders weil er es wünſchte.

C. 81. § 1. προὐθυμήθησαν erg. ἀποσταλῆναι. (Ath.) προεθύμησαν die beſten Hſſ.; προὐτέμψαν Benedict. — ξυμβαίνειν, ξύμβασιν ποιεῖσθαι. vgl. 1, 98, 2. 120, 3. 2, 70, 3. 4, 19, 2. 65, 2. 132, 2. Kein bei Andern ſehr gewöhnlicher Gebrauch. — τε. Dem τέ entſpricht καί vor τοῦ πολέμου. (Hf.) — ἐποίησαν. ἐπόθησαν Kr. Daß dies Verbum ſonſt bei Th. vielleicht nicht vorkommt iſt kein Gegengrund; auch πόθος hat er wohl nur 6, 24, 2. — ἀνταπόδοσιν und λώφησιν ſind ſeltene Wörter. (Bl.)

§ 2. τὰ ἐκ Σ. weil der Krieg gleichſam aus S. nach Hellas verpflanzt wurde. (Ba.) vgl. zu 3, 102, 2. — πρῶτος in dieſem Kriege. (Pp.) — καιά wird ſelten ſo zugefügt. Lobeck zu Soph. Aj. 1415. — ἐλπίδα Meinung. (Pſ.) Dieſe (ioniſche) Bedeutung iſt dem Th. fremd. Es entſpricht hier unſerm Vorausſetzung, gewählt als ob folgen ſollte τοὺς ἄλλους τοιούτους ἔσεσθαι, vgl. 7, 41, 3.

C. 82. ποιοῦνται erkennen, halten. Pflugk zu Eur. Hec. 299. (Pp.) — φυλακὴν κατεστήσαντο veranſtalteten Bewachung. (Ba.)

Μακεδόνων βασιλέα, ὅμορον ὄντα, διαφορᾶς τε αὐτῷ οὔσης καὶ βουλόμενος καταστρέψασθαι. ἐπεὶ δὲ ἐγένετο τῷ στρατιῷ 83
μετὰ τοῦ Βρασίδου ἐπὶ τῇ ἐσβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη βούλεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀρριβαῖον ξύμμαχον Λακεδαιμονίων, ἢν δύνηται, ποιῆσαι. καὶ 2
γάρ τι καὶ Ἀρριβαῖος ἐπεκηρυκεύετο, ἑτοῖμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ οἱ Χαλκιδέων πρέσβεις ξυμπαρόντες ἐδίδασκον αὐτὸν μὴ ὑπεξελεῖν τῷ Περδίκκᾳ τὰ δεινά, ἵνα προθυμοτέρῳ ἔχοιεν καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι. ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι, ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀρριβαίου ἠξίου πράσσειν. Περδίκκας δὲ 3
οὔτε δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων, ἀδικήσειν τε εἰ αὐτοῦ τρέφοντος τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀρριβαίῳ. ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται καὶ πεισθεὶς τοῖς λόγοις ἀπήγαγε τὴν στρατιὰν πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν. Περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ' ἡμίσεος τῆς τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι.

Ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας, ἔχων καὶ 84
Χαλκιδέας, ἐπὶ Ἄκανθον τὴν Ἀνδρίων ἀποικίαν ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. οἱ δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν

C. 83. § 1. *λόγοις* gehört zu *ποιῆσαι*. (Pö.) — *ἐλθών* etg. *ἐς λόγους* aus *λόγοις*. (Ba.) Warum nicht bloß hingegangen? — *τι* kann nur zu *ἐπεκηρυκεύετο* gehören. (Pp.) — *μέσῳ δικαστῇ, μεσίτῃ καὶ διαιτητῇ*. Sch. Aristot. Eth. 5, 4: *ζητοῦσι δικαστὴν μέσον, καὶ καλοῦσιν ἔνιοι μεσιδίους, ὡς ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι*. (Arn.)

§ 2. *ὑπεξελεῖν* für *ὑπεξελθεῖν* die beſten Hſn. — *προθυμοτέρῳ, τῷ Περδίκκᾳ*. (Pp.) — *οἱ παρὰ τοῦ Π.* die vom P. Abgeſandten. Gr. 50, 5 A. 5. — *κοινῇ* gemeinſchaftlich mit dem Perdikkas. (Dö. u. Arn.) unpartheiiſch. vgl. 3, 53, 2. (Bl. u. Pp.) Doch gebraucht Th. das Adv. nie ſo; und wer ſonſt? vgl. 5, 80, 1. — *τὰ τοῦ Α.* die Verhältniſſe zu dem A.

§ 3. *καθαιρέτην* ein ungewöhnliches Subſtantiv. (Hl.) — *ξυνέσται* mit ihm unterhandeln wolle § 1. (Pö.) — *ἄκοντος, τοῦ Περδίκκου δηλονότι*. (Sch.) — *ἐκ διαφορᾶς* nach einem Zerwürfniſſe. (Ba.) vgl. 4, 125, 1. (Pp.) — *ἡμίσεος* iſt das Neu. (Buttmann ausf. Gr. § 62, 1 A. *)

καὶ ἀλλήλους ἐστασίαζον, οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνε-
2 πάγοντες καὶ ὁ δῆμος. ὅμως δὲ διὰ τοῦ καρποῦ τὸ δέος
ἔτι ἔξω ὄντος πεισθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξα-
σθαί τε αὐτὸν μόνον καὶ ἀκούσαντας βουλεύσασθαι δέχεται·
καὶ καταστὰς ἐπὶ τὸ πλῆθος — ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς
Λακεδαιμόνιος, εἰπεῖν — ἔλεγε τοιάδε.

85 "Ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ Λακεδαι-
μονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα ἣν
ἀρχόμενοι τοῦ πολέμου προείπομεν, Ἀθηναίοις ἐλευθεροῦν-
τες τὴν Ἑλλάδα πολεμήσειν· εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφα-
λέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου δόξης, ᾗ διὰ τάχους αὐτοὶ
ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαι-
2 ρήσειν, μηδεὶς μεμφθῇ· νῦν γάρ, ὅτε παρέσχεν, ἀφιγμένοι
καὶ μετὰ ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς. θαυ-
μάζω δὲ τῇ τε ἀποκλήσει μου τῶν πυλῶν καὶ εἰ μὴ ἀσμέ-
νοις ὑμῖν ἀφῖγμαι. ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι οἰό-
μενοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ
γοῦν γνώμῃ ἥξειν καὶ βουλομένοις ἔσεσθαι, κινδυνόν τε το-

C. 84. § 2. *τοῦ καρποῦ. περὶ τοῦ καρποῦ φόβῳ* 4, 88. (G.) — *ἀκούσαντας. ἀκούσαντες* eine Hſ. — *κατασὰς ἐπί* aufgetreten bei, auch 4, 97, 2. — *οὐδὲ* auch nicht, im Gegenſatze zu ſeinen andern Vorzügen. (Ba.) — *ὡς Λ.* ſo weit man es nämlich von einem L. erwarten kann: *οἱ γὰρ Λάκωνες βραχυλόγοι.* (Sch.) Gr. 69, 63 A. 6.

C. 85. § 1. *ἔκπεμψις, ἀποστολή.* (Sch.) Ein ſeltenes Wort. — *μου*, weil hier kein betonter Gegenſatz zu denken iſt. vgl. Kr. zu Xen. An. 3, 4, 41. — *ἐπαληθεύουσα* bewahrheiten, bethätigen. vgl. 8, 52, 2. Appian. Bürgerkr. 4, 138. (Pp.) — *Ἀθηναίοις* gehört zu *πολεμήσειν.* (Sch.) — *χρόνῳ ἐπήλθομεν, βραδέως παραγενόμεθα.* (Sch.) — *σφαλέντες — δόξης* in der aus dem dort geführten Kriege hervorgegangenen Anſicht getäuſcht. (Pp.) Aus, von dem Kriege ſelbſt nämlich hatten ſie die Erwartung baldiger Beendigung gefaßt. — *μεμφθῇ.* Gr. W. 2 § 39 u. d. W.

§ 2. *παρέσχεν, ἔδωκεν ὁ καιρός.* (Sch.) zu 1, 120, 3. — *καὶ μετὰ ὑμῶν* auch mit euch, wie mit Andern. (Hf.) — *τῇ* über die. Gr. 48, 15 A. 6. vgl. 7, 63, 2. — *μου* auch zu *ἀποκλήσει* gezogen bringt dieſem zwiefache Bedeutung auf: Ausſchließung meiner und Verſchließung der Thore. Das iſt nicht wohl vereinbar. Nicht ſinngemäß iſt Abſchließung meiner von den Thoren. Alſo dürfte *μοι* zu leſen ſein. Gr. 48, 12 A. 1. — *ἡμεῖς οἱ Λ.* Gr. 50, 8 A. 2. — *ἀφικέσθαι* von Ba. nicht ausgedrückt ſtört die Schärfe des Gegenſatzes und könnte aus dem Sch. eingeſchlichen ſein. (Kr.) Doch

σόνδε ἀνερρίψαμεν διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν ἰόντες καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι· ὑμεῖς δὲ εἴ τι 3
ἄλλο ἐν νῷ ἔχετε ἢ εἰ ἐναντιώσεσθε τῇ τε ὑμετέρᾳ αὐτῶν ἐλευθερίᾳ καὶ τῶν ἄλλων Ἑλλήνων, δεινὸν ἂν εἴη. καὶ γὰρ οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς ἂν ἐπίω, ἧσσόν τις ἐμοὶ πρόσεισι, δυσχερὲς ποιούμενοι εἰ ἐπὶ οὓς πρῶτον ἦλθον ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων παρεχομένους καὶ ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε· καὶ τὴν αἰτίαν οὐχ 4
ἕξω πιστὴν ἀποδεικνύναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπιφέρειν ἢ ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς Ἀθηναίους, ἣν ἐπίωσιν, ἀφῖχθαι. καίτοι στρατιᾷ γε τῇδ' ἣν νῦν ἐγὼ ἔχω ἐπὶ Νίσαιαν ἐμοῦ βοηθήσαντος οὐκ ἠθέλησαν Ἀθηναῖοι πλέονες ὄντες προσμῖξαι, ὥστε οὐκ εἰκὸς νηίτῃ γε αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖ-

---

kann es ertragen werden: erwartend zu ſchon vor unſerer wirklichen Ankunft wenigſtens der Geſinnung nach uns Verbündeten zu kommen. (Pſ.) — *ἀνερρίψαμεν, ἀπὸ μεταφορᾶς τῶν κύβων.* (Sch.) gute Hſn. *ἀπερρίψαμεν*, contempsimus Va. Doch vgl. 4, 95, 1 u. Her. 7, 50. (Elmsley zu Eur. Her 149.) — *ἡμερῶν.* Gr. 47, 8 A. 1.

§ 3. *οὐ μόνον ὅτι*, wie *οὐχ ὅτι.* (Va.) vgl. die Erkl. zu Xen. Mem. 2, 9, 8 und Stallbaum zu Plat. Symp. 7. (Pp.) — *τίς* auf *οἷς ἄν* bezogen und mit *τις* der Plural *παρεχόμενοι* verbunden. Gr. 58, 4 A. 5. — *ἐπὶ οὓς — ὑμᾶς* für *ὑμῖν ἐπὶ οὕς.* (Pſ.) Gr. 68, 6 A.

§ 4. *τὴν αἰτίαν τῆς ἐμῆς ἐξόδου λέγων οὐ πιστωθήσομαι.* (Sch.) So auch Haaſe Lucubrr. p. 28 f. Doch würde der Gedanke ſich ſo gefaßt dem Vorhergehenden nicht recht anfügen. Richtiger alſo verſtehen Andere mit Va.: den Grund warum ihr mich nicht aufgenommen. (Va.) — *πιστήν* plauſibel. — *ἄδικον, ἐπὶ τῷ ἀδικεῖν τι αὐτούς.* (*αὐτούς?* Sch.) *οὐκ ἀληθινήν, δόλιον, κίβδηλον.* (Abr. nach Pſ.) die ihr nicht ohne Ungerechtigkeit annehmen könnet Hl. — *ἐπιφέρειν*, abhängig von einem aus dem vorigen Satze, nicht aus einem einzelnen Worte deſſelben, zu denkenden *δόξω.* — *καίτοι.* Im Folgenden iſt die Wahrheit moderner Bülletins. vgl. 4, 108, 4 mit 73, 4. — *τῇδ' ἤ.* zu 1, 80, 1. — *ὥστε — ἀποστεῖλαι* demnach, da ſie bei Niſäa gegen dieſes Heer nicht kämpfen wollten, iſt es unwahrſcheinlich daß die Athener wenigſtens mit einer Seeexpedition, die ſchwierig und koſtſpielig iſt, ein dem Heere das bei Niſäa zugegen war gleiches Heer gegen euch ausſenden werden. (Pp. nach Reiske.) — *νηίτῃ. στόλῳ* oder *στρατῷ* aus dem folgenden *στρατῷ* hier zu ergänzen wäre ſehr hart. Daher möchte man mit Dobree und Arn. *τῷ ἐν Νισαίᾳ* tilgen. Aber es ſteckt hier wohl noch ein anderer

86 λαι. αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν Ἑλλήνων παρελήλυθα, ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις ἢ μὴν οὓς ἂν ἔγωγε προσαγάγωμαι ξυμμάχους ἕσεσθαι αὐτονόμους, καὶ ἅμα οὐχ ἵνα ξυμμάχους ὑμᾶς ἔχωμεν ἢ βίᾳ ἢ ἀπάτῃ προσλαβόντες, ἀλλὰ τοὐναντίον
2 ὑμῖν δεδουλωμένοις ὑπὸ Ἀθηναίων ξυμμαχήσοντες. οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις γε διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχωρεῖν δὲ ὑμᾶς θαρσήσαντας. καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα, μὴ ἐγώ τισι προσθῶ τὴν πόλιν, ἀπρόθυμός ἐστι, πάντων μά-
3 λιστα πιστευσάτω. οὐ γὰρ ξυστασιάσων ἦκω οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, εἰ τὸ πάτριον παρεὶς τὸ πλέον τοῖς ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι δουλώσαιμι.

Fehler. Denn wenig befriedigt mich auch Pps. vorher mitgetheilte Erklärung.

C. 86. § 1. ὅρκοις τε entſpricht dem folgenden καὶ ἅμα. (Pp.) — Λακεδαιμονίων hängt von τὰ τέλη ab. (Sch.) — καταλαβὼν verpflichtete. Her. 9, 106: πίστι καταλαβόντες καὶ ὁρκίοισι. (Bl.) — καὶ ἅμα, παρελήλυθα. — οὐχ ἵνα ἔχωμεν ἀλλὰ ξυμμαχήσοντες. Der umgekehrte Wechſel der Conſtruction 1, 73, 1. — ξυμμαχήσοντες, wenn gleich ſyntaktiſch an παρελήλυθα angeſchloſſen, iſt keine auffallende Härte, da ſchon Plurale vorhergegangen ſind.

§ 2. αὐτός. ἄλλως oder ἀδίκως oder auch οὐδέ für das folgende οὔτε Pp. — γε für τε Pp. — δέ für τε Pp. — τινα δεδιὼς μή τισι. vgl. Gr. 61, 6 A. 6. Gemeint ſind Ariſtokraten denen die Regierung überantwortet zu ſehen mancher Demokrat fürchten durfte. — ἀπρόθυμος, προσχωρεῖν. (Pſ.) Das nicht häufige Wort findet ſich auch 8, 32, 1, Her. 7, 220, Xen. 5, 10, 7, ἀπροθύμως Plat. Geſ. 665, e.

§ 3. ἀσαφῆ eine unklare, von der es nicht entſchieden iſt ob ſie Freiheit oder nur Wechſel der Knechtſchaft ſein würde: ein Begriff den beſonders die deutſche Geſchichte, nicht bloß die der älteſten Zeiten, erläutert. — νομίζω ich beſchließe, bin geſonnen. (Hl. u. Kiſt.) ich glaube zu müſſen. vgl. Lobeck z. Phryn. p. 753. (Arn.) Hier kaum zuläſſig. Die gewöhnliche Bedeutung wird wohl beizubehalten ſein: ich glaube nicht zu bringen. Freilich wäre es möglich daß ἐπιφέρων zu leſen und νομίζω als aus dem Gloſſem κομίζων entſtanden zu tilgen wäre. — Ἐπιφέρειν eben ſo 4, 87, 1. — ἐπιφέρειν, εἰ. vollſtändig ἐπιφέρειν, οἷαν ἂν ἐπιφέρωμι εἰ. (Hl.) vgl. Kr. zu Xen. An. 3, 4, 35. — τὸ πάτριον παρεὶς, τὴν πάτριον ἑκάστοις πολιτείαν καταλύσας. (Sch.) — παρεὶς mit Beſeitigung. — τὸ πλέον die Demo-

χαλεπώτερα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη, καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο, ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον· οἷς τε τοὺς Ἀθηναίους 4
ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι. ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα. καὶ οὐκ ἂν μείζω 87
πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. εἰ δ' ἐμοῦ ταῦτα προϊσχομένου ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κα-

---

traten. — *τοῖς πᾶσι* der Gemeine. — *ἀλλοφύλου, τῆς τῶν Ἀθηναίων.* — *χαλεπώτερα* für *χαλεπωτέρα* einige Hſn. vgl. zu 1, 7, 1.

§ 4. *οἷς, ἤγουν ἐφ' οἷς.* (Sch.) Gr. 48, 15 A. 5. — *ἐχθίονα ἐγκλήματα* die Beſchuldigungen derentwegen wir die A. beſ kriegen würden wir offenbar als gehäſſigere (Beſchuldigungen) uns ſelbſt zuziehen (Va. u. Hl.), weil wir durch den Köder der Freiheit lockten, während die Athener ihre Herrſchſucht zur Schau trugen. — *ἐν ἀξιώματι, ἐν δυνάμει.* (Sch.) — *τὸ μέν, τὸ βίᾳ ἐμφανεῖ πλεονεκτῆσαι.* (Sch.) Gr. 50, 1 A. 2. — *ἰσχύος δικαιώσει* mit dem Anſpruche der Stärke. — *βίᾳ.* Denn die Gewalt hat doch ein Recht, eben das Recht der Gewalt. Cic. off. 1, 13: fraus quasi vulpeculae, vis leonis videtur; utrumque homine alienissimum, sed fraus odio digna majore. (Pp.) — *γνώμης ἀδίκου ἐπιβουλῇ* mit der Argliſt trügeriſcher Geſinnung. — *οὕτω πολλήν* ſo viele wie ich eben erwähnt habe. — *περιωπήν, περίσκεψιν ἢ περιάρθρησιν ἢ πρόνοιαν.* (Sch.) Bei Ho. heißt es Warte. vgl. Plat. Pol. 272. In der uneig. Bedeutung findet es ſich bei frühern Schriftſtellern wohl nur hier; ſpäter bei Agathias. — *διαφόρων, διαφερόντων.* (Sch.)

C. 87. § 1. *πρός* außer. — *τοῖς ὅρκοις* 87, 1. — *ἢ οἷς, ἢ τούτων οἷς* als die Beſtätigung von denen welchen. (Kiſt.) *οἷς* verbinde ich nicht mit *δόκησιν παρέχεται* ſondern mit *τὰ ἔργα ἀναθρούμενα* bei welchen die Thatſachen nach ihren Worten, Verheißungen geprüft, wie wir Lakedämonier eine ſolche Prüfung nicht ſcheuen dürfen. — *ὡς καὶ — εἶπον* daß ihre Aufforderungen zum Abfalle den Aufgeforderten auch nützlich ſind. (Hl.) — *ὁμοίως ὡς* ſteht ähnlich Her. 3, 140. — *ταῦτα, ὡς ξυμφέρει.* — *ἀδύνατοι, προσέρχεσθαι δηλονότι ἡμῖν.* (Sch.) — *μὴ κακούμενοι* ſo daß ihr

κούμενοι διωθεῖσθαι καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ἡμῖν φαίνεσθαι, δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν, τούτοις καὶ ἐπιφέρειν, ἄοντα δὲ μηδένα προσαναγκάζειν,
2 μάρτυρας μὲν θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι ὡς ἐπ' ἀγαθῷ ἦκων οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν πειράσομαι βιάζεσθαι, καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσείνω δέ τί μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον, τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε, τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους βλάπτωνται, οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δου-
3 λείας ἀπαλλαγῆναι. οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν, οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν. οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες τοὺς πλείους ἂν ἀδικοῖμεν εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες ὑμᾶς
4 τοὺς ἐναντιουμένους περιίδοιμεν. πρὸς ταῦτα βουλεύεσθε

---

keine Nachtheile erleidet. (Pö.) — διωθεῖσθαι zurückzuweisen, ἡμᾶς δηλοῖ ὅτι. (Sch.) vgl. 4, 108, 3. — καὶ φαίνεσθαι sag. φήσετε aus ἀξιώσετε. (Pö.) Gr. 65, 11 A. 7. — προσαναγκάζειν. ἐλευθεροῦσθαι δηλονότι. (Sch.)

§ 2. προσεῖναί τι τὸ εὔλογον. τὸ εὔλογον ὃ πρόσεστι ἐστί τι etwas Erhebliches. Gr. 50, 11 A. 1. — δύο, τὰς δύο einige schlechte Hfn. — ἀνάγκας Zwangsgründe. (Ba.) — τῶν Λακεδαιμονίων lasse ich von τὸ εὔλογον abhängen: Naſſon von Seiten der Lakedämonier; Py. von ἀνάγκην aus ἀνάγκας: Zwangsgrund der die L. betrifft. — τῷ ὑμετέρῳ εὔνῳ vermöge eures der Bethätigung ausweichenden Wohlwollens, ſarkaſtiſch. — προσαχθήσεσθε, ἡμῖν δηλονότι. (Sch.) Paſſiv des Mediums, wie 2, 77, 2. 3, 63, 2. Gr. 52, 10 A. 11. — οἱ Ἕλληνες zu κωλύωνται gefügt, wegen der Entfernung des εὔλογον. Ueber die Stellung Gr. 54, 17 A. 7 zweite Ausg.

§ 3. οὐ — πράσσοιμεν denn ſonſt (Gr. 54, 12 A. 9) würden wir nicht auf eine natürliche, gehörige Weiſe dies betreiben, die Befreiung der Hellenen. — ὀφείλομεν οἱ Λ. Gr. 50, 8 A. 3. — μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ wenn nicht auf Veranlaſſung irgend eines gemeinſchaftlichen Vortheiles, d. h. wenn ſie uns nicht durch dem allgemeinen Wohl dargebrachte Opfer dazu veranlaſſen. — παῦσαι, τῆς ἀρχῆς. (Py.) — ἑτέρους, τοὺς Ἀθηναίους. (Sch.) — σπεύδοντες. Kurz für σπεύδομεν, καὶ τοῦτο σπεύδοντες. (Bl.) — τούς. τοῦτ' Kr. Aehnlich jedoch τοὺς Ἀθηναίους περιυφᾶτε 1, 69, 4. Ar Rl. 877: παύσω τοὺς βιωνομένους. Iſokr. 4, 20: δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ.

εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας καὶ ἀίδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι."

Ὁ μὲν Βρασίδας τοσαῦτα εἶπεν· οἱ δὲ Ἀκάνθιοι πολ- 88
λῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ περὶ τοῦ καρποῦ φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων, καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις οὓς τὰ τέλη τῶν Λακεδαιμονίων ὀμόσαντα αὐτὸν ἐξέπεμψαν, ἢ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. καὶ οὐ πολλῷ ὕστερον καὶ Στάγειρος, Ἀνδρίων ἀποικία, ξυναπέστη. ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς 89
τῷ Ἱπποκράτει καὶ Δημοσθένει, στρατηγοῖς οὖσιν Ἀθηναίων, τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο καὶ ἔδει τὸν μὲν Δημοσθένην ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν ἐς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν Δημοσθένης, πρότερον πλεύσας πρὸς τὰς 2
Σίφας καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται, μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ Νικομάχου, ἀνδρὸς Φωκέως ἐκ Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς· καὶ βοηθείας 3
γενομένης πάντων Βοιωτῶν, οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν, προκαταλαμβάνονται αἵ τε Σίφαι καὶ ἡ Χαιρώνεια. ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα,

---

§ 4. ἄρξαι. zu 3, 38, 2. — πρῶτοι. zu 2, 36, 1. — καταθέσθαι euch zurücklegen, wie einen Schatz. — τὸ κάλλιστον ὄνομα als Mitbefreier. — περιθεῖναι vom Schmuck übertragen, wie 6, 89, 2.

C. 88. κρύφα. vgl. zu 4, 74, 4. — ἐπαγωγά auch 5, 85. 6, 8, 2 u. Her. 3, 53. (Bl.) ἐμολκά unten 4, 108, 4. (Pp.) — ὀμόσαντα gehört zu τέλη. vgl. 4, 86, 1. (A. Pß.)

C. 89. § 1. ἀπαντῆσαι eintreffen, wie ἀπαντᾶν ἐπὶ δίκην u. a. Budäus Comment. p. 40. (Dr.) — διαμαρτίας, ἀστοχίας. (Sch.) Selten. — ἐς ἃς. Kr. zu Xen. An. 1, 7, 1.

§ 2. ἐκεῖνοι δέ. Gr. 59, 2 A. 6.

§ 3. οἱ πράσσοντες die den Verrath betreibenden.

90 οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν. ὁ δὲ Ἱπποκράτης ἀναστήσας Ἀθηναίους πανδημεί, αὐτοὺς καὶ τοὺς μετοίκους καὶ ξένων ὅσοι παρῆσαν, ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη τῶν Βοιωτῶν ἀνακεχωρηκότων ἀπὸ τῶν Σιφῶν. καὶ καθίσας τὸν στρατὸν Δήλιον ἐτείχιζε τοιῷδε τρόπῳ, τὸ ἱερὸν τοῦ
2 Ἀπόλλωνος. τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν ἔσκαπτον, ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλλον ἀντὶ τείχους τὸν χοῦν καὶ σταυροὺς παρακαταπηγνύντες ἄμπελον κόπτοντες τὴν περὶ τὸ ἱερὸν ἐσέβαλλον καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ
3 ἐμετεώριζον τὸ ἔρυμα. πύργους τε ξυλίνους κατέστησαν ἦ καιρὸς ἦν καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν· ἥπερ γὰρ ἦν στοὰ καταπεπτώκει. ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ ὡς οἴκοθεν ὥρμησαν, ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ
4 τῆς πέμπτης μέχρι ἀρίστου. ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετετέλεσιο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου οἷον δέκα σταδίους ὡς ἐπ' οἴκου πορευόμενον, καὶ οἱ μὲν ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίσιατο

C. 90. § 1. *αὐτούς* mit *τέ* wäre üblicher. vgl. jedoch Xen. An. 7, 8, 22, Dem. 9, 42 u. Plat. Geſ. 808, e.

§ 2. *ἱερόν μὲν αὐτὸς ὁ προσιερώμενος τόπος τῷ θεῷ, νεὼς δὲ ἔνθα ἵδρυται αὐτὸ τὸ ἄγαλμα τοῦ θεοῦ.* (Sch.) vgl. 5, 18, 1. Valckenaer zu Her. 6, 19. Ueber die Stellung Gr. 57, 9 A. 1. — *καί* verſtauρούς verbindet *ἀνέβαλον* und *ἐσέβαλον*. — *παρακαταπηγνύντες* längs dem Aufwurfe hin einſchlagend. — *ἄμπελον*. Gr. 44, 1 A. 1. vgl. 4, 100, 2. — *κόπτοντες* iſt Nebenbeſtimmung, *ἣν ἔκοπτον*. — *ἐσέβαλλον*, um eine Art Geflecht zwiſchen den Palliſaden zu bilden, *ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα* 2, 75, 2. — *καί* ver *λίθους* verbindet *κόπτοντες* und *καθαιροῦντες* ſo v. a. *ἦν καθῃροῦν*; über die Stellung des beſtimmten Verbums zu 1, 19. — *οἰκοπέδων* Grundſchichten der Häuſer Hl., Gebäude Schneider Lex. Suid.: *οἰκόπεδον, ἔρημον κατάπτωμα οἴκου*. vgl. Aeſch. 1, 84 u. Plat. Geſ. 741, c: *ἔλαχεν οἰκοπέδων ἢ γηπέδων*.

§ 3. *καιρός* gelegen. (Sch.) vgl. 4, 54, 4. (Pp.) — *καὶ τοῦ, καὶ ᾗ τοῦ.* (Ba.) — *ἥπερ* für *ᾗπερ* einige Hſſ. u. Ba. — *ἦν* da geweſen war. Gr. 53, 2 A. 8. — *ὡς* ſcil. (Pp.) vgl. über *ὅτε* zu 1, 13, 2.

§ 4. *οἱ ψιλοὶ οἱ πλεῖστοι.* Gr. 47, 28 A. 3. — *ἐχώρουν*

φυλακάς τε καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρῆν ἐπιτελέσαι.

Οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς 91
τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν καὶ ᾐσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ' οἶκον, τῶν ἄλλων βοιωταρχῶν, οἳ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσίν — μάλιστα 2
γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν ὅτε ἔθεντο τὰ ὅπλα — Παγώνδας ὁ Αἰολάδου, βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Λυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ βουλόμενος τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

"Χρῆν μὲν ὦ ἄνδρες Βοιωτοὶ μηδ' ἐς ἐπίνοιάν τινα 92
ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτούς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν, ἐκ τῆς ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ εἰσὶ δή που πο- 2
λέμιοι ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι καὶ ὅθεν ἐπελθόντες

---

marſchirten fort (Ba.) nach Altika zu. — φυλακάς. Die meiſten Hſn. φύλακας. — ὑπόλοιπα unausgeführt. — ὡς χρῆν ἐπιτελέσαι wie man es ausführen ſollte (Py.); über die Prolepſis zu 61, 6 A. 2.

C. 91. § 1. οἳ geht nur auf βοιωταρχῶν, nicht auf τῶν ἄλλων β. Wäre dies, ſo würde ἦσαν folgen. Mithin waren ihrer überhaupt nur eilf. (Py. vor Böckh.) — οὐ. Gr. 67, 1 A. 2.

§ 2. βοιωταρχῶν iſt das Particip. (Hl.) — καὶ vor ἡγεμονίας entſpricht wohl dem καὶ vor νομίζων: theils weil er unter ſeiner Hegemonie die Schlacht veranlaſſen wollte, theils weil er glaubte daß es beſſer ſei es auf die Entſcheidung der Waffen ankommen zu laſſen. — ἡγεμονία der vielleicht täglich wechſelnde Oberbefehl. Ueber den fehlenden Artikel Kr. zu Xen. An. 4, 7, 8. — αὐτοῦ. αὐτοῦ? Denn der Grund wird von ihm gedacht. — τὴν μάχην. Ueber den Artikel zu 4, 29, 1. vgl. 5, 59, 3. — ποιῆσαι. zu 2, 86, 4. — τὰ ὅπλα, die in Ordnung hingeſtellt waren, hier wohl in regelmäßiger Schlachtlinie; nach Ds. im Lager.

C. 92. § 1. τινα iſt Subjectsac. vgl. 3, 46, 4: ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι. (Dr.) — διὰ μάχης ἐλθεῖν. Gr. 68, 22 A. 2.

αὐτόν τε Βρασίδαν βουλόμενον μάλιστα Λακεδαιμόνιοι ἀπέ-
81 στειλαν, προὐθυμήθησαν δὲ καὶ οἱ Χαλκιδῆς, ἄνδρα ἔν τε
τῇ Σπάρτῃ δοκοῦντα δραστήριον εἶναι ἐς τὰ πάντα καὶ ἐπειδὴ
ἐξῆλθε πλείστου ἄξιον Λακεδαιμονίοις γενόμενον. τό τε γὰρ
παραυτίκα ἑαυτὸν παρασχὼν δίκαιον καὶ μέτριον ἐς τὰς πό-
λεις ἀπέστησε τὰ πολλά, τὰ δὲ προδοσίᾳ εἶλε τῶν χωρίων,
ὥστε τοῖς Λακεδαιμονίοις γίγνεσθαι ξυμβαίνειν τε βουλομέ-
νοις, ὅπερ ἐποίησαν, ἀνταπόδοσιν καὶ ἀποδοχὴν χωρίων καὶ
2 τοῦ πολέμου ἀπὸ τῆς Πελοποννήσου λώφησιν· ἔς τε τὸν
χρόνῳ ὕστερον μετὰ τὰ ἐκ Σικελίας πόλεμον ἡ τότε Βρασίδου
ἀρετὴ καὶ ξύνεσις, τῶν μὲν πείρᾳ αἰσθομένων τῶν δὲ ἀκοῇ
νομισάντων, μάλιστα ἐπιθυμίαν ἐνεποίει τοῖς Ἀθηναίων
ξυμμάχοις ἐς τοὺς Λακεδαιμονίους. πρῶτος γὰρ ἐξελθὼν
καὶ δόξας εἶναι κατὰ πάντα ἀγαθὸς ἐλπίδα ἐγκατέλιπε βέ-
βαιον ὡς καὶ οἱ ἄλλοι τοιοῦτοί εἰσιν.

82 Τότε δ' οὖν ἀφικομένου αὐτοῦ ἐς τὰ ἐπὶ Θράκης οἱ
Ἀθηναῖοι πυθόμενοι τόν τε Περδίκκαν πολέμιον ποιοῦνται,
νομίσαντες αἴτιον εἶναι τῆς παρόδου, καὶ τῶν ταύτῃ ξυμ-
μάχων φυλακὴν πλέονα κατεστήσαντο. Περδίκκας δὲ Βρα-
σίδαν καὶ τὴν στρατιὰν εὐθὺς λαβὼν μετὰ τῆς ἑαυτοῦ δυνά-
μεως στρατεύει ἐπὶ Ἀρριβαῖον τὸν Βρομεροῦ, Λυγκησιῶν

ἦσαν. vgl. Gr. 50, 11 A. 1. — βουλόμενον μάλιστα beſonders weil er es wünſchte.

C. 81. § 1. προὐθυμήθησαν erg. ἀποσταλῆναι. (Arn.) προὐθύμησαν die beſten Hſn.; προὔτίμησαν Benedict. — ξυμβαίνειν, ξύμβασιν ποιεῖσθαι. vgl. 1, 98, 2. 120, 3. 2, 70, 3. 4, 19, 2. 65, 2. 132, 2. Kein bei Andern ſehr gewöhnlicher Gebrauch. — τε. Dem τέ entſpricht καί vor τοῦ πολέμου. (Hf.) — ἐποίησαν. ἐπόθησαν Kr. Daß dies Verbum ſonſt bei Th. vielleicht nicht vorkommt iſt kein Gegengrund; auch πόθος hat er wohl nur 6, 24, 2. — ἀνταπόδοσιν und λώφησιν ſind ſeltene Wörter. (Bl.)

§ 2. τὰ ἐκ Σ. weil der Krieg gleichſam aus S. nach Hellas verpflanzt wurde. (Ba.) vgl. zu 3, 102, 2. — πρῶτος in dieſem Kriege. (Pp.) — κατά wird ſelten ſo zugefügt. Lobeck zu Soph. Aj. 1415. — ἐλπίδα Meinung. (Ps.) Dieſe (ioniſche) Bedeutung iſt dem Th. fremd. Ge entſpricht hier unſerm Vorausſetzung, gewählt als ob folgen ſollte τοὺς ἄλλους τοιούτους ἔσεσθαι, vgl. 7, 41, 3.

C. 82. ποιοῦνται erkennen, halten. Pflugk zu Eur. Hec. 299. (Pp.) — φυλακὴν κατεστήσαντο veranſtalteten Bewachung. (Ba.)

Μακεδόνων βασιλέα, ὅμορον ὄντα, διαφορᾶς τε αὐτῷ οὔσης καὶ βουλόμενος καταστρέψασθαι. ἐπεὶ δὲ ἐγένετο τῷ στρατῷ 83
μετὰ τοῦ Βρασίδου ἐπὶ τῇ ἐσβολῇ τῆς Λύγκου, Βρασίδας λόγοις ἔφη βούλεσθαι πρῶτον ἐλθὼν πρὸ πολέμου Ἀρριβαῖον ξύμμαχον Λακεδαιμονίων, ἢν δύνηται, ποιῆσαι. καὶ 2
γάρ τι καὶ Ἀρριβαῖος ἐπεχηρυκεύετο, ἕτοιμος ὢν Βρασίδᾳ μέσῳ δικαστῇ ἐπιτρέπειν· καὶ οἱ Χαλκιδέων πρέσβεις ξυμπαρόντες ἐδίδασκον αὐτὸν μὴ ὑπεξελεῖν τῷ Περδίκκᾳ τὰ δεινά, ἵνα προθυμοτέρῳ ἔχοιεν καὶ ἐς τὰ ἑαυτῶν χρῆσθαι. ἅμα δέ τι καὶ εἰρήκεσαν τοιοῦτον οἱ παρὰ τοῦ Περδίκκου ἐν τῇ Λακεδαίμονι, ὡς πολλὰ αὐτοῖς τῶν περὶ αὐτὸν χωρίων ξύμμαχα ποιήσοι, ὥστε ἐκ τοῦ τοιούτου κοινῇ μᾶλλον ὁ Βρασίδας τὰ τοῦ Ἀρριβαίου ἠξίου πράσσειν. Περδίκκας δὲ 3
οὔτε δικαστὴν ἔφη Βρασίδαν τῶν σφετέρων διαφορῶν ἀγαγεῖν, μᾶλλον δὲ καθαιρέτην ὧν ἂν αὐτὸς ἀποφαίνῃ πολεμίων, ἀδικήσειν τε εἰ αὐτοῦ τρέφοντος τὸ ἥμισυ τοῦ στρατοῦ ξυνέσται Ἀρριβαίῳ. ὁ δὲ ἄκοντος καὶ ἐκ διαφορᾶς ξυγγίγνεται καὶ πεισθεὶς τοῖς λόγοις ἀπήγαγε τὴν στρατιὰν πρὶν ἐσβαλεῖν ἐς τὴν χώραν. Περδίκκας δὲ μετὰ τοῦτο τρίτον μέρος ἀνθ' ἡμίσεος τῆς τροφῆς ἐδίδου, νομίζων ἀδικεῖσθαι.

Ἐν δὲ τῷ αὐτῷ θέρει εὐθὺς ὁ Βρασίδας, ἔχων καὶ 84
Χαλκιδέας, ἐπὶ Ἄκανθον τὴν Ἀνδρίων ἀποικίαν ὀλίγον πρὸ τρυγήτου ἐστράτευσεν. οἱ δὲ περὶ τοῦ δέχεσθαι αὐτὸν

C. 83. § 1. λόγοις gehört zu ποιῆσαι. (Pp.) — ἐλθών etg. ἐς λόγους aus λόγοις. (Ba.) Warum nicht bloß hingegangen? — τι kann nur zu ἐπεχηρυκεύετο gehören. (Pp.) — μέσῳ δικαστῇ, μεσίτῃ καὶ διαιτητῇ. Sch. Ariſtot. Eth. 5, 4: ζητοῦσι δικαστὴν μέσον, καὶ καλοῦσιν ἔνιοι μεσιδίους, ὡς ἐὰν τοῦ μέσου τύχωσι, τοῦ δικαίου τευξόμενοι. (Arn.)

§ 2. ὑπεξελεῖν für ὑπεξελθεῖν die beſten Hſſ. — προθυμοτέρῳ, τῷ Περδίκκᾳ. (Pp.) — οἱ παρὰ τοῦ Π. die vom P. Abgeſandten. Gr. 50, 5 A. 5. — κοινῇ gemeinſchaftlich mit dem Perdikkas. (Ds. u. Arn.) unpartheiiſch. vgl. 3, 53, 2. (Bl. u. Pp.) Doch gebraucht Th. das Adv. nie ſo; und wer ſonſt? vgl. 5, 80, 1. — τὰ τοῦ Ἀ. die Verhältniſſe zu dem A.

§ 3. καθαιρέτην ein ungewöhnliches Subſtantiv. (Hl.) — ξυνέσται mit ihm unterhandeln wolle § 1. (Pp.) — ἄκοντος, τοῦ Περδίκκου δηλονότι. (Sch.) — ἐκ διαφορᾶς nach einem Zerwürfniſſe. (Ba.) vgl. 4, 125, 1. (Pp.) — ἥμισεος iſt das Neu. (Buttmann ausf. Gr. § 62, 1 A. *)

κατ' ἀλλήλους ἐστασίαζον, οἵ τε μετὰ τῶν Χαλκιδέων ξυνε-
2 πάγοντες καὶ ὁ δῆμος. ὅμως δὲ διὰ τοῦ καρποῦ τὸ δέος
ἔτι ἔξω ὄντος πεισθὲν τὸ πλῆθος ὑπὸ τοῦ Βρασίδου δέξα-
σθαί τε αὐτὸν μόνον καὶ ἀκούσαντας βουλεύσασθαι δέχεται·
καὶ καταστὰς ἐπὶ τὸ πλῆθος — ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς
Λακεδαιμόνιος, εἰπεῖν — ἔλεγε τοιάδε.

85 "Ἡ μὲν ἔκπεμψίς μου καὶ τῆς στρατιᾶς ὑπὸ Λακεδαι-
μονίων, ὦ Ἀκάνθιοι, γεγένηται τὴν αἰτίαν ἐπαληθεύουσα ἣν
ἀρχόμενοι τοῦ πολέμου προείπομεν, Ἀθηναίοις ἐλευθεροῦν-
τες τὴν Ἑλλάδα πολεμήσειν· εἰ δὲ χρόνῳ ἐπήλθομεν, σφα-
λέντες τῆς ἀπὸ τοῦ ἐκεῖ πολέμου δόξης, ᾗ διὰ τάχους αὐτοὶ
ἄνευ τοῦ ὑμετέρου κινδύνου ἠλπίσαμεν Ἀθηναίους καθαι-
2 ρήσειν, μηδεὶς μεμφθῇ· νῦν γάρ, ὅτε παρέσχεν, ἀφιγμένοι
καὶ μετὰ ὑμῶν πειρασόμεθα κατεργάζεσθαι αὐτούς. θαυ-
μάζω δὲ τῇ τε ἀποκλήσει μου τῶν πυλῶν καὶ εἰ μὴ ἀσμέ-
νοις ὑμῖν ἀφῖγμαι. ἡμεῖς μὲν γὰρ οἱ Λακεδαιμόνιοι οἰόμε-
νοί τε παρὰ ξυμμάχους, καὶ πρὶν ἔργῳ ἀφικέσθαι, τῇ
γοῦν γνώμῃ ἥξειν καὶ βουλομένοις ἔσεσθαι, κινδυνόν τε το-

C. 84. § 2. *τοῦ καρποῦ. περὶ τοῦ καρποῦ φόβῳ* 4, 88. (G.) — *ἀκούσαντας. ἀκούσαντες* eine Hſ. — *καταστὰς ἐπί* aufgetreten bei, auch 4, 97, 2. — *οὐδέ* auch nicht, im Gegenſatze zu ſeinen andern Vorzügen. (Ba.) — *ὡς Λ.* ſo weit man es nämlich von einem L. erwarten kann: *οἱ γὰρ Λάκωνες βραχυλόγοι.* (Sch.) Gr. 69, 63 A. 6.

C. 85. § 1. *ἔκπεμψις, ἀποστολή.* (Sch.) Ein ſeltenes Wort. — *μου*, weil hier kein betonter Gegenſatz zu denken iſt. vgl. Kr. zu Xen. An. 3, 4, 41. — *ἐπαληθεύουσα* bewahrheiten, bethätigen. vgl. 8, 52, 2. Appian. Bürgerkr. 4, 138. (Pv.) — *Ἀθηναίοις* gehört zu *πολεμήσειν.* (Sch.) — *χρόνῳ ἐπήλθομεν, βραδέως παραγενόμεθα.* (Sch.) — *σφαλέντες — δόξης* in der aus dem dort geführten Kriege hervorgegangenen Anſicht getäuſcht. (Pv.) Aus, von dem Kriege ſelbſt nämlich hatten ſie die Erwartung baldiger Beendigung gefaßt. — *μεμφθῇ.* Gr. B. 2 § 39 u. d. W.

§ 2. *παρέσχεν, ἔδωκεν ὁ καιρός.* (Sch.) zu 1, 120, 3. — *καὶ μετὰ ὑμῶν* auch mit euch, wie mit Andern. (Hf.) — *τῇ* über die. Gr. 48, 15 A. 6. vgl. 7, 63, 2. — *μου* auch zu *ἀποκλήσει* gezogen bringt dieſem zwiefache Bedeutung auf: Ausſchließung meiner und Verſchließung der Thore. Das iſt nicht wohl vereinbar. Nicht ſinngemäß iſt Abſchließung meiner von den Thoren. Alſo dürfte *μοι* zu leſen ſein. Gr. 48, 12 A. 1. — *ἡμεῖς οἱ Λ.* Gr. 50, 8 A. 2. — *ἀφικέσθαι* von Ba. nicht ausgedrückt ſtört die Schärfe des Gegenſatzes und könnte aus dem Sch. eingeſchlichen ſein. (Kr.) Doch

σόνδε ἀνερρίψαμεν διὰ τῆς ἀλλοτρίας πολλῶν ἡμερῶν ὁδὸν
ἰόντες καὶ πᾶν τὸ πρόθυμον παρεχόμενοι· ὑμεῖς δὲ εἴ τι 3
ἄλλο ἐν νῷ ἔχετε ἢ εἰ ἐναντιώσεσθε τῇ τε ὑμετέρᾳ αὐτῶν
ἐλευθερίᾳ καὶ τῶν ἄλλων Ἑλλήνων, δεινὸν ἂν εἴη. καὶ γὰρ
οὐ μόνον ὅτι αὐτοὶ ἀνθίστασθε, ἀλλὰ καὶ οἷς ἂν ἕπωμαι,
ἥσσόν τις ἐμοὶ πρόσεισι, δυσχερὲς ποιούμενοι εἴ ἐπὶ οὓς
πρῶτον ἦλθον ὑμᾶς, καὶ πόλιν ἀξιόχρεων παρεχομένους καὶ
ξύνεσιν δοκοῦντας ἔχειν, μὴ ἐδέξασθε· καὶ τὴν αἰτίαν οὐχ 4
ἕξω πιστὴν ἀποδεικνύναι, ἀλλ' ἢ ἄδικον τὴν ἐλευθερίαν ἐπι-
φέρειν ἢ ἀσθενὴς καὶ ἀδύνατος τιμωρῆσαι τὰ πρὸς Ἀθη-
ναίους, ἣν ἐπίωσιν, ἀφῖχθαι. καίτοι στρατιᾷ γε τῇδ' ἣν
νῦν ἐγὼ ἔχω ἐπὶ Νίσαιαν ἐμοῦ βοηθήσαντος οὐκ ἠθέλησαν
Ἀθηναῖοι πλέονες ὄντες προσμῖξαι, ὥστε οὐκ εἰκὸς νῆίτη γε
αὐτοὺς τῷ ἐν Νισαίᾳ στρατῷ ἴσον πλῆθος ἐφ' ὑμᾶς ἀποστεῖ-

---

kann es ertragen werden: erwartend zu ſchen vor unſerer wirklichen Ankunft wenigſtens der Geſinnung nach uns Verbündeten zu kommen. (Ps.) — *ἀνερρίψαμεν, ἀπὸ μεταφορᾶς τῶν κύβων.* (Sch.) gute Hſn. *ἀπερρίψαμεν*, contempsimus Va. Doch vgl. 4, 95, 1 u. Her. 7, 50. (Elmsley zu Eur. Her 149.) — *ἡμερῶν.* Gr. 47, 8 A. 1.

§ 3. *οὐ μόνον ὅτι*, wie *οὐχ ὅτι.* (Va.) vgl. die Erkl. zu Xen. Mem. 2, 9, 8 und Stallbaum zu Plat. Symp. 7. (Pp.) — *τίς* auf *οἷς ἄν* bezogen und mit *τίς* der Plural *παρεχόμενοι* verbunden. Gr. 58, 4 A. 5. — *ἐπὶ οὕς — ὑμᾶς* für *ὑμεῖς ἐπὶ οὕς.* (Ps.) Gr. 68, 6 A.

§ 4. *τὴν αἰτίαν τῆς ἐμῆς ἐξόδου λέγων οὐ πιστωθήσομαι.* (Sch.) So auch Haaſe Lucubrr. p. 28 f. Doch würde der Gedanke ſich ſo gefaßt dem Vorhergehenden nicht recht anfügen. Richtiger alſo verſtehen andere mit Va.: den Grund warum ihr mich nicht aufgenommen. (Va.) — *πιστήν* plauſibel. — *ἄδικον, ἐπὶ τῷ ἀδικεῖν τι αὐτούς.* (*αὐτός?* Sch.) *οὐκ ἀληθινήν, δόλιον, κίβδηλον.* (Abr. nach Ps.) die ihr nicht ohne Ungerechtigkeit annehmen könnet Hl. — *ἐπιφέρειν*, abhängig von einem aus dem vorigen Satze, nicht aus einem einzelnen Worte deſſelben, zu denkenden *δέξω.* — *καίτοι.* Im Folgenden die Wahrheit moderner Bülletins. vgl. 4, 108, 4 mit 73, 4. — *τῇδ' ἥ.* 1, 80, 1. — *ὥστε — ἀποστεῖλαι* demnach, da ſie bei Niſäa gegen dieſes Heer nicht kämpfen wollten, iſt es unwahrſcheinlich daß ſie Athener wenigſtens mit einer Seeexpedition, die ſchwierig und koſtſpielig iſt, ein dem Heere das bei Niſäa zugegen war gleiches Heer gegen euch ausſenden werden. (Pp. nach Bisſe.) — *νηίτῃ.* *στόλῳ* oder *στρατῷ* aus dem folgenden *στρατῷ* hier zu ergänzen wäre ſehr hart. Daher möchte man mit Dobree und Bm. *τῷ ἐν Νισαίᾳ* tilgen. Aber es ſteckt hier wohl noch ein anderer

86 λαι. αὐτός τε οὐκ ἐπὶ κακῷ, ἐπ' ἐλευθερώσει δὲ τῶν Ἑλλήνων παρελήλυθα, ὅρκοις τε Λακεδαιμονίων καταλαβὼν τὰ τέλη τοῖς μεγίστοις ἢ μὴν οὓς ἂν ἔγωγε προσαγάγωμαι ξυμμάχους ἕσεσθαι αὐτονόμους, καὶ ἅμα οὐχ ἵνα ξυμμάχους ὑμᾶς ἔχωμεν ἢ βίᾳ ἢ ἀπάτῃ προσλαβόντες, ἀλλὰ τοὐναντίον
2 ὑμῖν δεδουλωμένοις ὑπὸ Ἀθηναίων ξυμμαχήσοντες. οὔκουν ἀξιῶ οὔτ' αὐτὸς ὑποπτεύεσθαι, πίστεις γε διδοὺς τὰς μεγίστας, οὔτε τιμωρὸς ἀδύνατος νομισθῆναι, προσχωρεῖν δὲ ὑμᾶς θαρσήσαντας. καὶ εἴ τις ἰδίᾳ τινὰ δεδιὼς ἄρα, μὴ ἐγώ τισι προσθῶ τὴν πόλιν, ἀπρόθυμός ἐστι, πάντων μά-
3 λιστα πιστευσάτω. οὐ γὰρ ξυσπασιάσων ἥκω οὐδὲ ἀσαφῆ τὴν ἐλευθερίαν νομίζω ἐπιφέρειν, εἰ τὸ πάτριον παρεὶς τὸ πλέον τοῖς ὀλίγοις ἢ τὸ ἔλασσον τοῖς πᾶσι δουλώσωμι.

Fehler. Denn wenig befriedigt mich auch Pys. vorher mitgetheilte Erklärung.

C. 86. § 1. ὅρκοις τε entspricht dem folgenden καὶ ἅμα. (Pr.) — Λακεδαιμονίων hängt von τὰ τέλη ab. (Sch.) — καταλαβών verpflichtete. Her. 9, 106: πίστι καταλαβόντες καὶ ὁρκίοισι. (Bl.) — καὶ ἅμα, παρελήλυθα. — οὐχ ἵνα ἔχωμεν ἀλλὰ ξυμμαχήσοντες. Der umgekehrte Wechsel der Construction 1, 73, 1. — ξυμμαχήσοντες, wenn gleich syntaktisch an παρελήλυθα angeschlossen, ist keine auffallende Härte, da schon Plurale vorhergegangen sind.

§ 2. αὐτός. ἄλλως oder ἀδίκως oder auch οὐδέ für das folgende οὔτε Py. — γε für τε Py. — δέ für τε Py. — τινα δεδιὼς μή τισι. vgl. Gr. 61, 6 A. 6. Gemeint sind Aristokraten denen die Regierung überantwortet zu sehen mancher Demokrat fürchten durfte. — ἀπρόθυμος, προσχωρεῖν. (Bs.) Das nicht häufige Wort findet sich auch 8, 32, 1, Her. 7, 220, Xen. 5, 10, 7, ἀπροθύμως Plat. Ges. 665, e.

§ 3. ἀσαφῆ eine unklare, von der es nicht entschieden ist ob sie Freiheit oder nur Wechsel der Knechtschaft sein würde: ein Begriff den besonders die deutsche Geschichte, nicht bloß die der ältesten Zeiten, erläutert. — νομίζω ich beschließe, bin gesonnen. (Hl. u. Kist.) ich glaube zu müssen. vgl. Lobeck z. Phryn. p. 753. (Arn.) Hier kaum zulässig. Die gewöhnliche Bedeutung wird wohl beizubehalten sein: ich glaube nicht zu bringen. Freilich wäre es möglich daß ἐπιφέρων zu lesen und νομίζω als aus dem Glossem κομίζων entstanden zu tilgen wäre. — Ἐπιφέρειν eben so 4, 87, 1. — ἐπιφέρειν, εἰ. vollständig ἐπιφέρειν, οἷαν ἂν ἐπιφέροιμι εἰ. (Hl.) vgl. Kr. zu Xen. An. 3, 4, 35. — τὸ πάτριον παρεὶς, τὴν πάτριον ἑκάστοις πολιτείαν καταλύσας. (Sch.) — παρεὶς mit Beseitigung. — τὸ πλέον die Demo-

χαλεπώτερα γὰρ ἂν τῆς ἀλλοφύλου ἀρχῆς εἴη, καὶ ἡμῖν τοῖς Λακεδαιμονίοις οὐκ ἂν ἀντὶ πόνων χάρις καθίσταιτο, ἀντὶ δὲ τιμῆς καὶ δόξης αἰτία μᾶλλον· οἷς τε τοὺς Ἀθηναίους 4
ἐγκλήμασι καταπολεμοῦμεν, αὐτοὶ ἂν φαινοίμεθα ἐχθίονα ἢ ὁ μὴ ὑποδείξας ἀρετὴν κατακτώμενοι. ἀπάτῃ γὰρ εὐπρεπεῖ αἴσχιον τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ. οὕτω πολλὴν περιωπὴν τῶν ἡμῖν ἐς τὰ μέγιστα διαφόρων ποιούμεθα. καὶ οὐκ ἂν μείζω 87
πρὸς τοῖς ὅρκοις βεβαίωσιν λάβοιτε ἢ οἷς τὰ ἔργα ἐκ τῶν λόγων ἀναθρούμενα δόκησιν ἀναγκαίαν παρέχεται ὡς καὶ ξυμφέρει ὁμοίως ὡς εἶπον. εἰ δ' ἐμοῦ ταῦτα προϊσχομένου ἀδύνατοι μὲν φήσετε εἶναι, εὖνοι δ' ὄντες ἀξιώσετε μὴ κα-

---

traten. — *τοῖς πᾶσι* der Gemeine. — *ἀλλοφύλου, τῆς τῶν Ἀθηναίων.* — *χαλεπώτερα* für *χαλεπωτέρα* einige Hſn. vgl. zu 1, 7, 1.

§ 4. *οἷς, ἤγουν ἐφ' οἷς.* (Sch.) Gr. 48, 15 A. 5. — *ἐχθίονα ἐγκλήματα* die Beſchuldigungen derentwegen wir die A. beſ kriegen würden wir offenbar als gehäſſigere (Beſchuldigungen) uns ſelbſt zuziehen (Ba. u. Hl.), weil wir durch den Köder der Freiheit lockten, während die Athener ihre Herrſchſucht zur Schau tragen. — *ἐν ἀξιώματι, ἐν δυνάμει.* (Sch.) — *τὸ μέν, τὸ βίᾳ ἐμφανεῖ πλεονεκτῆσαι.* (Sch.) Gr. 50, 1 A. 2. — *ἰσχύος δικαιώσει* mit dem Anſpruche der Stärke. — *βίᾳ.* Denn die Gewalt hat doch ein Recht, eben das Recht der Gewalt. Cic. off. 1, 13: fraus quasi vulpeculae, vis leonis videtur; utrumque homine alienissimum, sed fraus odio digna majore. (Pv.) — *γνώμης ἀδίκου ἐπιβουλῇ* mit der Argliſt trügeriſcher Geſinnung. — *οὕτω πολλήν* ſo viele wie ich eben erwähnt habe. — *περιωπήν, περίσκεψιν ἢ περιάρθρησιν ἢ πρόνοιαν.* (Sch.) Bei Ho. heißt es Warte. vgl. Plat. Pol. 272. In der uneig. Bedeutung findet es ſich bei frühern Schriftſtellern wohl nur hier; ſpäter bei Agathias. — *διαφόρων, διαφερόντων.* (Sch.)

C. 87. § 1. *πρός* außer. — *τοῖς ὅρκοις* 87, 1. — *ἢ οἷς, ἢ τούτων οἷς* als die Beſtätigung von denen welchen. (Kiſt.) *οἷς* verbinde ich nicht mit *δόκησιν παρέχεται* ſondern mit *τὰ ἔργα ἀναθρούμενα* bei welchen die Thatſachen nach ihren Worten, Verheißungen geprüft, wie wir Lakedämonier eine ſolche Prüfung nicht ſcheuen dürfen. — *ὡς καὶ — εἶπον* daß ihre Aufforderungen zum Abfalle den Aufgeforderten auch nützlich ſind. (Hl.) — *ὁμοίως ὡς* ſteht ähnlich Her. 3, 140. — *ταῦτα, ὡς ξυμφέρει.* — *ἀδύνατοι, προσέρχεσθαι δηλονότι ἡμῖν.* (Sch.) — *μὴ κακούμενοι* ſo daß ihr

κούμενοι διωθεῖσθαι καὶ τὴν ἐλευθερίαν μὴ ἀκίνδυνον ὑμῖν φαίνεσθαι, δίκαιόν τε εἶναι, οἷς καὶ δυνατὸν δέχεσθαι αὐτήν, τούτοις καὶ ἐπιφέρειν, ἄκοντα δὲ μηδένα προσαναγκάζειν,
2 μάρτυρας μὲν θεοὺς καὶ ἥρωας τοὺς ἐγχωρίους ποιήσομαι ὡς ἐπ' ἀγαθῷ ἥκων οὐ πείθω, γῆν δὲ τὴν ὑμετέραν δῃῶν πειράσομαι βιάζεσθαι, καὶ οὐκ ἀδικεῖν ἔτι νομιῶ, προσεῖναι δέ τί μοι καὶ κατὰ δύο ἀνάγκας τὸ εὔλογον, τῶν μὲν Λακεδαιμονίων, ὅπως μὴ τῷ ὑμετέρῳ εὔνῳ, εἰ μὴ προσαχθήσεσθε, τοῖς ἀπὸ ὑμῶν χρήμασι φερομένοις παρ' Ἀθηναίους βλάπτωνται, οἱ δὲ Ἕλληνες ἵνα μὴ κωλύωνται ὑφ' ὑμῶν δου-
3 λείας ἀπαλλαγῆναι. οὐ γὰρ δὴ εἰκότως γ' ἂν τάδε πράσσοιμεν, οὐδὲ ὀφείλομεν οἱ Λακεδαιμόνιοι μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ τοὺς μὴ βουλομένους ἐλευθεροῦν. οὐδ' αὖ ἀρχῆς ἐφιέμεθα, παῦσαι δὲ μᾶλλον ἑτέρους σπεύδοντες τοὺς πλείους ἂν ἀδικοῖμεν εἰ ξύμπασιν αὐτονομίαν ἐπιφέροντες ὑμᾶς
4 τοὺς ἐναντιουμένους περιίδοιμεν. πρὸς ταῦτα βουλεύεσθε

---

keine Nachtheile erleidet. (Pš.) — *διωθεῖσθαι* zurückzuweisen, *ἡμᾶς δηλοῖ ὅτι.* (Sch.) vgl. 4, 108, 3. — *καὶ φαίνεσθαι* erg. *φήσετε* aus *ἀξιώσετε.* (Pš.) Gr. 65, 11 A. 7. — *προσαναγκάζειν. ἐλευθεροῦσθαι δηλονότι.* (Sch.)

§ 2. *προσεῖναί τι τὸ εὔλογον. τὸ εὔλογον ὃ πρόσεστι ἐστί τι* etwas Erhebliches. Gr. 50, 11 A. 1. — *δύο, τὰς δύο* einige schlechte Hfn. — *ἀνάγκας* Zwangsgründe. (Ba.) — *τῶν Λακεδαιμονίων* lasse ich von *τὸ εὔλογον* abhängen: Nelson von Seiten der Lakedämonier; Py. von *ἀνάγκην* aus *ἀνάγκας*: Zwangsgrund der die L. betrifft. — *τῷ ὑμετέρῳ εὔνῳ* vermöge eures der Bethätigung ausweichenden Wohlwollens, sarkastisch. — *προσαχθήσεσθε, ἡμῖν δηλονότι.* (Sch.) Passiv des Mediums, wie 2, 77, 2. 3, 63, 2. Gr. 52, 10 A. 11. — *οἱ Ἕλληνες* zu *κωλύωνται* gefügt, wegen der Entfernung des *εὔλογον.* Ueber die Stellung Gr. 54, 17 A. 7 zweite Ausg.

§ 3. *οὐ — πράσσοιμεν* denn sonst (Gr. 54, 12 A. 9) würden wir nicht auf eine natürliche, gehörige Weise dies betreiben, die Befreiung der Hellenen. — *ὀφείλομεν οἱ Λ.* Gr. 50, 8 A. 3. — *μὴ κοινοῦ τινος ἀγαθοῦ αἰτίᾳ* wenn nicht auf Veranlassung irgend eines gemeinschaftlichen Vortheils, d. h. wenn sie uns nicht durch dem allgemeinen Wohl dargebrachte Opfer dazu veranlassen. — *παῦσαι, τῆς ἀρχῆς.* (Py.) — *ἑτέρους, τοὺς Ἀθηναίους.* (Sch.) — *σπεύδοντες.* Kurz für *σπεύδομεν, καὶ τοῦτο σπεύδοντες.* (Bl.) — *τοὺς. τοῦτ'* Kr. Aehnlich jedoch *τοὺς Ἀθηναίους περιορᾶτε* 1, 69, 4. Ar Nl. 877: *παύσω τοὺς βινουμένους.* Isokr. 4, 20: *δηλώσω τοὺς ἐμποδὼν ὄντας τῇ τῶν Ἑλλήνων εὐδαιμονίᾳ.*

εὖ, καὶ ἀγωνίσασθε τοῖς τε Ἕλλησιν ἄρξαι πρῶτοι ἐλευθερίας καὶ ἀΐδιον δόξαν καταθέσθαι, καὶ αὐτοὶ τά τε ἴδια μὴ βλαφθῆναι καὶ ξυμπάσῃ τῇ πόλει τὸ κάλλιστον ὄνομα περιθεῖναι."

'Ο μὲν Βρασίδας τοσαῦτα εἶπεν· οἱ δὲ Ἀκάνθιοι πολ- 88
λῶν λεχθέντων πρότερον ἐπ' ἀμφότερα, κρύφα διαψηφισάμενοι, διά τε τὸ ἐπαγωγὰ εἰπεῖν τὸν Βρασίδαν καὶ περὶ τοῦ καρποῦ φόβῳ ἔγνωσαν οἱ πλείους ἀφίστασθαι Ἀθηναίων, καὶ πιστώσαντες αὐτὸν τοῖς ὅρκοις οὓς τὰ τέλη τῶν Λακεδαιμονίων ὁμόσαντα αὐτὸν ἐξέπεμψαν, ἢ μὴν ἔσεσθαι ξυμμάχους αὐτονόμους οὓς ἂν προσαγάγηται, οὕτω δέχονται τὸν στρατόν. καὶ οὐ πολλῷ ὕστερον καὶ Στάγειρος, Ἀνδρίων ἀποικία, ξυναπέστη. ταῦτα μὲν οὖν ἐν τῷ θέρει τούτῳ ἐγένετο.

Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς ἀρχομένου, ὡς 89
τῷ Ἱπποκράτει καὶ Λημοσθένει, στρατηγοῖς οὖσιν Ἀθηναίων, τὰ ἐν τοῖς Βοιωτοῖς ἐνεδίδοτο καὶ ἔδει τὸν μὲν Λημοσθένην ταῖς ναυσὶν ἐς τὰς Σίφας ἀπαντῆσαι τὸν δ' ἐπὶ τὸ Δήλιον, γενομένης διαμαρτίας τῶν ἡμερῶν ἐς ἃς ἔδει ἀμφοτέρους στρατεύειν, ὁ μὲν Λημοσθένης, πρότερον πλεύσας πρὸς τὰς 2
Σίφας καὶ ἔχων ἐν ταῖς ναυσὶν Ἀκαρνᾶνας καὶ τῶν ἐκεῖ πολλοὺς ξυμμάχων, ἄπρακτος γίγνεται, μηνυθέντος τοῦ ἐπιβουλεύματος ὑπὸ Νικομάχου, ἀνδρὸς Φωκέως ἐκ Φανοτέως, ὃς Λακεδαιμονίοις εἶπεν, ἐκεῖνοι δὲ Βοιωτοῖς· καὶ βοηθείας 3
γενομένης πάντων Βοιωτῶν, οὐ γάρ πω Ἱπποκράτης παρελύπει ἐν τῇ γῇ ὤν, προκαταλαμβάνονται αἵ τε Σίφαι καὶ ἡ Χαιρώνεια. ὡς δὲ ᾔσθοντο οἱ πράσσοντες τὸ ἁμάρτημα,

---

§ 4. ἄρξαι. zu 3, 38, 2. — πρῶτοι. zu 2, 36, 1. — καταθέσθαι euch zurückzulegen, wie einen Schatz. — τὸ κάλλιστον ὄνομα als Mitbefreier. — περιθεῖναι vom Schmuck übertragen, wie 6, 89, 2.

C. 88. κρύφα. vgl. zu 4, 74, 4. — ἐπαγωγά auch 5, 85. 6, 8, 2 u. Her. 3, 53. (Bl.) ἐφολκά unten 4, 108, 4. (Pp.) — ὁμόσαντα gehört zu τέλη. vgl. 4, 86, 1. (A. Pb.)

C. 89. § 1. ἀπαντῆσαι eintreffen, wie ἀπαντᾶν ἐπὶ δίκην u. a. Budäus Comment. p. 40. (Dr.) — διαμαρτίας, ἀστοχίας. (Sch.) Selten. — ἐς ἃς. Kr. zu Xen. An. 1, 7, 1.

§ 2. ἐκεῖνοι δέ. Gr. 59, 2 A. 6.

§ 3. οἱ πράσσοντες die den Verrath betreibenden.

90 οὐδὲν ἐκίνησαν τῶν ἐν ταῖς πόλεσιν. ὁ δὲ Ἱπποκράτης ἀνα-
στήσας Ἀθηναίους πανδημεί, αὐτοὺς καὶ τοὺς μετοίκους καὶ
ξένων ὅσοι παρῆσαν, ὕστερος ἀφικνεῖται ἐπὶ τὸ Δήλιον, ἤδη
τῶν Βοιωτῶν ἀναχεχωρηκότων ἀπὸ τῶν Σιφῶν. καὶ καθίσας
τὸν στρατὸν Δηλίων ἐτείχιζε τοιῷδε τρόπῳ, τὸ ἱερὸν τοῦ
2 Ἀπόλλωνος. τάφρον μὲν κύκλῳ περὶ τὸ ἱερὸν καὶ τὸν νεὼν
ἔσκαπτον, ἐκ δὲ τοῦ ὀρύγματος ἀνέβαλλον ἀντὶ τείχους τὸν
χοῦν καὶ σταυροὺς παρακαταπηγνύντες ἄμπελον κόπτοντες τὴν
περὶ τὸ ἱερὸν ἐσέβαλλον καὶ λίθους ἅμα καὶ πλίνθον ἐκ
τῶν οἰκοπέδων τῶν ἐγγὺς καθαιροῦντες, καὶ παντὶ τρόπῳ
3 ἐμετεώριζον τὸ ἔρυμα. πύργους τε ξυλίνους κατέστησαν ἦ
καιρὸς ἦν καὶ τοῦ ἱεροῦ οἰκοδόμημα οὐδὲν ὑπῆρχεν· ἦπερ
γὰρ ἦν στοὰ καταπεπτώκει. ἡμέρᾳ δὲ ἀρξάμενοι τρίτῃ ὡς
οἴκοθεν ὥρμησαν, ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην καὶ
4 τῆς πέμπτης μέχρι ἀρίστου. ἔπειτα, ὡς τὰ πλεῖστα ἀπετε-
τέλεσιο, τὸ μὲν στρατόπεδον προαπεχώρησεν ἀπὸ τοῦ Δηλίου
οἷον δέκα σταδίους ὡς ἐπ' οἴκου πορευόμενον, καὶ οἱ μὲν
ψιλοὶ οἱ πλεῖστοι εὐθὺς ἐχώρουν, οἱ δ' ὁπλῖται θέμενοι τὰ
ὅπλα ἡσύχαζον· Ἱπποκράτης δὲ ὑπομένων ἔτι καθίσιατο

C. 90. § 1. *αὐτούς* mit *τέ* wäre üblicher. vgl. jedoch Xen An. 7, 8, 22, Dem. 9, 42 u. Plat. Geſ. 808, e.

§ 2. *ἱερόν μὲν αὐτὸς ὁ προσιερώμενος τόπος τῷ θεῷ, νεὼς δὲ ἵνθα ἵδρυται αὐτὸ τὸ ἄγαλμα τοῦ θεοῦ.* (Sch.) vgl. 5, 18, 1. Valckenaer zu Her. 6, 19. Ueber die Stellung Gr. 57, 9 A. 1. — *καὶ* verſtärkend verbindet *ἀνέβαλον* und *ἐσέβαλον*. — *παρακαταπηγνύντες* längs dem Aufwurfe hin einſchlagend. — *ἄμπελον*. Gr. 44, 1 A. 1. vgl. 4, 100, 2. — *κόπτοντες* iſt Nebenbeſtimmung, *ἦν ἔκοπτον*. — *ἐσέβαλλον*, um eine Art Geflecht zwiſchen den Palliſaden zu bilden, *ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα* 2, 75, 2. — *καὶ* verbindet *λίθους* verbindet *κόπτοντες* und *καθαιροῦντες* ſo v. a. *ἦν καθαίρουν*; über die Stellung des beſtimmten Verbums zu 1, 19. — *οἰκοπέδων* Grundſchichten der Häuſer Hl., Gebäude Schneider Lex. Suid.: *οἰκόπεδον, ἔρημον κατάπτωμα οἴκου*. vgl. Aeſch. 1, 84 u. Plat. Geſ. 741, c: *ἔλαχεν οἰκοπέδων ἢ γηπέδων*.

§ 3. *καιρός* gelegen. (Sch.) vgl. 4, 54, 4. (Pp.) — *καὶ τοῦ, καὶ ᾗ τοῦ.* (Ba.) — *ἦπερ* für *ᾗπερ* einige Hſſ. u. Ba. — *ἦν* da geweſen war. Gr. 53, 2 A. 8. — *ὡς* ſcil. (Pp.) vgl. über *ὅτι* zu 1, 13, 2.

§ 4. *οἱ ψιλοὶ οἱ πλεῖστοι.* Gr. 47, 28 A. 3. — *ἐχώρουν*

φυλακάς τε καὶ τὰ περὶ τὸ προτείχισμα, ὅσα ἦν ὑπόλοιπα, ὡς χρῆν ἐπιτελέσαι.

Οἱ δὲ Βοιωτοὶ ἐν ταῖς ἡμέραις ταύταις ξυνελέγοντο ἐς 91
τὴν Τάναγραν· καὶ ἐπειδὴ ἀπὸ πασῶν τῶν πόλεων παρῆσαν καὶ ἠσθάνοντο τοὺς Ἀθηναίους προχωροῦντας ἐπ' οἶκον, τῶν ἄλλων βοιωταρχῶν, οἳ εἰσιν ἕνδεκα, οὐ ξυνεπαινούντων μάχεσθαι, ἐπειδὴ οὐκ ἐν τῇ Βοιωτίᾳ ἔτι εἰσίν — μάλιστα 2
γὰρ ἐν μεθορίοις τῆς Ὠρωπίας οἱ Ἀθηναῖοι ἦσαν ὅτε ἔθεντο τὰ ὅπλα — Παγώνδας ὁ Αἰολάδου, βοιωταρχῶν ἐκ Θηβῶν μετ' Ἀριανθίδου τοῦ Λυσιμαχίδου, καὶ ἡγεμονίας οὔσης αὐτοῦ βουλόμενος τὴν μάχην ποιῆσαι καὶ νομίζων ἄμεινον εἶναι κινδυνεῦσαι, προσκαλῶν ἑκάστους κατὰ λόχους, ὅπως μὴ ἀθρόοι ἐκλίποιεν τὰ ὅπλα, ἔπειθε τοὺς Βοιωτοὺς ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ τὸν ἀγῶνα ποιεῖσθαι, λέγων τοιάδε.

"Χρῆν μὲν ὦ ἄνδρες Βοιωτοὶ μηδ' ἐς ἐπίνοιάν τινα 92
ἡμῶν ἐλθεῖν τῶν ἀρχόντων ὡς οὐκ εἰκὸς Ἀθηναίοις, ἢν ἄρα μὴ ἐν τῇ Βοιωτίᾳ ἔτι καταλάβωμεν αὐτούς, διὰ μάχης ἐλθεῖν. τὴν γὰρ Βοιωτίαν, ἐκ τῆς ὁμόρου ἐλθόντες, τεῖχος ἐνοικοδομησάμενοι μέλλουσι φθείρειν, καὶ εἰσί δή που πο- 2
λέμιοι ἐν ᾧ τε ἂν χωρίῳ καταληφθῶσι καὶ ὅθεν ἐπελθόντες

---

marſchirten fort (Ba.) nach Alkifa zu. — φυλακάς. Die meiſten Hſn. φύλακας. — ὑπόλοιπα unausgeführt. — ὡς χρῆν ἐπιτελέσαι wie man es ausführen ſollte (Py.); über die Prolepſis zu 61, 6 A. 2.

C. 91. § 1. οἳ geht nur auf βοιωταρχῶν, nicht auf τῶν ἄλλων β. Wäre dies, ſo würde ἦσαν folgen. Mithin waren ihrer überhaupt nur elf. (Py. vor Böckh.) — οὐ. Gr. 67, 1 A. 2.

§ 2. βοιωταρχῶν iſt das Particip. (Hl.) — καὶ vor ἡγεμονίας entſpricht wohl dem καί vor νομίζων: theils weil er unter ſeiner Hegemonie die Schlacht veranlaſſen wollte, theils weil er glaubte daß es beſſer ſei es auf die Entſcheidung der Waffen ankommen zu laſſen. — ἡγεμονία der vielleicht täglich wechſelnde Oberbefehl. Ueber den fehlenden Artikel Kr. zu Xen. An. 4, 7, 8. — αὐτοῦ. αὐτοῦ? Denn der Grund wird von ihm gedacht. — τὴν μάχην. Ueber den Artikel zu 4, 29, 1. vgl. 5, 59, 3. — ποιῆσαι. zu 2, 86, 4. — τὰ ὅπλα, die in Ordnung hingeſtellt waren, hier wohl in regelmäßiger Schlachtlinie; nach Ds. im Lager.

C. 92. § 1. τινα iſt Subjectsac. vgl. 3, 46, 4: ὅπως μηδ' ἐς ἐπίνοιαν τούτου ἴωσι. (Dr.) — διὰ μάχης ἐλθεῖν. Gr. 68, 22 A. 2.

πολέμια ἔδρασαν. νυνὶ δ' εἴ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν ἄλλος ἐπίῃ περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν καὶ ὅστις τα μὲν ἑαυτοῦ ἔχει, τοῦ πλείονος δὲ ὀρεγόμενος ἑκών τινι ἐπέρχεται. πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα καὶ
3 ἐν τῇ οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους δὲ καὶ προσέτι ὁμόρους ὄντας πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται, καὶ πρὸς τούτους γε δή, οἳ καὶ μὴ τοὺς ἐγγυς ἀλλὰ καὶ τοὺς ἄποθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; — παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας καὶ τῆς ἄλλης Ἑλλάδος
4 τὸ πολὺ ὡς αὐτοῖς διάκειται — καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν δὲ ἐς πᾶσαν, ἣν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· εἰσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσιν. τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχο-
5 μεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ

---

§ 2. *ἀσφαλέστερον ἔδοξε, τὸ μὴ πολεμῆσαι.* (Sch.) — *οὐ γὰρ — ὅστις* denn die Vorſicht geſtattet denen die ein Anderer angreift nicht gleichmäßig ängſtliche Berechnung rückſichtlich der Vertheidigung ihres Landes wie dem. — *ἑκών* aus freien Stücken. (Ba.) — *τοῦ*. Gr. 50, 2 A. 8.

§ 3. *δεῖ, ἀμύνεσθαι.* (Ba.) — *πρός τε — καθίσταται* denn in dem Verhältniſſe zu den Nachbaren zeigt ſich für Alle das Gewachſenſein auch (zugleich) als Freiheit; die Unabhängigkeit beruht darauf daß man im Stande iſt es mit ihnen aufzunehmen. (Faſt ſo Ba.) — *τούτους* für *τούτοις* Dr. — *μή. μὴ ὄν* Reiske. — *τὸ ἔσχατον ἀγῶνος* verzweifeltſter Kampf. — *παράδειγμα*. zu 3, 39, 3. — *διάκειται* iſt unperſönlich: wie ihnen, den Euböern und übrigen Hellenen, ihr Zuſtand beſtellt iſt, wie Xen. An. 7, 3, 17: *ἄμεινον ὑμῖν διακείσεται.*

§ 4. *τοῖς ἄλλοις* hängt von *τὰς μάχας ποιοῦνται* ab; Vy. erklärt: bei den übrigen vgl. 1, 122, 2; wozu? — *ἐς πᾶσαν* in Bezug auf das ganze Land. — *οὐκ ἀντίλεκτος* ſarkaſtiſch: keinem Widerſtreit mehr unterworfen. — *εἰσελθόντες*. zu 2, 38. — *γάρ* nämlich. — *ἑτέρων* durch *ἢ ἑτέροι* aufgelöſt iſt weniger paſſend; alſo für *ἢ τὴν ἑτέρων*. (Sch.) Gr. 47, 27 A. 5.

§ 5. *ἰσχύος θράσος* Zuverſicht auf Kraft (Ba.), wie Soph. Phil. 104. (Bl.) — *τὸν ἡσυχάζοντα ἐπιστρατεύειν* zu 4, 60,

μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατευειν, τὸν δὲ ἔξω ὅρων προαπαντῶντα καὶ ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν. πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τοὐσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτούς, ὅτε τὴν γῆν ἡμῶν στα- 6
σιαζόντων κατέσχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς, πιστεύσαντας δὲ τῷ θεῷ 7
πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι ὅτι, ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν, οἷς δὲ γενναῖον τήν τε αὐτῶν ἀεὶ ἐλευθεροῦν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀναντιγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασιν."

Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν 93
ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρατόν· ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν. ἐπεὶ δὲ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας ὅθεν, λόφου ὄντος μεταξύ, οὐκ ἐθεώρουν ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. τῷ δὲ Ἱπποκράτει, ὄντι 2

---

2. — κατέχειν widerſtehen (Geßner), wie bei Polybios τὴν ἐπιφορὰν τῶν πολεμίων κατέχειν. (Dr.)

§ 6. νικήσαντες. Damit das Beiſpiel paſſe, muß man denken daß dieſer Sieg nicht ἐν τῷ ἀμύνεσθαι ſondern ἐν τῷ ἐκόντας ἐπιθέσθαι errungen worden. (Hk.) vgl. 1, 113, 2. — τοῖς πρὶν ἔργοις, τοῖς ἑαυτῶν. (Sch.) Alſo: ihren frühern Thaten zu entſprechen. — τὰς προσηκούσας, ἤγουν τὰς συγγενικάς. (Sch.)

§ 7. τῷ θεῷ, nicht τὸν θεόν. Gr. 61, 6 A. 8. — πρὸς ἡμῶν ἔσεσθαι, ἤγουν βοηθήσειν ἡμῖν τὸν θεόν. (Sch.) zu 2, 86, 3. — ἀνόμως 4,97,2. 3 (Pp.) — χωρῆσαι von χορή abhängig. — κτάσθωσαν mögen ſie erwerben, auf eine mehr ungewöhnliche als harte Weiſe mit ὅτι verbunden, das mehr in Bezug auf den Hauptſatz ἐπίασιν geſetzt iſt. — γενναῖον, ἤγουν πάτριον καὶ ἀπὸ γένους. (Sch.) Il. ε, 253: οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι. (Bl.)

C. 93. § 1. προσέμιξεν ἐγγύς, ἐπλησίασεν. (Sch.) — ἡμέρας. Gr. 47, 10 A. 4. — καθίσας, τὸ στράτευμα. (Sch.) Dies kann hier nicht füglich ergänzt werden. Das Wort ſteht alſo intranſitiv, wie 3, 107, 1. vgl. 1, 126, 6. 3, 28, 2. 75, 4.

πολέμια ἔδρασαν. νυνὶ δ' εἰ τῳ καὶ ἀσφαλέστερον ἔδοξεν εἶναι, μεταγνώτω. οὐ γὰρ τὸ προμηθὲς οἷς ἂν ἄλλος ἐπίῃ περὶ τῆς σφετέρας ὁμοίως ἐνδέχεται λογισμὸν καὶ ὅστις τα μὲν ἑαυτοῦ ἔχει, τοῦ πλείονος δὲ ὀρεγόμενος ἑκών τινι ἐπέρχεται. πάτριόν τε ὑμῖν στρατὸν ἀλλόφυλον ἐπελθόντα καὶ
3 ἐν τῇ οἰκείᾳ καὶ ἐν τῇ τῶν πέλας ὁμοίως ἀμύνεσθαι. Ἀθηναίους δὲ καὶ προσέτι ὁμόρους ὄντας πολλῷ μάλιστα δεῖ. πρός τε γὰρ τοὺς ἀστυγείτονας πᾶσι τὸ ἀντίπαλον καὶ ἐλεύθερον καθίσταται, καὶ πρὸς τούτους γε δή, οἳ καὶ μὴ τοὺς ἐγγυς ἀλλὰ καὶ τοὺς ἄποθεν πειρῶνται δουλοῦσθαι, πῶς οὐ χρὴ καὶ ἐπὶ τὸ ἔσχατον ἀγῶνος ἐλθεῖν; — παράδειγμα δὲ ἔχομεν τούς τε ἀντιπέρας Εὐβοέας καὶ τῆς ἄλλης Ἑλλάδος
4 τὸ πολὺ ὡς αὐτοῖς διάκειται — καὶ γνῶναι ὅτι τοῖς μὲν ἄλλοις οἱ πλησιόχωροι περὶ γῆς ὅρων τὰς μάχας ποιοῦνται, ἡμῖν δὲ ἐς πᾶσαν, ἢν νικηθῶμεν, εἷς ὅρος οὐκ ἀντίλεκτος παγήσεται· εἰσελθόντες γὰρ βίᾳ τὰ ἡμέτερα ἕξουσιν. τοσούτῳ ἐπικινδυνοτέραν ἑτέρων τὴν παροίκησιν τῶνδε ἔχο-
5 μεν. εἰώθασί τε οἱ ἰσχύος που θράσει τοῖς πέλας, ὥσπερ Ἀθηναῖοι νῦν, ἐπιόντες τὸν μὲν ἡσυχάζοντα καὶ ἐν τῇ ἑαυτοῦ

---

§ 2. ἀσφαλέστερον ἔδοξε, τὸ μὴ πολεμῆσαι. (Sch.) — οὐ γὰρ — ὅστις denn die Vorsicht gestattet denen die ein Anderer angreift nicht gleichmäßig ängstliche Berechnung rücksichtlich der Vertheidigung ihres Landes wie dem. — ἑκών aus freien Stücken. (Ba.) — τοῦ. Gr. 50, 2 A. 8.

§ 3. δεῖ, ἀμύνεσθαι. (Ba.) — πρός τε — καθίσταται denn in dem Verhältnisse zu den Nachbaren zeigt sich für Alle das Gewachsensein auch (zugleich) als Freiheit; die Unabhängigkeit beruht darauf daß man im Stande ist es mit ihnen aufzunehmen. (Fast so Ba.) — τούτους für τούτοις Dr. — μή. μὴ ὅτι Reiske. — τὸ ἔσχατον ἀγῶνος verzweifeltster Kampf. — παράδειγμα zu 3, 39, 3. — διάκειται ist unpersönlich: wie ihnen, den Euböern und übrigen Hellenen, ihr Zustand bestellt ist, wie Xen. An. 7, 3, 17: ἄμεινον ὑμῖν διακείσεται.

§ 4. τοῖς ἄλλοις hängt von τὰς μάχας ποιοῦνται ab; Py. erklärt: bei den übrigen vgl. 1, 122, 2; wozu? — ἐς πᾶσαν in Bezug auf das ganze Land. — οὐκ ἀντίλεκτος sarkastisch: keinem Widerstreit mehr unterworfen. — εἰσελθόντες. zu 2, 38. — γάρ nämlich. — ἑτέρων durch ἢ ἑτέρου aufgelöst ist weniger passend; also für ἢ τὴν ἑτέρων. (Sch.) Gr. 47, 27 A. 5.

§ 5. ἰσχύος θράσος Zuversicht auf Kraft (Ba.), wie Soph. Phil. 104. (Bl.) — τὸν ἡσυχάζοντα ἐπιστρατεύειν zu 4, 60,

μόνον ἀμυνόμενον ἀδεέστερον ἐπιστρατευειν, τὸν δὲ ἔξω ὅρων προαπαντῶντα καὶ ἢν καιρὸς ᾖ, πολέμου ἄρχοντα ἧσσον ἑτοίμως κατέχειν. πεῖραν δὲ ἔχομεν ἡμεῖς αὐτοῦ ἐς τοὐσδε· νικήσαντες γὰρ ἐν Κορωνείᾳ αὐτούς, ὅτε τὴν γῆν ἡμῶν στα- 6
σιαζόντων κατέσχον, πολλὴν ἄδειαν τῇ Βοιωτίᾳ μέχρι τοῦδε κατεστήσαμεν. ὧν χρὴ μνησθέντας ἡμᾶς τούς τε πρεσβυτέρους ὁμοιωθῆναι τοῖς πρὶν ἔργοις, τούς τε νεωτέρους, πατέρων τῶν τότε ἀγαθῶν γενομένων παῖδας, πειρᾶσθαι μὴ αἰσχῦναι τὰς προσηκούσας ἀρετάς, πιστεύσαντας δὲ τῷ θεῷ 7
πρὸς ἡμῶν ἔσεσθαι, οὗ τὸ ἱερὸν ἀνόμως τειχίσαντες νέμονται, καὶ τοῖς ἱεροῖς ἃ ἡμῖν θυσαμένοις καλὰ φαίνεται, ὁμόσε χωρῆσαι τοῖσδε, καὶ δεῖξαι ὅτι, ὧν μὲν ἐφίενται, πρὸς τοὺς μὴ ἀμυνομένους ἐπιόντες κτάσθωσαν, οἷς δὲ γενναῖον τήν τε αὑτῶν ἀεὶ ἐλευθεροῦν μάχῃ καὶ τὴν ἄλλων μὴ δουλοῦσθαι ἀδίκως, ἀνανταγώνιστοι ἀπ' αὐτῶν οὐκ ἀπίασιν."

Τοιαῦτα ὁ Παγώνδας τοῖς Βοιωτοῖς παραινέσας ἔπεισεν 93
ἰέναι ἐπὶ τοὺς Ἀθηναίους καὶ κατὰ τάχος ἀναστήσας ἦγε τὸν στρατόν· ἤδη γὰρ καὶ τῆς ἡμέρας ὀψὲ ἦν. ἐπεὶ δὲ προσέμιξεν ἐγγὺς τοῦ στρατεύματος αὐτῶν, ἐς χωρίον καθίσας ὅθεν, λόφου ὄντος μεταξύ, οὐκ ἐθεώρουν ἀλλήλους, ἔτασσέ τε καὶ παρεσκευάζετο ὡς ἐς μάχην. τῷ δὲ Ἱπποκράτει, ὄντι 2

---

2. — κατέχειν widerſtehen (Geßner), wie bei Polybios τὸν ἐπιφορὰν τῶν πολεμίων κατέχειν. (Dr.)

§ 6. νικήσαντες. Damit das Beiſpiel paſſe, muß man denken daß dieſer Sieg nicht ἐν τῷ ἀμύνεσθαι ſondern ἐν τῷ ἐκόντας ἐπιθέσθαι errungen worden. (Hk.) vgl. 1, 113, 2. — τοῖς πρὶν ἔργοις, τοῖς ἑαυτῶν. (Sch.) Alſo: ihren frühern Thaten zu entſprechen. — τὰς προσηκούσας, ἤγουν τὰς συγγενικάς. (Sch.)

§ 7. τῷ θεῷ, nicht τὸν θεόν. Gr. 61, 6 A. 8. — πρὸς ἡμῶν ἔσεσθαι, ἤγουν βοηθήσειν ἡμῖν τὸν θεόν. (Sch.) zu 2, 86, 3. — ἀνόμως 4, 97, 2. 3 (Py.) — χωρῆσαι von χορή abhängig. — κτάσθωσαν mögen ſie erwerben, auf eine mehr ungewöhnliche als harte Weiſe mit ὅτι verbunden, das mehr in Bezug auf den Hauptſatz ἐπίασιν geſetzt iſt. — γενναῖον, ἤγουν πάτριον καὶ ἀπὸ γένους. (Sch.) Il. ε, 253: οὐ γάρ μοι γενναῖον ἀλυσκάζοντι μάχεσθαι. (Bl.)

S. 93. § 1. προσέμιξεν ἐγγύς, ἐπλησίασεν. (Sch.) — ἡμέρας. Gr. 47, 10 A. 4. — καθίσας, τὸ στράτευμα. (Sch.) Dies kann hier nicht füglich ergänzt werden. Das Wort ſteht alſo intranſitiv, wie 3, 107, 1. vgl. 1, 126, 6. 3, 28, 2. 75, 4.

περὶ τὸ Δήλιον, ὡς αὐτῷ ἠγγέλθη ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα, κελεύων ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο
3 ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνουμένους, καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου καὶ ἔθεντο τὰ ὅπλα, τεταγμένοι ὥσπερ ἔμελλον, ὁπλῖται ἑπτακισχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς
4 δὲ χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς, μέσοι δὲ Ἀλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν Βοιωτῶν
94 παρασκευὴ καὶ διάκοσμος ἦν· Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις, ἱππῆς δὲ ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν οὔτε
2 ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον, ὄντες πολλαπλά-

---

§ 2. αὐτῷ ist doch hier ein etwas lästiger Pleonasmes. — ἐς τό. Gr. 68, 21 A. 3. — ἐπῆλθε kam dazu. — εἴ τις für εἴ τι einige Hss., nur zum Theil gute. — αὐτῷ, τῷ Δηλίῳ. (Sch.)

§ 3. ἀμυνουμένους für ἀμυνομένους Dd., Kr. u. Dobree. — λόφου. Gr. 47, 2, 3. — ὥσπερ ἔμελλον, μαχέσασθαι. (Sch.) Vielmehr τάσσεσθαι. (Kr.) ἔμελλον kann durchs Plusqpf. übersetzt werden.

§ 4. οἱ ξύμμοροι, οἱ ξυντελοῦντες ἐς αὐτούς, die ihnen Unterworfenen. (Schneider Lex.) — μέσοι δέ, ἦσαν. (Ba.) zu 1, 48, 3. μέσον vermuthet Pp. — ἐπ' — εἴκοσιν, εἰς κ' καὶ ε' τάξεις ἑπτὰν κατὰ βάθος. (Sch.) Ueber ἀσπίς Kr. zu Xen. An. 1, 7, 10. — διάκοσμος poetisch nach Passow. — ἔτυχον, τεταγμένοι. Gr. 56, 16 A.

C. 94. § 1. τὸ στρατόπεδον ist wohl mit Ba. als appositiver Nominativ zu nehmen. — ψιλοί werden auch 2, 13 nicht erwähnt; nur Megarer 6, 43, 2. Die ἀκοντισταί 7, 70, 5 waren wohl Akarnaner und andere Fremde. (Arn.) — ἐκ παρασκευῆς mit gehöriger Bewaffnung. (Acac.) Eigentlich wohl: in Folge einer geordneten Ausrüstung, eines vom Staate dazu erlassenen Aufgebotes.

σιοι τῶν ἐναντίων, ὅοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε παν-
στρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς
τὸ πρῶτον ὥρμησαν ἐπ' οἶκον, οὐ παρεγένοντο ὅτι μὴ ὀλίγοι.
καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι,
Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν
Ἀθηναίων παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.

"Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, 95
τὸ ἴσον δὲ πρός γε τοὺς ἀγαθοὺς ἄνδρας δύναται καὶ ὑπό-
μνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν. παραστῇ δὲ μηδενὶ ὑμῶν
ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναρι-
πτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται·
καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν 2
χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ
τήνδε τε προσκτᾶσθε καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. χωρή-
σατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πα-
τρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πα-
τέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰ-
νοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον."

Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου καὶ μέχρι 96
μὲν μέσου τοῦ στραιοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι
φθάσαντος, οἱ Βοιωτοί, παρακελευσαμένου καὶ σφίσιν ὡς
διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῆσαν
ἀπὸ τοῦ λόφου. ἀντεπῆσαν δὲ καὶ οἱ Ἀθηναῖοι καὶ προ-
σέμιξαν δρόμῳ. καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα
οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθεν· ῥύακες γὰρ

---

§ 2. τῶν ἐναντίων als die (φίλοι) der Gegner. Gr. 47, 27 A. 5. — πολλοί. οἱ πολλοί? (Kr.) — ὡς τὸ πρῶτον da sie gleich anfangs, εὐθύς 90, 4. Gr. 50, 4 A. 2. — οὐ παρεγένοντο. Vollständig müßte es heißen: setzten sie den Heimweg fort und waren also nicht dabei. — ἐπιπαριών. ἐπι — zu den Abtheilungen, παρα — längs denselben. vgl. 6, 67, 4 u. 7, 76.

C. 95. § 1. δι' ὀλίγου, ἐν βραχεῖ χρόνῳ. (Sch.) zu 1, 77, 4. — πρός γε für πρός τε Reiske. — δύναται es gilt, vermag, die kurze Ermunterung. zu 1, 141, 1. — οὐ προσῆκον. Gr. 56, 14 A. 2.

§ 2. οὐ μή. Gr. 53, 7 A. 6. — ἐς. Kr. zu Xen. An. 3, 2, 16.

C. 96. § 1. οὐκέτι nicht auch. zu 1, 126, 3. vgl. 5, 4, 5. — φθάσαντος, ἐπελθόν. (Gb.) — καὶ ἐνταῦθα auch da, wie schon vorher. (Ba.) — ἑκατέρων. Kr. zu Xen. An. 3, 2, 36 zweite Ausg. — ῥύακες, ῥεύματα ὑδρηγά. (Sch.)

2 ἐκώλυσαν. τὸ δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων
ξυνεστήκει. καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι
μέσου ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλ-
λους ταύτῃ καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. ὑποχωρησάντων
γὰρ αὐτοῖς τῶν παρατεταγμένων καὶ κυκλωθέντων ἐν ὀλίγῳ,
οἵπερ διεφθάρησαν Θεσπιέων ἐν χερσὶν ἀμυνόμενοι κατεκό-
3 πησαν· καί τινες καὶ τῶν Ἀθηναίων διὰ τὴν κύκλωσιν τα-
ραχθέντες ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. τὸ μὲν
οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν καὶ πρὸς τὸ μαχόμενον κα-
τέφυγεν· τὸ δὲ δεξιόν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν
Ἀθηναίων καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολού-
4 θουν. καὶ ξυνέβη Παγώνδου περιπέμψαντος δύο τέλη τῶν
ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώ-
νυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως τὸ νικῶν τῶν
Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φόβον
καταστῆναι· καὶ ἀμφοτέρωθεν ἤδη ὑπό τε τοῦ τοιούτου καὶ
ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραρρηγνύντων φυγὴ
5 καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. καὶ οἱ μὲν
πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ

---

§ 2. ξυνεστήκει. ἑκατέρωθεν ἑστὼς ἐμάχετο. (Sch.) — καὶ μέχρι μέσου und der Theil bis zur Mitte, der Länge nach. (Kist.) — αὐτοῖς ihnen, den Thespiern (Va.), der Da. incommodi. — τῶν παρατεταγμένων die neben ihnen gestanden. (Ps. u. Hl.) — κυκλωθέντων, τῶν Θεσπιέων. (Gö.) — ἐν ὀλίγῳ auf einem beschränkten Raume, von den Feinden zusammengedrängt. — διεφθάρησαν. Ich vermuthe Th. schrieb ein anderes Wort. — ἐν χερσίν. zu 4, 43, 2.

§ 3. τὸ ταύτῃ die dort Befindlichen. Gr. 43, 4 A. 17. — μαχόμενον, μέρος Βοιωτῶν τὸ ἔτι μάχην ὑπομένον. (Sch.) — κατὰ βραχύ Schritt vor Schritt Va. u. A. Der Sinn wird sein: zuerst drängten sie einzelne kleinere Haufen zurück und verfolgten sie. 7, 79, 4: κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβεῖν. vgl. 8, 106, 2.

§ 4. ὑπερφανέντων, τῶν ἱππέων τῶν Βοιωτῶν. (Sch.) — ἀμφοτέρωθεν auf beiden Flügeln. — παραρρηγνύντων die von dem siegenden Flügel den andern abrissen. vgl. 5, 73, 1. 6, 70, 2 u. Arr. An. 2, 10, 4. 11, 1. 3, 14, 2. 5. 4, 3, 1; παράρρηξις 2, 11, 7.

τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. Βοιωτοὶ δὲ ἑφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς οἵ τε αὐτῶν καὶ οἱ Λοκροί, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλα- 6
βούσης τὸ ἔργον ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. καὶ τῇ ὑστεραίᾳ οἵ τ' ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου φυλακὴν ἐγκαταλιπόντες, εἶχον γὰρ αὐτὸ ὅμως ἔτι, ἀπεκο-
μίσθησαν κατὰ θάλασσαν ἐπ' οἶκον. καὶ οἱ Βοιωτοί, τρο- 97
παῖον στήσαντες καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς τούς τε τῶν πολεμίων σκυλεύσαντες καὶ φυλακὴν καταλιπόντες ἀνε-
χώρησαν ἐς τὴν Τάναγραν, καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες.

Ἐκ δὲ τῶν Ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νε- 2
κροὺς ἅπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας καὶ εἰπὼν ὅτι οὐδὲν πράξει πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, κατασταὶς ἐπὶ Ἀθηναίους ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλή-
νων· πᾶσι γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ την ἀλλήλων ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, Ἀθηναίους δὲ Δήλιον τειχί- 3
σαντας ἐνοικεῖν καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσιν, πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπίσαντας ὑδρεύεσθαι·

---

§ 5. οἱ δὲ ὡς, οἱ δὲ ἄλλῃ ὡς. Aehnlich ὡς ἕκαστοι 6, 44, 2. — οἵ τε αὐτῶν ſowohl ihre eigenen.

§ 6. ἐπιλαβούσης τὸ ἔργον trat über dem Kampfe ein. (Ba.) — φυλακήν, δηλονότι τῶν πολεμίων νεκρῶν, ἵνα μὴ ἀσπόν-δους αὐτοὺς ἀνέλωνται οἱ Ἀθηναῖοι. (Sch.) — ὅμως, καίπερ νικη-θέντες. (A. Pö.)

C. 97. § 2. ἐκ τῶν Ἀθηναίων. ȝu 1, 110, 2. — ἐπὶ τοὺς νεκρούς, ἐπὶ τῇ ἀναιρέσει τῶν νεκρῶν. (Sch.) — καὶ εἰπών. ȝu 1, 1, 1. — καταστὰς ἐπί. ȝu 4, 84, 2. — τὰ παρὰ τῶν die Aufträge der. Gr. 43, 4 A. 23. — δράσειαν, οἱ Ἀθηναῖοι. — καθεστηκός, ἔννομον. (Sch.) ȝu 1, 76, 2. — τὴν ἀλλήλων. Gr. 51, 3 A.

§ 3. ἦν. εἶναι würde man wegen σφίσι erwarten: eine Miſchung der or. recta u. obl. — χέρνιβι als Weihwaſſer. Die Erkl. ȝu Soph. Ded. T. 240. (Bp.) Lobeck Parall. p. 293. — χρῆσθαι. Gr. 55, 3 A. 7. — ἀνασπάσαντας, ἀνιμησαμένους. (Sch.) — ὁμωχέ-

ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτούς, ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέ-
98 τερα αὐτῶν. τοσαῦτα τοῦ κήρυκος εἰπόντος οἱ Ἀθηναῖοι πέμψαντες παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν οὔτε τοῦ λοιποῦ ἐκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα
2 ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἤν τε πλέονος ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι.
3 καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δ' ἐν ᾧ μέρει εἰσίν, ἐκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν

ται οἱ συμμετέχοντες τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν. (Sch.) Βοιωπακὴ δὲ ἡ λέξις. Phot. p. 245. — αὐτούς muß der Stellung wegen heißen ſie ſelbſt im Gegenſatz zu τὰ σφέτερα αὐτῶν. vgl. Gr. 55, 3 A. 13. Doch iſt vielleicht αὐτοῖς zu leſen. — τὰ σφέτερα αὐτῶν, was ſie zu Delion hatten oder die Gebliebenen? (Dd.) Wohl beides.

C. 98. § 1. ἐπὶ τούτῳ, ἐπὶ τῷ ἀδικῆσαι τὸ ἱερόν. (Sch.) — ἵνα μᾶλλον vielmehr damit. (Pꝺ.) — τοὺς ἀδικοῦντας, ἤγουν τοὺς Θηβαίους. (Sch.) — σφᾶς, τοὺς Ἀθηναίους, von ἀδικοῦντας regiert.

§ 2. τόν mit Bezug auf εἶναι καθεστηκός 97, 2. — τούτων γίγνεσθαι in deren Gewalt geriethen. (Hl.) Gr. 47, 6 A. 7. — θεραπευόμενα abgewartet. (Hl.) — καὶ vor δύνωνται ſetzt die Möglichkeit dem Gebrauche entgegen: ſie müßten neben den üblichen Bräuchen auch ihr Können berückſichtigen, im jenen nachlaſſen wo dieſes nicht zureichend ſei. — τινά. zu 2, 37, 1. Ueber die Sache 1, 12, 1. — ἐπελθόντας mit der Nebenidee des Feindſeligen.

§ 3. ἐπὶ πλέον. zu 1, 9, 3 u. 2, 29, 2. — δυνηθῆναι für δυνηθεῖν die beſten Hſn. So verbindet Her. den Inf. öfter mit εἰ. Matth. Gr. § 538. Den Attikern jedoch ſcheint dieſer Gebrauch fremd zu ſein. Gr. 55, 4 A. 9. Denn Ar. Bd. 1682 iſt zweifelhaft. — τοῦτ' ἂν ἔχειν würden dieſes, das etwa noch Zuerworbene, behaupten. (Pꝺ.) — εἰσίν. Hieraus denke man hinzu: ἐκ τούτου (ἔφασαν). (A. Pꝺ.) — ἐκόντες εἶναι. Gr. 55, 1 A. 1. — κινῆσαι.

οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους πρότερους ἐπὶ τὴν σφετέραν ἐλθόντας ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. πᾶν 4 δ' εἰκὸς εἶναι τὸ πολέμῳ καὶ δεινῷ τινὶ κατειργόμενον ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἑκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασιν. τούς τε νεκροὺς 5 πολὺ μειζόνως ἐκείνους, ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα κομίζεσθαι. σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ

---

vgl. zu 1, 143, 1. — προσθέσθαι hätten ſich zugezogen, darin verſetzt. (Hl.) — ἐκείνους iſt Objectsac. von ἀμυνόμενοι regiert. (Ba.) — βιάζεσθαι ἀντὶ τοῦ βιασθῆναι. (Sch.) Erg. τῷ ὕδατι. (Pſ.) — τό für τῷ eine Hſ.: es ſei natürlich daß Alles durch Krieg oder irgend eine Noth Abgedrungene einige Nachſicht ſelbſt von Seiten der Götter finde. (Ba.) — κατειργόμενον. κατειργομένῳ Reiske. 6, 6, 2: κατείργον αὐτοὺς τῷ πολέμῳ. Dann ſtände πᾶν εἰκός wie πᾶν τοὐναντίον. — πρός. Gr. 68, 37 A. 3. — ἑκουσίων für ἀκουσίων einige, zum Theil gute Hſn.: denn ja ſogar (καί) freiwillige Sünden ꝛc. — ἁμαρτημάτων. Gr. 47, 7 A. 6. Aeſch. Hik. 77: ἔστι δὲ κἀκ πτολέμου τιμωμένοις βωμὸς Ἀρειηγάσιν ὕβρις, δαιμόνων σέβας. — ἐπί. Gr. 68, 41 A. 5 u. Heindorf zu Plat. Krat. 1 u. 107. — κακοῖς iſt das Masculinum, wie τολμήσασι zeigt. (Ba.) — τῶν fehlt in Martins Hſ. Gut erklärt der Sch. τῶν ἐπιῤῥεόντων δεινῶν. Gr. 50, 2 A. 4.

§ 5. τοὺς νεκρούς von ἀποδιδόναι regiert (Ba.), vorangeſtellt weil es als ein neuer Gegenſtand der Beſprechung zu betonen war: was die Todten anbetreffe, ſo. — μειζόνως. zu 1, 130, 2; dem μετρίως entgegengeſetzt Her. 2, 161. vgl. 3, 128. 5, 92. 6, 84. 107 u. Plat. Pol. 300. — ἀντὶ ἱερῶν für die Räumung des Tempels zu Delion. — μή vor πρέποντα hat nur Eine gute Hſ. u. der Sch.: ἦλθον τοὺς Ἀθηναίους μὴ θέλοντας κομίσασθαι τὰ μὴ πρέποντα τοῖς ἱεροῖς μηδὲ νεκροὺς θεῶν ἀντικαταλλάττεσθαι. Eig. die nicht durch, für Tempel erlangen, ſich verſchaffen wollten was ſich nicht geziemte für Tempel zu erlangen, ihre Todten. — ἱεροῖς. ἱερῶν wäre üblicher. 3, 40, 1: ἐλπίδα χρήμασιν ὠνητήν. Eur. Iph. A. 1170: τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα. Med. 233: χρημάτων ὑπερβολῇ πόσιν πρίασθαι. vgl. zu 4, 26, 3. — σαφῶς — ἀναιρεῖσθαι ſie forderten ihnen, den Athenern, beſtimmt zu erklären, die Bewilligung auszuſprechen, daß ſie, nicht unter der Bedingung daß ſie abzögen, ſondern unter einem geſchloſſenem Vertrage ihre Todten aufnehmen dürften. (Ba.) Ueber εἰπεῖν mit dem Inf. Gr. 55, 3 A. 13. Doch iſt der Ausdruck anſtößig und ich vermuthe εἶναι

τῆς Βοιωτῶν γῆς — οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο — ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς
99 σπένδουσιν ἀναιρεῖσθαι. οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσίν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες τὴν μὲν Ὡρωπίαν, ἐν ᾗ τοὺς νεκρούς, ἐν μεθορίοις τῆς μάχης γενομένης, κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι· καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων· τὸ δὲ "ἐκ τῆς ἑαυτῶν" εὔπρεπὲς εἶναι ἀποκρίνασθαι "ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν." ὁ δὲ κῆρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.

100 Καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ὁπλιτῶν καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν καὶ Μεγαρέων ἅμα ἐσιράτευσαν ἐπὶ τὸ Δήλιον καὶ προσέβαλον τῷ τειχίσματι, ἄλλῳ τε τρόπῳ πειράσαντες καὶ μηχανὴν προ-

---

für εἰπεῖν: daß es ihnen erlaubt sein solle. — σπένδουσιν. Das Activ für das Med. auch Herodt. 5, 1, 4. (Bornemann.) Doch sein Attiker; auch wäre σπείσασιν erforderlich. Ich vermuthe ὑποσπόνδους.

C. 99. εἰ μὲν — σφέτερα wenn sie, die Athener, in Böotien seien, so mögten sie gegen den Rückzug aus ihrem, dem böotischen, Gebiete das Ihrige, die Todten, fortnehmen. — ἐκείνων, τῶν Ἀθηναίων. Ueber den Inf. Gr. 55, 3 A. 13. Aesch. 2, 133: ἀπεκρίναντο αὐτῷ τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι καὶ μὴ τὰ παρ' αὐτοῖς. vgl. Xen. Kyr. 5, 2, 24 u. Ellendt zu Arr. 1, 29 C — αὐτοὺς γιγνώσκειν so mögten sie, die Athener, selbst beschließen, entscheiden. (Sch.) — καὶ οὐκ dem Sinne nach so viel als ἀλλ' οὐκ sie, die Athener, würden aber nicht wider ihren, der Böoter, Willen (zu 1, 43, 2) sich der Todten bemächtigen können. — οὐδ' — ἐκείνων auch wollten sie andrerseits keinen Vertrag schließen über ein Gebiet das ja, wie sie, die Athener, vorgäben (δῆθεν), das ihrige sei, atheniſches. — τὸ δὲ — ἀπαιτοῦσιν die Bestimmung (τό) daß sie, wofern sie aus ihrem, dem böotischen, Gebiete abzögen, auch zurückerhalten sollten was sie ansprächen, diese als Antwort zu geben sei schicklich. Die Stellung ist freilich etwas seltsam. — καὶ nach ἀπιόντας wie 4, 100, 1 nach πειράσαντες.

C. 100. § 1. μεταπεμψάμενοι mögte man wegen der

σήγυγον, ἥπερ εἶλεν αὐτό, τοιάνδε. κεραίαν μεγάλην δίχα 2
πρίσαντες ἐκοίλαναν ἄπυσαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς
ὥσπερ αὐλόν, καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἀλύσεσι καὶ
ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον κα-
θεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου.
προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα τῇ
ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγύς, 3
φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κε-
ραίας ἐφύσων. ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα,
ἔχοντα ἄνθρακάς τε ἠμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα
ἐποίει μεγάλην καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἔτι ἐπ' αὐ- 4
τοῦ μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι καὶ τὸ
τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. τῶν δὲ φρουρῶν οἱ μὲν
ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν, τῶν δὲ ἄλλων τὸ πλῆ-
θος ἐς τὰς ναῦς ἐσβὰν ἀπεκομίσθη ἐπ' οἶκου.

Τοῦ δὲ Δηλίου ἕπτὰ καὶ δεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ 101
τὴν μάχην καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος οὐδὲν ἐπι-
στιαμένου τῶν γεγενημένων ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις
περὶ τῶν νεκρῶν ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ οὐκέτι ταὐτὰ
ἀπεκρίναντο. ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ 2
ἐλάσσους πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων
καὶ Ἱπποκράτης ὁ στρατηγός, ψιλῶν δὲ καὶ σκευοφόρων πο-
λὺς ἀριθμός.

Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ
ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας τῆς
προδοσίας πέρι οὐ προὐχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν

Stellung des τέ nach πόλιτον gesetzt erwarten. Es ist angefangen als sollte folgen καὶ ἐκ Κορίνθου ὁπλίτας.

§ 2. ἀκροφύσια τὰ ἄκρα τῶν ἀσκῶν οἷς οἱ χαλκεῖς τὸ πῦρ ἐκφυσῶσιν. Hesych. — ἐσεσιδήρωτο, ὥσπε ὑπὸ τοῦ πυρὸς μὴ βλάπτεσθαι τὴν κεραίαν. (Sch.) — ἐπὶ μέγα. Gr. 60, 8 A. 3. — ἄλλου. Gr. 50, 4 A. 11. — τῇ ἀμπέλῳ 90, 2.

§ 3. στεγανῶς. ταὐτὸν εἰπεῖν διὰ στεγανοῦ σώματος (στόματος Heringa). eingeschlossen.

C. 101. § 1. ἑπτά. ἑβδόμῃ Kr. Denn so sagt Thuk. sonst immer τρίτος, τέταρτος ꝛc. καὶ δέκατος.

§ 2. πολύς wird, um nicht als Widerspruch mit 4, 94, 2 zu erscheinen, vorzugsweise in Bezug auf σκευοφόρων zu denken sein. (Hf.) —

νεῶν τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων καὶ Ἀθηναίων τετρα-
3 κοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν καὶ κατεδίωξαν ἐς τὰς ναῦς, καὶ τοὺς μὲν ἀπέκτειναν τοὺς δὲ ζῶντας ἔλαβον. τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

4 Ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαραδόκου, ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θρᾴκης ἥσπερ καὶ ἐκεῖνος.

102 Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας ἔχων τοὺς ἐπὶ Θρᾴκης ξυμμάχους ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ Ἀθηναίων ἀποικίαν. τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος, φεύγων βασιλέα Δαρεῖον, κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη, ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον, ἐποίκους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον πέμψαντες, οἳ διεφθάρησαν ἐν
2 Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. καὶ αὖθις ἐνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι Ἄγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος Ἠδῶνας ἐξελάσαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. ὡρμῶντο δὲ ἐκ τῆς Ἠιόνος, ἣν αὐτοὶ εἶχον, ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἄγνων ὠνόμασεν, ὅτι ἐπ' ἀμ-

---

τότε 4, 89, 2. — Ἀκαρνάνων καὶ Ἀγραίων werden nach Arn. mit τὸν στρατόν, Ἀθηναίων mit ὁπλίτας zu verbinden sein, da das ganze Heer wohl viel mehr als 400 Hopliten zählte. — τετρακοσίους zu 3, 95, 2.

§ 4. τοῖς ist Neutrum: mit den Vorfällen. (Bn.) Aehnlich 4, 129, 2. (Pp.) — ἐπὶ Δηλίῳ heißt es wohl immer, nicht ἐν Δηλίῳ, weil dieser Ort eig. kein zugehöriges Gebiet hatte. (Herklein.) — αὐτοῦ, τοῦ Σιτάλκου. (Sch.) — ἐβασίλευσε wurde König. Gr. 53, 5 A. 1.

C. 102. § 1. κατοικίσαι Ol. 70, 2, v. Ch. G. 499. Kr. Stud. S. 148 f. — ἔπειτα Ol. 78, 2, v. Ch. G. 467. Kr. eb. S. 144 ff.

§ 2. ἔκτισαν Ol. 85, 3, v. Ch. G. 439. Kr. eb. S. 146. —

φότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτήν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν. ἐπὶ ταύτην οὖν ὁ 103
Βρασίδας ἄρας ἐξ Ἄρνων τῆς Χαλκιδικῆς ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρομίσκον, ἦ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνοποιησάμενος ἐχώρει τὴν νύκτα. χειμὼν δὲ ἦν καὶ ὑπέ- 2
νειφεν· ἦ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει πλὴν τῶν προδιδόντων, ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες — εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι — καὶ ἄλλοι οἳ ξυνέπρασσον ταῦτα, οἱ μὲν Περδίκκα πειθόμενοι, οἱ δὲ Χαλκιδεῦσιν. μάλιστα δὲ οἱ Ἀρ- 3
γίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ ἀεί ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας ἦλθεν, πράξαντες ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύοντας σφῶν ἐκεῖ ὅπως ἐνδοθήσεται ἡ πόλις καὶ τότε δεξάμενοι αὐτὸν τῇ πόλει καὶ ἀποστάντες τῶν Ἀθηναίων ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν πρὸ ἕω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. ἀπέχει δὲ τὸ πόλισμα πλέον 4
τῆς διαβάσεως καὶ οὗ κατεῖτο τείχη ὥσπερ νῦν, φυλακὴ δέ

Ἀμφίπολιν. Lobeck Parall. p. 382. — περιῤῥέοντος von theilweisem Umfließen. Xen. An. 1, 5, 4: περιῤῥεῖτο αὕτη ὑπὸ τοῦ Μάσκα κύκλῳ. [vgl. Kr. ind. in κύκλῳ.] Aehnlich Herodt. 8, 2, 16, Joseph. 5, 40 u. 827, 24. (Bl.) Der Strymon bildete westwärts einen Halbkreis. — διὰ τὸ περιέχειν αὐτήν, τὸν Στρυμόνα. (Sch.) Da wären die Worte wohl mit Dobree [als Glossem zu περιῤῥέοντος] zu verdächtigen. Ba. u. A. beziehen sie auf das Folgende und erklären: damit er sie völlig umschließe; über διά vergleicht man die zw. St. 4, 40, 2 und über die Bedeutung des περιέχειν setzt man sich hinweg. — ἀπολαβών. zu 1, 7, 1. — ἐκ ποταμοῦ ἐς π. von der nördlichen Ausbiegung des Flusses bis zum südlichen Ende des Halbkreises. vgl. Kr. zu Xen. An. 1, 2, 22. — περιφανῆ — ᾤκισεν, ἐν τοιούτῳ χωρίῳ κατῴκισεν ὃ καταφανὲς ἔκ τε γῆς καὶ θαλάσσης ἐστίν. (Sch.) Wahrscheinlich auf einem Hügel.

C. **103.** § 3. μάλιστα bezieht sich mehr auf den ganzen Gedanken als auf κατέστησαν; so auch ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Β. ἦλθε. — ἦλθε, πράξαντες für ἦλθεν, ἔπραξάν τε Kr. in Seebodes Archiv 1, 3 p. 536 f. So Ba. — πρὸς ἕω für πρόσω einige Hss.; eine πρὸ ἕω; πρόσω, was Thuk. nie gebraucht (Vp.), gab man wohl weil πρὸς ἕω neben ἐκείνῃ τῇ νυκτί bei Einem Verbum anstößig schien.

§ 4. τὸ πόλισμα, ἡ Ἀμφίπολις. (Sch.) — τῆς διαβάσεως,

τις βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος καὶ ἀπροσδόκητος προσπεσὼν διέβη τὴν γέφυραν καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν οἰκούντων κατὰ πᾶν τὸ χωρίον εὐθὺς εἶχεν.

104 Τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων τῶν δὲ καὶ καταφευγόντων ἐς τὸ τεῖχος οἱ Ἀμφιπολῖται ἐς θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες· καὶ λέγεται Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν 2 ἑλεῖν. νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρατὸν ἐπὶ τὰ ἔξω ἐπέδραμεν, καὶ ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον ὡς προσεδέχετο ἀπέβαινεν, ἡσύχαζεν· οἱ δ' ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει ὥστε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν τῶν ἐπὶ Θρᾴκης, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε 3 ξυνέγραψεν, ὄντα περὶ Θάσον — ἔστι δὲ ἡ νῆσος Παρίων ἀποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμισείας ἡμέρας μάλιστα πλοῦν — κελεύοντες σφίσι βοηθεῖν. καὶ ὁ μὲν ἀκούσας κατὰ τάχος ἐπὶ ναυσὶν αἳ ἔτυχον παροῦσαι ἔπλει, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν, πρίν τι 105 ἐνδοῦναι, εἰ δὲ μή, τὴν Ἠιόνα προκαταλαβών. ἐν τούτῳ δὲ ὁ Βρασίδας δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θρᾴκῃ καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν

τῆς γεφύρας. (Sch.) Abhängen läßt es Bd. von ἀπέχει: weiter von dem Uebergangsorte, der Brücke; Arn. von πλέον: weiter als d. U. — καθεῖτο waren von der Ringmauer hinab gezogen, wie 5, 52, 2. (Bl.)

C. 104. § 2. ὡς. ὢν Kr. — Ἀθηναίων. Ἀθηνῶν Bl. — τῶν ἐπί für τὸν ἐπί einige gute Hss.

§ 3. ἡμισείας für ἡμίσεος einige gute Hss. Letzteres wäre als Neu. zu fassen. zu 4, 83, 3.

C. 105. § 1. ἐργασίας hängt von κτῆσις ab: Berechtigung zur Bearbeitung. (Gail.) Kr. Leben des Thuk. S. 41 f. — ἀπ' αὐτοῦ, τοῦ ἔχειν τὴν κτῆσιν. (Ba.) — πρώτοις. πρῶτον vermuthet Bl.

ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν, μὴ ἀφικνουμένου αὐτοῦ τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν, ἐλπίσαν ἐκ Θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θρᾴκης ἀγείρανται αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προσχωροῖ. καὶ τὴν ξύμβασιν 2
μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπών, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ τῆς ἴσης καὶ ὁμοίας μετέχοντα μένειν, τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι τὰ ἑαυτοῦ ἐκφερόμενον πέντε ἡμερῶν. οἱ δὲ πολλοὶ 106
ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον. καὶ τῶν ἔξω ληφθέντων συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν· καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον δίκαιον εἶναι ἐλάμβανον, οἱ μὲν Ἀθηναῖοι διὰ τὸ ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινὰ καὶ ἅμα οὐ προσδεχόμενοι βοήθειαν ἐν τάχει, ὁ δὲ ἄλλος ὅμιλος, πόλεώς τε ἐν τῷ ἴσῳ 2
οὐ στερισκόμενοι καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι, ὥστε τῶν πρασσόντων τῷ Βρασίδᾳ ἤδη καὶ ἐκ τοῦ φανεροῦ διαδικαιούντων αὐτά, ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τεταραγμένον καὶ τοῦ παρόντος Ἀθηναίων στρατηγοῦ οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία καὶ προσεδέξαντο ἐφ' οἷς ἐκήρυξεν.

---

allein vgl. 7, 19, 4. 27, 2 u. Fritzſche Quaestt. Luc. p. 220 — *αὐτοῦ*, *τοῦ Θουκυδίδου*. (Sch.) — *περιποιήσειν*, *σώσειν*. (Sch.) — *οὐκέτι* nicht mehr ſich dazu verſtehe.

§ 2. *ἐπὶ τοῖς ἑαυτοῦ* im Beſitz des Seinigen.

C. 106. § 1. *ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας*, *ἤγουν μεταβλήθησαν τὴν προαίρεσιν*. (Sch.) Ein ungewöhnlicher Ausdruck. — *ἐμπολιτεῦον* da im Staate lebte. vgl. 4, 103, 3. (Pp.) — *ξύμμικτον*. Auch hier iſt *ἐμπολιτεῦον* zu denken: *τὸ πλεῖον ὂ ἐνεπολίτευεν ξύμμικτον ἦν*. Gr. 50, 11 A. 1. — *πρός* im Verhältniß zu. — *ἐλάμβανον*. *ὑπελάμβανον* nur meiſt ſchlechte Hſn. Doch wird ſich freilich jenes nicht leicht mit dem Inf. finden. (Pp.) — *οὐκ ἐν ὁμοίῳ* wenn ſie den Vorſchlag annähmen als wenn ſie ihn zurückwieſen. Va: wie andern. vgl. 6, 16, 4.

§ 2. *ὅμιλος* erg. *τὸ κήρυγμα δίκαιον εἶναι ἐλάμβανον*. — *ἐν τῷ ἴσῳ* in gleichem Maße wie die Athener? — *διαδικαιοῦν*, wohl erſt von Dio C. wieder hervorgeſucht (Bl.), ſcheint zu bedeuten: mit Erwägung nach beiden Seiten geltend machen. — *τεταραγμένον*, *μεταβεβλημένον τὴν γνώμην*. (Sch.) — *προσεδέξαντο*, *τὸν Βρασίδαν*. (Sch.) — *ἐκήρυξε* erg. *προσδέχεσθαι*. Gr. 55, 4 A. 11.

περὶ τὸ Δήλιον, ὡς αὐτῷ ἠγγέλθη ὅτι Βοιωτοὶ ἐπέρχονται, πέμπει ἐς τὸ στράτευμα, κελεύων ἐς τάξιν καθίστασθαι, καὶ αὐτὸς οὐ πολλῷ ὕστερον ἐπῆλθε, καταλιπὼν ὡς τριακοσίους ἱππέας περὶ τὸ Δήλιον, ὅπως φύλακές τε ἅμα εἶεν, εἴ τις ἐπίοι αὐτῷ, καὶ τοῖς Βοιωτοῖς καιρὸν φυλάξαντες ἐπιγένοιντο
3 ἐν τῇ μάχῃ. Βοιωτοὶ δὲ πρὸς τούτους ἀντικατέστησαν τοὺς ἀμυνουμένους, καὶ ἐπειδὴ καλῶς αὐτοῖς εἶχεν, ὑπερεφάνησαν τοῦ λόφου καὶ ἔθεντο τὰ ὅπλα, τεταγμένοι ὥσπερ ἔμελλον, ὁπλῖται ἑπτακισχίλιοι μάλιστα καὶ ψιλοὶ ὑπὲρ μυρίους, ἱππῆς
4 δὲ χίλιοι καὶ πελτασταὶ πεντακόσιοι. εἶχον δὲ δεξιὸν μὲν κέρας Θηβαῖοι καὶ οἱ ξύμμοροι αὐτοῖς, μέσοι δὲ Ἀλιάρτιοι καὶ Κορωναῖοι καὶ Κωπαιῆς καὶ οἱ ἄλλοι οἱ περὶ τὴν λίμνην· τὸ δὲ εὐώνυμον εἶχον Θεσπιῆς καὶ Ταναγραῖοι καὶ Ὀρχομένιοι. ἐπὶ δὲ τῷ κέρᾳ ἑκατέρῳ οἱ ἱππῆς καὶ ψιλοὶ ἦσαν. ἐπ' ἀσπίδας δὲ πέντε μὲν καὶ εἴκοσι Θηβαῖοι ἐτάξαντο, οἱ δὲ ἄλλοι ὡς ἕκαστοι ἔτυχον. αὕτη μὲν Βοιωτῶν
94 παρασκευὴ καὶ διάκοσμος ἦν· Ἀθηναῖοι δὲ οἱ μὲν ὁπλῖται ἐπὶ ὀκτὼ πᾶν τὸ στρατόπεδον ἐτάξαντο, ὄντες πλήθει ἰσοπαλεῖς τοῖς ἐναντίοις, ἱππῆς δὲ ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. ψιλοὶ δὲ ἐκ παρασκευῆς μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν οὔτε
2 ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεσέβαλον, ὄντες πολλαπλά-

---

§ 2. αὐτῷ ist doch hier ein etwas lästiger Pleonasmus. — ἐς τό. Gr. 68, 21 A. 3. — ἐπῆλθε kam dazu. — εἴ τις für εἴ τι einige Hss., nur zum Theil gute. — αὐτῷ, τῷ Δηλίῳ. (Sch.)

§ 3. ἀμυνουμένους für ἀμυνομένους Dd., Kr. u. Dobree. — λόφου. Gr. 47, 2, 3. — ὥσπερ ἔμελλον, μαχέσασθαι. (Sch.) Vielmehr τάσσεσθαι. (Kr.) ἔμελλον kann durchs Plusqpf. übersetzt werden.

§ 4. οἱ ξύμμοροι, οἱ ξυντελοῦντες ἐς αὐτούς, die ihnen Unterworfenen. (Schneider Lex.) — μέσοι δέ, ἦσαν. (Ba.) zu 1, 48, 3. μέσον vermuthet Pp. — ἐπ' — εἴκοσιν, εἰς κ' καὶ ε' τάξεις ἔταξαν κατὰ βάθος. (Sch.) Ueber ἀσπίς Kr. zu Xen. An. 1, 7, 10. — διάκοσμος poetisch nach Passow. — ἔτυχον, ταξάμενοι. Gr. 56, 16 A.

C. 94. § 1. τὸ στρατόπεδον ist wohl mit Ba. als appositiver Nominativ zu nehmen. — ψιλοί werden auch 2, 13 nicht erwähnt; nur Megarer 6, 43, 2. Die ἀκοντισταί 7, 70, 5 waren wohl Akarnaner und andere Fremde. (Arn.) — ἐκ παρασκευῆς mit gehöriger Bewaffnung. (Acac.) Eigentlich wohl: in Folge einer geordneten Ausrüstung, eines vom Staate dazu erlassenen Aufgebotes.

σιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε παν-
στρατιᾶς ξένων τῶν παρόντων καὶ ἀστῶν γενομένης, καὶ ὡς
τὸ πρῶτον ὥρμησαν ἐπ' οἶκον, οὐ παρεγένοντο ὅτι μὴ ὀλίγοι.
καθεστώτων δὲ ἐς τὴν τάξιν καὶ ἤδη μελλόντων ξυνιέναι,
Ἱπποκράτης ὁ στρατηγὸς ἐπιπαριὼν τὸ στρατόπεδον τῶν
Ἀθηναίων παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.

"Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, 95
τὸ ἴσον δὲ πρός γε τοὺς ἀγαθοὺς ἄνδρας δύναται καὶ ὑπό-
μνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν. παραστῇ δὲ μηδενὶ ὑμῶν
ὡς ἐν τῇ ἀλλοτρίᾳ οὐ προσῆκον τοσόνδε κίνδυνον ἀναρρι-
πτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται·
καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν 2
χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν, ἐν δὲ μιᾷ μάχῃ
τήνδε τε προσκτᾶσθε καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. χωρή-
σατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πα-
τρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πα-
τέρων, οἳ τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρωνίδου ἐν Οἰ-
νοφύτοις τὴν Βοιωτίαν ποτὲ ἔσχον."

Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου καὶ μέχρι 96
μὲν μέσου τοῦ στραιοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι
φθάσαντος, οἱ Βοιωτοί, παρακελευσαμένου καὶ σφίσιν ὡς
διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῆεσαν
ἀπὸ τοῦ λόφου. ἀντεπῆεσαν δὲ καὶ οἱ Ἀθηναῖοι καὶ προ-
σέμιξαν δρόμῳ. καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα
οὐκ ἦλθεν ἐς χεῖρας, ἀλλὰ τὸ αὐτὸ ἔπαθεν· δύακες γὰρ

---

§ 2. τῶν ἐναντίων als die (ψιλοὶ) der Gegner. Gr. 47, 27 A. 5. — πολλοί. οἱ πολλοί? (Kr.) — ὡς τὸ πρῶτον da sie gleich anfangs, εὐθύς 90, 4. Gr. 50, 4 A. 2. — οὐ παρεγένοντο. Vollständig müßte es heißen: setzten sie den Heimweg fort und waren also nicht dabei. — ἐπιπαριών. ἐπι — zu den Abtheilungen, παρα — längs denselben. vgl. 6, 67, 4 u. 7, 76.

C. 95. § 1. δι' ὀλίγου, ἐν βραχεῖ χρόνῳ. (Sch.) zu 1, 77, 4. — πρός γε für πρός τε Reiske. — δύναται es gilt, vermag, die kurze Ermunterung. zu 1, 141, 1. — οὐ προσῆκον. Gr. 56, 14 A. 2.

§ 2. οὐ μή. Gr. 53, 7 A. 6. — ἐς. Kr. zu Xen. An. 3, 2, 16.

C. 96. § 1. οὐκέτι nicht auch. zu 1, 126, 3. vgl. 5, 4, 5. — φθάσαντος, ἐπελθεῖν. (Gb.) — καὶ ἐνταῦθα auch da, wie schon vorher. (Ba.) — ἑκατέρων. Kr. zu Xen. An. 3, 2, 36 zweite Ausg. — δύακες, ῥεύματα ὑδρηγά. (Sch.)

2 ἐκώλυσαν. τὸ δὲ ἄλλο καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει. καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι μέσου ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων ἐν χερσὶν ἀμυνόμενοι κατεκό-
3 πησαν· καί τινες καὶ τῶν Ἀθηναίων διὰ τὴν κύκλωσιν ταραχθέντες ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν καὶ πρὸς τὸ μαχόμενον κατέφυγεν· τὸ δὲ δεξιόν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθηναίων καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολού-
4 θουν. καὶ ξυνέβη Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπιέναι, ἐς φόβον καταστῆναι· καὶ ἀμφοτέρωθεν ἤδη ὑπό τε τοῦ τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραρρηγνύντων φυγὴ
5 καθεστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. καὶ οἱ μὲν πρὸς τὸ Ἀήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ

---

§ 2. *ξυνεστήκει, ἑκατέρωθεν ἑστὼς ἐμάχετο.* (Sch.) — *καὶ μέχρι μέσου* und der Theil bis zur Mitte, der Länge nach. (Kist.) — *αὐτοῖς* ihnen, den Thebiern (Ba.), der Da. incommodi. — *τῶν παρατεταγμένων* die neben ihnen gestanden. (Pö u. Hl.) — *κυκλωθέντων, τῶν Θεσπιέων.* (Gö.) — *ἐν ὀλίγῳ* auf einem beschränkten Raume, von den Feinden zusammengedrängt. — *διεφθάρησαν.* Ich vermuthe Th. schrieb ein anderes Wort. — *ἐν χερσίν.* zu 4, 43, 2.

§ 3. *τὸ ταύτῃ* die dort Befindlichen. Gr. 43, 4 A. 17. — *μαχόμενον, μέρος Βοιωτῶν τὸ ἔτι μάχην ὑπομένον.* (Sch.) — *κατὰ βραχύ* Schritt vor Schritt Ba. u. A. Der Sinn wird sein: zuerst drängten sie einzelne kleinere Haufen zurück und verfolgten sie. 7, 79, 4: *κατὰ βραχὺ τρεψάμενοι πᾶν τὸ στράτευμα φοβεῖν.* vgl. 8, 106, 2.

§ 4. *ὑπερφανέντων, τῶν ἱππέων τῶν Βοιωτῶν.* (Sch.) — *ἀμφοτέρωθεν* auf beiden Flügeln. — *παραρρηγνύντων* die von dem siegenden Flügel den andern abrissen. vgl. 5, 73, 1. 6, 70, 2 u. Arr. An. 2, 10, 4. 11, 1. 3, 14, 2. 5. 4, 3, 1; *παράρρηξις* 2, 11, 7.

τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς οἵ τε αὐτῶν καὶ οἱ Λοκροί, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης· νυκτὸς δὲ ἐπιλα- 6
βούσης τὸ ἔργον ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. καὶ τῇ ὑστεραίᾳ οἵ τ' ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου φυλακὴν ἐγκαταλιπόντες, εἶχον γὰρ αὐτὸ ὅμως ἔτι, ἀπεκο-
μίσθησαν κατὰ θάλασσαν ἐπ' οἶκον. καὶ οἱ Βοιωτοί, τρο- 97
παῖον στήσαντες καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς τούς τε τῶν πολεμίων σκυλεύσαντες καὶ φυλακὴν καταλιπόντες ἀνε-
χώρησαν ἐς τὴν Τάναγραν, καὶ τῷ Δηλίῳ ἐπεβούλευον ὡς προσβαλοῦντες.

Ἐκ δὲ τῶν Ἀθηναίων κῆρυξ πορευόμενος ἐπὶ τοὺς νε- 2
κροὺς ἀπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας καὶ εἰπὼν ὅτι οὐδὲν πράξει πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, κατασὰς ἐπὶ Ἀθηναίους ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλή-
νων· πᾶσι γὰρ εἶναι καθεστηκὸς ἰόντας ἐπὶ την ἀλλήλων ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι, Ἀθηναίους δὲ Δήλιον τειχί- 3
σαντας ἐνοικεῖν καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσιν, πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπίσαντας ὑδρεύεσθαι·

---

§ 5. οἱ δὲ ὡς, οἱ δὲ ἄλλῃ ὡς. Aehnlich ὡς ἕκαστοι 6, 44, 2. — οἵ τε αὐτῶν ſowohl ihre eigenen.

§ 6. ἐπιλαβούσης τὸ ἔργον trat über dem Kampfe ein. (Ba.) — φυλακήν, δηλονότι τῶν πολεμίων νεκρῶν, ἵνα μὴ ἀσπόν-δους αὐτοὺς ἀνέλωνται οἱ Ἀθηναῖοι. (Sch.) — ὅμως, καίπερ νικη-θέντες. (A. Pö.)

C. 97. § 2. ἐκ τῶν Ἀθηναίων. ȝu 1, 110, 2. — ἐπὶ τοὺς νεκρούς, ἐπὶ τῇ ἀναιρέσει τῶν νεκρῶν. (Sch.) — καὶ εἰπών. ȝu 1, 1, 1. — κατασὰς ἐπί. ȝu 4, 84, 2. — τὰ παρὰ τῶν die Auftráge der. Gr. 43, 4 A. 23. — δράσειαν, οἱ Ἀθηναῖοι. — καθεστηκός, ἔννομον. (Sch.) ȝu 1, 76, 2. — τὴν ἀλλήλων. Gr. 51, 3 A.

§ 3. ἦν. εἶναι würde man wegen σφίσι erwarten: eine Miſchung der or. recta u. obl. — χέρνιβι als Weihwaſſer. Die Erkl. ȝu Soph. Oed. T. 240. (Bp.) Lobeck Parall. p. 293. — χρῆσθαι. Gr. 55, 3 A. 7. — ἀνασπάσαντας, ἀνιμησαμένους. (Sch.) — ὁμωχέ-

ὥστε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτούς, ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν αὐτοὺς ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τὰ σφέ-98 τερα αὐτῶν. τοσαῦτα τοῦ κήρυκος εἰπόντος οἱ Ἀθηναῖοι πέμψαντες παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν οὔτε τοῦ λοιποῦ ἐκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐσελθεῖν ἐπὶ τούτῳ, ἀλλ' ἵνα 2 ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἤν τε πλέονος ἤν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι ἐξαναστήσαντές τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἱεροῖς τὸ πρῶτον ἐπελθόντας οἰκεῖα νῦν κεκτῆσθαι. 3 καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δ' ἐν ᾧ μέρει εἰσίν, ἐκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κινῆσαι, ἣν

ται οἱ συμμετέχοντες τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν. (Sch.) Βοωπαχὴ δὲ ἡ λέξις. Phot. p. 245. — αὐτούς muß der Stellung wegen heißen ſie ſelbſt im Gegenſatz zu τὰ σφέτερα αὐτῶν. vgl. Gr. 55, 3 A. 13. Doch iſt vielleicht αὐτοῖς zu leſen. — τὰ σφέτερα αὐτῶν, was ſie zu Delion hatten oder die Gebliebenen? (De.) Wohl beides.

C. 98. § 1. ἐπὶ τούτῳ, ἐπὶ τῷ ἀδικῆσαι τὸ ἱερόν. (Sch.) — ἵνα μᾶλλον vielmehr damit. (Pö.) — τοὺς ἀδικοῦντας, ἤγουν τοὺς Θηβαίους. (Sch.) — σφᾶς, τοὺς Ἀθηναίους, von ἀδικοῦντας regiert.

§ 2. τόν mit Bezug auf εἶναι καθεστηκός 97, 2. — τούτων γίγνεσθαι in deren Gewalt geriethen. (Hl.) Gr. 47, 6 A. 7. — θεραπευόμενα abgewartet. (Hl.) — καὶ vor δύνωνται ſetzt die Möglichkeit dem Gebrauche entgegen: ſie müßten neben den üblichen Bräuchen auch ihr Können berückſichtigen, im jenen nachlaſſen wo dieſes nicht zureichend ſei. — τινά. zu 2, 37, 1. Ueber die Sache 1, 12, 1. — ἐπελθόντας mit der Nebenidee des Feindſeligen.

§ 3. ἐπὶ πλέον. zu 1, 9, 3 u. 2, 29, 2. — δυνηθῆναι für δυνηθεῖεν die beſten Hſn. So verbindet Her. den Inf. öfter mit εἰ. Matth. Gr. § 538. Den Attikern jedoch ſcheint dieſer Gebrauch fremd zu ſein. Gr. 55, 4 A. 9. Denn Ar. Bö. 1682 iſt zweifelhaft. — τοῦτ' ἂν ἔχειν würden dieſes, das etwa noch Zuerworbene, behaupten. (Pö.) — εἰσίν. Hierauf denke man hinzu: ἐκ τούτου (ἔφασαν). (A. Pö.) — ἐκόντες εἶναι. Gr. 55, 1 A. 1. — κινῆσαι.

οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους προτέρους ἐπὶ τὴν σφετέραν ἐλθόντας ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. πᾶν 4 δ' εἰκὸς εἶναι τὸ πολέμῳ καὶ δεινῷ τινὶ κατειργόμενον ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἑκουσίων ἁμαρτημάτων καταφυγὴν εἶναι τοὺς βωμούς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ κακοῖς ὀνομασθῆναι καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασιν. τούς τε νεκροὺς 5 πολὺ μειζόνως ἐκείνους, ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα κομίζεσθαι. σαφῶς τε ἐκέλευον σφίσιν εἰπεῖν μὴ ἀπιοῦσιν ἐκ

---

vgl. zu 1, 143, 1. — προσθέσθαι hätten ſich zugezogen, darin verſetzt. (Pl.) — ἐκείνους iſt Objectsac. von ἀμυνόμενοι regiert. (Ba.) — βιάζεσθαι ἀντὶ τοῦ βιασθῆναι. (Sch.) Erg. τῷ ὕδατι. (Pſ.) — τό für τῷ eine Hſ.: es ſei natürlich daß Alles durch Krieg oder irgend eine Noth Abgedrungene einige Nachſicht ſelbſt von Seiten der Götter finde. (Ba.) — κατειργόμενον. κατειργομένῳ Reiske. 6, 6, 2: κατεῖργον αὐτοὺς τῷ πολέμῳ. Dann ſtände πᾶν εἰκός wie πᾶν τοὐναντίον. — πρός. Gr. 68, 37 A. 3. — ἑκουσίων für ἀκουσίων einige, zum Theil gute Hſn.: denn ja ſogar (καί) freiwillige Sünden ꝛc. — ἁμαρτημάτων. Gr. 47, 7 A. 6. Aeſch. Hik. 77: ἔστι δὲ κἀκ πολέμου τιρομένοις βωμὸς Ἀριηγνάσιν ὕβμα, δαιμόνων σέβας. — ἐπί. Gr. 68, 41 A. 5 u. Heindorf zu Plat. Krat. 1 u. 107. — κακοῖς iſt das Masculinum, wie τολμήσασι zeigt. (Ba.) — τῶν fehlt in Martins Hſ. Gut erklärt der Sch. τῶν ἐπιρρεόντων δεινῶν. Gr. 50, 2 A. 4.

§ 5. τοὺς νεκρούς von ἀποδιδόναι regiert (Ba.), vorangeſtellt weil es als ein neuer Gegenſtand der Beſprechung zu betonen war: was die Todten anbetreffe, ſo. — μειζόνως. zu 1, 130, 2; dem μετρίως entgegengeſetzt Her. 2, 161. vgl. 3, 128. 5, 92. 6, 84. 107 u. Plat. Pol. 300. — ἀντὶ ἱερῶν für die Räumung des Tempels zu Delion. — μή vor πρέποντα hat nur Eine gute Hſ. u. der Sch.: ἦτερ τοὺς Ἀθηναίους μὴ θέλοντας κομίσασθαι τὰ μὴ πρέποντα τοῖς ἱεροῖς μηδὲ νεκροὺς θεῶν ἀντικαταλλάπτεσθαι. Eig. die nicht durch, für Tempel erlangen, ſich verſchaffen wollten was ſich nicht geziemte für Tempel zu erlangen, ihre Todten. — ἱεροῖς. ἱερῶν wäre üblicher. 3, 40, 1: ἐλπίδα χρήμασιν ὠνητήν. Eur. Iph. A. 1170: τἄχθιστα τοῖσι φιλτάτοις ὠνούμεθα. Med. 233: χρημάτων ὑπερβολῇ πόσιν πρίασθαι. vgl. zu 4, 26, 3. — σαφῶς — ἀναιρεῖσθαι ſie forderten ihnen, den Athenern, beſtimmt zu erklären, die Bewilligung anzuſprechen, daß ſie, nicht unter der Bedingung daß ſie abzögen, ſondern unter einem geſchloſſenem Vertrage ihre Todten aufnehmen dürften. (Ba.) Ueber εἰπεῖν mit dem Inf. Gr. 55, 3 A. 13. Doch iſt der Ausdruck anſtößig und ich vermuthe εἶναι

τῆς Βοιωτῶν γῆς — οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο — ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς
99 σπένδουσιν ἀναιρεῖσθαι. οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσίν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν ἀποφέρεσθαι τὰ σφέτερα, εἰ δὲ ἐν τῇ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον, νομίζοντες τὴν μὲν Ὠρωπίαν, ἐν ᾗ τοὺς νεκρούς, ἐν μεθορίοις τῆς μάχης γενομένης, κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι· καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων· τὸ δὲ "ἐκ τῆς ἑαυτῶν" εὐπρεπὲς εἶναι ἀποχρίνασθαι "ἀπιόντας καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν." ὁ δὲ κῆρυξ τῶν Ἀθηναίων ἀκούσας ἀπῆλθεν ἄπρακτος.

100 Καὶ οἱ Βοιωτοὶ εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε δισχιλίων ὁπλιτῶν καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων Πελοποννησίων φρουρῶν καὶ Μεγαρέων ἅμα ἐσιράτευσαν ἐπὶ τὸ Δήλιον καὶ προσέβαλον τῷ τειχίσματι, ἄλλῳ τε τρόπῳ πειράσαντες καὶ μηχανὴν προ-

---

für εἰπεῖν: daß es ihnen erlaubt ſein ſolle. — σπένδουσιν. Das Activ für das Med. auch Herodt. 5, 1, 4. (Bornemann.) Doch kein Attiker; auch wäre σπείσασιν erforderlich. Ich vermuthe ὑποσπόνδους.

C. 99. εἰ μὲν — σφέτερα wenn ſie, die Athener, in Böotien ſeien, ſo mögten ſie gegen den Rückzug aus ihrem, dem böotiſchen, Gebiete das Ihrige, die Todten, fortnehmen. — ἐκείνων, τῶν Ἀθηναίων. Ueber den Inf. Gr. 55, 3 A. 13. Aeſch. 2, 133: ἀπεκρίναντο αὐτῷ τὰ τῆς Σπάρτης δεινὰ δεδιέναι καὶ μὴ τὰ παρ' αὐτοῖς. vgl. Xen. Kyr. 5, 2, 24 u. Ellendt zu Arr. 1, 29 C — αὐτοὺς γιγνώσκειν ſo mögten ſie, die Athener, ſelbſt beſchließen, entſcheiden. (Sch.) — καὶ οὐκ dem Sinne nach ſo viel als ἀλλ' οὐκ ſie, die Athener, würden aber nicht wider ihren, der Böoter, Willen (zu 1, 43, 2) ſich der Todten bemächtigen können. — οὐδ' — ἐκείνων auch wollten ſie andrerſeits keinen Vertrag ſchließen über ein Gebiet das ja, wie ſie, die Athener, vorgäben (δῆθεν), das ihrige ſei, atheniſches. — τὸ δὲ — ἀπαιτοῦσιν die Beſtimmung (τό) daß ſie, wofern ſie aus ihrem, dem böotiſchen, Gebiete abzögen, auch zurück erhalten ſollten was ſie anſprächen, dieſe als Antwort zu geben ſei ſchicklich. Die Stellung iſt freilich etwas ſeltſam. — καὶ nach ἀπιόντας wie 4, 100, 1 nach πειράσαντες.

C. 100. § 1. μεταπεμψάμενοι mögte man wegen der

σήγυγον, ἥπερ εἶλεν αὐτό, τοιάνδε. κεραίαν μεγάλην δίχα 2
πρίσαντες ἐκοίλαναν ἅπασαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς
ὥσπερ αὐλόν, καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἀλύσεσι καὶ
ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον κα-
θεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου.
προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ἦ μάλιστα τῇ
ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγύς, 3
φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κε-
ραίας ἐφύσων. ἡ δὲ πνοὴ ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα,
ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα
ἐποίει μεγάλην καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἔτι ἐπ' αὐ- 4
τοῦ μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι καὶ τὸ
τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. τῶν δὲ φρουρῶν οἱ μὲν
ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν, τῶν δὲ ἄλλων τὸ πλῆ-
θος ἐς τὰς ναῦς ἐσβὰν ἀπεκομίσθη ἐπ' οἶκου.

Τοῦ δὲ Δηλίου ἑπτὰ καὶ δεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ 101
τὴν μάχην καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος οὐδὲν ἐπι-
στιαμένου τῶν γεγενημένων ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις
περὶ τῶν νεκρῶν ἀπέδοσαν οἱ Βοιωτοὶ καὶ οὐκέτι ταὐτὰ
ἀπεκρίναντο. ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ 2
ἐλάσσους πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων
καὶ Ἱπποκράτης ὁ στρατηγός, ψιλῶν δὲ καὶ σκευοφόρων πο-
λὺς ἀριθμός.

Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ
ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς Σίφας τῆς
προδοσίας πέρι οὐ προυχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν

Stellung des τέ nach κόλπου geſetzt erwarten. Es iſt angefangen als ſollte folgen καὶ ἐκ Κορίνθου ὁπλῖται.

§ 2. ἀκροφύσια τὰ ἄκρα τῶν ἀσκῶν οἷς οἱ χαλκεῖς τὸ πῦρ ἐκφυσῶσιν. Heſych. — ἐσεσιδήρωτο, ὥστε ὑπὸ τοῦ πυρὸς μὴ βλάπτε-σθαι τὴν κεραίαν. (Sch.) — ἐπὶ μέγα. Gr. 60, 8 A. 3. — ἄλλου. Gr. 50, 4 A. 11. — τῇ ἀμπέλῳ 90, 2.

§ 3. στεγανῶς. ταὐτὸν εἰπεῖν διὰ στεγανοῦ σώματος (στόματος Heringa). eingeſchloſſen.

C. 101. § 1. ἑπτά. ἑβδόμῃ Kr. Denn ſo ſagt Thuk. ſonſt immer τρίτος, τέταρτος ꝛc. καὶ δέκατος.

§ 2. πολύς wird, um nicht als Widerſpruch mit 4, 94, 2 zu erſcheinen, vorzugsweiſe in Bezug auf σκευοφόρων zu denken ſein. (Gt.) —

νεῶν τῶν τε Ἀχαρνάνων καὶ Ἀγραίων καὶ Ἀθηναίων τετρα-
3 κοσίους ὁπλίτας, ἀπόβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. καὶ πρὶν πάσας τὰς ναῦς κατακλεῦσαι βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν καὶ κατεδίωξαν ἐς τὰς ναῦς, καὶ τοὺς μὲν ἀπέκτειναν τοὺς δὲ ζῶντας ἔλαβον. τροπαῖον δὲ στήσαντες τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

4 Ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ Σπαραδόκου, ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θρᾴκης ἥσπερ καὶ ἐκεῖνος.

102 Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας ἔχων τοὺς ἐπὶ Θρᾴκης ξυμμάχους ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ Ἀθηναίων ἀποικίαν. τὸ δὲ χωρίον τοῦτο ἐφ' οὗ νῦν ἡ πόλις ἐστὶν ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος, φεύγων βασιλέα Δαρεῖον, κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη, ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον, ἐποίκους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον πέμψαντες, οἳ διεφθάρησαν ἐν
2 Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. καὶ αὖθις ἐνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι Ἄγνωνος τοῦ Νικίου οἰκιστοῦ ἐκπεμφθέντος Ἠδῶνας ἐξελάσαντες ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. ὡρμῶντο δὲ ἐκ τῆς Ἠιόνος, ἣν αὐτοὶ εἶχον, ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἄγνων ὠνόμασεν, ὅτι ἐπ' ἀμ-

---

τότε 4, 89, 2. — Ἀχαρνάνων καὶ Ἀγραίων werden nach Arn. mit τὸν στρατόν, Ἀθηναίων mit ὁπλίτας zu verbinden ſein, da das ganze Heer wohl viel mehr als 400 Hopliten zählte. — τετρακοσίους. zu 3, 95, 2.

§ 4. τοῖς iſt Neutrum: mit den Vorfällen. (Ba.) Aehnlich 4, 129, 2. (Pp.) — ἐπὶ Δηλίῳ heißt es wohl immer, nicht ἐν Δηλίῳ, weil dieſer Ort eig. kein zugehöriges Gebiet hatte. (Herklein.) — αὐτοῦ, τοῦ Σιτάλκου. (Sch.) — ἐβασίλευσε wurde König. Gr. 53, 5 A. 1.

C. 102. § 1. κατοικίσαι Ol. 70, 2, v. Ch. G. 499. Kr. Stud. S. 148 f. — ἔπειτα Ol. 78, 2, v. Ch. G. 467. Kr. eb. S. 144 ff.

§ 2. ἔκτισαν Ol. 85, 3, v. Ch. G. 439. Kr. eb. S. 146. —

φότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτήν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν. ἐπὶ ταύτην οὖν ὁ 103
Βρασίδας ἄρας ἐξ Ἄρνῶν τῆς Χαλκιδικῆς ἐπορεύετο τῷ στρατῷ. καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ Βρομίσκον, ἢ ἡ Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δεισποιησάμενος ἐχώρει τὴν νύκτα. χειμὼν δὲ ἦν καὶ ὑπέ- 2
νειφεν· ἦ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει πλὴν τῶν προδιδόντων, ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες — εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι — καὶ ἄλλοι οἳ ξυνέπραξσον ταῦτα, οἱ μὲν Περδίκκα πειθόμενοι, οἱ δὲ Χαλκιδεῦσιν. μάλιστα δὲ οἱ Ἀρ- 3
γίλιοι, ἐγγύς τε προσοικοῦντες καὶ ἀεί ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Βρασίδας ἦλθεν, πράξαντες ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύοντας σφῶν ἐκεῖ ὅπως ἐνδοθήσεται ἡ πόλις καὶ τότε δεξάμενοι αὐτὸν τῇ πόλει καὶ ἀποστάντες τῶν Ἀθηναίων ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν πρὸ ἕω ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. ἀπέχει δὲ τὸ πόλισμα πλέον 4
τῆς διαβάσεως καὶ οὗ κατεῖτο τείχη ὥσπερ νῦν, φυλακὴ δέ

Ἀμφίπολιν. Lobeck Parall. p. 382. — περιῤῥέοντος von theilsweiſem Umfließen. Xen. An. 1, 5, 4: περιῤῥεῖτο αὕτη ὑπὸ τοῦ Μάσκα κύκλῳ. [vgl. Kr. ind. in κύκλῳ.] Aehnlich Herodt. 8, 2, 16, Joſeph. 5, 40 u. 827, 24. (Bl.) Der Strymon bildete weſtwärts einen Halbkreis. — διὰ τὸ περιέχειν αὐτήν, τὸν Στρυμόνα. (Sch.) Da wären die Worte wohl mit Dobree [als Gloſſem zu περιῤῥέοντος] zu verdächtigen. Ba. u. A. beziehen ſie auf das Folgende und erklären: damit er ſie völlig umſchließe; über διά vergleicht man die zw. St. 4, 40, 2 und über die Bedeutung des περιέχειν ſetzt man ſich hinweg. — ἀπολαβών. zu 1, 7, 1. — ἐκ ποταμοῦ ἐς π. von der nördlichen Ausbiegung des Fluſſes bis zum ſüdlichen Ende des Halbkreiſes. vgl. Kr. zu Xen. An. 1, 2, 22. — περιφανῆ — ᾤκισεν, ἐν τοιούτῳ χωρίῳ κατῴκισεν ὃ καταφανὲς ἔκ τε γῆς καὶ θαλάσσης ἐστίν. (Sch.) Wahrſcheinlich auf einem Hügel.

C. **103.** § 3. μάλιστα bezieht ſich mehr auf den ganzen Gedanken als auf κατέστησαν; ſo auch ἐπειδὴ παρέτυχεν ὁ καιρὸς καὶ Β. ἦλθε. — ἦλθε, πράξαντες für ἦλθεν, ἔπραξάν τε Kr. in Seebodes Archiv 1, 3 p. 536 f. So Ba. — πρὸς ἕω für πρόσω einige Hſn.; eine πρὸ ἕω; πρόσω, was Thuk. nie gebraucht (Vp.), gab man wohl weil πρὸς ἕω neben ἐκείνῃ τῇ νυκτὶ bei Einem Verbum anſtößig ſchien.

§ 4. τὸ πόλισμα, ἡ Ἀμφίπολις. (Sch.) — τῆς διαβάσεως,

τις βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος καὶ ἀπροσδόκητος προσπεσὼν διέβη τὴν γέφυραν καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν οἰκούντων κατὰ πᾶν τὸ χωρίον εὐθὺς εἶχεν.

104 Τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης καὶ τῶν ἔξω πολλῶν μὲν ἁλισκομένων τῶν δὲ καὶ καταφευγόντων ἐς τὸ τεῖχος οἱ Ἀμφιπολῖται ἐς θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες. καὶ λέγεται Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν
2 ἑλεῖν. νῦν δὲ ὁ μὲν ἱδρύσας τὸν στρατὸν ἐπὶ τὰ ἔξω ἐπέδραμεν, καὶ ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον ὡς προσεδέχετο ἀπέβαινεν, ἡσύχαζεν· οἱ δ' ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει ὥστε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν τῶν ἐπὶ Θρᾴκης, Θουκυδίδην τὸν Ὀλόρου, ὃς τάδε
3 ξυνέγραψεν, ὄντα περὶ Θάσον — ἔστι δὲ ἡ νῆσος Παρίων ἄποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμισείας ἡμέρας μάλιστα πλοῦν — κελεύοντες σφίσι βοηθεῖν. καὶ ὁ μὲν ἀκούσας κατὰ τάχος ἐπὶ ναυσὶν αἳ ἔτυχον παροῦσαι ἔπλει, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν, πρίν τι
105 ἐνδοῦναι, εἰ δὲ μή, τὴν Ἠιόνα προκαταλαβών. ἐν τούτῳ δὲ ὁ Βρασίδας δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θρᾴκῃ καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν

τῆς γεφύρας. (Sch.) Abhängen läßt es Bd. von ἀπέχει: weiter von dem Uebergangsorte, der Brücke; Arn. von πλέον: weiter als d. U. — καθεῖτο waren von der Ringmauer hinab gezogen, wie 5, 52, 2. (Bl.)

C. 103. § 2. ὡς. ὧν Kr. — Ἀθηναίων. Ἀθηνῶν Bf. — τῶν ἐπί für τὸν ἐπί einige gute Hss.

§ 3. ἡμισείας für ἡμίσεος einige gute Hss. Letzteres wäre als Neu. zu fassen. zu 4, 83, 3.

C. 105. § 1. ἐργασίας hängt von κτῆσις ab: Berechtigung zur Bearbeitung. (Gail.) Kr. Leben des Thuk. S. 41 f. — ἀπ' αὐτοῦ, τοῦ ἔχειν τὴν κτῆσιν. (Ba.) — πρώτοις. πρῶτον vermuthet Bf.

ἠπείγετο προκατασχεῖν, εἰ δύναιτο, τὴν πόλιν, μὴ ἀφικνουμένου αὐτοῦ τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν, ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θρᾴκης ἀγείρανται αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προσχωροῖ. καὶ τὴν ξύμβασιν 2
μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπών, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ τῆς ἴσης καὶ ὁμοίας μετέχοντα μένειν, τὸν δὲ μὴ ἐθέλοντα ἀπιέναι τὰ ἑαυτοῦ ἐκφερόμενον πέντε ἡμερῶν. οἱ δὲ πολλοὶ 106
ἀκούσαντες ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον. καὶ τῶν ἔξω ληφθέντων συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν· καὶ τὸ κήρυγμα πρὸς τὸν φόβον δίκαιον εἶναι ἐλάμβανον, οἱ μὲν Ἀθηναῖοι διὰ τὸ ἄσμενοι ἂν ἐξελθεῖν, ἡγούμενοι οὐκ ἐν ὁμοίῳ σφίσιν εἶναι τὰ δεινὰ καὶ ἅμα οὐ προσδεχόμενοι βοήθειαν ἐν τάχει, ὁ δὲ ἄλλος ὅμιλος, πόλεώς τε ἐν τῷ ἴσῳ 2
οὐ στερισκόμενοι καὶ κινδύνου παρὰ δόξαν ἀφιέμενοι, ὥστε τῶν πρασσόντων τῷ Βρασίδᾳ ἤδη καὶ ἐκ τοῦ φανεροῦ διαδικαιούντων αὐτά, ἐπειδὴ καὶ τὸ πλῆθος ἑώρων τεταραγμένον καὶ τοῦ παρόντος Ἀθηναίων στρατηγοῦ οὐκέτι ἀκροώμενον, ἐγένετο ἡ ὁμολογία καὶ προσεδέξαντο ἐφ' οἷς ἐκήρυξεν.

---

allein vgl. 7, 19, 4. 27, 2 u. Fritzſche Quaestt. Luc. p. 220 — *αὐτοῦ, τοῦ Θουκυδίδου.* (Sch.) — *περιποιήσειν, σώσειν.* (Sch.) — *οὐκέτι* nicht mehr ſich dazu verſtehe.

§ 2. *ἐπὶ τοῖς ἑαυτοῦ* im Beſitz des Seinigen.

C. 106. § 1. *ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἤγουν μεταβλήθησαν τὴν προαίρεσιν.* (Sch.) Ein ungewöhnlicher Ausdruck. — *ἐμπολιτεῦον* da im Staate lebte. vgl. 4, 103, 3. (Pp.) — *ξύμμικτον.* Auch hier iſt *ἐμπολιτεῦον* zu denken: *τὸ πλεῖον ὂν ἐνεπολίτευεν ξύμμικτον ἦν.* Gr. 50, 11 A. 1. — *πρός* im Verhältniß zu. — *ἐλάμβανον. ὑπελάμβανον* nur meiſt ſchlechte Hſn. Doch wird ſich freilich jenes nicht leicht mit dem Inf. finden. (Pp.) — *οὐκ ἐν ὁμοίῳ* wenn ſie den Vorſchlag annähmen als wenn ſie ihn zurückwieſen. Ba: wie andern. vgl. 6, 16, 4.

§ 2. *ὅμιλος* erg. *τὸ κήρυγμα δίκαιον εἶναι ἐλάμβανον.* — *ἐν τῷ ἴσῳ* in gleichem Maße wie die Athener? — *διαδικαιοῦν*, wohl erſt von Dio C. wieder hervorgeſucht (Bl.), ſcheint zu bedeuten: mit Erwägung nach beiden Seiten geltend machen. — *τεταραγμένον, μεταβεβλημένον τὴν γνώμην.* (Sch.) — *προσεδέξαντο, τὸν Βρασίδαν.* (Sch.) — *ἐκήρυξε* erg. *προσδέχεσθαι.* Gr. 55, 4 A. 11.

3 καὶ οἱ μὲν τὴν πόλιν τοιούτῳ τρόπῳ παρέδοσαν, ὁ δὲ Θουκυδίδης καὶ αἱ νῆες ταύτῃ τῇ ἡμέρᾳ ὀψὲ κατέπλεον ἐς τὴν Ἠιόνα. καὶ τὴν μὲν Ἀμφίπολιν Βρασίδας ἄρτι εἶχεν, τὴν δὲ Ἠιόνα παρὰ νύκτα ἐγένετο λαβεῖν· εἰ γὰρ μὴ ἐβοήθησαν
107 αἱ νῆες διὰ τάχους, ἅμα ἕῳ ἂν εἶχετο. μετὰ δὲ τοῦτο ὁ μὲν τὰ ἐν τῇ Ἠιόνι καθίστατο, ὅπως καὶ τὸ αὐτίκα, ἢν ἐπί τι ὁ Βρασίδας, καὶ τὸ ἔπειτα ἀσφαλῶς ἕξει, δεξάμενος τοὺς ἐθελήσαντας ἐπιχωρῆσαι ἄνωθεν κατὰ τὰς σπονδάς· ὁ δὲ πρὸς μὲν τὴν Ἠιόνα κατά τε τὸν ποταμὸν πολλοῖς πλοίοις ἄφνω κατεπλεύσας, εἴ πως τὴν προὔχουσαν ἄκραν ἀπὸ τοῦ τείχους λαβὼν κρατοίη τοῦ ἕσπλου, καὶ κατὰ γῆν ἀποπειράσας ἅμα ἀμφοτέρωθεν ἀπεκρούσθη, τὰ δὲ περὶ τὴν Ἀμφι-
2 πολιν ἐξηρτύετο. καὶ Μύρκινός τε αὐτῷ προσεχώρησεν, Ἠδωνικὴ πόλις, Πιττακοῦ τοῦ Ἠδώρων βασιλέως ἀποθανόντος ὑπὸ τῶν Γοάξιος παίδων καὶ Βραυροῦς τῆς γυναικὸς αὐτοῦ, καὶ Γαληψὸς οὐ πολλῷ ὕστερον καὶ Ὀλσύμη· εἰσὶ δὲ αὗται Θασίων ἀποικίαι. παρὼν δὲ καὶ Περδίκκας εὐθὺς μετὰ τὴν ἅλωσιν ξυγκαθίστη ταῦτα.

108 Ἐχομένης δὲ τῆς Ἀμφιπόλεως οἱ Ἀθηναῖοι ἐς μέγα δέος κατέστησαν, ἄλλως τε καὶ ὅτι ἡ πόλις αὐτοῖς ἦν ὠφέλιμος ξύλων τε ναυπηγησίμων πομπῇ καὶ χρημάτων προσόδῳ, καὶ ὅτι μέχρι μὲν τοῦ Στρυμόνος ἦν πάροδος Θεσσαλῶν διαγόντων ἐπὶ τοὺς ξυμμάχους σφῶν τοῖς Λακεδαι-

---

§ 3. παρὰ νύκτα ἐγένετο λαβεῖν um eine Nacht geſchah' es ſie zu erobern; es wäre erobert werden wenn die Nacht nicht dazwiſchen geweſen wäre. vgl. 8, 76, 3, Pflugk Eur. Herakl. 296 u. Gr. 68, 36 A. 5.

C. **107**. § 1. ὁ μέν, ὁ Θουκυδίδης. (Sch.) — ἐπιχωρῆσαι für ἀποχωρῆσαι die beſten Hſn. Doch findet ſich jenes ſonſt bei Thuk. nicht. (Pp.) — ἄνωθεν, ἦγουν ἐκ τῆς ἄνω πόλεως. (Sch.) — ὁ δέ, ὁ Βρασίδας. (Sch.) — κατά τε entſpricht dem καὶ κατὰ γῆν. — ἄκραν Landſpitze. (Hl.) — ἀπὸ τοῦ τείχους gehört zu προὔχουσαν. (Ba.) Gr. 50, 10 A. 2.

§ 2. ἐξηρτύετο, καθίστατο. (Pp.) Wohl eig. von Zurüſtungen, wie ſonſt 1, 13, 1. 25, 4. 82, 2. 121, 2. 2, 13, 2. 6, 88, 4. 7, 65.

C. **108**. § 1. ἦν geweſen war. — ὠφέλιμος iſt bei Th. immer zweier Endungen (3, 38, 2. 4, 59, 3); bei Attikern iſt überhaupt ὠφελίμη ſelten. vgl. Plat. Charm. 174. 175, Rep. 607, e, Men. 98. — διαγόντων wenn — durchführten, geleiteten. vgl. 4, 78, 1. 2. — σφῶν, τῶν Ἀθηναίων. (Sch.) — τοῖς Λ. gehört zu πάροδος ἦν.

μονίοις, τῆς δὲ γεφύρας μὴ κρατούντων, ἄνωθεν μὲν μεγάλης οὔσης ἐπὶ πολὺ λίμνης τοῦ ποταμοῦ, τὰ δὲ πρὸς Ἠιόνα τριήρεσι τηρουμένων, οὐκ ἂν δύνασθαι προελθεῖν· τότε δὲ ῥᾴδια ἤδη ἐνόμιζον γεγενῆσθαι. καὶ τοὺς ξυμμάχους ἐφοβοῦντο μὴ ἀποστῶσιν. ὁ γὰρ Βρασίδας ἔν τε τοῖς ἄλλοις μέτριον ἑαυτὸν παρεῖχεν, καὶ ἐν τοῖς λόγοις πανταχοῦ ἐδήλου ὡς ἐλευθερώσων τὴν Ἑλλάδα ἐκπεμφθείη. καὶ αἱ πόλεις πυνθανόμεναι αἱ τῶν Ἀθηναίων ὑπήκοοι τῆς τε Ἀμφιπόλεως τὴν ἅλωσιν καὶ ἃ παρέχεται, τήν τε ἐκείνου πραότητα, μάλιστα δὴ ἐπήρθησαν ἐς τὸ νεωτερίζειν, καὶ ἐπεκηρυκεύοντο πρὸς αὐτὸν κρύφα, ἐπιπαριέναι τε κελεύοντες καὶ βουλόμενοι αὐτοὶ ἕκαστοι πρῶτοι ἀποστῆναι. καὶ γὰρ καὶ ἄδεια ἐφαίνετο αὐτοῖς, ἐψευσμένοις μὲν τῆς Ἀθηναίων δυνάμεως ἐπὶ τοσοῦτον ὅση ὕστερον διεφάνη, τὸ δὲ πλέον βουλήσει κρίνοντες ἀσαφεῖ ἢ προνοίᾳ ἀσφαλεῖ, εἰωθότες οἱ ἄνθρωποι, οὗ μὲν ἐπιθυμοῦσιν, ἐλπίδι ἀπερισκέπτῳ διδόναι, ὃ δὲ μὴ προσίενται, λογισμῷ αὐτοκράτορι διωθεῖσθαι. ἅμα δὲ τῶν Ἀθηναίων ἐν τοῖς Βοιωτοῖς νεωστὶ πεπληγμένων καὶ τοῦ

2

3

4

(Sch.) — κρατούντων für κρατοῦντας, erg. τοὺς Λακεδαιμονίους. (Gb.) Gr. 47, 4 A. 2. — τοῦ ποταμοῦ könnte Subject ſein; doch beſſer verbindet man es mit ἐπί: da von oben her über eine beträchtliche Strecke des Fluſſes ein großer Sumpf war. (Dobree.) — τηρουμένων da die Athener für ſich bewachten. (Sch.) Alſo ein Wechſel des Subjects, vgl. 4, 96, 2. Richtiger Vy.: da die Lakedämonier beobachtet wurden, da man ihnen auflauerte. — δύνασθαι abhängig von einem aus ἐς δέος κατέσησαν vorſchwebenden ἐνόμισαν. (Gb.) Gr. 65, 11 A. 7.

§ 2. ῥᾴδια für ῥᾳδία einige alte Ausgaben. vgl. zu 1, 7, 1. — ἐνόμιζον eine oder einige Hſn., die meiſten ἐνομίζετο oder ἐνόμιζεν. Iſigen will das Wort Kiſt. — παρέχεται. zu 1, 39, 2.

§ 3. ἐψευσμένοις — διεφάνη da ſie über die Macht der A. ſich in einem ſo hohen Grade täuſchten wie groß nachher dieſe Macht ſich zeigte d. h. indem ſie durchaus nicht gemeint daß die Macht der A. ſo groß ſei wie ſie nachher ſich zeigte. (Bd.) — κρίνοντες. Gr. 56, 9 A. 4. — οὗ, τοῦτο οὗ in Bezug auf das beſſere. — διδόναι, ἑαυτοὺς δηλονότι. (Sch.) Eur. Phön. 21: ὁ δ' ἡδονῇ δοὺς. (Koraes.) Eig. intranſitiv. vgl. noch Valcken. diatr. p. 233. — μὴ προσίενται nicht mögen, nicht wünſchen, οὗ ἂν μὴ ἐπιθυμῶσιν. (Sch.) — αὐτοκράτορι eigenwillig, indem man die Gründe für die Sache ablehnt.

Βρασίδου ἐφολκὰ καὶ οὐ τὰ ὄντα λέγοντος, ὡς αὐτῷ ἐπὶ Νίσαιαν τῇ ἑαυτοῦ μόνῃ στρατιᾷ οὐκ ἠθέλησαν οἱ Ἀθηναῖοι ξυμβαλεῖν, ἐθάρσουν καὶ ἐπίστευον μηδένα ἂν ἐπὶ σφᾶς βοηθῆσαι. τὸ δὲ μέγιστον, διὰ τὸ ἡδονὴν ἔχον ἐν τῷ αὐτίκα καὶ ὅτι τὸ πρῶτον Λακεδαιμονίων ὀργώντων ἔμελλον πειράσεσθαι, κινδυνεύειν παντὶ τρόπῳ ἑτοῖμοι ἦσαν. ὧν αἰσθόμενοι οἱ μὲν Ἀθηναῖοι φυλακάς, ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι, διέπεμπον ἐς τὰς πόλεις, ὁ δὲ ἐς τὴν Λακεδαίμονα ἐφιέμενος στρατιάν τε προσαποστέλλειν ἐκέλευε καὶ αὐτὸς ἐν τῷ Στρυμόνι ναυπηγίαν τριήρων παρεσκευάζετο. οἱ δὲ Λακεδαιμόνιοι τὰ μὲν καὶ φθόνῳ ἀπὸ τῶν πρώτων ἀνδρῶν οὐχ ὑπηρέτησαν αὐτῷ, τὰ δὲ καὶ βουλόμενοι μᾶλλον τούς τε ἄνδρας τοὺς ἐκ τῆς νήσου κομίσασθαι καὶ τὸν πόλεμον καταλῦσαι.

109 *Τοῦ δ' αὐτοῦ χειμῶνος Μεγαρῆς τά τε μακρὰ τείχη, ἃ σφῶν οἱ Ἀθηναῖοι εἶχον, καθεῖσαν ἑλόντες ἐς ἔδαφος, καὶ Βρασίδας μετὰ τὴν Ἀμφιπόλεως ἅλωσιν ἔχων τοὺς ξυμμάχους στρατεύει ἐπὶ τὴν Ἀκτὴν καλουμένην. ἔστι δὲ ἀπὸ τοῦ βασιλέως διορύγματος ἔσω προὔχουσα, καὶ ὁ Ἄθως*

---

§ 4. *ἐφολκά*, *ἐπαγωγά*. (Sch.) vgl. 4, 88. — *Νίσαιαν*. *Nisaiæ* Dr. Dann aber wäre *αὐτῷ* oder *τῇ ἑαυτοῦ στρατιᾷ* überflüſſig. Es ſchwebte alſo wohl *βοηθήσαντι* vor. vgl. 4, 85, 4. (Pp.) — *μόνῃ* ſollte eig. vor *τῇ* oder nach *στρατιᾷ* ſtehen. Statthaft war die Verſetzung nur weil noch ein Wort nach dem Artikel eingetreten. vgl. Gr. 50, 11 A. 20. — *ἐθάρσουν* für *ἐθάρρουν* Pp. zu 1, 69, 3. — *διὰ τὸ ἡδονὴν ἔχον* weil es ihnen zuſagte, erwünſcht war. (Pp.) — *ὀργώντων*, *ὡρμημένων*, *προθυμουμένων*. (Sch.) zu 2, 21, 3.

§ 5. *ὡς ἐξ ὀλίγου* ſo viel es ſich in der Geſchwindigkeit thun ließ. (Hl.) — *ἐφιέμενος*, *μετὰ πάσης ἐφέσεως* Dd. dringend Pp., wie es ſcheint vorher *ἔπεμπεν* aus *διέπεμπον* ergänzend, wobei die Anfügung des Folgenden hart wäre. Daher wohl beſſer Arn.: auftragend. vgl. Aeſch. Prom. 4: *ἐπίστολὰς ἅς σοι πανὸρ ἐφῆκτο*. „So jedoch nur Dichter und mit Hinzufügung eines Objects.“ (Pp.) Doch dies erſetzt hier der folgende Satz. — *ἀπό*, wie 2, 39, 1 u. 7, 70, 3. (Pp.) — *ὑπηρέτησαν* waren zuthätig.

C. **109**. § 1. *ἃ σφῶν*. Gr. 47, 9 A. 5. In einem relativen Satze ſteht dies Pronomen eben ſo 1, 30, 3. 3, 3, 3. 4, 113, 2. 5, 41, 1. 6, 76, 3. (Arndt.) — *βασιλέως* des Xerxes. Her. 7, 22. 122. (Hudſon.) — *ἔσω* zwiſchen dem Cherſonnes, ſo daß es durch den Graben

αὐτῆς ὄρος ὑψηλὸν τελευτᾷ ἐς τὸ Αἰγαῖον πέλαγος. πόλεις 2
δὲ ἔχει Σάνην μὲν Ἀνδρίων ἀποικίαν παρ' αὐτὴν τὴν διώ-
ρυχα, ἐς τὸ πρὸς Εὔβοιαν πέλαγος τετραμμένην, τὰς δὲ ἄλ-
λας Θύσσον καὶ Κλεωνὰς καὶ Ἀκροθώους καὶ Ὀλόφυξον
καὶ Δῖον· αἳ οἰκοῦνται ξυμμίκτοις ἔθνεσι βαρβάρων δι- 3
γλώσσων, καί τι καὶ Χαλκιδικὸν ἔνι βραχύ, τὸ δὲ πλεῖστον
Πελασγικὸν τῶν καὶ Λῆμνόν ποτε καὶ Ἀθήνας Τυρσηνῶν
οἰκησάντων καὶ Βισαλτικὸν καὶ Κρηστωνικὸν καὶ Ἤδωνες·
κατὰ δὲ μικρὰ πολίσματα οἰκοῦσιν. καὶ οἱ μὲν πλείους
προσεχώρησαν τῷ Βρασίδᾳ, Σάνη δὲ καὶ Δῖον ἀντέσχη, καὶ
αὐτῶν τὴν χώραν ἐμμείνας τῷ στρατῷ ἐδῄου. ὡς δ' οὐκ 110
ἐσήκουον, εὐθὺς στρατεύει ἐπὶ Τορώνην τὴν Χαλκιδικήν, κα-
τεχομένην ὑπὸ Ἀθηναίων· καὶ αὐτὸν ἄνδρες ὀλίγοι ἐπή-
γοντο, ἑτοῖμοι ὄντες τὴν πόλιν παραδοῦναι. καὶ ἀφικόμενος
νυκτὸς ἔτι καὶ περὶ ὄρθρον τῷ στρατῷ ἐκαθέζετο πρὸς τὸ
Διοσκούρειον, ὃ ἀπέχει τῆς πόλεως τρεῖς μάλιστα σταδίους.
τὴν μὲν οὖν ἄλλην πόλιν τῶν Τορωναίων καὶ τοὺς Ἀθη- 2
ναίους τοὺς ἐμφρουροῦντας ἔλαθεν· οἱ δὲ πράσσοντες αὐτῷ,
εἰδότες ὅτι ἥξοι, καὶ προελθόντες τινὲς αὐτῶν λάθρᾳ ὀλίγοι
ἐτήρουν τὴν πρόσοδον, καὶ ὡς ἤσθοντο παρόντα, ἐσκομίζουσι
παρ' αὐτοὺς ἐγχειρίδια ἔχοντας ἄνδρας ψιλοὺς ἐπιά —

---

vom Festlande getrennt wird. (Hf.) ἔξω? — αὐτῆς, meinte Py. sonst, sei von τελευτᾷ regiert. (Gr. 47, 13 A. 7.) Jetzt verbindet auch er es mit ὄρος vgl. Her. 7, 22, wobei die Stellung bemerkenswerth. Ein Komma dürfte dann vorher nicht gesetzt werden. Allein es wird wohl von Ἄθως abhängen wie der Sch. erklärt: μέρος ὧν τῆς Ἀκτῆς δηλονότι. Gr. 47, 9 A. 1. vgl. 5 A. 7. — τὸ Αἰγαῖον auch ohne πέλαγος; desgleichen ὁ Αἰγαῖος. Lobeck zu Soph. Aj. 461.

§ 2. δίγλωσσον die der barbarischen und der hellenischen Sprache kundig waren. vgl. 8, 85, 2. (Hf.) Arr. An. 3, 6, 6, Polyän. 7, 14, 3. (Bl.) u. Sintenis zu Plut. Them. 6. — Πελασγικὸν τῶν. Gr. 47, 9.

C. 110. § 1. τῷ στρατῷ verbindet man mit ἐκαθέζετο, wodurch es eine unpassende Betonung erhielte,

§ 2. τὴν μὲν ἄλλην. Gr. 50, 4 A. 10. vgl. 4, 111, 1. 122, 1. Dem. 8, 52; auch ohne μέν Thuk. 6, 50, 3. — πράσσοντες, συνεργοῦντες τὰ τῆς προδοσίας. (Sch.) — προελθόντες für προσελθόντες einige Hss. Dem letztern widerspricht ἐτήρουν τὴν πρόσοδον. Der Sinn: sie gingen hinaus. — τινὲς ὀλίγοι. Gr. 51, 16 A. 4. — αὐτούς für αὐτοῦς Ba.

3 τοσοῦτοι γὰρ μόνοι ἀνδρῶν εἴκοσι τὸ πρῶτον ταχθέντων οὐ κατέδεισαν ἐσελθεῖν· ἦρχε δὲ αὐτῶν Λυσίστρατος Ὀλύνθιος — οἳ διαδύντες διὰ τοῦ πρὸς τὸ πέλαγος τείχους καὶ λαθόντες τούς τε ἐπὶ τοῦ ἀνώτατα φυλακτηρίου φρουρούς, οὔσης τῆς πόλεως πρὸς λόφον, ἀναβάντες διέφθειραν καὶ τὴν κατὰ Κανασταῖον πυλίδα διήρουν.

111 Ὁ δὲ Βρασίδας τῷ μὲν ἄλλῳ στρατῷ ἡσύχαζεν ὀλίγον προελθών, ἑκατὸν δὲ πελτασιὰς προπέμπει, ὅπως ὁπότε πύλαι τινὲς ἀνοιχθεῖεν καὶ τὸ σημεῖον ἀρθείη ὃ ξυνέκειτο, πρῶτοι ἐσδράμοιεν. καὶ οἱ μὲν χρόνου ἐγγιγνομένου καὶ θαυμάζοντες κατὰ μικρὸν ἔτυχον ἐγγὺς τῆς πόλεως προσελ-
2 θόντες· οἱ δὲ τῶν Τορωναίων ἔνδοθεν παρασκευάζοντες μετὰ τῶν ἐσεληλυθότων, ὡς αὐτοῖς ἥ τε πυλὶς διήρητο καὶ αἱ κατὰ τὴν ἀγορὰν πύλαι τοῦ μοχλοῦ διακοπέντος ἀνεῴγοντο, πρῶτον μὲν κατὰ τὴν πυλίδα τινὰς περιαγαγόντες ἐσεκόμισαν, ὅπως κατὰ νώτου καὶ ἀμφοτέρωθεν τοὺς ἐν τῇ πόλει οὐδὲν εἰδόιας ἐξαπίνης φοβήσειαν, ἔπειτα τὸ σημεῖόν τε τοῦ πυρός, ὡς εἴρητο, ἀνέσχον καὶ διὰ τῶν κατὰ τὴν ἀγορὰν πυλῶν τοὺς λοιποὺς ἤδη τῶν πελταστῶν ἐσεδέχοντο,

---

§ 3. τοὺς φρουρούς ist wegen τέ mit διέφθειραν zu verbinden. (Py.) — ἀνώτατα auch Her. 2, 125. (Matth. Gr § 132.) Dort neben κατωτάτω. Sonst ἀνωτάτω bei den Attikern, wie z. B. bei Aristophanes, Platon und Xen.; auch hier Martins Hs. u. eine andere. Inzwischen findet sich κατώτατα Her. 7, 23, προσώτατα eb. 2, 103 (neben προσωτάτω 4, 43), Soph. El. 391 u. Eur. Iph. T. 712. Bei Th. findet sich sonst von diesen drei Wörtern kein Superlativ. — φρουρούς hängt von ἀπέκτειναν ab. (Sch.) — πρὸς λόφον nach einem Hügel hin.

C. 111. § 1. ξυνέκειτο verabredet war. Ar. Efft. 6: ὅρμα φλογὸς σημεῖα τὰ ξυγκείμενα. vgl. zu 3, 70, 2. — οἱ μέν, οἱ πελτασταί. (Sch.) — θαυμάζοντες über die Verzögerung des Signals. (Hl.)

§ 2. τῶν Τορωναίων. Ueber die Stellung zu 1, 126, 6. vgl. 3, 22, 4. 65, 2. — παρασκευάζοντες die das Unternehmen betrieben. (Bs.) — αὐτοῖς, ὑπ' αὐτῶν. (A. Bs.) — αἱ κατὰ τὴν ἀγορὰν πύλαι, der πυλὶς gegenüber, wie das Folgende zeigt. (Bl.) — περιαγαγόντες außerhalb der Stadt von dem Thore κατὰ τὴν ἀγοράν nach der πυλίς. (Dobree.) — καὶ ἀμφοτέρωθεν und so von beiden Seiten, auch von vorn. (Bl.)

καὶ ὁ Βρασίδας ἰδὼν τὸ ξύνθημα ἔθει δρόμῳ, ἀναστήσας 112
τὸν στρατὸν ἐμβοήσαντά τε ἄθρόον καὶ ἔκπληξιν πολλὴν τοῖς
ἐν τῇ πόλει παρασχόντα. καὶ οἱ μὲν κατὰ τὰς πύλας εὐθὺς
ἐσέπιπτον, οἱ δὲ κατὰ δοκοὺς τειραγώνους, αἳ ἔτυχον τῷ 2
τείχει πεπτωκότι καὶ οἰκοδομουμένῳ πρὸς λίθων ἀνολκὴν
προσκείμεναι. Βρασίδας μὲν οὖν καὶ τὸ πλῆθος εὐθὺς ἄνω
καὶ ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος
κατ' ἄκρας καὶ βεβαίως ἑλεῖν αὐτήν. ὁ δὲ ἄλλος ὅμιλος
κατὰ πάντα ὁμοίως ἐσκεδάννυντο.

Τῶν δὲ Τορωναίων γιγνομένης τῆς ἁλώσεως τὸ μὲν 113
πολὺ οὐδὲν εἰδὸς ἐθορυβεῖτο, οἱ δὲ πράσσοντες καὶ οἷς
ταῦτα ἤρεσκε μετὰ τῶν εἰσελθόντων εὐθὺς ἦσαν. οἱ δὲ
Ἀθηναῖοι — ἔτυχον γὰρ ἐν τῇ ἀγορᾷ ὁπλῖται καθεύδοντες
ὡς πεντήκοντα — ἐπειδὴ ἤσθοντο, αἱ μέν τινες ὀλίγοι δια-
φθείρονται ἐν χερσὶν αὐτῶν, τῶν δὲ λοιπῶν οἱ μὲν πεζῇ οἱ 2
δὲ ἐς τὰς ναῦς, αἳ ἐφρούρουν δύο, καταφυγόντες διασώ-
ζονται ἐς τὴν Λήκυθον τὸ φρούριον, ὃ εἶχον αὐτοὶ καταλα-
βόντες, ἄκρον τῆς πόλεως ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν
στενῷ ἰσθμῷ. κατέφυγον δὲ καὶ τῶν Τορωναίων ἐς αὐτοὺς

C. 112. § 1. ἐμβοήσαντα welches oder indem es ein Geſchrei erhob. vgl. zu 2, 49, 2. (Py.) — ἄθρόον ein gemeinſchaftliches Geſchrei. (Hl.) Heliod. 4, 17 p. 163: μέγα τι καὶ ἄθρόον ἐμβοήσαντες. (Jacobs.) Gr. 46, 5 A. 6. Doch kann bei Th. ἄθρόον zu στρατόν gehören: ὁ στρατὸς ἄθρόος ἐνεβόησεν. Die Spätern ſcheinen öfter durch falſche Lesarten oder Mißverſtändniſſe verführt dergleichen Adjectiva adverbial genommen und gebraucht zu haben, wie z. B. auch αἰφνίδιον.

§ 2. τὸ πλῆθος die Meiſten, wie 5, 30, 2. 59, 4. 6, 40, 1. 8, 84, 1. (Dobree.) — βουλόμενος bloß auf Braſidas bezogen. vgl. zu 4, 74, 1. — κατ' ἄκρας hier ſehr paſſend, da Braſidas ſich nach den höhern Puncten gewendet; eine bei Thuk. nur an dieſer Stelle vorkommende Formel. (Py.) Wohl auch hier nur völlig; ſelten überhaupt bei den Attikern, wie Plat. Geſ. p. 909, b. — καὶ βεβαίως aus 114, 1?

C. 113. § 1. εἰσελθόντων. ἐσελθόντων Hf. — αὐτῶν hängt von οἱ μέν τινες ab. (Pö.) Gr. 47, 9 A. 15. Dem. 20, 29 u. 40: χρήματά μὲν γάρ ἐστιν ἀεὶ παρ' ὑμῖν αὐτοῦ. — αἳ. Gr. 47, 28 A. 4.

§ 2. αὐτοί, nicht auch Toroneer. vgl 4, 130, 4 u. Gr. 51, 6 A. 7. Wenn man, wie vor Bk., nach αὐτοί ein Komma ſetzte, ſo würden die Worte lauten als ob erſt die Athener den Ort zu einem φρούριον gemacht hätten. — ἐς τὴν θάλασσαν ἀπειλημμένον ἐν, ἐς τὴν θάλασσαν ἀνέχον καὶ ἀπειλημμένον ἐν. (Arn.) Ueber ἀπολαμβάνειν 4,

114 ὅσοι ἦσαν σφίσιν ἐπιτήδειοι. γεγενημένης δὲ ἡμέρας ἤδη καὶ βεβαίως τῆς πόλεως ἐχομένης ὁ Βρασίδας τοῖς μὲν μετὰ τῶν Ἀθηναίων Τορωναίοις καταπεφευγόσι κήρυγμα ἐποιήσατο τὸν βουλόμενον ἐπὶ τὰ ἑαυτοῦ ἐξελθόντα ἀδεῶς πολιτεύειν, τοῖς δὲ Ἀθηναίοις κήρυκα προσπέμψας ἐξιέναι ἐκέλευσεν ἐκ τῆς Λημνίου ὑποσπόνδους καὶ τὰ ἑαυτῶν ἔχοντας
2 ὡς οὔσης Χαλκιδέων. οἱ δὲ ἐκλείψειν μὲν οὐκ ἔφασαν, σπείσασθαι δὲ σφίσιν ἐκέλευον ἡμέραν τοὺς νεκροὺς ἀνελέσθαι. ὁ δὲ ἐσπείσατο δύο. ἐν ταύταις δὲ αὐτός τε τὰς ἐγγὺς οἰκίας ἐκρατύνατο καὶ Ἀθηναῖοι τὰ σφέτερα. καὶ ξύλλογον τῶν Τορωναίων ποιήσας ἔλεξε τοῖς ἐν τῇ Ἀκάνθῳ
3 παραπλήσια, ὅτι οὐ δίκαιον εἴη οὔτε τοὺς πράξαντας πρὸς αὐτὸν τὴν λῆψιν τῆς πόλεως χείρους οὐδὲ προδότας ἡγεῖσθαι — οὐδὲ γὰρ ἐπὶ δουλείᾳ οὐδὲ χρήμασι πεισθέντας δρᾶσαι τοῦτο ἀλλ' ἐπὶ ἀγαθῷ καὶ ἐλευθερίᾳ τῆς πόλεως — οὔτε τοὺς μὴ μετασχόντας οἴεσθαι μὴ τῶν αὐτῶν τεύξεσθαι· ἀφῖχθαι γὰρ οὐ διαφθερῶν οὔτε πόλιν οὔτε ἰδιώτην οὐδένα.
4 τὸ δὲ κήρυγμα ποιήσασθαι τούτου ἕνεκα τοῖς παρ' Ἀθηναίους καταπεφευγόσιν, ὡς ἡγούμενος οὐδὲν χείρους τῇ ἐκείνων φιλίᾳ· οὐδ' ἂν σφῶν πειρασαμένους αὐτοὺς τῶν Λακεδαιμονίων δοκεῖν ἧσσον, ἀλλὰ πολλῷ μᾶλλον, ὅσῳ δικαιότερα πράσσουσιν, εὔνους ἂν σφίσι γενέσθαι, ἀπειρίᾳ δὲ
5 νῦν πεφοβῆσθαι. τούς τε πάντας παρασκευάζεσθαι ἐκέλευσεν

120, 3. (Hf.) u. zu 1, 7, 1. — *σφίσιν* auf die Athener bezogen, die Subject zwar nicht des Satzes aber doch der Erzählung sind. vgl. 7, 70, 2. (Blume.)

C. 114. § 1. *τοῖς μετὰ τῶν Ἀ. τοῖς παρ' Ἀθηναίους καταπεφευγόσιν* § 4. Sie waren mit den 113, 2 erwähnten Athenern nach Lekythos zu der dort befindlichen attischen Besatzung geflüchtet. (Bp.) — *ἐξελθόντα, τῆς Λημνίου.* (Sch.) — *πολιτεύειν, πράττειν κατὰ τὸ ἔθος τῆς πολιτείας.* (Sch.) Gr. 53, 8 A. 7.

§ 2. *ἀνελέσθαι* um aufzuheben. (Ba.) Gr. 55, 3 A. 20. vgl. 7, 83, 1; mit *ὥστε* 6, 7, 2. — *τοῖς ἐν τῇ Ἀ.* dem zu A. Gesagten. Gr. 43, 4 A. 23.

§ 3. *χείρους.* zu 3, 9, 1. — *οὐδὲ γάρ* denn auch nicht. vgl. 4, 78, 4. 98, 1. (Bp.) — *τῶν αὐτῶν, τοῖς προδόταις.* (Sch.)

§ 4. *τούτου ἕνεκα*, um Niemand zu Grunde zu richten. — *ἂν — ἄν.* Gr. 69, 7 A. 3. — *σφῶν — τῶν Λ.* zu 1, 144, 3 (2). — *δικαιότερα πράσσουσιν, οἱ Λακεδαιμόνιοι τῶν Ἀθηναίων.* (A. Bé.) — *πεφοβῆσθαι, αὐτούς.* (Ba.)

ὡς βεβαίους τε ἐσομένους ξυμμάχους καὶ τὸ ἀπὸ τοῦδε ἤδη ὅ τι ἂν ἁμαρτάνωσιν αἰτίαν ἔξοντας· τὰ δὲ πρότερα οὐ σφεῖς ἀδικεῖσθαι, ἀλλ' ἐκείνους μᾶλλον ὑπ' ἄλλων κρεισσόνων, καὶ ξυγγνώμην εἶναι εἴ τι ἠναντιοῦντο.

Καὶ ὁ μὲν τοιαῦτα εἰπὼν καὶ παραθαρσύνας διελθου- 115
σῶν τῶν σπονδῶν τὰς προσβολὰς ἐποιεῖτο τῇ Λεκύθῳ· οἱ δὲ Ἀθηναῖοι ἠμύναντό τε ἐκ φαύλου τειχίσματος καὶ ἀπ' οἰκιῶν ἐπάλξεις ἐχουσῶν. καὶ μίαν μὲν ἡμέραν ἀπεκρούσαντο· τῇ δ' ὑστεραίᾳ μηχανῆς μελλούσης προσάξεσθαι αὐτοῖς ἀπὸ 2
τῶν ἐναντίων, ἀφ' ἧς πῦρ ἐνήσειν διενοοῦντο ἐς τὰ ξύλινα παραφράγματα, καὶ προσιόντος ἤδη τοῦ στρατεύματος, ᾗ ᾤοντο μάλιστα αὐτοὺς προσκομιεῖν τὴν μηχανὴν καὶ ἦν ἐπιμαχώτατον, πύργον ξύλινον ἐπ' οἴκημα ἀντέσησαν καὶ ὕδατος ἀμφορέας πολλοὺς καὶ πίθους ἀνεφόρησαν καὶ λίθους μεγάλους, ἄνθρωποί τε πολλοὶ ἀνέβησαν. τὸ δὲ οἴκημα λαβὸν 3
μεῖζον ἄχθος ἐξαπίνης κατερράγη καὶ ψόφου πολλοῦ γενομένου τοὺς μὲν ἐγγὺς καὶ ὁρῶντας τῶν Ἀθηναίων ἐλύπησε μᾶλλον ἢ ἐφόβησεν, οἱ δὲ ἄποθεν, καὶ μάλιστα οἱ διὰ πλείστου, νομίσαντες ταύτῃ ἐαλωκέναι ἤδη τὸ χωρίον φυγῇ ἐς τὴν θάλασσαν καὶ τὰς ναῦς ὥρμησαν. καὶ ὁ Βρασίδας ὡς 116
ᾔσθετο αὐτοὺς ἀπολειποντάς τε τὰς ἐπάλξεις καὶ τὸ γιγνόμενον ὁρῶν, ἐπιφερόμενος τῷ στρατῷ εὐθὺς τὸ τείχισμα λαμβάνει καὶ ὅσους ἐγκατέλαβε διέφθειρεν. καὶ οἱ μὲν Ἀθηναῖοι τοῖς τε πλοίοις καὶ ταῖς ναυσὶ τούτῳ τῷ τρόπῳ ἐκλιπόντες τὸ χωρίον ἐς Παλλήνην διεκομίσθησαν· ὁ δὲ 2

---

§ 5. οὐ σφεῖς ἀδικεῖσθαι nicht ſie, die Lakedämonier, ſeien von den Toronäern, dadurch daß dieſe es mit den Athenern gehalten, beleidigt worden. (Pß.) Ueber σφεῖς Gr. 55, 2 A. 1; über ἀδικεῖν Gr. 53, 1 A. 3.

C. 115. § 2. προσάξεσθαι paſſiv, wie ἄξομαι Plat. Rep. 458, Demokrit bei Stob. 43, 43, προάξομαι Dem. 5, 14 neben προαχθήσομαι 18, 269. — ἀπό. zu 1, 17, 1. — ἐνήσειν διενοοῦντο. zu 1, 27, 2. — αὐτούς, die Feinde. (Pß.) — παραφράγματα. zu 7, 25, 4. — ἐπιμαχώτατον. Gr. 43, 4 A. 13 u. 61, 5 A. 6. — οἱ διὰ πλείστου die Entfernteſten. zu 2, 29, 3.

C. 116. § 1. ὡς ᾔσθετο καὶ ὁρῶν. Ueber den Wechſel und die Stellung des τέ zu 1, 1, 1.

Βρασίδας — ἔστι γὰρ ἐν τῇ Ληκύθῳ Ἀθηνᾶς ἱερόν, καὶ ἔτυχε κηρύξας, ὅτε ἐμελλε προσβάλλειν, τῷ ἐπιβάντι πρώτῳ τοῦ τείχους τριάκοντα μνᾶς ἀργυρίου· δώσειν — νομίσας ἄλλῳ τινὶ τρόπῳ ἢ ἀνθρωπείῳ τὴν ἅλωσιν γενέσθαι τάς τε τριάκοντα μνᾶς τῇ θεῷ ἀπέδωκεν ἐς τὸ ἱερὸν καὶ τὴν Λήκυθον καθελὼν καὶ ἀνασκευάσας τέμενος ἀνῆκεν ἅπαν. καὶ ὁ μὲν τὸ λοιπὸν τοῦ χειμῶνος ἃ τε εἶχε τῶν χωρίων καθίστατο καὶ τοῖς ἄλλοις ἐπεβούλευεν, καὶ τοῦ χειμῶνος διελθόντος ὄγδοον ἔτος ἐτελεύτα τῷ πολέμῳ.

117 Λακεδαιμόνιοι δὲ καὶ Ἀθηναῖοι ἅμα ἦρι τοῦ ἐπιγιγνομένου θέρους εὐθὺς ἐχειρίαν ἐποιήσαντο ἐνιαύσιον, νομίσαντες Ἀθηναῖοι μὲν οὐκ ἂν ἔτι τὸν Βρασίδαν σφῶν προσαποστῆσαι οὐδὲν πρὶν παρασκευάσαιντο καθ' ἡσυχίαν, καὶ ἅμα εἰ καλῶς σφίσιν ἔχοι, καὶ ξυμβῆναι τὰ πλείω, 2 Λακεδαιμόνιοι δὲ ταῦτα τοὺς Ἀθηναίους ἡγούμενοι ἅπερ ἔδεισαν φοβεῖσθαι, καὶ γενομένης ἀναχωχῆς κακῶν καὶ ταλαιπωρίας μᾶλλον ἐπιθυμήσειν αὐτοὺς πειρασαμένους ξυναλλαγῆναί τε καὶ τοὺς ἄνδρας σφίσιν ἀποδόντας σπονδὰς 3 ποιήσασθαι καὶ ἐς τὸν πλείω χρόνον. τοὺς γὰρ δὴ ἄνδρας περὶ πλείονος ἐποιοῦντο κομίσασθαι, ὡς ἔτι Βρασίδας εὐ-

---

§ 2. προσβάλλειν. βάλλειν mehrere, zum Theil die beſten Hſſ., wozu πυρί oder τῇ μηχανῇ zu ergänzen doch hart wäre. — πρώτῳ. Gr. 50, 12 A. 4. — ἐπέδωκεν qab als Schuldiges. — καθελών mit Bezug auf die Mauern. (Hſ.) — ἀναστκευάσας, ἀνοικοδομήσας. (Sch.) ließ den Schutt wegſchaffen Hſ.; räumte aus, Hausgeräthe Gö. u. Py. Warum nicht räumte auf? — ἀνῆκεν weihte. Die Erkl. zu Her. 2, 65. (Py.) — πολέμῳ. Das oft hinzugefügte ὃν Θουκυδίδης ξυνέγραψεν (zu 2, 47, 1) fehlt auch 5, 39. 51. 56. 81. 2. 83, 4.

C. 117. § 1. προσαποστῆσαι, ἤγουν πρὸς οἷς (ἤδη) ἀπέστησαν. (Sch.) — εἰ καλῶς σφίσιν ἔχοι, ἤγουν σὺν τούτῳ, εἰ συμφέροι αὐτοῖς [ἡ ἐχειρία]. (Sch.) — καὶ (κἂν Kr.) ξυμβῆναι τὰ πλείω auch einen Vertrag Frieden, nicht bloß einen Waffenſtillſtand, über das Mehrere, Uebrige, bei dieſem noch nicht Feſtgeſetzte, ſchließen (zu können). zu 2, 5, 4. Ueber τὰ πλείω Gr. 50, 2 A. 8.

§ 2. ἀναχωχῆς, διακοπῆς. (Sch.) Raſt.

§ 3. περὶ πλείονος als den Braſidas größere Vortheile erringen zu laſſen (Py.) Dem widerſtrebt der nächſte Satz. Der Sinn iſt wohl: ſie wünſchten dringender die Männer zurückzuerhalten

τύχει· καὶ ἔμελλον ἐπὶ μεῖζον χωρήσαντος αὐτοῦ καὶ ἀντίπαλα καταστήσαντος τῶν μὲν στέρεσθαι, τοῖς δ' ἐκ τοῦ ἴσου ἀμυνόμενοι κινδυνεύειν καὶ κρατήσειν. γίγνεται οὖν ἐκεχειρία αὐτοῖς τε καὶ τοῖς ξυμμάχοις ἥδε.

"Περὶ μὲν τοῦ ἱεροῦ καὶ τοῦ μαντείου τοῦ Ἀπόλλωνος 118
τοῦ Πυθίου δοκεῖ ἡμῖν χρῆσθαι τὸν βουλόμενον ἀδόλως καὶ
ἀδεῶς κατὰ τοὺς πατρίους νόμους. τοῖς μὲν Λακεδαιμονίοις
ταῦτα δοκεῖ καὶ τοῖς ξυμμάχοις τοῖς παροῦσιν· Βοιωτοὺς δὲ
καὶ Φωκέας πείσειν φασὶν ἐς δύναμιν προσκηρυκευόμενοι.
περὶ δὲ τῶν χρημάτων τῶν τοῦ θεοῦ ἐπιμελεῖσθαι ὅπως 2
τοὺς ἀδικοῦντας ἐξευρήσομεν, ὀρθῶς καὶ δικαίως τοῖς πα-
τρίοις νόμοις χρώμενοι καὶ ἡμεῖς καὶ ὑμεῖς καὶ τῶν ἄλλων
οἱ βουλόμενοι, τοῖς πατρίοις νόμοις χρώμενοι πάντες. περὶ 3
μὲν οὖν τούτων ἔδοξε Λακεδαιμονίοις καὶ τοῖς ἄλλοις ξυμ-
μάχοις ἐὰν σπονδὰς ποιῶνται οἱ Ἀθηναῖοι, ἐπὶ τῆς αὐτῶν
μένειν ἑκατέρους ἔχοντας ἅπερ νῦν ἔχομεν, τοὺς μὲν ἐν τῷ
Κορυφασίῳ ἐντὸς τῆς Βουφράδος καὶ τοῦ Τομέως μένοντας,

---

als B. noch glücklich war,' indem sie hofften daß die Athener ihnen dies aus Furcht vor weitern Fortschritten desselben unter billigeren Bedingungen gewähren würden. Oder ist τοὺς γὰρ — κομίσασθαι als Parentheſe zu nehmen und ὡς ἔτι B. εὐτύχει an das ihr Vorangehende anzuschließen? Dann wäre zu περὶ πλείονος zu denken als den Vertrag selbst und zu ἔμελλον als Subject οἱ Ἀθηναῖοι. — ὡς ἔτι. ἕως ὅτε Sch. zu Ar. Fried. 478. (Bk.) — ἐπὶ — καταστήσαντος wenn er größere Fortschritte gemacht und das Gleichgewicht hergestellt hätte. — τῶν μέν bezieht man auf die Gefangenen; ich erkläre nach der vorgeschlagenen Aenderung: Einiges zu verlieren. Das Folgende ist unerklärt; ich tilge καὶ κρατήσειν, wofür Reiske καὶ προσπταίσειν vorschlug, und verbinde: τοῖς δὲ κινδυνεύειν um das Uebrige aber Gefahr zu bestehen. zu 2, 65, 4.

C. 118. § 1. Περί. Gr. 68, 31 A. 3.

§ 2. ἐπιμελεῖσθαι von δοκεῖ ἡμῖν § 1 abhängig. (Sch.)

§ 3. ὀρθῶς καὶ δικαίως mit ἐπιμελεῖσθαι zu verbinden. (Kr.) — τοῖς πατρίοις νόμοις χρώμενοι zweimal ist doch gar zu pleonastisch. — ἄλλοις fehlt in mehrern, z. Th. guten Hsn. vgl. jedoch Gr. 50, 4 A. 11. — ξυμμάχοις κατὰ ταῦτα· τά τε (τάδε) δὲ ἔδοξε Λακεδαιμονίοις καὶ τοῖς (ἄλλοις) ξυμμάχοις, ἐάν zwei Hsn. Daß etwas fehle zeigt μὲν οὖν, aber bei jenem Supplement vermißt man noch etwa ἔτι. (Py.) Es ist hier wohl eine größere Lücke, durch ein Homöoteleuton veranlaßt. — ἐάν. ἔστ' ἄν. (Kr.) — ἔχοντας. zu 1, 140, 3. — τοὺς

τοὺς δὲ ἐν Κυθήροις μὴ ἐπιμισγομένους ἐς τὴν ξυμμαχίαν,
4 μήτε ἡμᾶς πρὸς αὐτοὺς μήτε αὐτοὺς πρὸς ἡμᾶς, τοὺς δὲ ἐν Νισαίᾳ καὶ Μινῴᾳ μὴ ὑπερβαίνοντας τὴν ὁδὸν τὴν ἀπὸ τῶν πυλῶν τῶν παρὰ τοῦ Νίσου ἐπὶ τὸ Ποσειδώνιον, ἀπὸ δὲ τοῦ Ποσειδωνίου εὐθὺς ἐπὶ τὴν γέφυραν τὴν ἐς Μινῴαν — μηδὲ Μεγαρέας καὶ τοὺς ξυμμάχους ὑπερβαίνειν τὴν ὁδὸν ταύτην — καὶ τὴν νῆσον, ἥνπερ ἔλαβον οἱ Ἀθηναῖοι, ἔχοντας, μήτε ἐπιμισγομένους μηδετέρους μηδετέρωσε, καὶ τὰ ἐν Τροιζῆνι,
5 ὅσαπερ νῦν ἔχουσι καὶ οἷα ξυνέθεντο πρὸς Ἀθηναίους. καὶ τῇ θαλάσσῃ χρωμένους, ὅσα ἂν κατὰ τὴν ἑαυτῶν καὶ κατὰ τὴν ξυμμαχίαν, Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους πλεῖν μὴ μακρᾷ νηΐ, ἄλλῳ δὲ κωπήρει πλοίῳ, ἐς πεντακόσια τάλαντα ἄγοντι μέτρα. κήρυκι δὲ καὶ πρεσβείᾳ καὶ ἀκολούθοις, ὁπόσοις ἂν δοκῇ, περὶ καταλύσεως τοῦ πολέμου καὶ δικῶν ἐς Πελοπόννησον καὶ Ἀθήναζε σπονδὰς εἶναι ἰοῦσι
6 καὶ ἀπιοῦσι καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. τοὺς δὲ αὐτομόλους μὴ δέχεσθαι ἐν τούτῳ τῷ χρόνῳ, μήτε ἐλεύθερον μήτε δοῦλον, μήτε ἡμᾶς μήτε ὑμᾶς. δίκας τε διδόναι ὑμᾶς τε ἡμῖν καὶ ἡμᾶς ὑμῖν κατὰ τὰ πάτρια, τὰ ἀμφίλογα δίκῃ διαλύοντας·
7 ἄνευ πολέμου. τοῖς μὲν Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις

μέν, τῶν Ἀθηναίων. — ἐν Κυθήροις μή erg. ἐν Κ. μένοντας μή, in K. bleibend ohne. (Hl.) — τὴν ξυμμαχίαν, τὸ ξυμμαχικόν, τοὺς ξυμμάχους des andern Theils. (Hl.) — ἡμᾶς wir, und unſere Verbündeten. — αὐτούς bezieht ſich auf diejenigen Athener die durch τοὺς δέ bezeichnet werden.

§ 4. Μινῴᾳ, μένοντας. — παρὰ τοῦ N. Vielleicht παρὰ τὸ N. neben dem Tempel des N., wie παρὰ τὸ τῆς Χλοῆς Ar. Lyſ. 835. (Dobree). — εὐθύς statim Ba., gerade Hl. — μηδὲ — ταύτην hat Pp. in Parentheſe geſetzt. — μήτε. μηδέ Pp. Doch dürfte μή nöthig ſein. — τὴν νῆσον, Μινῴαν. — μηδετέρους, ἤγουν Ἀθηναίους καὶ Μεγαρέας. (Sch.) — τὰ ἐν Τρ., ἔχοντας, τοὺς Ἀθηναίους. vgl. 4, 45, 2. (Pp.) — ξυνέθεντο, οἱ Τροιζήνιοι. (Pp.)

§ 5. καὶ τῇ θ. Vor καὶ ſetzt man falſch ein Kolon, nach ξυμμαχίαν ein Punctum. (Hk.) — ὅσα ſo viele Theile deſſelben ſich befinden. Gr. 62, 1 A. 4. — κωπήρης bloß mit Rudern, nicht mit Segeln getrieben. (Ba. u. Pp.) — ἀκολούθοις, τῶν πρεσβευτῶν καὶ τῶν κηρύκων. (Sch.)

§ 6. ἐν τούτῳ τῷ χρόνῳ, τῆς ἐνιαυσίας ἐκεχειρίας δηλονότι. (Sch.)

ταῦτα δοκεῖ· εἰ δέ τι ὑμῖν εἴτε κάλλιον εἴτε δικαιότερον τούτων δοκεῖ εἶναι, ἰόντες ἐς Λακεδαίμονα διδάσκετε· οὐδενὸς γὰρ ἀποστήσονται, ὅσα ἂν δικαία λέγητε, οὔτε οἱ Λακεδαιμόνιοι οὔτε οἱ ξύμμαχοι. οἱ δὲ ἰόντες τέλος ἔχοντες ἰόντων, ᾗπερ καὶ ὑμεῖς ἡμᾶς κελεύετε. αἱ δὲ σπονδαὶ ἐνιαυτὸν ἔσονται. ἔδοξε τῷ δήμῳ. Ἀχαμαντὶς ἐπρυτάνευεν, 8 Φαινιππος ἐγραμμάτευεν, Νικιάδης ἐπεστάτει. Λάχης εἶπε, τύχῃ ἀγαθῇ τῇ Ἀθηναίων, ποιεῖσθαι τὴν ἐκεχειρίαν καθὰ ξυγχωροῦσι Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν· καὶ ὡμολόγησαν ἐν τῷ δήμῳ τὴν ἐκεχειρίαν εἶναι ἐνιαυτόν, ἄρ- 9 χειν δὲ τήνδε τὴν ἡμέραν, τετράδα ἐπὶ δέκα τοῦ Ἐλαφηβολιῶνος μηνός. ἐν τούτῳ τῷ χρόνῳ ἰόντας ὡς ἀλλήλους πρέσβεις καὶ κήρυκας ποιεῖσθαι τοὺς λόγους, καθ' ὅ τι ἔσται ἡ κατάλυσις τοῦ πολέμου. ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ τοὺς πρυτάνεις πρῶτον περὶ τῆς εἰρήνης βουλεύσασθαι Ἀθηναίους καθ' ὅ τι ἂν ἐσίῃ ἡ πρεσβεία περὶ τῆς καταλύσεως τοῦ πολέμου. σπείσασθαι δὲ αὐτίκα μάλα τὰς πρεσβείας ἐν τῷ δήμῳ τὰς παρούσας ἢ μὴν ἐμμενεῖν ἐν ταῖς σπονδαῖς τὸν ἐνιαυτόν."

Ταῦτα ξυνέθεντο Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Ἀθη 119
ναίοις καὶ τοῖς ξυμμάχοις, καὶ ὤμοσαν Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι μηνὸς ἐν Λακεδαίμονι Γερασίου δωδεκάτῃ.

---

§ 7. ἀποστήσονται die Lakedämonier werden ſich entziehen, ablehnen. (Va.) — ὅσα, τούτων ὅσα. — τέλος ἔχοντες, αὐτοκράτορες ὄντες, ὡς κύριοι εἶναι ξυμβῆναι ἄνευ τῶν πόλεων οἷς (für welche?) ἐπήρχοντο. (Sch.) vgl. Wachsmuth Hell. Alt. 1, 1 S. 325. (Pp.)

§ 8. ἔδοξε —. Böckh Corp. inscrr. 1 p. 112.

§ 9. ἄρχειν. Böckh ed. p. 29. (Arn.) — ἐν τούτῳ τῷ χρόνῳ. zu § 6. — τοὺς λόγους die erforderlichen Unterhandlungen. vgl. 5, 27, 3. — καθ' ὅ τι in welcher Art und Weiſe, ſtehende Formel in ſolchen Fällen. Schäfer z. Dem. 4 p. 178. — ἂν ἐσίῃ ἡ πρεσβεία die Geſandtſchaft zuzulaſſen ſei nach Va., Bl. u. Arn., wobei mit Pp. εἰσίοι zu leſen wäre. Erwarten würde man mit Hl.: wie die Geſandtſchaft beſtellt werden ſolle. — ἐν dürfte nach dem ſonſtigen Sprachgebrauche des Th. zu tilgen ſein. (Kr.) vgl. 4, 19, 3. 5, 18, 9. 47, 10. 2, 72, 2. 5, 56, 3. vgl. 3, 20, 2. 8, 23, 4.

C. **119.** § 1. καὶ ὡμολόγησαν, andere Hſn. καὶ ὤμοσαν, nach dem erſten Λακεδαιμόνιοι iſt nach Martins Hſ. und einer andern getilgt. — καὶ ὤμοσαν Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι ſind

ξυνετίθεντο δὲ καὶ ἐσπένδοντο Λακεδαιμονίων μὲν οἵδε, Ταῦρος Ἐχετιμίδα, Ἀθήναιος Περικλείδα, Φιλοχαρίδας Ἐρυξιδαΐδα· Κορινθίων δὲ Αἰνέας Ὠκύτου, Εὐφαμίδας
2 Ἀριστωνύμου· Σικυωνίων δὲ Λαμότιμος Ναυκράτους, Ὀνάσιμος Μεγακλέους· Μεγαρέων δὲ Νίκασος Κεκάλου, Μενεκράτης Ἀμφιδώρου· Ἐπιδαυρίων δὲ Ἀμφίας Εὐπαΐδα· Ἀθηναίων δὲ οἱ στρατηγοὶ Νικόστρατος Διειτρέφους, Νικίας Νικηράτου, Αὐτοκλῆς Τολμαίου. ἡ μὲν δὴ ἐκεχειρία αὕτη ἐγένετο, καὶ ξυνῆσαν ἐν αὐτῇ περὶ τῶν μειζόνων σπονδῶν διὰ παντὸς ἐς λόγους.

120 Περὶ δὲ τὰς ἡμέρας ταύτας αἷς ἐπήρχοντο Σκιώνη, ἐν τῇ Πελλήνῃ πόλις, ἀπέστη ἀπ' Ἀθηναίων πρὸς Βρασίδαν. φασὶ δὲ οἱ Σκιωναῖοι Πελληνῆς μὲν εἶναι ἐκ Πελοποννήσου, πλέοντας δ' ἀπὸ Τροίας σφῶν τοὺς πρώτους κατενεχθῆναι ἐς τὸ χωρίον τοῦτο τῷ χειμῶνι ᾧ ἐχρήσαντο Ἀχαιοί, καὶ αὐ-
2 τοῦ οἰκῆσαι. ἀποσιᾶσι δ' αὐτοῖς ὁ Βρασίδας διέπλευσε νυκτὸς ἐς τὴν Σκιώνην, τριήρει μὲν φιλίᾳ προπλεούσῃ, αὐτὸς δὲ ἐν κελητίῳ ἄποθεν ἐφεπόμενος, ὅπως εἰ μέν τινι τοῦ κέλητος μείζονι πλοίῳ περιτυγχάνοι, ἡ τριήρης ἀμύνοι αὐτῷ, ἀντιπάλου δὲ ἄλλης τριήρους ἐπιγενομένης οὐ πρὸς τὸ ἔλασσον νομίζων τρέψεσθαι ἀλλ' ἐπὶ τὴν ναῦν, καὶ ἐν τούτῳ

---

aus Martins Hs. hinzugefügt. — Ἐρυξιδαΐδα. Ἐριξυδαΐδα dieselbe, Ἐριξυλαΐδα Valckenär. vgl. Lobeck Parall. p. 229. — Αἰνέας. Αἰνείας möchte man wünschen. vgl. die Var. Xen. An. 4, 7, 13. Doch steht Αἰνέας Apostelgesch. 9, 33. (Pp.)

§ 2. αὖτη. Gr. 61, 7 A. 2.

C. 120. § 1. ἐπήρχοντο, εἰς ἀλλήλους ἑκάτεροι. (Sch.) Dies Ipf. auch 1, 121, 1. vgl. Elmsl. zu Eur. Her. 210. (Pp.) — σφῶν τοὺς πρώτους die ersten, ältesten von ihnen, majores Va. Denn auch die gestorbenen Vorfahren gehören der Gemeine an. — οἰκῆσαι. zu 1, 8, 1.

§ 2. ἄποθεν für ἄπωθεν einige Hss. Im Allgemeinen entscheiden sie bei Thuk. für ἄποθεν. vgl. Göttling zu Aristot. Pol. p. 311. Die Dramatiker gebrauchten des Verses wegen ἄπωθεν. Der Laut o mogte in der Aussprache schwanken. — τριήρει μὲν — ἐφεπόμενος. Gr. 59, 2 A. 3. — ἀμύνοι. ἀμύνῃ die besten Hss. — αὐτῷ. αὐτῇ oder αὐτῇ viele, mit die besten Hss; für verdächtig hält das Pronomen Pp. — νομίζων steht dem ὅπως entgegen. Gr. 59, 2 A. 3.

αὐτὸν διασώσειν. περαιωθεὶς δὲ καὶ ξύλλογον ποιήσας τῶν 3
Σκιωναίων ἔλεγεν ἃ τε ἐν τῇ Ἀκάνθῳ καὶ Τορώνῃ, καὶ
προσέτι φάσκων ἀξιωτάτους αὐτοὺς εἶναι ἐπαίνου, οἵτινες
τῆς Πελλήνης ἐν τῷ ἰσθμῷ ἀπειλημμένης ὑπὸ τῶν Ἀθηναίων
Ποτίδαιαν ἐχόντων καὶ ὄντες οὐδὲν ἄλλο ἢ νησιῶται αὐτε-
πάγγελτοι ἐχώρησαν πρὸς τὴν ἐλευθερίαν καὶ οὐκ ἀνέμειναν
ἀτολμίᾳ ἀνάγκην σφίσι προσγενέσθαι περὶ τοῦ φανερῶς οἰ-
κείου ἀγαθοῦ· σημεῖόν τ' εἶναι τοῦ καὶ ἄλλο τι ἂν αὐτοὺς 4
τῶν μεγίστων ἀνδρείως ὑπομεῖναι, εἰ τεθήσεται κατὰ νοῦν
τὰ πράγματα· πιστοτάτους τε τῇ ἀληθείᾳ ἡγήσεσθαι αὐτοὺς
Λακεδαιμονίων φίλους καὶ τἆλλα τιμήσειν. καὶ οἱ μὲν 121
Σκιωναῖοι ἐπήρθησάν τε τοῖς λόγοις καὶ θαρσήσαντες πάντες
ὁμοίως, καὶ οἷς πρότερον μὴ ἤρεσκε τὰ πρασσόμενα, τόν τε
πόλεμον διενοοῦντο προθύμως οἴσειν καὶ τὸν Βρασίδαν τά
τ' ἄλλα καλῶς ἐδέξαντο καὶ δημοσίᾳ μὲν χρυσῷ στεφάνῳ
ἀνέδησαν ὡς ἐλευθεροῦντα τὴν Ἑλλάδα, ἰδίᾳ δὲ ἐταινίουν τε
καὶ προσήρχοντο ὥσπερ ἀθλητῇ. ὁ δὲ τό τε παραυτίκα φυ- 2
λακὴν τινα αὐτοῖς ἐγκαταλιπὼν διέβη πάλιν καὶ ὕστερον οὐ
πολλῷ στρατιὰν πλείω ἐπερεπλωσεν, βουλόμενος μετ' αὐτῶν
τῆς τε Μένδης καὶ τῆς Ποτιδαίας ἀποπειρᾶσαι, ἡγούμενος
καὶ τοὺς Ἀθηναίους βοηθῆσαι ἂν ὡς ἐς νῆσον καὶ βουλό-
μενος φθάσαι· καὶ τι αὐτῷ καὶ ἐπράσσετο ἐς τὰς πόλεις
ταύτας προδοσίας πέρι.

Καὶ ὁ μὲν ἔμελλεν ἐγχειρήσειν ταῖς πόλεσι ταύταις, ἐν 122
τούτῳ δὲ τριήρει οἱ τὴν ἐκεχειρίαν περιαγγέλλοντες ἀφικνοῦν-

---

§ 3. ἃ τε. Dies τέ beziehe ich auf καὶ vor Τορώνῃ. — καὶ προσέτι φάσκων auch außerdem noch sagend. Doch vielleicht ist πάντων für φάσκων zu lesen. (Kr.) — νησιῶται. vgl. 122, 3. (Dr.) — ἀτολμίᾳ, δι' ἀτολμίαν. (Sch.) — οἰκεῖον ἀγαθὸν τὴν ἐλευθερίαν λέγει. (Sch.)

§ 4. ἂν ὑπομεῖναι, ὧν ἂν ὑπομείνειαν.

C. 121. § 1. ἐπήρθησαν, ἐπτερώθησαν. (Sch.) — καὶ οἷς auch die denen. — οἴσειν. zu 1, 27, 2. — ἐταινίουν. Herbst zu Xen. Symp. 5, 9. — προσήρχοντο besuchten ihn um ihn durch feierliche Begrüßung zu ehren. (St.) — ὥσπερ ἀθλητῇ der etwa zu Olympia siegt.

§ 2. μετ' αὐτῶν, τῶν Σκιωναίων. (Sch.) — νῆσον. Denn es empörte sie am Meisten der Abfall von Inseln. vgl. 1, 120, 3 u. 122, 3. (Dr.)

ται παρ' αὐτόν, Ἀθηναίων μὲν Ἀριστώνυμος, Λακεδαιμονίων δὲ Ἀθήναιος. καὶ ἡ μὲν στρατιὰ πάλιν διέβη ἐς Τορώνην, οἱ δὲ τῷ Βρασίδᾳ ἀνήγγελλον τὴν ξυνθήκην, καὶ ἐδέξαντο πάντες οἱ ἐπὶ Θράϊκης ξύμμαχοι Λακεδαιμονίων τὰ πεπραγμένα. Ἀριστώνυμος δὲ τοῖς μὲν ἄλλοις κατήνει, Σκιωναίους δὲ αἰσθόμενος ἐκ λογισμοῦ τῶν ἡμερῶν ὅτι
2 ὕστερον ἀφεστήκοιεν, οὐκ ἔφη ἐνσπόνδους ἔσεσθαι. Βρασίδας δὲ ἀντέλεγε πολλά, ὡς πρότερον, καὶ οὐκ ἄφιει τὴν πόλιν. ὡς δ' ἀπήγγειλε ἐς τὰς Ἀθήνας ὁ Ἀριστώνυμος περὶ αὐτῶν, οἱ Ἀθηναῖοι εὐθὺς ἑτοῖμοι ἦσαν στρατεύειν ἐπὶ τὴν Σκιώνην. οἱ δὲ Λακεδαιμόνιοι πρέσβεις πέμψαντες παραβήσεσθαι ἔφασαν αὐτοὺς τὰς σπονδάς, καὶ τῆς πόλεως ἀντεποιοῦντο, Βρασίδᾳ πιστεύοντες, δίκῃ τε ἑτοῖμοι ἦσαν
3 περὶ αὐτῆς κρίνεσθαι. οἱ δὲ δίκῃ μὲν οὐκ ἤθελον κινδυνεύειν, στρατεύειν δὲ ὡς τάχιστα, ὀργὴν ποιούμενοι εἰ καὶ οἱ ἐν ταῖς νήσοις ἤδη ὄντες ἀξιοῦσι σφῶν ἀφίστασθαι, τῇ κατὰ γῆν Λακεδαιμονίων ἰσχύϊ ἀνωφελεῖ πιστεύοντες. εἶχε δὲ καὶ ἡ ἀλήθεια περὶ τῆς ἀποστάσεως μᾶλλον ἢ οἱ Ἀθηναῖοι ἐδικαίουν· δύο γὰρ ἡμέραις ὕστερον ἀπέστησαν οἱ Σκιωναῖοι. ψήφισμά τ' εὐθὺς ἐποιήσαντο, Κλέωνος γνώμῃ πεισθέντες, Σκιωναίους ἐξελεῖν τε καὶ ἀποκτεῖναι· καὶ τἆλλα ἠσυχάζοντες ἐς τοῦτο παρεσκευάζοντο.

123 Ἐν τούτῳ δὲ Μένδη ἀφίσταται αὐτῶν, πόλις ἐν τῇ Παλλήνῃ, Ἐρετριῶν ἀποικία. καὶ αὐτοὺς ἐδέξατο ὁ Βρασίδας, οὐ νομίζων ἀδικεῖν, ὅτι ἐν τῇ ἐκεχειρίᾳ φανερῶς προσεχώρησαν· ἔστι γὰρ ἃ καὶ αὐτὸς ἐνεκάλει τοῖς Ἀθηναίοις
2 παραβαίνειν τὰς σπονδάς. διὸ καὶ οἱ Μενδαῖοι μᾶλλον ἐτόλμησαν, τήν τε τοῦ Βρασίδου γνώμην ὁρῶντες ἑτοίμην,

---

C. 122. § 1. καὶ ἡ μὲν — Τορώνην scheinen hier ungehörig. — ἀνήγγελλον. ἀπήγγελλον? — κατήνει. συνετίθετο, κατένευσε συναινῶν. (Sch.)

§ 2. ὡς πρότερον, ἀφεστήκοιεν. (Ba.)

§ 3. εἰ. Gr. 65, 5 A. 7. — ἤδη gehört zu ἀξιοῦσι. (Pö.) — ὄντες wird durch die Stellung verdächtig. — ἀνωφελεῖ, οὖσῃ τοῖς νησιώταις.

C. 123. § 1. φανερῶς, ἐκουσίως, ἄνευ προδοσίας. (Sch.) — ἔστιν ἃ παραβαίνειν τὰς σπονδάς. zu 4, 16, 3.

§ 2. ἐτόλμησαν, ἐθάρρησαν προσιέναι τῷ Βρασίδᾳ. (Sch.) cig.

τεκμαιρόμενοι καὶ ἀπὸ τῆς Σκιώνης, ὅτι οὐ προϋδίδου, καὶ ἅμα τῶν πρασσόντων σφίσιν ὀλίγων τε ὄντων καὶ ὡς τότε ἐμέλλησαν οὐκέτι ἀνέντων ἀλλὰ περὶ σφίσιν αὐτοῖς φοβουμένων τὸ κατάδηλον καὶ καταβιασαμένων παρὰ γνώμην τοὺς πολλούς. οἱ δὲ Ἀθηναῖοι εὐθὺς πυθόμενοι πολλῷ ἔτι μᾶλ- 3
λον ὀργισθέντες παρεσκευάζοντο ἐπ' ἀμφοτέρας τὰς πόλεις. καὶ Βρασίδας προσδεχόμενος τὸν ἐπίπλουν αὐτῶν ὑπεκκομίζει ἐς Ὄλυνθον τὴν Χαλκιδικὴν παῖδας καὶ γυναῖκας τῶν Σκιωναίων καὶ Μενδαίων, καὶ τῶν Πελοποννησίων αὐτοῖς 4
πεντακοσίους ὁπλίτας διέπεμψε καὶ πελταστὰς τριακοσίους Χαλκιδέων, ἄρχοντά τε τῶν ἁπάντων Πολυδαμίδαν. καὶ οἱ μὲν τὰ περὶ σφᾶς αὐτούς, ὡς ἐν τάχει παρεσομένων τῶν Ἀθηναίων, κοινῇ εὐτρεπίζοντο.

Βρασίδας δὲ καὶ Περδίκκας ἐν τούτῳ στρατεύουσιν 124
ἅμα ἐπὶ Ἀρριβαῖον τὸ δεύτερον ἐς Λύγκον. καὶ ἦγον ὁ μὲν ὢν ἐκράτει Μακεδόνων τὴν δύναμιν καὶ τῶν ἐνοικούντων Ἑλλήνων ὁπλίτας, ὁ δὲ πρὸς τοῖς αὐτοῦ περιλοίποις τῶν Πελοποννησίων Χαλκιδέας καὶ Ἀκανθίους καὶ τῶν ἄλλων κατὰ δύναμιν ἑκάστων. ξύμπαν δὲ τὸ ὁπλιτικὸν τῶν Ἑλλή- 3
νων τρισχίλιοι μάλιστα, ἱππῆς δ' οἱ πάντες ἠκολούθουν Μακεδόνων ξὺν Χαλκιδεῦσιν ὀλίγου ἐς χιλίους, καὶ ἄλλος ὅμιλος τῶν βαρβάρων πολύς. ἐσβαλόντες δὲ ἐς τὴν Ἀρριβαίου καὶ εὑρόντες ἀντεστρατοπεδευμένους αὐτοῖς τοὺς Αυ-

---

προσχωρεῖν. Gr. 55, 4 A. 11. — καὶ ἅμα —. Gr. 56, 14 A. 2. vgl. 4, 124, 4. — σφίσιν scheint aus der folgenden Zeile hier eingefälscht. — ὀλίγων τε ὄντων ist der Sache nach nur Nebenbestimmung: und zugleich weil die den Abfall betreibenden, deren wenige waren, — nicht nachließen. vgl. zu τίθεται 1, 6, 4 u. Gr. 65, 10 A. zweite Ausg. — ὡς τότε ἐμέλλησαν wie sie es damals vorgehabt, προσχωρεῖν (Pp.); τότε mit Bezug auf 121, 3. (Arn.) — ἀνέντων nachließen, es aufgaben. vgl. 1, 129, 3. (Pp.) u. 6, 86, 2. — τὸ κατάδηλον ist mir verdächtig. Denn περὶ σφίσιν αὐτοῖς φοβεῖσθαι und noch ein Ac. dabei scheint unerträglich.

C. 124. § 1. ὁ μέν, ὁ Περδίκκας. (Sch.) — αὐτοῦ dort; oder αὐτοῦ. (Pp.) — τὸ δεύτερον. vgl. 4, 83, 1. (Dd.) — περιλοίποις. Eine Anzahl nämlich war in den abgefallenen Städten zur Besatzung geblieben, fünfhundert hatte er nach Skione geschickt 4, 123, 4. (Dd.)

§ 2. ὀλίγου für ὀλίγῳ Priscianus. Gewöhnlich ergänzt man δεῖν, das doch bei πολλοῦ und ä. positiven Begriffen nie fehlt. Arn. faßt es adverbial, wie νυκτός ἐλθών. vgl. 8, 35, 3.

3 γκηστὰς ἀντεκαθέζοντο καὶ αὐτοί. καὶ ἐχόντων τῶν μὲν πεζῶν λόφον ἑκατέρωθεν, πεδίου δὲ τοῦ μέσου ὄντος, οἱ ἱππῆς ἐς αὐτὸ καταδραμόντες ἱππομάχησαν πρῶτα ἀμφοτέρων, ἔπειτα δὲ καὶ ὁ Βρασίδας καὶ ὁ Περδίκκας, προελθόντων πρότερον ἀπὸ τοῦ λόφου μετὰ τῶν ἱππέων τῶν Λυγκηστῶν ὁπλιτῶν καὶ ἑτοίμων ὄντων μάχεσθαι, ἀντεπαγαγόντες καὶ αὐτοὶ ξυνέβαλον καὶ ἔτρεψαν τοὺς Λυγκηστάς, καὶ πολλοὺς μὲν διέφθειραν, οἱ δὲ λοιποὶ διαφεύγοντες πρὸς τὰ μετέωρα
4 ἡσύχαζον. μετὰ δὲ τοῦτο τροπαῖον στήσαντες δύο μὲν ἢ τρεῖς ἡμέρας ἐπέσχον, τοὺς Ἰλλυριοὺς μένοντες, οἳ ἔτυχον τῷ Περδίκκᾳ μισθοῦ μέλλοντες ἥξειν· ἔπειτα ὁ Περδίκκας ἐβούλετο προϊέναι ἐπὶ τὰς τοῦ Ἀρριβαίου κώμας καὶ μὴ καθῆσθαι, Βρασίδας δὲ τῆς τε Μένδης περιορώμενος, μὴ τῶν Ἀθηναίων πρότερον ἐπιπλευσάντων τι πάθῃ, καὶ ἅμα τῶν Ἰλλυριῶν οὐ παρόντων, οὐ πρόθυμος ἦν, ἀλλὰ ἀναχω-
125 ρεῖν μᾶλλον. καὶ ἐν τούτῳ διαφερομένων αὐτῶν ἠγγέλθη ὅτι καὶ οἱ Ἰλλυριοὶ μετ' Ἀρριβαίου, προδόντες Περδίκκαν, γεγένηται· ὥστε ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν διὰ τὸ δέος αὐτῶν, ὄντων ἀνθρώπων μαχίμων, κυρωθὲν δὲ οὐδὲν ἐκ τῆς διαφορᾶς ὁπηνίκα χρὴ ὁρμᾶσθαι, νυκτός τε ἐπι-

---

§ 3. τῶν πεζῶν beider feindlichen Heere. (Dobree.) — τοῦ μέσου. Dem. 55, 10: τοῦ χωρίου τοῦ τ' ἐμοῦ καὶ τοῦ τούτων τὸ μέσον ὁδός ἐστιν. Xen. Hell. 6, 4, 10: πεδίον τοῦ μεταξὺ ὄντος. — ἀμφοτέρων hängt von οἱ ἱππῆς ab. (Dd.) zu 1, 33, 1. — τοῦ, τοῦ οἰκείου. (Sch.) Gr. 50, 2 A. 3.

§ 4. ἐπέσχον, αὐτοὺς δηλονότι κατὰ τὸν πόλεμον. (Sch.) — μισθοῦ. Gr 47, 17 A. 3. Aeſch 3, 242: γράψας μισθοῦ ψήφισμα οὐκ ἀπολογήσῃ. Dem. 19, 111: χρημάτων ἅπαντ' εἶπεν ἐκεῖνα. — ἔτυχον μέλλοντες ἥξειν wie ἐτύγχανε μέλλων πορεύεσθαι 4, 132, 2. (Abr.) — καθῆσθαι, ἀργὸς εἶναι. (Sch.) vgl. 2, 101, 2. 5, 7, 1. — πρότερον ἐπιπλευσάντων wenn ſie früher als er hinkäme mit einem Geſchwader hingekommen wären. (Pp.) — πρόθυμος ἦν, προιέναι δηλονότι. (Sch.)

C. 125. § 1. καὶ vor οἱ Ἰ., in einigen Hſn. ausgelaſſen, ſteht im Gegenſatze zu den anderweitigen Veranlaſſungen des Rückzuges. (Arn.) — μετ' Ἀ. Iſä. 9, 36: ἅπαντες, ὦ ἄνδρες μετ' ἐμοῦ γένεσθε. Xen. Hell. 4, 8, 16: τὸ ἄνευ βασιλέως μετὰ Λακεδαιμονίων γενέσθαι οὐκ ἀσφαλὲς αὐτῷ ἡγεῖτο εἶναι. vgl. 4, 18, 2 u. Gr. 68, 26 A. zweite Ausg. — δοκοῦν. Gr. 56, 9 A. 5 — αὐτῶν, τῶν Ἰλλυρίων. (Sch.) — ἐκ τῆς διαφορᾶς wegen der Zwiſtigkeit. (Sch.) — ὁπηνί-

γενομένης οἱ μὲν Μακεδόνες καὶ τὸ πλῆθος τῶν βαρβάρων εὐθὺς φοβηθέντες, ὅπερ φιλεῖ μεγάλα στρατόπεδα, ἀσαφῶς ἐκπλήγνυσθαι, καὶ νομίσαντες πολλαπλασίους μὲν ἢ ἦλθον ἐπιέναι, ὅσον δὲ οὔπω παρεῖναι, καταστάντες ἐς αἰφνίδιον φυγὴν ἐχώρουν ἐπ' οἶκου, καὶ τὸν Περδίκκαν τὸ πρῶτον οὐκ 2
αἰσθανόμενον, ὡς ἔγνω, ἠνάγκασαν πρὶν τὸν Βρασίδαν ἰδεῖν, ἄποθεν γὰρ πολὺ ἀλλήλων ἐστρατοπεδεύοντο, προαπελθεῖν. Βρασίδας δὲ ἅμα τῇ ἕῳ ὡς εἶδε τοὺς Μακεδόνας προεχωρηκότας τούς τε Ἰλλυριοὺς καὶ τὸν Ἀρριβαῖον μέλλοντας ἐπιέναι, ξυναγαγὼν καὶ αὐτὸς ἐς τετράγωνον τάξιν τοὺς ὁπλίτας καὶ τὸν ψιλὸν ὅμιλον ἐς μέσον λαβὼν διενοεῖτο ἀναχωρεῖν. ἐκδρόμους δέ, εἴ πῃ προσβάλλοιεν αὐτοῖς, ἔταξε 3
τοὺς νεωτάτους, καὶ αὐτὸς λογάδας ἔχων τριακοσίους τελευταῖος γνώμην εἶχεν ὑποχωρῶν τοῖς τῶν ἐναντίων πρώτοις προσκεισομένοις ἀνθιστάμενος ἀμύνεσθαι. καὶ πρὶν τοὺς πολεμίους ἐγγὺς εἶναι, ὡς διὰ ταχέων παρεκελεύσατο τοῖς στρατιώταις τοιάδε.

"Εἰ μὲν μὴ ὑπώπτευον, ἄνδρες Πελοποννήσιοι, ὑμᾶς 126
τῷ τε μεμονῶσθαι καὶ ὅτι βάρβαροι οἱ ἐπιόντες καὶ πολλοὶ ἔκπληξιν ἔχειν, οὐκ ἂν ὁμοίως διδαχὴν ἅμα τῇ παρακελεύσει ἐποιούμην· νῦν δὲ πρὸς μὲν τὴν ἀπόλειψιν τῶν ἡμετέρων

ἐκπλήγνυσθαι was große Heere pflegen, nämlich aus unbemerkbaren Gründen in Schrecken zu gerathen. Bei φιλεῖ schwebt ein allgemeiner Begriff wie ποιεῖν vor; der Inf. steht exeregetisch. Kr. zum Dion. p. 291 s. vgl Gr. 62, 3 A. 5 u. 57, 10 A. 7. „Nehmlich 6, 33, 6. 7, 80, 2." (Pp.) — ἀσαφῶς, ἀδήλως, ἄνευ αἰτίας, σφαλερῶς. (Sch.) — ὅσον οὔπω. Gr. 67, 14 A. 4. — αἰφνίδιος ist zweier Endungen. vgl. 4, 130, 3. 5, 65, 5.

§ 2. ἠνάγκασαν durch ihre Flucht. (Dö.) — τὸν Β. ἰδεῖν, διαλεχθῆναι τῷ Βρασίδᾳ· οὕτω γὰρ οἱ Ἀττικοὶ λέγουσιν. (Sch.) vgl. Kr. zu Xen. An. 2, 4, 15. — καὶ αὐτός gehört zu διενοεῖτο ἀναχωρεῖν. (Pö. u. Pp.)

§ 3. ἐκδρόμους. ἤγουν ἔταξε τοὺς νεωτάτους ἐκτρέχειν καὶ ἐπιέναι τοῖς μετὰ Ἀρριβαίου, εἰ ἐπιχειροῖεν τοῖς μετὰ Βρασίδου. (Sch.) Das seltene Wort hat auch Xen. Hell. 4, 5, 16. (Bl.) vgl. unten 4, 127, 1. — τελευταῖος, τῆς συντάξεως. (Sch.) als der letzte. zu 4, 38, 2.

C. 126. § 1. μεμονῶσθαι, τῆς συμμαχίας τοῦ Περδίκκου. (Sch.) — ὅτι erg. εἰσί. Gr. 62, 1 A. 4. — πρός mit Rücksicht auf. (Bl.) Gr. 68, 39 A. 5. — μέν. Dem entspricht βαρβάρους δέ § 3. (Arn.) — ἀπόλειψις ist selten. (Bl.) — τῶν ἡμετέρων unserer Bundesgenossen.

καὶ τὸ πλῆθος τῶν ἐναντίων βραχεῖ ὑπομνήματι καὶ παραι-
2 νέσει τὰ μέγιστα πειράσομαι πείθειν. ἀγαθοῖς γὰρ εἶναι
ὑμῖν προσήκει τὰ πολέμια οὐ διὰ ξυμμάχων παρουσίαν ἑκά-
στοτε ἀλλὰ δι' οἰκείαν ἀρετὴν καὶ μηδὲν πλῆθος πεφοβῆσθαι
ἑτέρων, οἵ γε μηδὲ ἀπὸ πολιτειῶν τοιούτων ἥκετε· ἐν αἷς οὐ
πολλοὶ ὀλίγων ἄρχουσιν, ἀλλὰ πλειόνων μᾶλλον ἐλάσσους,
οὐκ ἄλλῳ τινὶ κτησάμενοι τὴν δυναστείαν ἢ τῷ μαχόμενοι
3 κρατεῖν. βαρβάρους δὲ οὓς νῦν ἀπειρίᾳ δέδιτε, μαθεῖν
χρή, ἐξ ὧν τε προηγώνισθε τοῖς Μακεδόσιν αὐτῶν καὶ
ἀφ' ὧν ἐγὼ εἰκάζω τε καὶ ἄλλων ἀκοῇ ἐπίσταμαι, οὐ δει-
νοὺς ἐσομένους. καὶ γὰρ ὅσα μὲν τῷ ὄντι ἀσθενῆ ὄντα τῶν
πολεμίων δόκησιν ἔχει ἰσχύος, διδαχῇ ἀληθὴς προσγενομένη
περὶ αὐτῶν ἐθάρσυνε μᾶλλον τοὺς ἀμυνομένους· οἷς δὲ βε-
βαίως τι πρόσεστιν ἀγαθόν, μὴ προειδώς τις ἂν αὐτοῖς τολ-
4 μηρότερον προσφέροιτο. οὗτοι δὲ τὴν μέλλησιν μὲν ἔχουσι
τοῖς ἀπείροις φοβεράν· καὶ γὰρ πλήθει ὄψεως δεινοὶ καὶ

---

§ 2. ἑκάστοτε gehört zu παρουσίαν: nicht wegen jedesmaliger Anweſenheit von Verbündeten. (Hl.) Gr. 50, 8 A. 19. — μηδέ. Gr. 67, 4 A. 3. Dobree will es tilgen. — τοιούτων in denen die Maſſe gilt. — ἐν αἷς bezieht ſich auf den im Vorigen nur gedachten Begriff αἱ ὑμέτεραι πολιτεῖαι. Mir unklar Reiſig z. Soph. Oed. K. 350 p. 239. — ἐλάσσους und daher auch bei geringerer Zahl die Ueberlegenen nicht zu ſcheuen verpflichtet. (Dr.)

§ 3. βαρβάρους. τοὺς β. würde man erwarten. Allein man erkläre nach Gr. 51, 10 A. 13. — ἐξ ὧν προηγώνισθε aus den Kämpfen die ihr vorher beſtanden habt. (Hl.) — τοῖς Μακεδόσιν αὐτῶν mit den M. aus ihrer Mitte; gegen die M., welche zu ihnen, den Barbaren, gehören. Denn die 4, 124, 3 beſiegten Lynkeſter waren Makedoner nach 2, 99, 1 (Hl.); αὐτῶν wie 5, 15, 1. (Pp.) 5, 72, 2: τρέπει αὐτῶν τοὺς Σκιρίτας. vgl. zu 4, 61, 2 u. 132, 3. — ὅσα — αὐτῶν. Man würde keinen Anſtoß nehmen wenn ſtatt περὶ αὐτῶν nach προσγενομένη vor διδαχῇ ein περὶ τούτων ſtände. (Dr.) Gr. 51, 5 A. 1. Eben ſo im Folgenden αὐτοῖς. — τῶν πολεμίων hängt von ὅσα ab: Alles was an den Feinden. — ἐθάρσυνε iſt Aoriſt. Gr. 53, 10 A. 2. — ἀμυνομένους. ἀμυνουμένους Kr. — οἷς δέ, ὥσπερ ἡμῖν. (Sch.) Dieſe Beziehung iſt hier wohl nicht zu ſuchen, ſondern eine ganz allgemeine: Nur bei wirklich tüchtigen Feinden frommt Nichtbelehrung, ὥστε τολμηρότερον προσφέρεσθαι.

§ 4. τὴν μὲν μέλλησιν im Gegenſatze zu προσμῖξαι δέ: das Bevorſtehen des Angriffes, ihre Erſcheinung vor demſelben. (Sch.) — ἔχουσι, zu 1, 9, 1. — πλήθει ὄψεως durch das Maſſenhafte

βοῆς μεγέθει ἀφόρητοι, ἥ τε διὰ κενῆς ἐπανάσεισις τῶν ὅπλων ἔχει τινὰ δήλωσιν ἀπειλῆς. προσμῖξαι δὲ τοῖς ὑπομένουσιν αὐτὰ οὐχ ὁμοῖοι· οὔτε γὰρ τάξιν ἔχοντες αἰσχυνθεῖεν ἂν λιπεῖν τινὰ χώραν βιαζόμενοι, ἥ τε φυγὴ καὶ ἡ ἔφοδος αὐτῶν ἴσην ἔχουσα δόξαν τοῦ καλοῦ ἀνεξέλεγκτον καὶ τὸ ἀνδρεῖον ἔχει. αὐτοκράτωρ δὲ μάχη μάλιστ' ἂν καὶ 5
πρόφασιν τοῦ σώζεσθαί τινι πρεπόντως πορίσειεν. τοῦ τε ἐς χεῖρας ἐλθεῖν πιστότερον τὸ ἐκφοβήσειν ὑμᾶς ἀκινδύνως ἡγοῦνται· ἐκείνῳ γὰρ ἂν πρὸ τούτου ἐχρῶντο. σαφῶς τε πᾶν τὸ προϋπάρχον δεινὸν ἀπ' αὐτῶν ὁρᾶτε ἔργῳ μὲν βραχὺ ὄν, ὄψει δὲ καὶ ἀκοῇ κατασπέρχον. ὃ ὑπομείναντες ἐπιφε- 6
ρόμενον καὶ ὅταν καιρὸς ᾖ, κόσμῳ καὶ τάξει αὖθις ὑπαγαγόντες ἐς τε τὸ ἀσφαλὲς θᾶσσον ἀφίξεσθε, καὶ γνώσεσθε τὸ λοιπὸν ὅτι οἱ τοιοῦτοι ὄχλοι τοῖς μὲν τὴν πρώτην ἔφοδον δεξαμένοις ἄποθεν ἀπειλαῖς τὸ ἀνδρεῖον μελλήσει ἐπικομ-

---

des Anblickes, der Erſcheinung, amplitudo spectaculi quod conferta acies hostibus praebebat. Lobeck zu Soph. Aj. 196. τῷ ἀηθεῖ vermuthete Bl. vgl. Arr. An. 1, 9, 4 (7)? — ἡ διὰ κενῆς nichtig. (Ba.) Eur. Tro. 753: διὰ κενῆς ἄρα ἐν σπαργάνοις σε μαστὸς ἐξέθρεψ' ὄδε. vgl. Ar. We. 929 u. Pol. 3, 70, 10. — οὔτε. Die Negation gehört ſowohl zum Particip als zum Verbum finitum. zu 1, 12, 1. — ἥ τε — καλοῦ, ὁμοίως καὶ τὸ φυγεῖν καὶ τὸ διώκειν καλὸν φαίνεται τοῖς βαρβάροις. (Sch.) — τάξιν eine geordnete Stellung. — ἀνεξέλεγκτον ἔχει läßt die Mannhaftigkeit nicht ermitteln; läßt ungewiß ob ſie ſich bewieſen habe oder nicht: οὐκ ἐξετάζεται πότεροί εἰσιν ἀνδρειότεροι, οἱ φεύγοντες ἢ οἱ διώκοντες. (Sch.)

§ 5. αὐτοκράτωρ, αὐτεξούσιος, ἐν ᾗ ἔξεστιν ὃ βούλεται πράττειν. (Sch.) wo jeder auf eigene Hand kämpft. — πρεπόντως mit Ehren, ohne Schande, wenn er etwa flieht. Pp. nimmt dieſen Satz als Parentheſe durch Kola geſchieden. — τὸ ἐκφοβήσειν das Vorhaben zu erſchrecken. vgl. Xen. An. 2, 4, 19: οὐκ ἀκόλουθά ἐστι τό τε ἐπιθήσεσθαι καὶ λύσειν τὴν γέφυραν. — ἐκείνῳ, τῷ ἐς χεῖρας ἐλθεῖν. (Sch.) — γάρ denn ſonſt. (Hl.) Gr. 54, 12 A. 9. — τὸ προϋπάρχον δεινὸν ἀπ' αὐτῶν die von ihnen vorausgegangenen Schreckniſſe, das womit ſie uns vor dem Kampfe geſchreckt haben. (Pſ.) — κατασπέρχον, κινοῦν εἰς δειλίαν, ἐκπλῆττον. (Sch.) Ar. Ach. 1188: λῃστὰς ἐλαύνων καὶ κατασπέρχων δορί. vgl. zu 4, 12, 1.

§ 6. ὑπάγειν ſich langſam zurückziehen, wie 4, 127, 1. 5, 10, 3 u. Ar. Wolken 1298. ὑπαγωγή 3, 97, 3. (Dr.) — ἀπειλαῖς — ἐπικομποῦσιν mit ihrer Tapferkeit durch Drohungen unter Zögerung (d. h. während ſie zögern) prahlen Pp. Allein

ποῦσιν, οἱ δ' ἂν ἐξωσιν αὐτοῖς, κατὰ πόδας τὸ εὔψυχον, ἐν τῷ ἀσφαλεῖ ὀξεῖς, ἐνδείκνυνται."

127 Τοιαῦτα ὁ Βρασίδας παραινέσας ὑπῆγε τὸ στράτευμα. οἱ δὲ βάρβαροι ἰδόντες πολλῇ βοῇ καὶ θορύβῳ προσέκειντο, νομίσαντες φεύγειν τε αὐτὸν καὶ καταλαβόντες διαφθείρειν. καὶ ὡς αὐτοῖς αἵ τε ἐκδρομαὶ ὅπῃ προσπίπτοιεν ἀπήντων καὶ αὐτὸς ἔχων τοὺς λογάδας ἐπικειμένους ὑφίστατο, τῇ τε πρώτῃ ὁρμῇ παρὰ γνώμην ἀντέστησαν καὶ τὸ λοιπὸν ἐπιφερομένους μὲν δεχόμενοι ἠμύνοντο, ἡσυχαζόντων δὲ αὐτοὶ
2 ὑπεχώρουν, τότε δὴ τῶν μετὰ τοῦ Βρασίδου Ἑλλήνων ἐν τῇ εὐρυχωρίᾳ οἱ πολλοὶ τῶν βαρβάρων ἀπέσχοντο, μέρος δέ τι καταλιπόντες αὐτοῖς ἐπακολουθοῦν προσβάλλειν οἱ λοιποὶ χωρήσαντες δρόμῳ ἐπί τε τοὺς φεύγοντας τῶν Μακεδόνων οἷς ἐντύχοιεν ἔκτεινον, καὶ τὴν ἐσβολήν, ᾗ ἐστι μεταξὺ δυοῖν λόφοιν στενὴ ἐς τὴν Ἀρριβαίου, φθάσαντες προκατέλαβον, εἰδότες οὐκ οὖσαν ἄλλην τῷ Βρασίδᾳ ἀναχώρησιν. καὶ προσιόντος αὐτοῦ ἐς αὐτὸ ἤδη τὸ ἄπορον τῆς ὁδοῦ κυκλοῦνται
128 ὡς ἀπολησόμενοι. ὁ δὲ γνοὺς προεῖπε τοῖς μεθ' αὐτοῦ τριακοσίοις, ὃν ᾤετο μᾶλλον ἂν ἐλεῖν τῶν λόφων, χωρήσαντας πρὸς αὐτὸν δρόμῳ, ὡς τάχιστα ἕκαστος δύναται, ἄνευ τάξεως, πειρᾶσαι ἀπ' αὐτοῦ ἐκκροῦσαι τοὺς ἤδη ἐπιόντας

μελλήσει ist wohl hier wie § 4 zu faſſen: vor dem Treffen. (Pš.) προσδοκίᾳ. (Sch.) — οἳ δ' ἄν gegen die aber welche. Gr. 51, 13 A. 12. — κατὰ πόδας verbindet Dr. richtig mit dem Folgenden: dann auf dem Fuße nach zeigen ſie raſch und hitzig, da ſie in Sicherheit ſind, ihren Muth. (Bb.) vgl. 8, 17, 3.

C. 127. § 1. διαφθείρειν. διαφθερεῖν mögte man erwarten. (Kr.) vgl. jedoch zu 3, 95, 1. — αἱ ἐκδρομαί, οἱ τεταγμένοι ὅπλων ὁπότε πρὸς τὸ ἐκτρέχειν. (Sch.) Er hat alſo οἱ ἐκδρομοι geleſen. Man erkläre: die Ausfälle d. h. die Angriffe der Ausfallenden. Oefter gebraucht das Wort Arrian. — ἐπικειμένους, τοὺς πολεμίους. vgl. Gr. 46, 6 A. 8. — ἐπιφερομένους, τοὺς βαρβάρους. (Sch.) — παρὰ γνώμην, παρ' ἐλπίδα τὴν τῶν Λυγκηστῶν ἀντέστησαν οἱ Λακεδαιμόνιοι. (Sch.)

§ 2. προσβάλλειν um anzugreifen, an καταλιπόντες anzuſchließen. Gr. 55, 3 A. 20. — ἐπί τε τοὺς φ. würde man vor χωρήσαντες erwarten. (Ba.) — τὸ ἄπορον τῆς ὁδοῦ, καθ' ἣν οὐκ ἦν πόρος ἐξελθεῖν. (Sch.) — κυκλοῦνται umringen ihn, circumsistunt Pš.

C. 128. § 1. αὐτόν ſteht zu ὅν in Beziehung. zu 126, 3. — τοὺς ἤδη ἐπιόντας die auch ſchon auf den Hügel zurückkehren,

βαρβάρους, πρὶν καὶ τὴν πλείονα κύκλωσιν σφῶν αὐτόσε προσμῖξαι. καὶ οἱ μὲν προσπεσόντες ἐκράτησάν τε τῶν ἐπὶ τοῦ λόφου καὶ ἤ πλείων ἤδη στρατιὰ τῶν Ἑλλήνων ῥᾷον πρὸς αὐτὸν ἐπορεύοντο· οἱ γὰρ βάρβαροι καὶ ἐφοβήϑησαν 2 τῆς τροπῆς αὐτοῖς ἐνταῦϑα γενομένης σφῶν ἀπὸ τοῦ μετεώρου, καὶ ἐς τὸ πλεῖον οὐκέτ' ἐπηκολούϑουν, νομίζοντες καὶ ἐν μεϑορίοις εἶναι αὐτοὺς ἤδη καὶ διαπεφευγέναι. Βρασίδας δὲ ὡς ἀντελάβετο τῶν μετεώρων, κατὰ ἀσφάλειαν μᾶλλον ἰὼν αὐϑημερὸν ἀφικνεῖται ἐς Ἄρνισσαν πρῶτον τῆς Περδίκκου ἀρχῆς. καὶ αὐτοὶ ὀργιζόμενοι οἱ στρατιῶται τῇ προ- 3 αναχωρήσει τῶν Μακεδόνων, ὅσοις ἐνέτυχον κατὰ τὴν ὁδὸν ζεύγεσιν αὐτῶν βοεικοῖς ἢ εἴ τινι σκεύει ἐκπεπτωκότι, οἷα ἐν νυκτερινῇ καὶ φοβερᾷ ἀναχωρήσει εἰκὸς ἦν ξυμβῆναι, τὰ μὲν ὑπολύοντες κατέκοπτον, τῶν δὲ οἰκείοσιν ἐποιοῦντο. ἀπὸ τούτου τε πρῶτον Περδίκκας Βρασίδαν τε πολέμιον ἐνό- 4 μισε καὶ ἐς τὸ λοιπὸν Πελοποννησίων τῇ μὲν γνώμῃ δι' Ἀϑηναίους οὐ ξύνηϑες μῖσος εἶχεν, τῶν δὲ ἀναγκαίων ξυμφόρων διαναστὰς ἔπρασσεν ὅτῳ τρόπῳ τάχιστα τοῖς μὲν ξυμβήσεται τῶν δὲ ἀπαλλάξεται.

Βρασίδας δὲ ἀναχωρήσας ἐκ Μακεδονίας ἐς Τορώνην 129 καταλαμβάνει Ἀϑηναίους Μένδην ἤδη ἔχοντας, καὶ αὐτοῦ

---

um ihn zu beſetzen; ἐπόντας Py., wie Hl. überſetzt hat. — τὴν κύκλωσιν σφῶν die zu ihrer, der Lakedämonier, Umzingelung beſtimmten Truppen der Barbaren. (Sch. u. Pſ.) πλείονα mit Bezug auf das Anfangen des κυκλοῦσθαι 127, 2.

§ 2. αὐτοῖς und σφῶν beide auf die Barbaren zu beziehen. (Kr.) Jenes bezeichnet das Intereſſe. (Hk.) — ἐς τὸ πλεῖον weiter. (Ba.) zu 1, 114, 2. — ἐν μεϑορίοις, τοῦ τόπου τοῦ Περδίκκου. (Sch.) — ἀντελάβετο erreicht hatte. (Ba.) — πρῶτον. Der Gegenſatz 129, 1. — τῆς Π. ἀρχῆς. Gr. 47, 5 A. 5.

§ 3. αὐτοί von ſelbſt, ohne Braſidas Geheiß. (Hk.) — τὰ μέν, τὰ ζεύγη δηλονότι. (Sch.) — ὑπολύοντες. ὑπολύω τὸν βοῦν ἤγουν ὑπὸ τὸν ζυγὸν ὄντα δεδεμένον λύω. Thom. M. p. 875.

§ 4. Πελοποννησίων — εἶχε er hegte gegen die P. einen der Geſinnung nach ihm wegen ſeiner Feindſchaft gegen die Athener nicht gewohnten, nicht natürlichen Haß. — τῶν ἀναγκαίων ξυμφόρων von ſeinen dringenden Intereſſen, die Athener als gefährliche Nachbaren zu befeinden. — διαναστάς abgewichen von, aufgebend. (Kiſt.) — τοῖς μέν, τοῖς Ἀθηναίοις. (Sch.)

ἠσυχάζων ἐς μὲν τὴν Παλλήνην ἀδύνατος ἤδη ἐνόμιζεν εἶναι
2 διαβὰς τιμωρεῖν, τὴν δὲ Τορώνην ἐν φυλακῇ εἶχεν. ὑπὸ γὰρ
τὸν αὐτὸν χρόνον τοῖς ἐν τῇ Λύγκῳ ἐξέπλευσαν ἐπί τε τὴν
Μένδην καὶ τὴν Σκιώνην οἱ Ἀθηναῖοι, ὥσπερ παρεσκευά-
ζοντο, ναυσὶ μὲν πεντήκοντα, ὧν ἦσαν δέκα Χῖαι, ὁπλίταις
δὲ χιλίοις ἑαυτῶν καὶ τοξόταις ἑξακοσίοις καὶ Θρᾳξὶ μι-
σθωτοῖς χιλίοις καὶ ἄλλοις τῶν αὐτόθεν ξυμμάχων πελτα-
3 σταῖς· ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου καὶ Νικόστρατος
ὁ Διιτρέφους. ἄραντες δὲ ἐκ Ποτιδαίας ταῖς ναυσὶ καὶ
σχόντες κατὰ τὸ Ποσειδώνιον ἐχώρουν ἐς τοὺς Μενδαίους.
οἱ δ' αὐτοί τε καὶ Σκιωναίων τριακόσιοι βεβοηθηκότες Πε-
λοποννησίων τε οἱ ἐπίκουροι, ξύμπαντες δὲ ἑπτακόσιοι ὁπλῖ-
ται, καὶ Πολυδαμίδας ὁ ἄρχων αὐτῶν, ἔτυχον ἐξεστρατοπε-
4 δευμένοι ἔξω τῆς πόλεως ἐπὶ λόφου καρτεροῦ. καὶ αὐτοῖς
Νικίας μὲν Μεθωναίους τε ἔχων εἴκοσι καὶ ἑκατὸν ψιλοὺς
καὶ λογάδας τῶν Ἀθηναίων ὁπλιτῶν ἑξήκοντα καὶ τοὺς το-
ξότας ἅπαντας κατὰ ἀτραπόν τινα τοῦ λόφου πειρώμενος
προσβῆναι καὶ τραυματιζόμενος ὑπ' αὐτῶν οὐκ ἠδυνήθη βιά-
5 σασθαι· Νικόστρατος δὲ ἄλλῃ ἐφόδῳ ἐκ πλείονος παντὶ τῷ
ἄλλῳ στρατοπέδῳ ἐπιὼν τῷ λόφῳ ὄντι δυσπροσβάτῳ καὶ
πάνυ ἐθορυβήθη, καὶ ἐς ὀλίγον ἀφίκετο πᾶν τὸ στράτευμα
τῶν Ἀθηναίων νικηθῆναι. καὶ ταύτῃ μὲν τῇ ἡμέρᾳ, ὡς
οὐκ ἐνέδοσαν οἱ Μενδαῖοι καὶ οἱ ξύμμαχοι, οἱ Ἀθηναῖοι
ἀναχωρήσαντες ἐστρατοπεδεύσαντο καὶ οἱ Μενδαῖοι νυκτὸς
ἐπελθούσης ἐς τὴν πόλιν ἀπῆλθον.

C. 129. § 2. τοῖς. zu 4, 101, 4; über die Sache 4, 124. — ὥσπερ παρεσκευάζοντο 4, 122, 3. (Pp.) vgl. zu 2, 23, 1. 4, 2, 1. 24, 1. — δέκα. αἱ δέκα? zu 1, 116, 1. — αὐτόθεν. zu 3, 7, 3.

§ 3. οἱ δ' αὐτοί, ἦγουν αὐτοὶ δὲ οἱ Μενδαῖοι. (Sch.) — ἐξεστρατοπεδευμένοι. Ein seltenes Wort, noch bei Xen. Cyr. 6, 3, 1. (Bl.)

§ 4. τραυματιζόμενος, βαλλόμενος ὑπ' αὐτῶν. ἔνιοι δὲ ἀναγέρουσιν ἐπὶ τοὺς σὺν αὐτῷ. (Sch.)

§ 5. ἄλλῃ ἐφόδῳ ἐκ πλείονος, ἄλλῃ μακροτέρᾳ ὁδῷ. (Sch.) vgl. zu 2, 91, 3. — καὶ πάνυ. Gr. 69, 32 A. 18. — ἐθορυβήθη ward in Unordnung gebracht. (Hl.) — ἐς ὀλίγον ἀφίκετο, ὀλίγου ἐδέησεν. (F. Pp.) Ein mir sonstwoher nicht erinnerlicher Ausdruck.

Τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι περιπλεύσαντες ἐς τὸ 130
πρὸς Σκιώνης τό τε προάστειον εἷλον καὶ τὴν ἡμέραν ἅπασαν
ἐδῄουν τὴν γῆν, οὐδενὸς ἐπεξιόντος, ἦν γάρ τι καὶ στασι-
ασμοῦ ἐν τῇ πόλει, οἱ δὲ τριακόσιοι τῶν Σκιωναίων τῆς
ἐπιούσης νυκτὸς ἀπεχώρησαν ἐπ' οἶκου. καὶ τῇ ἐπιγιγνομένῃ 2
ἡμέρᾳ Νικίας μὲν τῷ ἡμίσει τοῦ στρατοῦ προϊὼν ἅμα ἐς τὰ
μεθόρια τῶν Σκιωναίων τὴν γῆν ἐδῄου, Νικόστρατος δὲ τοῖς
λοιποῖς κατὰ τὰς ἄνω πύλας, ᾗ ἐπὶ Ποτιδαίας ἔρχονται,
προσεκάθητο τῇ πόλει. ὁ δὲ Πολυδαμίδας, ἔτυχε γὰρ ταύτῃ
τοῖς Μενδαίοις καὶ ἐπικούροις ἐντὸς τοῦ τείχους τὰ ὅπλα
κείμενα, διατάσσει τε ὡς ἐς μάχην καὶ παρήνει τοῖς Μεν-
δαίοις ἐπεξιέναι. καί τινος αὐτῷ τῶν ἀπὸ τοῦ δήμου ἀντει- 3
πόντος κατὰ τὸ στασιωτικὸν ὅτι οὐκ ἐπέξεισιν οὐδὲ δέοιτο
πολεμεῖν καὶ ὡς ἀντεῖπεν ἐπισπασθέντος τῇ χειρὶ ὑπ' αὐ-
τοῦ καὶ θορυβηθέντος ὁ δῆμος εὐθὺς ἀναλαβὼν τὰ ὅπλα
περιοργὴς ἐχώρει ἔπί τε Πελοποννησίους καὶ τοὺς τὰ
ἐναντία σφίσι μετ' αὐτῶν πράξαντας. καὶ προσπεσόντες τρέ-
πουσιν ἅμα μὲν μάχῃ αἰφνιδίῳ, ἅμα δὲ τοῖς Ἀθηναίοις
τῶν πυλῶν ἀνοιγομένων φοβηθέντων· ᾠήθησαν γὰρ ἀπὸ
προειρημένου τινὸς αὐτοῖς τὴν ἐπιχείρησιν γενέσθαι. καὶ οἱ 4
μὲν ἐς τὴν ἀκρόπολιν, ὅσοι μὴ αὐτίκα διεφθάρησαν, κατέ-
φυγον, ἥνπερ καὶ τὸ πρότερον αὐτοὶ εἶχον· οἱ δὲ Ἀθηναῖοι,

C. 130. § 1. *πρός.* zu 1, 62, 1. — *στασιασμός* hat auch Ariſtot. (Pp.)

§ 2. *ἅμα* zugleich mit dem Vorrücken verheerte er. (Kr.) — *ἔρχονται.* Gr. 61, 4 A. 7. — *κείμενα, τεθειμένα.* (Pp.) vgl. zu 2, 2, 4.

§ 3. *τινὸς τῶν ἀπὸ τοῦ δήμου, ἡγουν δημότου.* (Sch.) — *κατὰ τὸ στασιωτικόν, κατὰ τὸ στασιάζειν* (Sch.) gemäß dem innern Zerwürfniſſe. Ein andres Sch.: *κατὰ τὸ ἔθος τῶν στασιαζόντων. ἀντιλέγειν δηλονότι.* Dieſelbe Form 8, 92, 4. (Pp.) — *δέοιτο. δέοι* Pp., *δέοιντο* Kr. So *οὐ, οὐδὲν δέομαι* ich habe nicht nöthig, finde mich nicht bewogen. Xen. Hell. 2, 4, 35: *λέγοντας ὅτι οὐδὲν δέονται τοῖς ἐν τῷ Πειραιεῖ πολεμεῖν.* Lyſ. 12, 42: *ὧν τὰ ὀνόματα οὐδὲν δέομαι λέγειν.* Aeſch. 3, 139: *τὸ αἴτιον λέγειν οὐδὲν δέομαι.* vgl. Schöm. z. Iſä. p. 215. — *καί* vor *ὡς* verbindet *ἀντειπόντος* und *ἐπισπασθέντος.* — *ἐπισπασθέντος.* Das Wort findet ſich ſo ſonſt ſelten; doch *ἐπισπασάμενος τῆς κόμης τοῦτον* Suid. u. *ἕλκει πάνυ βιαίως ἐπισπώμενος* Luci. in Steph. Thes. (Bl.) — *θορυβηθέντος* in Schrecken gejagt war. (Wa.) da ein Tumult entſtanden war. (Hf.) Dies kaum zuläſſig. — *μάχῃ* gehört zu *φοβηθέντων.* vgl. Gr. 59, 2 A. 3. — *φοβηθέντων, τῶν Λακεδαιμονίων.* Unnöthig *φοβηθέντας.* Gr. 47, 4 A. 3. — *ἀπὸ προειρημένου τινός, συμφώνου.* (Sch.) nach einer vorhergegangenen Verabredung.

ἤδη γὰρ καὶ ὁ Νικίας ἐπαναστρέψας πρὸς τῇ πόλει ἦν, ἐσπεσόντες ἐς τὴν Μένδην πόλιν, ἅτε οὐκ ἀπὸ ξυμβάσεως ἀνοιχθεῖσαν, ἁπάσῃ τῇ στρατιᾷ ὡς κατὰ κράτος ἑλόντες διήρπασαν, καὶ μόλις οἱ στρατηγοὶ κατέσχον ὥστε μὴ καὶ τοὺς ἀνθρώπους διαφθείρεσθαι. καὶ τοὺς μὲν Μενδαίους μετὰ ταῦτα πολιτεύειν ἐκέλευον ὥσπερ εἰώθεσαν, αὐτοὺς κρίναντας ἐν σφίσιν αὐτοῖς εἴ τινας ἡγοῦνται αἰτίους εἶναι τῆς ἀποστάσεως· τοὺς δ' ἐν τῇ ἀκροπόλει ἀπετείχισαν ἑκατέρωθεν τείχει ἐς θάλασσαν καὶ φυλακὴν ἐπεκαθίσαντο. ἐπειδὴ δὲ τὰ περὶ
131 τὴν Μένδην κατέσχον, ἐπὶ τὴν Σκιώνην ἐχώρουν. οἱ δὲ ἀντεπεξελθόντες αὐτοὶ καὶ Πελοποννήσιοι ἱδρύθησαν ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς πόλεως, ὃν εἰ μὴ ἕλοιεν οἱ ἐναντίοι, οὐκ ἐγίγνετο σφῶν περιτείχισις. προσβαλόντες δ' αὐτῷ κατὰ
2 κράτος οἱ Ἀθηναῖοι καὶ μάχῃ ἐκκρούσαντες τοὺς ἐπιόντας ἐστρατοπεδεύσαντό τε καὶ ἐς τὸν περιτειχισμόν, τροπαῖον στήσαντες, παρεσκευάζοντο. καὶ αὐτῶν οὐ πολὺ ὕστερον ἤδη ἐν ἔργῳ ὄντων οἱ ἐκ τῆς ἀκροπόλεως ἐν τῇ Μένδῃ πολιορκούμενοι ἐπίκουροι βιασάμενοι παρὰ θάλασσαν τὴν φυλακὴν νυκτὸς ἀφικνοῦνται, καὶ διαφυγόντες οἱ πλεῖστοι τὸ ἐπὶ τῇ Σκιώνῃ στρατόπεδον ἐσῆλθον ἐς αὐτήν.

132 Περιτειχιζομένης δὲ τῆς Σκιώνης Περδίκκας τοῖς τῶν Ἀθηναίων στρατηγοῖς ἐπικηρυκευσάμενος ὁμολογίαν ποιεῖται

---

§ 4. ἐπαναστρέψας, von Skione § 2. — οὐκ ist bei ἄν die regelmäßige Negation. — Μένδην tilgt Dobree. Gr. 50, 7 A. 3. — ἐς θάλασσαν. ἐκ θαλάσσης könnte vorher ausgefallen sein. — ἐπεκαθίσαντο. Tranſitiv ſteht dieſer Ao. als MJ. in παρεκαθισάμην Dem. 28, 15. 33, 14 u. Lyk. 141, intranſitiv Xen. Cyr. 5, 5, 7. Thuk. gebraucht ſonſt in tranſitivem Sinne καθῖσα, wiewohl auch dies nie mit φυλακήν verbunden; und daher iſt hier wohl mit Py. ἐπικαθίσατο zu leſen; ἐπεκαθίσαντο zwei ſchlechte Hſn. vgl. 4, 90, 4. 2, 24, 1. 94, 2. 4, 41, 2. 5, 3, 4.

C. 131. § 1. ἕλοιεν iſt, wie σφῶν, aus der Vorſtellung der Skionäer, als ob da ſtände οὐκ ἂν γίγνεσθαι (ἐνόμιζον). (Py.) — ἐγίγνετο fand nicht ſtatt, konnte nicht ausgeführt werden. — τοὺς ἐπιόντας die ihnen entgegenrückenden, etwa bis zu einem gelegenen Puncte des Abhanges; ἐπόντας Py.

§ 2. ἐν τῇ Μένδῃ würd' ich gern entbehren. — παρὰ θάλασσαν zieht der Sch. zu ἀφικνοῦνται. — διαφυγόντες glücklich durchgekommen. (Bs. u. Hl.) vgl. 4, 19, 1. 35, 2. (Py.) Vielmehr: durchkommend entfliehen; eben ſo mit dem Ac. 2, 90, 2. 5, 116, 1. 6, 2, 3. 57, 3. 7, 44, 6. 77, 7.

C. 132. § 1. ὁμολογίαν, ξύμβασιν. (Sch.) ſogar einen

πρὸς τοὺς Ἀθηναίους διὰ τὴν τοῦ Βρασίδου ἔχθραν περὶ τῆς ἐκ τῆς Λύγκου ἀναχωρήσεως, εὐθὺς τότε ἀρξάμενος πράσσειν. καὶ ἐτύγχανε γὰρ τότε Ἰσχαγόρας ὁ Λακεδαιμό- 2
νιος στρατιὰν μέλλων πεζῇ πορεύσειν ὡς Βρασίδαν, ὁ δὲ Περδίκκας ἅμα μὲν κελεύοντος τοῦ Νικίου, ἐπειδὴ ξυνεβεβήκει, ἔνδηλόν τι ποιεῖν τοῖς Ἀθηναίοις βεβαιότητος πέρι, ἅμα δ' αὐτὸς οὐκέτι βουλόμενος Πελοποννησίους ἐς τὴν αὐτοῦ ἀφικνεῖσθαι, παρασκευάσας τοὺς ἐν Θεσσαλίᾳ ξένους, χρώμενος ἀεὶ τοῖς πρώτοις, διεκώλυσε τὸ στράτευμα καὶ τὴν παρασκευήν, ὥστε μηδὲ πειρᾶσθαι Θεσσαλῶν. Ἰσχαγόρας 3
μέντοι καὶ Ἀμεινίας καὶ Ἀριστεὺς αὐτοί τε ὡς Βρασίδαν ἀφίκοντο ἐπιδεῖν πεμψάντων Λακεδαιμονίων τὰ πράγματα, καὶ τῶν ἡβώντων αὐτῶν παρανόμως ἄνδρας ἐξῆγον ἐκ Σπάρτης ὥστε τῶν πόλεων ἄρχοντας καθιστάναι καὶ μὴ τοῖς ἐντυχοῦσιν ἐπιτρέπειν. καὶ Κλεαρίδαν μὲν τὸν Κλεωνύμου καθίσησιν ἐν Ἀμφιπόλει, Ἐπιτελίδαν δὲ τὸν Ἡγησάνδρου ἐν Τορώνῃ.

Ἐν δὲ τῷ αὐτῷ θέρει Θηβαῖοι Θεσπιέων τεῖχος περι- 133
εῖλον, ἐπικαλέσαντες ἀτιτικισμόν, βουλόμενοι μὲν καὶ ἀεί, παρεσηκὸς δὲ ὂν ἐπειδὴ καὶ ἐν τῇ πρὸς Ἀθηναίους μάχῃ ὅ τι ἦν αὐτῶν ἄνθος ἀπολώλει. καὶ ὁ νεὼς τῆς Ἥρας τοῦ αὐτοῦ θέρους ἐν Ἄργει κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα καὶ ἐπικαταδαρθούσης, ὥστε ἔλαθεν ἀφθέντα πάντα καὶ καταφλεχθέντα. καὶ ἡ Χρυσὶς μὲν εὐθὺς τῆς νυκτὸς δείσασα τοὺς Ἀργείους 2

Bund nach 5, 6, 2. (Py.) — τῆς ἀναχωρήσεως, der 4, 83, 3 erwähnten. (Dé.) — τότε gleich nach dem Rückzuge.

§ 2. γάρ bezieht sich auf das Folgende, wo Dobree, wie auch ich vermuthet habe, das δέ nach ὁ tilgen wollte. Wohl richtig. vgl. 7, 48, 3 u. zu 1, 31, 2. — ἔνδηλόν τι ποιεῖν, τεκμήριόν τι παρέχειν φιλίας. (Sch.) — παρασκευάσας beredete. (Pö.) stiftete an. vgl. 3, 36, 4. — τοῖς πρώτοις, δηλονότι ξένοις καὶ φίλοις. Sch.) als Freunde. — τὸ στράτευμα, τῶν Πελοποννησίων. (Sch.)

§ 3. ἐπισθεῖν um zu inspiciren, wie ἐπίσκοποι. Gr. 55, 3 A. 20. — αὐτῶν ist wohl partitiv, von τῶν ἡβώντων regiert, wie 4, 126, 3. (Py.) — παρανόμως, ὡς οὐκ ὄντος νομίμου ἄρχοντας καθιστάναι ταῖς πόλεσι τοὺς ἡβῶντας ἀλλὰ τοὺς προβεβηκότας καθ' ἡλικίαν. (Sch.) — τοῖς ἐντυχοῦσιν, τοῖς τυχοῦσι. (Sch.) den ersten besten; den Einwohnern Hl. In jener Bedeutung findet es sich in [Plat.] Alc. 2 p. 144, b. — καθίσησιν, Ἰσχαγόρας. (Pö.)

C. 133. § 1. τεῖχος ohne Artikel. zu 3, 50, 1. — παρεσηκός, ἐξεγένετο αὐτοῖς. (Sch.) Diese Bedeutung wüßt' ich nicht zu erhärten. Also: da es ihnen einfiel. Gr. 56, 9 A. 5. 14 A. 2. Oder schrieb Th. παρεσχηκός? — ἄνθος, τὸ ἐκμαιότατον. (Sch.) Hemsterh. zu Luc. Tim. 55. — ἀπολώλει. ἀπωλώλει zwei gute Hss, was Bk. hier, Dem. 18, 49 u. öfter verschmähte vgl. 7, 27, 4. (Py.) — καταφλεχθέντα. Gr. 40 unter φλέγω.

ἐς Φλιοῦντα φεύγει· οἱ δὲ ἄλλην ἱέρειαν ἐκ τοῦ νόμου τοῦ προκειμένου κατεστήσαντο Φαεινίδα ὄνομα. ἔτη δὲ ἡ Χρυσὶς τοῦ πολέμου τοῦδε ἐπέλαβεν ὀκτὼ καὶ ἕνατον ἐκ μέσου ὅτε ἐπεφεύγει. καὶ ἡ Σκιώνη τοῦ θέρους ἤδη τελευτῶντος περιετετείχιστό τε παντελῶς καὶ οἱ Ἀθηναῖοι ἐπ' αὐτῇ φυλακὴν καταλιπόντες ἀνεχώρησαν τῷ ἄλλῳ στρατῷ.

134 Ἐν δὲ τῷ ἐπιόντι χειμῶνι τὰ μὲν Ἀθηναίων καὶ Λακεδαιμονίων ἡσύχαζε διὰ τὴν ἐκεχειρίαν, Μαντινῆς δὲ καὶ Τεγεᾶται καὶ οἱ ξύμμαχοι ἑκατέρων ξυνέβαλον ἐν Λαοδικίῳ τῆς Ὀρεσθίδος καὶ νίκη ἀμφισβήριτος ἐγένετο· κέρας γὰρ ἑκάτεροι τρέψαντες τὸ καθ' αὑτοὺς τροπαῖά τε ἀμφότεροι
2 ἔστησαν καὶ σκῦλα ἐς Δελφοὺς ἀπέπεμψαν. διαφθαρέντων μέντοι πολλῶν ἑκατέροις καὶ ἀγχωμάλου τῆς μάχης γενομένης καὶ ἀφελομένης νυκτὸς τὸ ἔργον οἱ Τεγεᾶται μὲν ἐπηυλίσαντό τε καὶ εὐθὺς ἔστησαν τροπαῖον, Μαντινῆς δὲ ἀπεχώρησάν τε ἐς Βουκολίωνα καὶ ὕστερον ἀντέστησαν.

135 Ἀπεπείρασε δὲ τοῦ αὐτοῦ χειμῶνος καὶ ὁ Βρασίδας τελευτῶντος καὶ πρὸς ἔαρ ἤδη Ποτιδαίας. προσελθὼν γὰρ νυκτὸς καὶ κλίμακα προσθεὶς μέχρι μὲν τούτου ἔλαθεν· τοῦ γὰρ κώδωνος παρενεχθέντος οὕτως ἐς τὸ διάκενον, πρὶν ἐπανελθεῖν τὸν παραδιδόντα αὐτόν, ἡ πρόσθεσις ἐγένετο·
2 ἔπειτα μέντοι εὐθὺς αἰσθομένων, πρὶν προσβῆναι, ἀπήγαγε πάλιν κατὰ τάχος τὴν στρατιὰν καὶ οὐκ ἀνέμεινεν ἡμέραν γενέσθαι. καὶ ὁ χειμὼν ἐτελεύτα καὶ ἕνατον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε ὃν Θουκυδίδης ξυνέγραψεν.

---

§ 2. τοῦ προκειμένου ist wohl Gloſſem zu dem vorhergehenden τοῦ. (Kr.) — ἐπέλαβε, κατέσχε. (Sch.) — ἐκ μέσου. τὸ ἕνατον ἡμιτελὲς ἦν, ὥστε τὰ πάντα πεντήκοντα ἐξ ἡμισυ ἔτη διήνυσεν ἡ Χρυσὶς ἱέρεια. (Sch.) vgl. 2, 2, 1. — ἐπ' αὐτῇ gegen ſie. (Pö.) um ſie einzuſchließen. Gr. 68, 41 A. 7.

C. 134. § 1. ἀμφισβήριτος, ἀμφισβητήσιμος. (Sch.) Poetiſch. — τὸ καθ' αὑτούς. Unſtreitig ſtanden die Hülfstruppen der Mantineer den Tegeaten, die der Tegeaten den Mantineern gegenüber. (Hſ.)

§ 2. ἀγχώμαλος, ὁ ἐγγύς πως τῷ ἐπ' ἴσης ἐπὶ τι ἀγώνισμα ἢ ἄθλημα. Tim. p. 14. vgl. zu 3, 49, 1.

C. 135. τούτου, τοῦ προσθεῖναι τὴν κλίμακα. (Sch.) Lieber möchte ich του (τινός): μέχρι του eine Zeitlang. Dem. 1, 7: μέχρι του ταῦτ' ἂν ἐγνωκότες ἦσαν ἴσως. — τοῦ κώδωνος. Um die Wachen munter zu erhalten wurde eine Glocke herumgetragen, wohl nicht von einer Runde (περίπολος), ſondern, wie dieſe Stelle zeigt, von einem Poſten zum andern. Als Fem. gebraucht das Wort in andrer Bedeutung Soph. Aj. 17. vgl. dort Lobeck. — οὕτως gehört zu ἐγένετο. — τὸ διάκενον der leere, unbeſetzte, Zwiſchenraum (Sch.), während ein Poſten mit der Glocke fort war. — τὸν παραδιδόντα der ſie dem nächſten Poſten zutrug. — ἡ πρόσθεσις, τῆς κλίμακος. (Sch.)

Gedruckt bei C. Feiſter.